IOANNIS ZONARAE Monachi Tomus Hiſtoriarum tertius, quo Chriſtianorum Imperatorum res geſtæ, à Conſtantino Magno uſque ad Alexii Comneni obitum deſcri- buntur:

Cum rerum & uerborum memorabilium INDICE copioſo.



1557.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΖΩΝΑΡΑ ΧΡΟΝΙΚΟΝ.

Βασιλεία τοῦ μεγάλου Κωνσταντίνου.

Οὕτω μὲν οὖν, ὡς εἴρηται, τῆς τοῦ πατρὸς βασιλείας ὁ μέγας Κωνσταντῖνος διάδοχος γέγονεν, ὁ ἐν βασιλεῦσιν ἀοίδιμος, καὶ ἐν ὀρθοδόξοις ἐπισημότατος. ὃς ἐκ τῆς μακαρίας Ἑλένης γεννηθῆναι τῷ πατρί, περὶ ἧς διαφωνοῦσιν οἱ συγγραφεῖς, καὶ περὶ αὐτῆς τὰ περὶ ταύτης οὐχ ὁμολογοῦσιν. οἱ μὲν γάρ, τῷ Κωνσταντίῳ νόμῳ γάμου φασὶν αὐτὴν συνοικεῖν, ἐκπεμφθῆναι δέ, τοῦ Μαξιμιανοῦ Ἑρκουλίου, ὡς ἔμπροσθεν εἴρηται, τὴν οἰκείαν παῖδα τὴν Θεοδώραν τούτῳ κατεγγυήσαντος, καὶ ἀναδείξαντος Καίσαρα. οἱ δέ, οὐ γαμετὴν νόμιμον αὐτὴν γενέσθαι τοῦ Κωνσταντίου ἱστόρησαν, ἀλλ' ἐς πάρεργον ἐρωτικῶν ἐπιθυμιῶν, καὶ ἐξ ἐκείνης τοῦτον δὲ συλλαβέσθαι τὸν μέγαν Κωνσταντῖνον. διαδεξάμενος δὲ τὴν βασιλείαν τὴν πατρικήν, μέχρι τῆς Βρεττανίας τε καὶ τῶν Ἄλπεων, καὶ ἐπὶ ταύταις τῶν Γαλλιῶν, ἔτι τῇ τῶν Ἑλλήνων θρησκείᾳ προσκείμενος, καὶ τοῖς Χριστιανοῖς ἀντικείμενος, παρὰ Φαύστης τῆς γαμετῆς εἰς ζῆλον τῆς τῶν εἰδώλων τιμῆς ἐκκαλούμενος. θυγάτηρ δ' ἦν ἡ Φαῦστα τοῦ Μαξιμιανοῦ. αὐτὸς γὰρ καὶ ὁ πατὴρ ἀδελφαῖς συνῴκησαν δυσί. τριῶν δ' ὄντων τῶν βασιλέων, αὐτοῦ τε Κωνσταντίνου καὶ Λικιννίου καὶ Μαξεντίου, ὃς ἐν τῇ Ῥώμῃ καὶ ἐν τῇ Ἰταλίᾳ ἐκράτει, ὁ Μαξέντιος οὗτος, οὐχ ὡς βασιλεύς, ἀλλ' ὡς τύραννος αὐτοκρατῶς διῆγε, πλεῖστα δεινὰ καὶ ἄτοπα τοῖς ὑπ' αὐτοῦ τυραννουμένοις ἐπάγων, ὡς ἤδη μοι ἀναγέγραπται. ἃ μὴ φέροντες οἱ ἐν τῇ Ῥώμῃ, διαπέμπονται πρὸς τὸν Κωνσταντῖνον, ἀπαλλάξαι σφᾶς τῆς τυραννίδος τοῦ Μαξεντίου δεόμενοι. ὁ δὲ τούτοις πρὸς καθαίρεσιν αὐτοῦ διανίσταται, καὶ στρατεύει, καὶ πρὸς τὴν Ῥώμην χωρεῖ. ὁ δέ γε Μαξέντιος ἐπὶ πολὺ μὲν ἐντὸς καθῆστο τειχῶν, μὴ ἀντεπεξιὼν τοῖς πολιορκοῦσιν αὐτόν, ὥς τε καὶ διὰ τοῦτο σκώμματα κατ' αὐτοῦ ὑπό τινων ποιεῖσθαι. ὀψὲ δέ ποτε ἀντιπαρετάξατο, γοητείαις κεχρημένος, καὶ δι' ἀνατομῆς βρεφῶν μαντευόμενος, καὶ ἄλλα πράττων ἀθέμιτα, ἃ δεινῶς ἐνέπεσεν τῷ Κωνσταντίνῳ ἀγωνιῶντι γοῦν διὰ ταῦτα, τύπος αὐτῷ σταυροῦ περὶ μεσούσης ἡμέρας δι' ἀστέρων ἐφάνη κατ' οὐρανόν, καὶ γραφὴ περὶ τὸν σταυρὸν ῥωμαϊκοῖς στοιχείοις, δι' ἀστέρων καὶ αὐτοῖς τυπουμένοις, καὶ φράζουσιν, ἐν τούτῳ νίκα. ἐκ χρυσοῦ δ' οὖν αὐτίκα σχεδιάσας σταυρόν, κατὰ τὸν φανέντα τύπον αὐτῷ, καὶ τοῦτον κελεύσας τῆς στρατιᾶς αὐτοῦ προπορεύεσθαι, τοῖς τοῦ Μαξεντίου συρρήγνυται καὶ ὑποστροφεῖ, ὡς τοὺς πλείστους τῶν ὑπ' ἐκείνου στρατευομένων ἀναιρεθῆναι, τοὺς δὲ λοιποὺς εἰς φυγὴν ἀπελάσαι. οἷς καὶ αὐτὸς ὁ Μαξέντιος συναποδιδράσκων, καὶ ἐν τῇ γεφύρᾳ γενόμενος τοῦ Τιβέριδος τῇ καλουμένῃ Μαλβίᾳ, σὺν τῷ ἵππῳ κατὰ τοῦ ποταμοῦ ἐξωλίσθησε καὶ ἀπώλετο. καὶ ὁ μὲν οὕτω διέφθαρτο. οἱ δέ γε Ῥωμαῖοι τῆς ἐκείνου τυραννίδος ἀπαλλαγέντες, τὰς πύλας τῆς Ῥώμης ἀναπετάσαντες, ἐδέξαντο τὸν Κωνσταντῖνον λαμπρῶς, καὶ ὡς ἐλευθερωτὴν αὐτὸν τῆς πόλεως εὐφήμουν καὶ ἐπισημαίνοντες, καὶ στήλην αὐτῷ ἐν τῇ τῆς Ῥώμης ἀγορᾷ στῆσαι κοινῶς ἐψηφίσαντο. ὁ δέ, τὸ τοῦ σταυροῦ σημεῖον ἐγκεχειρισμένην τὴν στήλην αὐτοῦ πλασθῆναι διετάξατο. καὶ δόγμα δέ, μὴ κολάζεσθαι

διὰ

Περὶ τῆς ἁγίας Ἑλένης.

Ἐκστρατεία τοῦ μεγάλου Κωνσταντίνου κατὰ Μαξεντίου.

Περὶ τοῦ φανέντος τῷ μεγάλῳ Κωνσταντίνῳ δι' ἀστέρων σταυροῦ, καὶ ἥττα καὶ ὤλετο ὁ Μαξέντιος.

IOANNIS ZONARAE ANNALES.

Imperium Conſtantini Magni.

SIC igitur, ut dictum eſt, Cōſtantinus Magnus regni paterni ſucceſſor extitit, Imperator perpetua memoria dignus, & inter orthodoxos illuſtriſsimus. Eum ex beata Helena procreauit pater, de qua diſſentiunt hiſtorici. Nam alij legitimo coniugio nuptam fuiſſe Conſtantio, ac dimiſſam, cum Maximianus Herculius, ut antè dictum eſt, filia Theodora deſponſa, Cæſarem eum deſignaſſet. alij non matremfamiliás, ſed concubinam, formæ gratia Conſtantio conciliatam, Conſtantinum ei peperiſſe tradiderunt. Qui ſuſcepto paterno regno, Britanniæ, Alpibus & Gallijs imperauit, gentilium adhuc religioni addictus, & Chriſtianis infeſtus, Fauſta uxore ad ſimulacrorum cultum eum prouocante. Fuit autem Fauſta Maximiani filia. Nam ipſe & pater duas ſorores in matrimonio habuerunt. Cum uerò tres eſſent Imperatores, Conſtantinus, Licinius, & Maxentius: hic Romæ & in Italia rerum potiens, non regem agebat, ſed planè pro tyranno ſe gerebat, importunè & crudeliter in eos graſſando, quibus dominabatur: quemadmodum iam a me perſcriptum eſt. quæ Romani haud ferenda rati, legatos ad Conſtantinum miſsitant, ut Maxentij tyrannide ſeliberet, ſupplicantes. Iis precibus ad pellendum illum commotus, Romam uerſus cum exercitu proficiſcitur. Maxentius uerò, quum diu intra mœnia ſe contineret, nec in aciem contra eos, à quibus obſidebatur, deſcenderet, ſalibus à nonnullis inceſſebatur. Sed tandem educit exercitum, præſtigijs quibuſdam uſus: & præter alia nefanda, ex infantium diſſectione captatis augurijs. Quibus Conſtantino perterrito, & animo æſtuanti, figura crucis circa meridiem ſtellis informata in cœlo apparuit: & ſcriptura circa crucem, Romanis literis & ipſa per ſtellas expreſſa, IN HOC VINCE. Statim igitur cruce ex auro ad formā quam uiderat, facta, & exercitui ſuo præferri iuſſa, commiſſo prælio Maxentium uincit, maiore copiarum illius parte cæſa, cæteris in fugam uerſis. inter quos & ipſe Maxentius pontem Miluium tranſiturus, equo lapſo, in Tiberim præcipitatus, ſubmergitur. Et hic illius fuit exitus. Cuius tyrannide Romani liberati, portis apertis Conſtantinum ſplendidè exceperunt, ut liberatorem urbis lætis acclamationibus celebrantes: decreta in foro ſtatua, quam ille ita fieri iuſsit, ut formā crucis manu teneret: edictoq́;

aaa 2 uetuit,

Helena Cōſtantini magni mater.

Fauſta Conſtantini uxor.

Conſtantinus à Romanis accerſitus, Maxētium tyrannū ſigno crucis præeunte uincit.

Licinio sublato Constantinus solus imperat.

uetuit, ne ob religionem, ij qui Christū pro Deo colerent, plecterentur. Sic Italia, & ipsa Roma eius imperio adiuncta, cum Licinio, cui soror eius nupta erat, imperium tenuit. Is cum Maximini & filium & filiam occidisset, iam uterque alteri suspectus, sublato altero, se solum imperio potiturum putabat, nemine alio id sibi uendicaturo. Ac nonnulli sic potitum esse Licinium parte Galerij asserunt, socium ab illo ascitum, ut dictum est: Nonnulli, in Constantini gratiam, cum sororem ei despondisset, à militibus Cæsarem salutatum, & ab ipso contra Maximinum missum, eoq; uicto & profligato, regno illius donatum esse, ea conditione, ut ne Christianos uiolaret: qua ille neglecta, non minus, ac potius magis, quàm decessores sui, in Christianos insanient, nullo extremæ crudelitatis genere prætermisso. Ad alias igitur dissensionis eorum causas, etiam hanc accessisse. Proinde Constantinus, ducto contra Licinium exercitu, & sæpe commissa pugna, denique uincit. Sed propter sororem reconciliatus, imperium ei certis conditionibus restituit. At ille, cum ut homo perfidus, pactis non stetisset, à Constantino denuò superatus, Byzantio & Chrysopoli captis, Nicomediam fugit. Tum soror Constantinum rogat, ut marito reddat imperium. quo non impetrato, salutem illius à fratre exorat. Itaque Licinius plebeio habitu Imperatorem adit, ac Thessalonicæ priuatam uitam agere iubetur. Id factum accusabant milites, quòd homini perfido, qui fœdera sæpius rupisset, parceretur. Quare Imperator eam rem per literas ad senatus iudicium refert. A' quo alij eum militibus, ipsorum arbitratu tractandum, esse deditum, ac Thessalonicæ, aut prope Sarras, nescio quò euntem, interfectum: alij, nec dum ibi degeret, quieuisse, sed tyrannidem affectasse tradunt. Quo cognito, Imperator eum occidi iussit. Ferunt Constantinum in prælijs cum illo & Maxentio commissis, uidisse armatum equitem, signum crucis pro uexillo ante aciem suam preferentem: ac rursus Adrianopoli, duos eiusdem adolescentes, qui hostium phalanges cæderent. Item circa Byzantium noctu omnibus dormientibus, conspectum ab eo ignem, qui fulguris instar, uallum exercitus sui collustraret. Quibus ostentis in eam » sententiam adducebatur, ut crederet, succes» sus illos rerum, & uictorias sibi diuinitus offerri. Sic solus rerum potitus Constantinus, etiam Flauij sibi prænomen asciuit, & Romæ uitam egit: nondum quidem simulacrorum deserto cultu, sed Christianæ religionis mysteria paulatim admittens atque addiscens. Cum autem corpore esset morbido, quòd è corruptione humorum plurimis scatebat pustulis, adeò ut curatione desperara, lepræ à medicis lues illa compararetur: Capitolini Iouis sacerdotes responderunt, cum pristinam ualetu-

Ostenta uisa Constantino.

διὰ τὴν θρησκείαν τοὺς τὸν Χριστὸν σεβομένους ὡς θεὸν ἐναποφαίνεσθαι. οὕτω δὲ καὶ τῆς ἰταλίας καὶ τῆς ῥώμης αὐτοῦ προστεθείσης τῇ βασιλείᾳ αὐτοῦ, αὐτός τε καὶ λικίνιος ὁ ἐπ' ἀδελφῇ γαμβρὸς αὐτοῦ, κατελείφθησαν βασιλεῖς. ὁ γὰρ λικίνιος τόν τε τοῦ μαξιμιανοῦ υἱὸν καὶ τὴν θυγατέρα ἀπέκτεινε, καὶ λοιπὸν ἑκάτερος τὸν ἕτερον ὑπεβλέπετο. ὕποπτος γὰρ ἕκαστος, τὸν ἕτερον ἀπολέσας, αὐτὸς μόνος εἶναι μόναρχος, μὴ ὄντος τοῦ ἀμφισβητοῦντος περὶ τῆς ἀρχῆς. οἱ μὲν οὖν οὕτω τὸν λικίνιον φασὶν ἐγκρατῆ γενέσθαι τῆς γαλλερίου μερίδος, κοινωνὸν παρ' ἐκείνου προσληφθέντα, ὡς εἴρηται. οἱ δὲ τῷ κωνσταντίνου ἀδελφῆς τῆς αὐτοῦ συζευχθείσης αὐτῷ, λέγουσι τοὺς στρατιώτας τῷ κωνσταντίνῳ χαριζομένους, καίσαρα αὐτὸν ἀνειπεῖν, καὶ παρ' ἐκείνου σταλῆναι αὐτὸν κατὰ μαξιμίνου ἀντιπαραταξόμενον, νενικηκότι δὲ ἐκεῖνον καὶ κατατροπωσαμένῳ, ἐκχωρῆσαι τῆς βασιλείας ἐκείνου, μὴ ἐνοχλεῖν χριστιανοῖς ὑποσκήψαντα, μὴ φυλάξαι τὰς ἐντολὰς τηρῆσαι αὐτόν, ἀλλὰ λυττῆσαι κατὰ τῶν χριστιανῶν, οὐχ ἧττον τῶν πρὸ αὐτοῦ, εἰ μὴ καὶ μᾶλλον. πᾶσαν γὰρ ὑπερβολὴν ὑπερβαλέσθαι ὠμότητος. πρὸς ἄλλαις δὲ αἰτίαις τῆς πρὸς ἀλλήλους διαφορᾶς, καὶ ταύτην γενέσθαι· κινήσας οὖν κατὰ λικινίου τὴν στρατιὰν ὁ κωνσταντῖνος, καὶ πολλάκις αὐτῷ συμβαλών, τέλος νικᾷ. εἶτα ὑστερον διὰ τὴν ἀδελφήν, τὴν ἀρχὴν αὐτὸν οὐκ ἀφείλετο, ἀλλ' ἐπὶ συνθήκαις αὖθις ταύτης αὐτῷ παρεχώρησεν· ὁ δὲ ἄπιστος ὤν, οὐκ ἐτήρησε τὰς συμβάσεις. διὸ καὶ πάλιν ὁ κωνσταντῖνος αὐτῷ ἐπολέμησε. καὶ νικήσας, εἷλε τό τε βυζάντιον καὶ τὴν χρυσόπολιν. ὁ δέ γε λικίνιος εἰς νικομήδειαν ἔφυγε, καὶ ἡ ἀδελφὴ τοῦ κωνσταντίνου προσελθοῦσα τῷ ἀδελφῷ, ἐδεῖτο ὑπὲρ τοῦ ἀνδρός, περιλεῖψαι αὐτῷ τὴν ἀρχήν. ὡς δὲ πρὸς τοῦτο οὐκ ἔσχηκε τὸν ἀδελφὸν κατανεύοντα, περὶ τῆς ἐκείνου σωτηρίας προσῆγε τὴν δέησιν. καὶ ἔπεισε τὸν ὅμαιμονα. πρόσεισι τοίνυν αὐτῷ ὁ λικίνιος ἐν σχήματι ἰδιωτικῷ, καὶ εἰς θεσσαλονίκην διατρίβειν ἰδιωτεύων κελεύεται. καὶ ὁ μὲν ἐκεῖσε διῆγεν. οἱ δέ γε στρατιῶται ἐπὶ πᾶν ὑπεσώζεσθαι τὸν λικίνιον, ἄπιστον φανέντα πολλάκις, καὶ παραβάντα τὰς συνθήκας, διὸ καὶ τῇ συγκλήτῳ διὰ γραμμάτων ὁ βασιλεὺς περὶ τούτου ἀνέθετο βουλήν. τινὲς μὲν οὖν τοῖς στρατιώταις ἐκδεδῶσθαι παρὰ τῆς γερουσίας ἱστόρησαν, ὃ σφίσι δοκοῦν ἐπὶ τῷ λικινίῳ διαπράξασθαι, καὶ κινήσαντας ἐν θεσσαλονίκῃ αὐτὸν ἀναιρῆσαι, ἢ πλησίον σερρῶν, ἀπιόντα ποι. ἄλλοι δὲ οὐδ' ἐν θεσσαλονίκῃ αὐτὸν φασὶ διατρίβοντα ἠρεμῆσαι, τυραννίδα δὲ μελετᾶν καὶ τοῦτο γνόντα τὸν βασιλέα κωνσταντῖνον, στεῖλαι τοὺς αὐτὸν ἀναιρήσοντας. λέγεται δὲ ἐν ταῖς πρὸς αὐτὸν μάχαις, ἢ ταῖς πρὸς μαξέντιον, θεάσασθαι τὸν κωνσταντῖνον ἱππότην καθωπλισμένον, τὸν τοῦ σταυροῦ τύπον ἀντὶ σημαίας ὑποφερόμενον, καὶ τὸν αὐτοῦ προπορευόμενον τῆς παρατάξεως καὶ αὖθις δύο ὀφθῆναι αὐτῷ νεανίας ἐν ἀδριανοῦ πόλει, τὰς τῶν ἐναντίων συγκόπτοντας φάλαγγας. καὶ περὶ τὸ βυζάντιον δέ, νυκτὸς καθευδόντων ἁπάντων, φῶς ὀφθῆναι αὐτῷ περιαστράψαν τὸ τοῦ οἰκείου στρατεύματος χάρακα. ἐκ τούτων οὖν εἰς ἔννοιαν ἐλήλυθε, τὸ θεόθεν αὐτῷ τὰς εὐτυχίας καὶ τὰς νίκας προσγίνεσθαι. οὕτω δὲ μοναρχήσας ὁ κωνσταντῖνος, καὶ φλάβιος ὠνομάσθη. καὶ οὕτω πως ἐχρημάτιζε, φλάβιος κωνσταντῖνος, καὶ ἐν ῥώμῃ διῆγε, τῆς μὲν τῶν εἰδώλων θρησκείας οὐκ ἀποστάς, τὰ περὶ χριστοῦ δὲ μυούμενος, καὶ ἤδη προσεχόμενος. σώματος δὲ τυχὼν νοσεροῦ, καὶ πλεῖστα φύντος ἐκ κακοχυμίας καὶ ὕλης μοχθηρᾶς ἐξανθήματα, ὡς λώβην ταῦτα παρὰ τῶν ἰατρῶν, καὶ λέπραν δ' ἀπεικάζεσθαι, καὶ τῆς τούτου θεραπείας ἀπαγορευθείσης, οἱ ἱερεῖς τοῦ ἐν τῷ καπιτωλίῳ διὸς οὐκ ἄλλως

ὅτι μετὰ τὸ λύμας τὸ ἐπὶ ... ὁ μέγας κωνσταντῖνος

ὅτι κατὰ λικινίου στρατεύσας ὁ μέγας κωνσταντῖνος ἐνίκησεν ... αὐτῷ ... ἀπέδωκε

περὶ ὀπτασιῶν τῷ μεγάλῳ κωνσταντίνῳ φανεισῶν.

ὅτι λωβηθὲν τὸ σῶμα αὐτοῦ ὁ κωνσταντῖνος, καὶ παίδων αἵματι λούσασθαι προτραπεὶς ... λοιγῷ.

οὐκ ἄλλως λέγοντες τεύξεσθαι θεραπείας αὐτὸν, ἢ μὴ παίδων νηπίων αἵματι ἔτι ζέοντι ἐπιλούσαιτο τὸ σῶμα. παιδία τοίνυν ἐκ πάσης τῆς ὑπ' ἐκεῖνον χώρας συνῆκτο τὰ νήπια, καὶ ἡμέρα ὥριστο τῆς τούτων σφαγῆς. ὁ βασιλεὺς ἀπῄει τότε, τῷ αἵματι τῶν παίδων λουσόμενος εἰς τὸ Καπετώλιον. αἱ δὲ τούτων μητέρες προϊόντος αὐτοῦ γοερὰς ἠφίεσαν φωνὰς, καὶ ὠλόλυζον. ὧν ἀκούσας ἐκεῖνος, ἐρωτᾷ τί τοῦ θρήνου τὸ αἴτιον· καὶ μαθὼν τὰς μητέρας θρηνεῖν τῶν βρεφῶν, ὥσπερ ἐκ μέθης ἀνεγρηγορὼς, τὸ μὲν τῆς πράξεως, ἄπρεπον, ἀνόσιον, πρόδηλον· ἄδηλον δέ γε τὸ ἀποτέλεσμα· εἰ δὲ καὶ τοῦτο ἦν ἀναμφίβολον, κρεῖσσον πάσχειν ἐμὲ ταῖς νόσοις ταλαιπωρούμενον, ἢ τοσούτων βρεφῶν καταψηφισθῆναι ἀπώλειαν, καὶ ῥομφαίᾳ λύπης τὰς τῶν μητέρων αὐτῶν διελάσαι ψυχάς. καὶ ταῦτα εἰπὼν, ἀπενόστησεν, ἐκέλευσε δοθῆναι ταῖς μητράσι προστάξας τὰ νήπια, καὶ χρήματα δὲ δοθῆναι αὐταῖς, ἵν' ἀντίῤῥοπον ἔχωσιν ἢ καὶ διπλασίονα τὴν χαρὰν, ὅτι τε ζῶντα τὰ ἔκγονα ἀπειλήφασι, καὶ ὅτι ἐπὶ τούτοις καὶ χρήματα προσειλήφασι. ταῦτα δὲ διαπραξαμένου, νυκτὸς αὐτῷ ἔδοξάτην ἄνδρες παρεστάναι δύο, Πέτρος εἶναι καὶ Παῦλος λέγοντες οἱ ἀπόστολοι τοῦ Χριστοῦ, καὶ εἰ σωματικῆς τε καὶ ψυχικῆς ἔλεγον ὑγείας βούλει τυχεῖν, τὸν ἐπίσκοπον μετακάλεσαι Σίλβεστρον, ὡς ἐκεῖνός σοι καὶ τὴν λύμην ἀπελάσει τῆς σαρκὸς, καὶ ζωῆς ἀνωλέθρου καταξιώσει σε. ἐπὶ τούτοις ὁ βασιλεὺς τοῦ ὕπνου ἀνεγρηγορὼς, εὐθὺ τοὺς μεταπεμψομένους σὺν αἰδοῖ τὸν ἐπίσκοπον. καὶ παραγενομένῳ τῷ ἱερῷ Σιλβέστρῳ, εἰπέ μοι ἔφη ἐπίσκοπε, θρησκεύονται παρ' ὑμῖν θεοὶ Πέτρος καὶ Παῦλος ὀνομαζόμενοι; ὃς ἡμῖν θεὸς γινώσκεται, ἀπεκρίνατο, Πέτρος δὲ καὶ Παῦλος θεράποντες ἐκείνου καὶ ὑπηρέται εἰσίν. ἑξῆς οὖν ὁ βασιλεὺς διηγεῖται αὐτῷ τὸ ἐνύπνιον, καὶ τὰ καθ' ἡμᾶς παρ' αὐτοῦ μυεῖται μυστήρια, καὶ βαπτίζεται. καὶ ἄνεισιν ἐκ τῆς παναγοῦς κολυμβήθρας ὑγιὴς ὅλος, καὶ αὐτίκα ἄδειαν τὸ κηρύττειν Χριστιανοῖς, καὶ τοὺς ναοὺς σφίσιν ἀναπετάννυσθαι, καὶ νέους ἐφίησιν ἀνεγείρεσθαι. κλείει δὲ τὰ τεμένη τῶν ψευδωνύμων θεῶν, ἀδεῶς τε προσιέναι θεσπίζει τοὺς βουλομένους τῇ πίστει τῇ τοῦ Χριστοῦ. βιάζεσθαι μὲν γὰρ οὐδένα ἔλεγε βούλεσθαι· τοὺς δὲ ἑκόντας τῷ Χριστῷ προστιθεμένους, ἀποδέχεσθαι. ὁ μὲν οὖν οὕτω τῇ πίστει τοῦ Χριστοῦ προσελήλυθε· τὸ κήρυγμα δὲ ἐπλατύνετο, καὶ παῤῥησία τοῖς χριστωνύμοις ἐδίδοτο. προσίασιν οὖν τῇ τοῦ βασιλέως μητρὶ Ἰουδαῖοι, ἠπατῆσθαι λέγοντες τὸν βασιλέα, καὶ ἔργῳ θεοφιλεῖ ἔργον ἀναμῖξαι θεομισές. θεοφιλὲς μὲν, τὴν τῶν εἰδώλων καθαίρεσιν ὀνομάζοντες, θεομισὲς δὲ, τὴν πίστιν τὴν εἰς Χριστόν· μόνον γὰρ εἶναι θεὸν ἀληθῆ τὸν παρ' αὐτῶν θρησκευόμενον· τὸν Ἰησοῦν δὲ αὐθέντην οἱ ἀλιτήριοι κακοῦργον ἀπεκάλουν, καὶ γόητα. ἀναφέρει ταῦτα ἡ μήτηρ τῷ βασιλεῖ· καὶ ὅς γε ὁ δὲ, διαλεχθῆναι δεῖν ἐκέλευσεν ἐπ' ἀκροάσει αὐτοῦ καὶ τῶν τῆς γερουσίας λογάδων, τοὺς ταῦτα λέγοντας Ἰουδαίους, τῷ Ῥώμης ἐπισκόπῳ Σιλβέστρῳ καὶ τοῖς περὶ αὐτὸν, ἵν' οὕτω γνοίη, τίνα τὰ παρὰ τῶν Ἰουδαίων ἐστὶν εἰρημένα. γέγονεν ἡ διάλεξις. ἔδοξαν οἱ λόγοι τοῦ ἱεροῦ Σιλβέστρου ὑπερτερεῖν. ἐκ διαλεκτικῆς δυνάμεως ὑπερτερεῖν οἱ Ἰουδαῖοι τὸν Σίλβεστρον ἔλεγον· σημείων ἐζήτουν ἐπίδειξιν. μᾶλλον δέ τις παρ' αὐτοῖς γόης ἀνὴρ Ζαμβρῆς καλούμενος, βοῦν ἐνεχθῆναι ἠξίου, διὰ τούτου λέγων μέλλειν ἐνδείξασθαι τὴν δύναμιν τοῦ οἰκείου θεοῦ. προσενήνεκτο ὁ βοῦς, πεπλησίακεν αὐτῷ ὁ Ζαμβρῆς, ὑποψιθυρίσας τι αὐτῷ εἰς τὸ οὖς. κἀκεῖνος μέγα τι καὶ γοερὸν μυκησάμενος, καὶ τρόμῳ συνδινηθεὶς, καταπέπτωκε καὶ τέθνηκεν. ηὔχουν ἐπὶ τούτῳ οἱ Ἰουδαῖοι, τὸ

Ὅτι ἐν ὕπνῳ φανέντες τῷ βασιλεῖ [illegible]

Περὶ τῶν Ἰουδαίων καὶ τῆς πρὸς αὐτοὺς διαλέξεως τοῦ ἁγίου Σιλβέστρου, καὶ τοῦ ὑπ' αὐτοῦ θαύματος.

ualetudinem non aliter recuperaturum, quàm si in sanguine infantium adhuc uaporante lauisset. Statim igitur ex omni Imperio collectis infantibus, cædis die constituta, Imperator dum in Capitolium, sanguine puerorũ loturus ascendit, matres illorum lugubribus uocibus eiulantes audit, quæ sit fletus causa rogat. eaq; cognita, uelut ab ebrietate experrectus: Facinoris, inquit, impietas est euidens, euentus incertus. Qui si uel exploratissimus esset, præstaret tamẽ me cõflictari morbi molestijs, q̃ tot infantibus ad necẽ damnatis, gladio doloris matrũ animos diuerberare. His dictis recessit, & matribus suos reddi liberos iussit: addita pecunia, ut lætitia dolorẽ non tantũ æquaret, sed duplo etiam uinceret: nõ filijs tantũ restitutis, sed pecunia quoq; data. His peractis, noctu ei astare uisi sunt duo uiri, qui se Petrũ & Paulũ esse, Christi apostolos, profitentes, dicerẽt, si et corporis & animi sanitatẽ consequi uellet, Syluestrũ episcopũ esse accersendũ, qui & luem corporis depulsurus esset, & uitã interitus expertẽ communicaturus. Experrectus imperator, Episcopum seuerenter accersi iubet, atq; ad S. Siluestrũ: Dic mihi, inquit, Episcope, an Deos colatis, qui Petrus & Paulus nominant? Respõdet ille: Vnus à nobis Deus agnoscit: Petrus aũt & Paulus, sunt eius famuli & ministri. Tum Imperator narrato ei somnio, arcanis nostræ religionis instruit, baptizat, & è sanctissimo illo balneo sanus & integer ascendit: Christianis securitatẽ per pręcones denunciat: templa eorũ aperiri, & noua condi permittit: ac uicissim, fanis ficticiorũ deorũ clausis, impunè Christianismũ quoslibet amplecti sinit. Nam se uim quidẽ facturum esse nemini: qui uerò ultrò ad Christũ se cõtulissent, eos se laudare profitebat. Sic ille fidẽ Christianã suscepit, Euãgelico præconio inualescẽte, & Christiani nominis hominib. adẽpto metu. Cæterũ Iudæi matrẽ Imperatoris aggressi, deceptũ eum esse asserũt, et pio facto facinus impium adiunxisse. simulacrorũ destructionẽ, rem piam: fidem in Christum, impiam nominãtes. Solum enim eum uerum esse Deum, quem ipsi colerẽt: Iesum autem, nefarij illi, hominẽ maleficum, & præstigiatorẽ uocitabant. Mater hæc ad Imperatorẽ refert. Is decreuit, ut Iudæi qui ista asserant, se & delectis è senatu quibusdam audientibus, cum Siluestro episcopo Romano & Christianis disputẽt, quò cognoscat, quid nam à Iudæis afferatur. Disputatum est, uictoria ad Siluestrum inclinare uisa. Tum Iudæi Siluestrum differendi acumine superiorem esse dicentes, signorũ ostentationem postulabãt. Atque adeò quidam ex eis impostor, nomine Zambres, bouẽ afferri iubebat, in quo sui Dei potentiam se demonstraturum asserebat. Adducitur bos, accedit Zambres, insusurrat ei aliquid in aurem: ille magno & lamentabili mugitu edito, cum tremore & uertigine circum actus, cõcidit mortuus. Ea re gloriabãtur Iudęi,

Iupiter Capitolinus infanticidiũ Constantino suadet.

Sylvester Romanus episcopus Constãtini lepram curat, & Christianismum ei tradit.

Iudæorum & Christianorum sub Constantino disputatio Romæ.

Sylvester bouem à Zãbre Iudæo necatum resuscitat.

 Dei

Dei sui nomen nõ cæpisse aures illius, dicẽtes. Quid uerò, inquit Syluester, qui id bestiæ dicit in aurem, uerba sua non audit? cur & ipse non moritur? Ibi Zambres: Iam nihil, inquis, opus est argutijs, & probabilitate uerborum, sed factis, episcope. Si ergo taurum istum à se neci datum, Syluester ait, ipse Christi nomine in uitam reuocaro: non maius quiddam præstitisse, & magnam demonstrasse Christi potentiam uidebor? Assentitur ille, & per salutem Imperatoris statim iurat, si taurum reuixisse uideret, se confessurum Christum esse Deum. Syluester autem oculis in cœlum defixis, & Domino inuocato, prope taurum astat, sublataq; uoce clamat: Si Deus uerus est, quem ego annuncio Christum, Surge taure, ac pedibus tuis insistito. Statim taurus sese commouens, exilit. Qui aderãt, magnum esse Syluestri Deum, exclamare: Iudæi miraculo perculsi, ad pedes uiri sancti accidere, petere ut placaret sibi Deũ, & baptismum impertiretur. Inclyta uerò Imperatoris mater, nondum instituta, erudiri se & baptizari flagitare: ac uoti compos facta, uero Deo agnito, loca quæ formosi Christi pedes, quippe pacem annunciare soliti, perambulassent, spectare cupere. Ascito igitur D. Syluestro comite, Hierosolyma proficiscitur: & sepulchro Domini adorato, & sancta cruce inuenta, cui Deus noster corpore suo affixus fuerat, & fanis magno sumptu extructis, ad filium reuertitur. Suscepit Imperator è Fausta, filia Maximiani, tres filios, Constantinum, Constantium & Constantem: ac filiam Helenam, quæ Iuliano postea nupsit. Habuit & è concubina filium natu maximum Crispum, qui Liciniano bello multa fortiter fecerat. Eum Fausta nouerca, insano amore correpta, cum ad concubitum pellicere nequiuisset: apud patrem detulit, ut à quo adamaretur, sua pudicitia sæpe sollicitata. Ob id crimen, capitis Crispum damnat pater, coniugi obsecutus. Sed deinde ueritate cognita, de ipsa quoque, cùm ob impudicitiam, tum propter filij cædem, pœnas sumis. Nam in balneum uehementer calefactũ introducta, æstu præfocatur. Cum autẽ Sarmatæ & Gothi prouincias Romanas inuasissent, & Thraciæ partes uastarent: Constãtinus Maximus cõtra eos insurgit, ac Thracia occupata, commissoq; prælio uictis Barbaris, splendidissimũ triumphum consequitur. Vrbem porrò ex oraculo de suo nomine conditurus, primùm in Sardica extruere in animo habuit, deinde in Sigæo promontorio Troadis, ubi etiam fundamenta iecisse fertur. Denique Chalcedone opere inchoato, aquilas deuolasse memorant, fabrorumq; funiculos raptos, freto superato, iuxta Byzantium deiecisse. Quod sæpius factum, & Imperatori nunciatum, cum non temerè esse, sed à numine portendi aliquid uideretur: ipse Byzantium se confert, locum contemplatur, probat, mutat consilium, fabros Chalcedone illuc transfert, urbem

Helena Hierosolymis sanctã crucem reperit.

Faustæ & Crispi priuigni eius interitus.

Sarmatæ & Gothi profligati.

Constantinopolis ædificatio.

τὸ τοῦ σφετέρου θεοῦ ὄνομα μὴ εἰσενεγκεῖν λέγοντος τὴν ἀκοὴν τὸ ζῶον. τί δαί, φησὶν ὁ Σίλβεστρος, ὁ λέγων τοῦτο τῷ ζώῳ πρὸς τὸ οὖς, οὐκ ἀκούει τῶν λεγομένων; πῶς οὖν οὐ θνήσκει κἀκεῖνος; καὶ ὁ Ζαμβρῆς, οὐ λόγων, ἔφη, στροφῆς τε καὶ πιθανότητος χρεία, ἀλλ' ἔργων, ἐπίσκοπε. εἰ οὖν τὸν πρὸς ἐμοῦ νεκρωθέντα ταῦρον, ὁ Σίλβεστρος εἶπε, ζωώσω αὐτὸς τῇ τοῦ Χριστοῦ ἐπικλήσει, οὐκ ἂν ἦ μᾶλλον δόξω ποιεῖν, καὶ μεγάλην ἀποδείξω τὴν δύναμιν τοῦ Χριστοῦ κἀκεῖνος κατίδοι· καὶ κατὰ τῆς σωτηρίας τοῦ βασιλέως εὐθὺς ἐξωμόσατο, εἰ τὸν ταῦρον ἴδοι ἀναβιώσαντα, τὸν Χριστὸν ὁμολογῆσαι θεόν. καὶ ὁ Σίλβεστρος εἰς οὐρανὸν ἀτενίσας, καὶ τὸν κύριον ἐπικαλεσάμενος, ἔστη τοῦ ταύρου ἐγγύς, καὶ τὴν φωνὴν ἐπάρας, εἰ ὄντως ἐστὶν ὁ θεὸς ἀληθὴς ὃν ἐγὼ κηρύττω Χριστόν, ἔγειραι ταῦρε, καὶ στῆθι ἐπὶ τοὺς πόδας σου. αὐτίκα γοῦν κινηθεὶς ὁ ταῦρος, ἀνέθορε. καὶ οἱ παρόντες, μέγας ὁ τοῦ Σιλβέστρου θεός, ἐξεβόησαν· οἱ Ἰουδαῖοι δὲ καταπλαγέντες τῷ θαύματι, τοῖς ποσὶ τοῦ ἁγίου προσέπιπτον, καὶ ἱκέτευον ἱλεώσασθαι αὐτοῖς τὸν θεόν, καὶ τοῦ θείου σφᾶς ἀξιῶσαι βαπτίσματος. καὶ ἡ Ἑλένη δὲ ἡ τοῦ βασιλέως μήτηρ, ἀμύητος οὖσα, ἠξίου μυηθῆναι καὶ βαπτισθῆναι. τυχοῦσα τοίνυν τοῦ ἐφετοῦ, καὶ τὸν ἀληθῆ ἐπιγνοῦσα θεόν, τοὺς τόπους οὓς οἱ ὡραῖοι πόδες Χριστοῦ, ὡς εἰρήνην εὐαγγελιζόμενοι, διώδευσαν, θεάσασθαι ἐπεθύμησε. καὶ συμπαραλαβοῦσα τὸν θεσπέσιον Σίλβεστρον, εἰς Ἱεροσόλυμα παραγίνεται· καὶ τὸ τοῦ κυρίου προσκυνήσασα μνῆμα, καὶ τὸν θεῖον εὑροῦσα σταυρόν, ἐν ᾧ προσεπάγη σωματικῶς ὁ θεὸς ἡμῶν, ναούς τε δειμαμένη πολυτελεῖς, πρὸς τὸν υἱὸν καὶ βασιλέα ἐπανελήλυθεν. υἱοὺς δὲ ἐκ Φαύστης ὁ βασιλεὺς τῆς τοῦ Μαξιμιανοῦ θυγατρὸς ἐγέννησε τρεῖς, Κωνσταντῖνον, καὶ Κωνστάντιον, καὶ Κώνσταντα. καὶ θυγατέρα Ἑλένην, ἣ τῷ Ἰουλιανῷ συνῴκησεν ὕστερον. εἶχε δὲ καὶ ἐκ παλλακῆς υἱὸν ἕτερον, Κρίσπον καλούμενον, τῶν ἄλλων αὐτοῦ υἱῶν πρεσβύτερον, ὃς καὶ παρὰ τὸν πρὸς Λικίνιον πόλεμον πολλάκις ἠρίστευσε. τούτῳ ἡ μητρυιὰ Φαῦστα ἐπιμανεῖσα ἐρωτικῶς, ἐπεὶ μὴ ὑπείκοντος ἐκείνου ἐτύγχανε, κατεῖπε πρὸς τὸν πατέρα, ὡς ἐρῶντος αὐτῆς, καὶ βιάσασθαι πολλάκις ἐπιχειρήσαντος. διὸ καὶ θάνατον ὁ Κρίσπος παρὰ τοῦ πατρὸς κατεκρίθη, πεισθέντος τῇ γαμετῇ. ὡς δὲ ἔγνω μετέπειτα ὁ αὐτοκράτωρ τὸ ἀληθές, καὶ τὴν γυναῖκα ἐκόλασε, διά τε τὸ ταύτης ἀκόλαστον, καὶ τὸν φόνον τὸν τοῦ παιδός. εἰσαχθεῖσα γὰρ ἐν λουτρῷ ἡ Φαῦστα σφοδρῶς ἐκκαυθέντι, ἐκεῖ τὴν ζωὴν βιαίως ἀπέῤῥηξε. Σαυροματῶν δὲ καὶ Γότθων κατὰ τῶν Ῥωμαϊκῶν ἐπαρχιῶν κινουμένων, καὶ τὴν Θρᾳκῶν μοῖραν ληϊζομένων, ἀνίσταται κατ' αὐτῶν Κωνσταντῖνος ὁ μέγιστος. καὶ τὴν Θρᾴκην καταλαβών, τοῖς βαρβάροις συῤῥήγνυται, καὶ κατ' αὐτῶν ἵστησι λαμπρότατον τρόπαιον. κατὰ δὲ θεῖον χρησμὸν βουληθεὶς ἀνεγεῖραι πόλιν, ἣν αὐτὴν ἐπὶ τῷ οἰκείῳ καλέσοι ὀνόματι, πρότερον μὲν ἐν Σαρδικῇ κτίσαι ταύτην προὐθετο, εἶτα ἐν Σιγαίῳ (τὸ δὲ τῆς Τρῳάδος ἐστὶν ἀκρωτήριον) ἔνθα καὶ θεμελίους αὐτὴν καταβαλέσθαι φασί. καὶ αὖθις ἐν Χαλκηδόνι τὴν πόλιν ἤρξατο ἀνιστᾶν. λέγεται δὲ καθίπτασθαι ἀετούς, καὶ τὰ τῶν οἰκοδόμων ἁρπάζειν σπαρτία, τὸ μεταξὺ δὲ διιπταμένους πορθμόν, ῥίπτειν αὐτὰ κατὰ τὸ Βυζάντιον. τούτου γοῦν πολλάκις γινομένου, ἀπηγγέλη τῷ βασιλεῖ, καὶ οὐκ ἐδόκει τυχαίως γίνεσθαι τὸ γινόμενον, ἀλλά τι διὰ τούτου τὸ θεῖον παραδηλοῦν. ἐφίσταται γοῦν αὐτὸς τῷ Βυζαντίῳ ὁ αὐτοκράτωρ, τὸν τόπον κατασκοπῶν, ἀρέσκεται, μετατίθησι τὴν σκοπὴν, μετάγει τοὺς τεχνίτας ἐκ Χαλκηδόνος ἐκεῖ, τὴν

περὶ τῆς εὑρέσεως τοῦ τιμίου σταυροῦ.

περὶ τῶν παίδων τοῦ μεγάλου Κωνσταντίνου, καὶ ὅπως ἀνεῖλε τὸν υἱὸν αὐτοῦ Κρίσπον, διαβληθέντα τῷ πατρὶ, ἀναιτίως.

ὅπως τοὺς Σαυρομάτας καὶ τοὺς Γότθους ἐνίκησεν.

περὶ τῆς κτίσεως Κωνσταντινουπόλεως. καὶ ὅθεν τὸ Βυζάντιον.

τὴν πόλιν φιλοτίμως οἰκοδομεῖ, Κωνσταντινούπολιν αὐτὴν ἐπὶ τῷ ὀνόματι τῷ οἰκείῳ καλεῖ, καὶ ἀνατίθησιν αὐτὴν τῇ θεοτόκῳ καὶ θεομήτορι. ἄγει δὲ ἀπαρτισθείσης τῆς πόλεως, κατὰ τὴν ἑνδεκάτην τοῦ Μαΐου μηνός, τελεῖ τὰ ταύτης γενέθλια ἢ ἐγκαίνια, ἔτους ἐνισταμένου πεντακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ ὀγδόου. ὅτε, ὥς τινες ἱστορήκασι, τὸν ἀστρονόμον κελεύσας Οὐάλεντα, τῶν τότε περὶ τὴν τέχνην ταύτην ἐσχολακότων τὸν ἀκριβέστερον, ἐκέλευσεν ἀπὸ τῶν γενεθλίων τῆς πόλεως συστῆσαι θεμάτιον, ἵν᾽ ὁπόσους μέλλει διαμεῖναι αὕτη χρόνους γνοίη. ὁ δέ, ὡς ἑξακοσίους καὶ ἐνενήκοντα πρὸς τοῖς ἓξ ἐνιαυτοὺς διαρκέσειν αὐτὴν ἀπεφοίβασεν· οἳ παρῆλθον καὶ παρερρυήκασι πρὸ πολλοῦ. ἢ γοῦν ἐψευσμένην ὑποληπτέον τὴν τοῦ Οὐάλεντος πρόρρησιν, καὶ διημαρτημένην τὴν τέχνην. ἢ ἐκεῖνα νομιστέον ἐκεῖνον ἀπαριθμῆσαι τὰ ἔτη, ἐν οἷς τὰ τῆς πολιτείας ἐτηρεῖτο ἔθη, καὶ ἡ κατάστασις, καὶ ἡ γερουσία τετίμητο, καὶ οἱ ταύτης ὑπῆρχον πολῖται, καὶ ἔννομος ἦν ἐπικράτεια, τὸ κράτος δὲ τὸ βασίλειον· ἀλλ᾽ οὐκ ἄντικρυς τυραννίς, ἴδια τὰ κοινὰ τῶν κρατούντων λογιζομένων, καὶ ἐς οἰκείας ἀπολαύσεις χρωμένων αὐτοῖς· καὶ τούτων φίλοις ἐκ δυναστῶν, καὶ δωρουμένων οἷς βούλονται τὰ δημόσια, καὶ οὐ ποιμένων τρόπον τοῖς ὑπηκόοις προσφερομένων, κειρόντων τὸ περιττὸν τῆς τριχός, καὶ πεφεισμένως ἐμφορουμένων τοῦ γάλακτος, ἀλλὰ δίκην λῃστῶν αὐτὰ κατατυόντων τὰ πρόβατα, καὶ τῶν σαρκῶν ἐμφορουμένων, ἢ καὶ αὐτοὺς ἐκμυζώντων τοὺς μυελούς. ἡ μὲν οὖν πόλις οὕτω παρὰ τοῦ εὐσεβοῦς ἐκείνου βασιλέως ᾠκοδόμητο, κατὰ τὸ πάλαι Βυζάντιον. τὸ δὲ Βυζάντιον πόλις καὶ πρώην ἐτύγχανεν, οὐ τῶν ἀνωνύμων οὐδὲ τῶν ἀσήμων, ἀλλὰ καὶ πλήθει πολιτῶν εὐθηνουμένη, καὶ πλούτῳ, καὶ ἀνδρῶν γενναιότητι, καὶ τειχῶν ὀχυρότητι, καὶ τοσοῦτον, ὡς ἐπὶ τρεῖς ἐνιαυτοὺς ἐπὶ Σευήρου, τοῦ ἐν Ῥώμῃ τῇ παλαιᾷ βασιλεύσαντος, παρὰ Ῥωμαίων πολιορκηθῆναι, καὶ πολλὰ παρὰ τῶν πολιορκούντων ὑποστῆναι αὐτούς, ὡς ἐν τοῖς περὶ Σευήρου προϊστόρηται. περὶ δὲ τῆς τῶν Βυζαντίων δυνάμεως, καὶ τῆς τῶν τειχῶν ὀχυρότητος, ταῦτα ὁ Δίων ἐν τοῖς περὶ Σευήρου φησί· τεῖχος δὲ τὸ Βυζάντιον καρτερώτατον εἶχεν· ὅ,τε γὰρ θώραξ αὐτῶν λίθοις τετραπέδοις παχέσι συνῳκοδόμητο, πλαξὶ χαλκαῖς συνδεδεμένοις, καὶ τὰ ἐντὸς αὐτῶν καὶ χώμασι καὶ οἰκοδομήμασιν ὠχύρωντο, ὥστε καὶ ἓν τεῖχος παχὺ τὸ πᾶν εἶναι δοκεῖν. πύργοι τε πολλοὶ καὶ μεγάλοι ἔξω περικείμενοι, καὶ θυρίδας πέριξ ἐπαλλήλους ἔχοντες ἦσαν. καὶ τὰ μὲν πρὸς τὴν ἤπειρον τείχη, ἐς μέγα ὕψος ἦρτο. τὰ δὲ πρὸς θάλασσαν, ἧττον ὑψοῦτο, οἵ τε λιμένες ἐντὸς τείχους ἀμφότεροι κλειστοὶ ἁλύσεσιν ἦσαν, καὶ αἱ χηλαὶ αὐτῶν πύργους ἐφ᾽ ἑκάτερα πολὺ προέχοντας ἔφερον. πλοῖα δ᾽ ἦσαν τοῖς Βυζαντίοις πεντακόσια· τὰ μὲν πλεῖστα, μονήρη· ἔστι δ᾽ ἃ καὶ δίκροτα, καὶ τινα αὐτῶν καὶ ἐκ τῆς πρώρας καὶ ἐκ τῆς πρύμνης πηδάλια εἶχον, καὶ κυβερνήτας· ναύτας τε διπλοῦς εἶχον, ὅπως καὶ ἐπιπλέωσι καὶ ἀναχωρῶσι μὴ ἀναστρεφόμενοι, καὶ τοὺς πολεμίους ἔν τε τῷ προσπλεῖν καὶ ἐν τῷ ἀποπλεῖν αὐτῶν σφάλλωσι. πρὸς τούτοις ἐπάγει ὁ Δίων, ὡς ἑπτὰ ἀπὸ τῶν Θρᾳκίων πυλῶν πύργοι καθήκοντες πρὸς τὴν θάλασσαν ἦσαν· τούτων δὲ εἰ μέν τις ἄλλῳ τῳ προσέμιξεν, ἄσυχος ἦν. εἰ δὲ δή τι τῷ πρώτῳ τι φθέγξαιτο, ἢ καὶ λίθον προσρίψειεν, αὐτός τε ἐλάλει ἔκ τινος μηχανῆς, καὶ τῷ δευτέρῳ τὸ αὐτὸ παρεδίδου ποιεῖν· καὶ οὕτω διὰ πάντων ὁμοίως ἐχώρει, οὐδὲ ἐπετάραττον ἀλλήλους, ἀλλ᾽ ἐν τῷ μέρει πάντες παρὰ τοῦ πρὸ αὐτοῦ ὁ ἑξῆς τήν τε φωνὴν καὶ τὴν ἠχὴν διεδέχοντο,

περὶ τοῦ ὑπὸ τῷ γενεθλίῳ τῆς πόλεως γενομένου θεματίου.

περὶ τοῦ Βυζαντίου, καὶ ἃ ὁ Δίων περὶ αὐτοῦ ἱστορεῖ.

urbem studiose condit, à se Constantinopolim uocat, & matri Dei cõsecrat. Vrbe ad XI mensis Maij absoluta, natalem eius seu dedicationem celebrat, anno ab orbe condito quinquies millesimo, octingentesimo, trigesimo octauo: cum, ut quidam tradidere, Valentem, Mathematicorum eius ætatis principem, natalicium urbis thema constituere iussit, ut cognosceret, quot annos duratura esset. Respondet ille, sexcentos nonaginta sex. qui cum iam olim sint elapsi, nimirũ aut falsa putanda est Valentis prædictio, & ars erroris haud expers: aut illi anni intelligendi erunt, quibus instituta Reipublicæ ac status conseruabantur, dum suus erat honos senatui, dum ciues sub legitima Imperij potestate florebant, non autem manifesta tyrannis dominorum, publica sibi pro priuatis uendicabat, & ad suas uoluptates conferebat, easque parum interdum honestas, publica quibusuis donãdo, nec pastorũ instar subditos tractando, lana superuacua detondenda, & lacte parcè bibendo: sed prædonum instar oues mactando, & carnes deuorando, aut ipsas medullas exugendo. Sic urbs à pio illo Imperatore in ueteris Byzantij solo cõdita est. Byzantium autem prius etiam urbs fuit haud obscura, neque ignobilis, sed & frequentia ciuium florens, & opibus, & uiris fortibus, & mœnibus permunitis, adeò ut sub Seuero, qui uetere Roma imperabat, per triennium à Romanis obsideretur, ac multa tolerarent ciues, sicut suprà in Seuero narrauimus. Dion item de Byzantiorum potentia, & murorum firmitate, in Seuero adhũc scribit modum: Byzantium mœnia habuit robustissima. Nam frons eorum lapidibus quadratis crassis constructa erat, & laminis ferreis colligata: interiora & aggeribus & ædificijs munita erant, ut omnia unus crassus murus esse uiderentur. Inerant & multæ magnæ turres foras prominentes, & crebris fenestris adornatæ. Pars continenti obuersa, ad magnam exurgebat altitudinem: quæ mare spectabat, humilior erat, & portus uterque intra mœnia catenis claudi poterat, eorumque brachia utrinque turres multum eminentes sustinebant. Nauigia uerò habebant Byzantij quingenta, pleraque solitaria: quasdam etiam biremes, quarum nonnullæ & in prora & in puppi gubernaculis & gubernatoribus exornatæ erant, & duplis nautis, ut & accedere & recedere possent, nauibus non conuersis, & hostes tam in recessu quàm accessu uexarẽt. Adijcit Dion, VII turres à Thracia porta ad mare pertinuisse, quarum si quis aliam attigisset, tacita fuerit: sin in primam aliquid inclamasset, aut lapidem coniecisset, eam per machinam quandam resonuisse, & eundem sonũ proximæ tradidisse, donec omnes peruasisset: neque tamen aliam ab alia turbatam, sed per uices ab omnibus uocem & sonum exceptum. Ac

Valẽtis Mathematici præsagium de urbe.

Querela de suorum temporum tyrannide.

Byzantij ueteris ex Dione descriptio.

Ac talis olim Byzantina urbs fuit: sed inclytus Constantinus eam in immensum auxit, templa inaedificauit, & multis rebus adornauit: denique teretem illam columnam porphyreticam, Roma, ut ferunt, allatam, in foro lapideis tabellis instrato, unde a Graecis Placoton nominatur, erexit: iuxtaque simulacrum aeneum, tum artificio mirabili antiquae manus pene uiuentis instar expressum, tum magnitudine insigni spectabile dedicauit. Eam statuam Apollinis esse ferunt, Ilio Phrygiae translatam. Sed diuinus Imperator ille, suum illi nomen indidit, clauis quibusdam capiti insertis, qui corpus Domini salutiferae cruci affixerant. Ea ad nostram quoque aetatem permansit integra, columnae insistens. sed sub Alexio Comneno uehementis uenti impetu deiecta concidit: nec ipsa solum comminuta est, sed multos etiam, qui casu illic erant, contriuit. Palladium item Troia in forum Placotum transtulit. Ita Constantinus Magnus cum alijs multis urbem adornauit: tum Byzantium, quod prius Thraciae Heracleae episcopatus erat, a Seuero Perinthijs post captiuitatem subiectum, ut in Seuero expositum est, in patriarchatus dignitatem restituit: Romae ueteri ob aetatis praerogatiuam, & imperium in hunc translatum, principatu relicto. Erat eo tempore Byzantij episcopus Metrophanes, uir sanctissimus, filius Domitij (frater is fuit Probi Imperatoris) qui ob Christianae religionis professionem, Roma Byzantium profectus, in Episcopatus speculam euectus est. Post quem Probus alter, filius huius, pontificium thronum conscendit. Ei Metrophanes frater successit. Sub hoc imperatore, Arius Alexandrinae ecclesiae sacerdos, celebrabatur, qui Dei filium & Verbum creaturam dicere non dubitauit: & alterius esse naturae, nec patri coaeternum. nec ipse tamen autor huius sectae extitit, sed Origenes: qui praeter plurimas alias peruersas opiniones, etiam unigenitum Dei filium, conditum esse, & a natura paterna diuersum, affirmauit: nec uidere posse patrem, quemadmodum nec ipse uideri possit a spiritu. quae deliramenta ex improbo cordis sui thesauro eructat. Verum ea in solis chartis iacebant, tecta silentio, necdum uulgata. Sed Arius in conspectu protulit, & in tectis praedicauit, multis ad impietatem pertractis, & Ecclesijs tumultu ac dissensionib. impletis. Qua re cognita religiosiss. Imperator, prouinciarum episcopos Niceae Bithyniae urbe conuenire iussit. Congressis igitur CCCXVIII sanctis patrib. inter quos & sacerdotes nonnulli fuere, & diaconi, atque etiam monachi: quin & Magnus Athanasius, adhuc in classe diaconorum constitutus, illic aderat: ipse etiam Christianiss. Imperator Nicaeam uenit, & sanctis patrib. assedit, & inquirere iussit, quid diceret Arius, ac

Apollinis statua. — *Constantinopolitanus patriarchatus.* — *Metrophanes. Domitius. Probus.* — *Arius haeresis.* — *Origenes haeresiarcha.* — *Nicaenum concilium damnat Arium.*

τοιαύτη μὲν οὖν τὸ Βυζάντιον πάλαι ἡ πόλις ἐτύγχανεν· ὁ δὲ ἀοίδιμος Κωνσταντῖνος πολλαπλασίαν αὐτὴν ἀπειργάσατο. καὶ ναοὺς δὲ πρὸς αὐτὴν ἐν αὐτῇ καθιδρύσατο, καὶ πολλὰ πρὸς κόσμον ταύτης γεγόνασιν. ἀνέστησε δὲ καὶ ὁ κυλινδρικὸς κίων ὁ πορφυροῦς, ὃν ἐκ Ῥώμης (ὡς λόγος) κομισθέντα, κατὰ τὴν ἀγορὰν ἔστησεν, ἣ κατέστρωται λιθίναις πλαξίν, ἀφ᾽ ὧν καὶ Πλακωτὸν ὠνόμασται, καὶ ἐπ᾽ αὐτοῦ χάλκεον ἵδρυσεν ἄγαλμα θαῦμα ἰδέσθαι, διά τε τὴν τέχνην, διά τε τὸ μέγεθος. τὸ μὲν γὰρ παλαιὸν ἦν, ἡ δὲ ἀκρίβεια ἐδείκνυ χειρὸς ἀρχαίας μικροῦ πλαττούσης καὶ ἔμπνοα· λέγεται δὲ καὶ Ἀπόλλωνος εἶναι τὸ ἄγαλμα, καὶ μετενεχθῆναι ἐκ τῆς ἐν τῇ Φρυγίᾳ πόλεως τοῦ Ἰλίου. ὁ δὲ θειότατος αὐτοκράτωρ ἐκεῖνος εἰς οἰκεῖον ὄνομα τὸ ἄγαλμα ἔστησε, τῇ κεφαλῇ αὐτοῦ τινὰς τῶν ἥλων ἐναρμοσάμενος, οἳ τὸ σῶμα τοῦ κυρίου προσεπασσάλευσαν τῷ σωτηρίῳ σταυρῷ, ὃ καὶ μέχρις ἡμῶν διάρκεσεν ἐπὶ τοῦ κίονος ἑστηκός. πέπτωκε δὲ βασιλεύοντος Ἀλεξίου τοῦ Κομνηνοῦ, ἀνέμου πνεύσαντος βιαίου τε καὶ σφοδροῦ. κἀκεῖνό τι συντέτριπται, καὶ πολλοὺς τῶν ἐκεῖ παρατυχόντων συνέτριψε· καὶ τὸ Παλλάδιον δὲ ἐκ τῆς Τροίας μετήνεγκε, καὶ ἐν τῇ Πλακωτῇ κατὰ τὴν ἀγορὰν ἔστησεν. ἄλλοις τε οὖν, ὡς εἴρηται, πολλοῖς τὴν πόλιν ὁ μέγας Κωνσταντῖνος ἐκόσμησε, καὶ πρότερον ἐπισκοπὴν ὂν τὸ Βυζάντιον τῆς Θρᾳκικῆς Ἡρακλείας, ὡς ὑπὸ Σεβήρου τοῖς Περινθίοις ὑποτεθὲν μετὰ τὴν ἅλωσιν, ὡς ἐν τοῖς περὶ Σεβήρου ἱστόρηται, εἰς τιμὴν ἀνήγαγε πατριαρχικὴν, τῇ πρεσβυτέρᾳ Ῥώμῃ τὰ πρεσβεῖα τηρήσας, διὰ τὴν πρεσβυγένειαν, καὶ τὸ ἐκεῖθεν τὴν βασιλείαν ἐνταῦθα μετενεχθῆναι. ἦν δὲ τότε τοῦ Βυζαντίου ἐπίσκοπος Μητροφάνης ὁ ἱερώτατος, υἱὸς Δομετίου, ἀδελφοῦ Πρόβου τοῦ βασιλέως γενόμενος, ὅσπερ δὴ Δομέτιος ἐξ ἀπιστίας εἰς πίστιν μετενεχθείς, καὶ διὰ τοῦτο τὴν Ῥώμην λιπών, εἰς τὸ Βυζάντιον παρεγένετο, καὶ εἰς τὴν τῆς ἐπισκοπῆς ἀνήχθη περιωπήν. μεθ᾽ ὃν Πρόβος υἱὸς αὐτοῦ ἕτερος εἰς τὸν ἀρχιερατικὸν αὐτὸν ἱδρύεται θρόνον, ὃν Μητροφάνης ὁ ἀδελφὸς διεδέξατο. ἐπὶ τούτου τοῦ αὐτοκράτορος, καὶ ὁ Ἄρειος, τῆς ἐν Ἀλεξανδρείᾳ ἐκκλησίας ἱερεύς, ἐγνωρίζετο, κτίσμα τολμήσας εἰπεῖν τὸν υἱὸν τοῦ θεοῦ καὶ λόγον, καὶ οὐσίας ἑτέρας, καὶ οὐ συναΐδιον τῷ πατρί, οὐκ αὐτὸς γεννήτωρ τῆς αἱρέσεως γεγονώς. πρῶτος μὲν γὰρ Ὠριγένης πρὸς ἄλλαις πλείσταις δόξαις διεφθαρμέναις, καὶ τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ, κτιστὸν καὶ ἀλλότριον εἶναι τῆς οὐσίας τῆς πατρικῆς εἰσηγήσατο. καὶ μὴ δυνάμενον ὁρᾶν τὸν πατέρα, καὶ αὐτὸν δὲ τὸν υἱὸν ἀόρατον τυγχάνειν αὐτῷ τῷ πνεύματι· ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ ἐξερευγόμενος ταυτὶ τὰ ἀπόφημα, ἀλλ᾽ ἔκειντο ἐν μόνοις γράμμασι κείμενα, σεσιγημένα τε, καὶ οὔπω δεδημοσιευμένα· ὁ Ἄρειος δέ, εἰς προῦπτον ταῦτα προενήνοχε. καὶ ἐπὶ τῶν δωμάτων ἐκήρυξε. καὶ πολλοὺς εἰς ἀσέβειαν ὑπεσκέλισε, θορύβων τε καὶ σχισμάτων τὰς ἐκκλησίας ἐνέπλησεν. ὃ γνοὺς ὁ εὐσεβέστατος βασιλεὺς ἐκεῖνος, ἐν Νικαίᾳ τῆς Βιθυνῶν συνελθεῖν τοὺς τῶν ἐπαρχιῶν ἐπισκόπους ἐκέλευσε, καὶ ἀθροισθέντων τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων, ἐν οἷς ἦσαν καὶ ἱερεῖς τινες καὶ διάκονοι, ἀλλὰ μὴν τινὲς καὶ μοναχοί. ὅτι καὶ ὁ μέγας Ἀθανάσιος ἐκεῖ παρῆν τῷ τῶν διακόνων ἔτι καταλεγόμενος ὢν τάγματι. καὶ αὐτὸς ὁ χριστιανικώτατος βασιλεύς, ἀφίκετο πρὸς τὴν Νίκαιαν, καὶ συγκαθίσας τοῖς ἱεροῖς πατράσιν ἐκείνοις, ἐπέτρεψε ζητῆσαι τὰ παρὰ τοῦ Ἀρείου λεγόμενα,

περὶ τοῦ ἐν τῷ πλακωτῷ κίονος, καὶ τοῦ ἐπ᾽ αὐτῷ ἀγάλματος. — *περὶ τοῦ κωνσταντινουπόλεως θρόνου ἱερὸν τῆς ῥώμης.* — *περὶ τοῦ ἁγίου μητροφάνους.* — *περὶ ἀρείου καὶ τῆς κακοδοξίας αὐτοῦ.* — *περὶ τῆς ἐν νικαίᾳ πρώτης συνόδου.*

καὶ

καὶ διαγνῶναι, εἴ τι τῆς ὀρθῆς ἐκκλίνοι δόξης. οἱ δὲ, καὶ ζητήσαντες, καὶ ἀκριβῶς διερευνήσαντες, τὸν μὲν υἱὸν ὁμοούσιον καὶ ὁμότιμον καὶ συναΐδιον ἐδογμάτισαν τῷ πατρί. τὸν ἄρειον δὲ καὶ σὺν ὁμόφρονας ἐκείνῳ, τῆς τῶν ὀρθοδόξων ὁμηγύρεως διεκήρυξαν. ἦν δὲ τότε τῶν τὰ ἀρείου πρεσβευόντων, καὶ ὁ παμφίλου εὐσέβιος, τῆς ἐν παλαιστίνῃ καισαρείας τυγχάνων ἐπίσκοπος, ὃς μετέπειτα λέγεται ἐκστῆναι τῆς τοῦ ἀρείου δόξης, καὶ συγγνωμονῆσαι τοῖς συναΐδιον τὸν υἱὸν καὶ ὁμοούσιον τῷ πατρὶ δογματίζουσι, καὶ δεχθῆναι παρὰ τῶν ἁγίων πατέρων εἰς κοινωνίαν. μᾶλλον μὲν τοι ἐν τοῖς πρακτικοῖς τῆς πρώτης συνόδου, καὶ ὑπέρμαχος εὕρηται τῶν πιστῶν. οὕτω μὲν οὖν ταῦθ' ἱστορούμενα παρά τισιν εὕρηται. ἀμφίβολα δ' ἐκεῖνος αὐτὰ δ' ἂν ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ εὕρηται συγγραψάμενος, τί δή; πολλαχοῦ γὰρ ἐν τοῖς εἰρημένοις συγγράμμασιν, ἀρειανίζων καταλαμβάνεται, αὐτίκα πρὸς που τὴν ἀρχὴν τοῦ βιβλίου τὸν δαβὶδ ἀνάγων λέγοντα· αὐτὸς εἶπε, καὶ ἐγενήθησαν. αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. φησὶ τὸν μὲν πατέρα καὶ ποιητὴν ὡς ποιητὴν καὶ ἡγεμόνα νομίζεσθαι βασιλικῷ προστάττοντα νεύματι. τὸν δὲ τούτου δευτερεύοντα θεῖον λόγον, ταῖς πατρικαῖς ὑπουργοῦντα ἐπιταγαῖς. καὶ μετά τινα λέγει αὐτὸν ὥσπερ τοῦ πατρὸς ὑπάρχοντα δύναμιν καὶ σοφίαν, καὶ τὰ δευτερεῖα τῆς κατὰ πάντων βασιλείας καὶ ἀρχῆς ἐμπεπιστευμένον. καὶ αὖθις μετ' ὀλίγα, καὶ ὅτι ἐστὶν οὐσία τις προκόσμιος ζῶσα καὶ ὑφεστῶσα, ἡ τῷ θεῷ καὶ πατρὶ τῶν ὅλων εἰς τὴν τῶν γενητῶν δημιουργίαν ὑπηρετησαμένη, καὶ ὁ σολομὼν λέγει προσώπῳ τῆς τοῦ θεοῦ σοφίας· κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, καὶ ἑξῆς. καὶ μεθ' ἕτερα πλείονα φάσκει· καὶ ἐπὶ πᾶσι τούτοις, οἷα θεοῦ λόγον προόντα καὶ πρὸ αἰώνων ἀπάντων οὐσιωμένον, τὴν σεβάσμιον τιμὴν παρὰ τοῦ πατρὸς εἰληφότα, προσκυνεῖσθαι ὡς ἂν θεόν. ταῦτα καὶ ἕτερα δὲ, τοῖς ἀρειανίζουσι δόγμασι δεικνύουσιν ὁμόφρονα τὸν εὐσέβιον, εἰ μή τις φαίη, πρὸ τῆς ἐπιστροφῆς αὐτοῦ πονηθῆναι τούτων τὴν συγγραφήν. ἡ μὲν οὖν ἁγία σύνοδος τὸ ὁμοούσιον καὶ συναΐδιον ἐπὶ τοῦ υἱοῦ δογματίσασα, καὶ τὸ θεῖον αὐτίκα τῆς πίστεως ἐξέθετο σύμβολον περὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ θεολογήσασα ἐν αὐτῷ. καὶ μέχρι τοῦ, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος, καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ τούτου τέλος ποιησαμένη. ἡ γὰρ περὶ τοῦ ἁγίου πνεύματος θεολογία, μετέπειτα προσετέθη ἐν τῇ δευτέρᾳ συνόδῳ τῆς περὶ τούτου γενομένης ζητήσεως, ἡ κατὰ μακεδονίου συνῆκτο. ὁ δὲ ἰσαπόστολος αὐτοκράτωρ ἐπὶ τῇ τῶν πατέρων ὁμονοίᾳ ἡσθεὶς, ἐδεξιοῦτο αὐτούς. καὶ τινῶν τῶν ὑπὲρ τῆς τοῦ σωτῆρος ὁμολογίας φερόντων τὰ στίγματα ἐν τοῖς σώμασιν, κατησπάζετο τὰ πεπηρωμένα τούτων μέλη καὶ μόρια. καὶ αὐτοὺς διὰ τὰς πηρώσεις αὐτῶν ἐμακάριζε. δοθέντων δὲ λιβέλλων αὐτῷ κατά τινων ἐπισκόπων, οὔτ' ἀνέγνω τούτους, οὔτ' εἰς ζήτησιν ἤγαγεν· ἀλλ' ἐνώπιον ἁπάντων, πυρὶ αὐτοὺς ἀπετέφρωσεν. ἐπειπὼν, ὅτι κἂν αὐτόπτης ἐγενόμην ἀρχιερέως τινὸς ἁμαρτάνοντος, τῇ πορφυρίδι μου ἂν αὐτὸν συνεκάλυψα. ἐκεῖθεν εἰς τὸ παρ' αὐτοῦ κτισθὲν βασίλειον ἄστυ τοὺς θείους ἐκείνους μεταγαγὼν πατέρας, καὶ τῆς ἐξ αὐτῶν εὐλογίας ἀξιώσας αὐτὸ, καὶ χειροτονηθῆναι παρασκευάσας ἐν αὐτῷ δεύτερον πατριάρχην, τὸν ἱερὸν ἀλέξανδρον (ὁ γὰρ ἀοίδιμος μητροφάνης μετήλλαξε τὴν ζωὴν) ἀφῆκεν ἕκαστον εἰς τὴν οἰκείαν ἀπελθεῖν παροικίαν,

περὶ εὐσεβίου τοῦ παμφίλου.

περὶ τοῦ ἁγίου συμβόλου.

ὅπως ἐτίμησεν τοὺς ἁγίους πατέρας ὁ βασιλεύς.

ὅτι τοὺς ἁγίους πατέρας ἔφερεν εἰς τὴν πόλιν, ἵνα ἀλέξανδρον χειροτονήσωσιν πατριάρχην.

ac dijudicare, nunquid à recta sententia aberraret. Illi cum inquisiuissent, & accuratè rem excussissent: filium eiusdem cum patre naturæ, dignitatis & æternitatis esse decreuerunt. Arium uerò cum suis sectatoribus è cœtu orthodoxorum, publico præconio eiecerunt. Arij sectam tum amplexabatur etiam Eusebius Pamphilus, Cæsareæ Palæstinæ episcopus, qui pòst desciuisse dicitur ab Ariana opinione. Alij consensisse cum ijs qui filium patri coæternum, eiusdemque naturæ esse docent, ac à sanctis patribus ad communionem receptum. In actis autem primi concilij, etiam acriter defendisse fideles traditur. Hæc sic à nonnullis exposita reperiuntur, quæ ipse in Ecclesiastica sua historia magis ambigua facit. In quo scripto sæpè cum Ario facere deprehenditur, ac statim in libri principio, Dauidem citans, Ipse dixit, & facta sunt: ipse mandauit, & creata sunt: ait, patrem & factorem, pro conditore ac duce uniuersi haberi, qui regio nutu imperet. Sed secundum ab eo diuinum uerbum patria exequi iussa. Post nonnulla item dicit: Huic, ut patris potentiæ & sapientiæ, secundas partes regni & imperij in omnes esse creditas. Et paulo pòst iterum: Ac esse naturam quandam, quæ ante mundum uixerit & substiterit, ac Deo & patri uniuersi in rerum factarum opificio ministrarit, & Solomon sub persona sapientiæ Dei ait: Dominus condidit me principium uiarum suarum, &c. Deinde post alia plura infert: Et super hæc omnia, sicut Dei uerbum, quod antè fuit, & ante secula omnia factum est, uenerabilem honorem à Deo patre adeptum, adorari tanquam Deum. Hæc & alia demonstrant, Eusebium Ariana dogmata probasse. nisi quis dicat, id opus ante conuersionem ab eo fuisse conscriptum. Illud igitur sanctum concilium dogma de eadem natura & æternitate filij statuit, & diuinum fidei symbolum statim edidit, de patris & filij diuinitate disserendo, non ultra illud progressum: CVIVS REGNI NON ERIT FINIS. atque in illo desijt: Et in spiritum sanctum. Nam Theologia de spiritu sancto, pòst in secundo concilio contra Macedonium congregato, ea quæstione agitata, adiecta est. At Imperator sanctissimus, patrum concordia delectatus, dextram eis porrexit, & quorundam qui ob Christi confessionem notas in corporibus suis gerebant, mutilata illa membra & partes deosculatus est, eósque ob mutilationes illas beatos pronunciauit. Libellos contra quosdam episcopos oblatos, neque legit, neque examinari passus est, sed in conspectu omnium igni absumpsit, cum his uerbis: Etiã si ipse episcopum aliquem delinquentem uiderem, purpura mea eum tegerem. Inde sanctos patres in urbẽ regiã à se conditã traduxit, ut eam faustis comprecationib. prosequerent, & secundũ patriarchã deligerẽt, S. Alexandrũ. nam inclytus Metrophanes obierat. His peractis, ad suã quemque paroeciam

Eusebius Pamphilus utrum fuerit Arianus.

Constantini pietas erga Episcopos.

Helenę obitus. parcę etiam dimisit, honoribus & donis magnificis affectos. Imperatoris mater S. Helena grandis natu (nam octogesimum ętatis annum attigisse perhibetur) in cœlestes mansiones discessit. quā filius in ęde S. Apostolorum regaliter condita, suscepta contra Persas expeditione, triremibus Soteropolim defertur, quę nunc Pythia uocatur: & natura calidis illius loci aquis usus, ubi etiam toxicum, à fratrib. patre duntaxat eodem natis temperatum, hausisse fertur. unde Nicomediam profectus, diuturnitate morbi extinctus est, annos quinque & quinquaginta natus, cum duo & triginta imperasset. *Constantini Magni obitus.* Ei filius Constantius, Antiochia profectus (nam ibi Persis repugnabat) cum adhuc uiuentem inuenisset, magnificè parentauit, & in S. Apostolorum ęde, peculiari tamen porticu ad id ędificata, sepelit. *Constantini Magni elogia.* Memoratur autem inclytus hic imperator, pecuniam & citra delectum insumpsisse, & minori cum delectu comparasse: unde eius in largiendo studium magnificentię non tribuatur, sed planè: uerùm temperandum est calamo, ne quam diuino illi uiro labem aspergam. *Iuliani scōmma.* Enimuerò profanus ille Iulianus, in oratione Cęsariana, quasi per derisum impensarum Imperatoris religiosissimi, fingit Mercurium cum eo colloquentem, quęrere, quę nam sit boni regis nota? Cui ille respondeat, Imperatori & habenda & insumenda esse multa. Fertur nec à studijs doctrinarum fuisse alienus, sed his quoque non minorem impendisse operam, quàm armis. itaque & in disserendo acutum extitisse, ac nescio quam ueluti magicam orationis illius uim aures hominum demulsisse. Scribitur & osor improborum fuisse: ac dicere solitus, Imperatorem nemini omnium, ne suis quidem proprijs membris, parcere debere, publicę tranquillitatis conseruandę causa: & humanus erga eos, qui à malitia discederet. membrum enim ęgrum ac putridum resecandum, ne sana etiam inficeret: non autem id quod uel in integrum esset restitutum, uel certè consanesceret.

IMPERIVM CONSTANTINI, CONstantij & Constantis.

Regnorum diuisio inter tres fratres. Imperatore illo beatissimo in ęterna tabernacula translato, Imperium Romanorum inter tres illius filios est diuisum, uel ab ipso, ut quidam scribunt: uel, eo defuncto, ex ipsorum consensu, ad hunc modum. Constanti attributam esse Italiam, & Romam ipsam, Aphricam, Siciliam, cum reliquis insulis, atque etiam Illyricum, Macedoniam, & cum Achaia Peloponesum. *Alpes Cottię.* Constantino alpes Cottias, quę nomen habere dicuntur à Cottio illius loci quondam rege, cū Gallijs, & tractū Pyrenęi usq; ad Mauritaniā, Oceani angusto freto, diremptam ab Hispanijs. Constantio ea obuenisse, quę in orien-

τῆς οἰκείας, τιμαῖς τε καὶ δωρεαῖς μεγαλοπρεπῶς αὐτοὺς φιλοφρονησάμενος. *τελευτὴ τῆς ἁγίας ἑλένης.* ἡ δὲ τοῦ βασιλέως μήτηρ ἡ μακαρία ἑλένη, εἰς γῆρας βαθὺ κατηντηκυῖα, (ὀγδοήκοντα γὰρ λέγεται ζῆσαι ἐνιαυτούς) πρὸς τὰς οὐρανίους ἀπῆρε μονάς, ἣν ὁ υἱὸς ἐν τῷ τῶν ἁγίων ἀποστόλων ναῷ βασιλικῶς ἐθησαύρισεν. ἐκεῖνος δὲ κατὰ περσῶν ἐκστρατεύων, τριήρεσι κομίζεται εἰς τὴν σωτηρόπολιν, ἣ νῦν ὀνομάζεται πύθια· καὶ τοῖς ἐκεῖσε χρησάμενος αὐτοματοῖς θερμοῖς ὕδασιν, ἔνθα καὶ φαρμακόν τι πιὼν δηλητήριον λέγεται παρὰ τῶν ὁμοπατρίων αὐτοῦ ἀδελφῶν, εἰς νικομήδειαν παραγίνεται. ὅπου καὶ τελευτᾷ, νοσήσας ἐφ' ἱκανόν, ἐτῶν γεγονὼς πέντε πρὸς τοῖς ἑξήκοντα, βασιλεύσας δὲ ἐκ τούτων τριάκοντα πρὸς δυσίν, ἐνδεόντων δύο μηνῶν. *τελευτὴ τοῦ μεγάλου κωνσταντίνου.* ὃν ὁ υἱὸς κωνστάντιος ἐξ ἀντιοχείας παραγενόμενος (ἐκεῖ γὰρ ἦν τοῖς πέρσαις ἀντιμαχόμενος) ἔτι ζῶντα εὑρών, ἐκήδευσε μεγαλοπρεπῶς, καὶ ἐν τῷ τῶν ἁγίων ἀποστόλων κατέθετο ἱερῷ, ἐν ἰδιαζούσῃ μέντοι στοᾷ, ἣν αὐτὸς τῇ ταφῇ τοῦ πατρὸς αὐτοῦ ᾠκοδόμησεν. ἱστόρηται δὲ ὁ ἀοίδιμος αὐτοκράτωρ ἐκεῖνος, *[illegible]* ἀφειδῶς τε τὰ χρήματα ἀναλίσκειν, καὶ ταῦτα πορίζειν ἑαυτῷ ἀφειδέστερον. ὡς μὴ μεγαλοπρέπειαν κρίνεσθαι τὸ περὶ τὰς δαπάνας φιλότιμον, ἄντικρυς δέ, ἀλλὰ μή τι φαῦλον ἐρῶ περὶ τοῦ θείου ἐκείνου ἀνδρός. ὅθεν καὶ ὁ βέβηλος ἰουλιανὸς ἐν τῷ περὶ τῶν καισάρων λόγῳ αὐτοῦ, ἀποσκώπτων ὥσπερ εἰς τὸν εὐσεβέστατον τοῦτον βασιλέα διὰ τὸ πολυδάπανον, πλάττεται τὸν ἑρμῆν διαλεγόμενον οἱ, καὶ τί ἂν εἴη γνώρισμα βασιλέως ἀγαθοῦ πυνθανόμενον. κἀκεῖνον πρὸς τὸ ἐρώτημα λέγοντα, πολλὰ κεκτῆσθαι χρῆναι τὸν αὐτοκράτορα, καὶ ἀναλίσκειν πολλά. λέγεται δὲ μηδὲ λόγων ἀνόμιλος εἶναι, ἀλλὰ καὶ περὶ τούτους ἐσπουδακέναι, οὔ τι μεῖον τῶν ὅπλων. κἀντεῦθεν αὐτῷ τὴν γλῶτταν γενέσθαι πρὸς διάλεξιν εὔθικτον, καί τινας ἴυγγας προσεῖναι αὐτῇ, κατακηλούσας τὰς τῶν ἀκροατῶν ἀκοάς. ἀναγέγραπται δὲ καὶ μισοπόνηρος εἶναι, καὶ εἰωθὼς λέγειν, μηδενὸς τῶν ἁπάντων τῆς τῶν κοινῶν πραγμάτων καταστάσεως ἕνεκεν τὸν βασιλέα φείδεσθαι δεῖν, μηδ' αὐτῶν τῶν οἰκείων μελῶν. τοῖς δὲ μεταβαλλομένοις ἐκ πονηρίας φιλανθρώπως διατιθέμενος, ἔλεγεν, ὅτι τὸ νοσοῦν μέλος ἀποκόπτειν καὶ σηπτόν, ἵνα μὴ καὶ τοῖς ὑγιαίνουσι λυμαίνηται· οὐ μέντοι τὸ ὑγιείας ἤδη τυχόν, ἢ καὶ ὑγιαζόμενον.

ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ, ΚΩΝσταντίου καὶ κώνσταντος.

ΚΑΙ ὁ μὲν τρισόλβιος βασιλεὺς ἐκεῖνος, πρὸς τὰς αἰωνίους μετατίθη σκηνάς. *ὅπως ἡ βασιλεία ῥωμαίων εἰς τοὺς τρεῖς ἐμερίσθη παῖδας τοῦ μεγάλου κωνσταντίνου.* ἡ δὲ τῶν ῥωμαίων ἡγεμονία, ἐς τοὺς τρεῖς ἐκείνου παῖδας μεμέριστο ξύμπασα· ὡς μέν τινες συνεγράψαντο, παρὰ τοῦ πατρὸς σφίσι διανεμηθεῖσα, ὡς δ' ἕτεροι, καθ' ἑαυτοὺς ταύτην αὐτῶν διελομένων, μετὰ τὴν ἐκβίωσιν τοῦ πατρός. οὕτω δ' ἱστόρηται προβῆναι παρὰ σφίσιν ἡ διανέμησις. τῷ μὲν κώνσταντι προσκληρωθῆναι τὴν ἰταλίαν, καὶ τὴν ῥώμην αὐτήν, τὴν ἀφρικήν τε καὶ σικελίαν, καὶ τὰς λοιπὰς τῶν νήσων. ἀλλὰ μὴν δὲ καὶ τὸ ἰλλυρικόν, καὶ τὴν μακεδονίαν, καὶ σὺν τῇ ἀχαΐᾳ τὴν πελοπόννησον. τῷ δὲ κωνσταντίνῳ, τὰς κοττίας ἄλπεις σὺν ταῖς γαλλίαις προσνεμηθῆναι (*κοττίαι ὠνομάσθησαν ἀπὸ κοττίου βασιλέως τῶν τόπων γενομένου.* κοττίαι δὲ ὠνομάσθησαν ἐκ κοττίου, βασιλέως τῶν τόπων τούτων γενομένου) καὶ τὸ πυρηναῖον κλίμα, μέχρι τῶν μαύρων τῶν τῷ πορθμῷ διωρισμένων τῷ τοῦ ὠκεανοῦ. τῷ κωνσταντίῳ δὲ λαχεῖν γενέσθαι, ὅσα κατὰ τὴν

ἑῴαν

ἑῴαν μοῖραν ὅσαι ῥωμαίοις ὑπήκοα, καὶ πρὸς τούτοις τὴν θρᾴκην σὺν τῇ πόλει τῇ πατρικῇ. οὕτω δὲ τοῦ μερισμοῦ τῆς ἀρχῆς προβάντος, ὁ μὲν κωνστάντιος εἰς τὴν ἑῴαν ἐχώρησεν, ἐκστρατεύων κατὰ περσῶν. ὁ γὰρ τούτων ἡγεμονεύων σαπώρης, τὸν θάνατον τοῦ μεγάλου γνοὺς κωνσταντίνου, κατὰ τῶν ὑπὸ ῥωμαίους τελούντων ἐπιὼν καὶ λῃζόμενος, οὐκ ἐπαύετο. ὁ δὲ κωνσταντῖνος τῷ κώνσταντι ἐπεφύετο, τὴν διανέμησιν τῶν χωρῶν αἰτιώμενος· καὶ ἢ παραχωρῆσαι μέρος αὐτῷ τῆς ἀρχῆς ἀπαιτῶν, ἢ ἀναδάσασθαι τὰς βασιλείας ἀμφοῖν ζητῶν. ὡς δ᾽ ἐκεῖνος τῆς ἤδη γεγονυίας διανεμήσεως εἴχετο, καὶ τῶν αὐτῷ προσκληρωθέντων ἀντείχετο, καὶ οὐδὲ τοῦ βραχίστου παρεχώρει τῷ ἀδελφῷ, ὅπλα κατ᾽ αὐτοῦ ἦρεν ὁ κωνσταντῖνος, καὶ ἐπῆλθε τῇ λάχῃ τοῦ κώνσταντος. ὁ δὲ ἐν δακίᾳ διαγόμενος, καὶ τὴν κίνησιν τοῦ κωνσταντίνου μαθὼν, στράτευμα κατ᾽ αὐτοῦ πέμπει, καὶ στρατηγούς, καὶ αὐτὸς ὅσον οὔπω μετὰ πλείονος στρατοῦ ἀπελεύσεσθαι ἐπαγγειλάμενος. οἱ γοῦν πεμφθέντες ἐγγὺς τοῦ κωνσταντίνου γενόμενοι, λόχους καθίζουσι· καὶ συμβαλόντες αὐτῷ, φυγὴν ὑπεκρίνοντο. τῶν δὲ τοῦ κωνσταντίνου διωκόντων αὐτοὺς, ἐξόπισθεν αὐτῶν οἱ λοχῶντες αὐτοὺς γενόμενοι, κατὰ νώτου αὐτοῖς ἐπιτίθενται. καὶ οἱ φεύγοντες ὑποστραφέντες, μέσον περιέσχον αὐτούς. καὶ πολὺ τῆς τοῦ κωνσταντίνου διέφθαρτο στρατιᾶς, κἀκεῖνος αὐτός. τοῦ γὰρ ἵππου τρωθέντος αὐτοῦ, καὶ διὰ τὸ τραῦμα σφαδάζοντος καὶ ἀνασκιρτῶντος, ἐκπέπτωκε τῆς ἕδρας ὁ κωνσταντῖνος, καὶ ἀνῃρέθη, πολλὰ δεξάμενος τραύματα, οὐ τυχὼν τῆς ἐφέσεως, καὶ ὅτι ἀδίκων ἦρξε, καὶ τὴν οἰκείαν τῆς ἀρχῆς μοῖραν ἀποβαλὼν, καὶ αὐτὴν προσζημιωθεὶς τὴν ζωήν. καὶ γέγονεν ἡ τῆς ἑσπερίας λήξεως ἐπικράτεια, ὑφ᾽ ἑνὶ μὲν κώνσταντι βασιλεῖ. ἀλλὰ καὶ κἀκεῖνος εἰς ἀλλοκότους ἐκκυλισθεὶς ἔρωτας καὶ ἐκδεδιῃτημένην ζωήν, ὑπὸ μαγνεντίου ἐπιβουλευθεὶς, ἀθλίως ἀπώλετο, μαγνεντίου, ὃν ἐκεῖνος ἐκ στάσεως στρατιωτικῆς περιέσωσε κινδυνεύοντα, ἤδη τῶν στρατιωτῶν κατ᾽ ἐκείνου τὰ ξίφη ἠρκότων, καὶ διαχειρίσασθαι αὐτὸν ὡρμηκότων. ὁ κωνστάντιος δὲ περὶ τὴν ἑῴαν διατρίβων, τοῖς πέρσαις ἐμάχετο, σαπώρου τοῦ ἔθνους, ὡς εἴρηται, βασιλεύοντος. ὃς ναρσοῦ μὲν ἦν υἱός, ἐκ μιᾶς τινος δὲ ἀσήμου γυναικός. ἐκ γὰρ τῆς πρωτευούσης τῶν αὐτοῦ γυναικῶν τρεῖς ἐγένοντο τῷ ναρσῇ παῖδες, ἀδανάρσης, καὶ ὁρμίσδας, καὶ τρίτος ἕτερος. τελευτήσαντος δὲ ναρσοῦ, ὁ πρεσβύτερος τῶν τριῶν τούτων ἀδανάρσης, τῆς ἀρχῆς διάδοχος γέγονεν. ὠμὸς δὲ λίαν τυγχάνων, καὶ ἀπηνής, καὶ διὰ τοῦτο μισούμενος ὑπὸ τῶν περσῶν, τῆς βασιλείας ἐκπέπτωκεν. εἰρήσθω δέ τι καὶ τῆς ἐκείνου γνωμικῆς ὠμότητος γνώρισμα. σκηνὴ ποτὲ τῷ πατρὶ αὐτοῦ διεκομίσθη ἐκ βαβυλῶνος, δέρμασιν ἐγχωρίοις ποικίλων θηρῶν εἰργασμένη. ταύτην οὖν ἐκταθεῖσαν αὐτῇ θεώμενος ὁ ναρσῆς, ἠρώτησε τὸν ἀδανάρσην, παιδίον ἔτι τυγχάνοντα, εἰ ἀρέσκει αὐτῷ ἡ σκηνή; ὁ δὲ ἀπεκρίνατο, ἐὰν κρατήσω τῆς βασιλείας, κρείττω ταύτης ποιήσω, ἐξ ἀνθρώπων δορᾶς. οὕτω νεόθεν ἔφαινε τὴν ὠμότητα. διὰ τοῦτο τοίνυν οὕτω τῆς βασιλείας ἐκπεπτωκότος, σαπώρης εἰς τὴν ἀρχὴν ἀντεισῆκτο. καὶ ὃς, εὐθὺς τὸν μὲν ἕτερον τῶν ἀδελφῶν ἐξετύφλωσε, τὸν ὁρμίσδαν δὲ δεσμώσας, ἔμφρουρον εἶχεν. ἡ δέ γε μήτηρ ἐκείνου, καὶ ἡ γυνὴ, χρήμασι δεκάσασαι τοὺς φρουρούς, ὡς ἐπισκέψασθαι ἐκεῖνον παραχωρηθῆναι εἰσελθεῖν, καὶ εἰσελθοῦσαι ῥίνην αὐτῷ παρέσχον, ἵνα ταύτῃ τὰ σιδήρεα διακόψῃ δεσμά, ὑποθέμεναι καὶ ὅσα δέοι μετὰ ταῦτα ποιεῖν, ἵππους τε αὐτῷ καὶ τοὺς συναποδράσοντας ἑτοιμάσασαι.

Πῶς ὁ κωνσταντῖνος ἀνῃρέθη ὑπὸ τοῦ κώνσταντος λόχῳ, ἐνεδρευθεὶς καὶ ἀναιρεθείς.

Πῶς ὁ κώνστας καὶ τὴν ἀδελφικὴν ἐκράτησε μοῖραν, καὶ ὑπὸ μαγνεντίου ἀνῃρέθη.

Περὶ τῆς πρὸς πέρσας μάχης τοῦ κωνσταντίου. καὶ περὶ ὁρμίσδου τοῦ πέρσου.

orientali parte Romanæ ditionis erat, & Thraciam cum urbe paterna. Post hanc regnorum partitionem, Constantius in Orientem se contulit, ad Persarum arma reprimenda. Nam eorum dux Sapores, audita Constantini Magni morte, Romanas prouincias continentibus populationibus & direptionibus infestabat. Interea Constantinus cum Constante ob partitionem prouinciarum expostulat, petens, ut aut parte regni sibi cedat, aut partitio de integro instituatur. Cum autem ille priore diuisione niteretur, & quæ obuenerant tueretur, necp fratri uel minimum concederet: Constantinus armis arreptis, prouincias Constantis inuadit. Qui tum in Dacia agens, motu illo cognito, duces cum exercitu cōtra eum mittit, ipse mox eum maioribus copijs secuturus. Qui missi erant, cum parum à Constantino abessent, insidias locant: pugnaque inita, fugam simulant. quos, dum Constantini milites persequuntur, qui in insidijs collocati fuerant, à tergo inuadunt. Sic fugientibus etiam conuersis, in medio duorum exercituum intercepti, magna ex parte cadunt, ipso etiam Constantino interfecto. Nam equo uulnerato, & ex uulnere efferato, sella excussus, multis uulneribus conficitur: neque uoti compos factus, & quia iniuriæ fuerat autor, præter iacturam sui imperij, uita etiam priuatus. Sic occidentali regno ad unum Constantem deuoluto, is etiam nefandis amoribus implicatus, & peruersam uitæ rationem secutus, insidijs Magnentij miserabiliter perijt: quem Magnentium è militum seditione, strictis iam gladijs in necem eius ruentium, eripuerat. Dum hæc geruntur, Constantius in Oriente, cum Persarum rege Sapore pugnat, filio Narsetis, uerùm ex ignobili muliere procreato. Nam is è principe uxore tres filios susceperat, Adanarsem, Hormisdam, & tertium quendam. Defuncto Narseti, Adanarses natu maximus in imperio succedit. Sed ex nimia crudelitate & inhumanitate odio Persarū suscepto, regno excidit. Cuius atrocis ingenij specimen quoddā est proferendum. Aliquando patri eius tentorium Babylone allatum est, è uarijs illius loci pellibus confectum. Quod modò extensum, dum Narses contemplatur, rogat Adanarsem puerum adhuc, ut placeat? Tum ille: Vbi, inquit, regno potitus fuero, pulchrius tentorium ex humanis pellibus conficiam. Sic ab ipsa infantia immanitatem suam declarabat. Eo igitur pulso, Sapori regnum est delatum: qui statim fratrem alterum oculis priuat, Hormisdam uinctum in custodia tenet. Cæterùm mater, & uxor illius, custodibus pecunia delinitis, ad uisendum eum admissæ, limam illi dederunt, quà ferrea uincula dissecaret: & quid deinceps faciendum esset, monuerunt, paratis equis & fugæ comitibus.

Constantij bellū cum Sapore Persa.

Constantinus moto contra fratrem Constantē bello occiditur.

Magnentius.

Persarum Rex Narses.

Adanarses Narsetis filius.

Sapores rex Persarum.

Dein-

ἔτη

Hormisda ad Romanos transfugium. Deinde uxor eius custodibus opiparā cœnam apponit. Illi & epulis distenti, & mero obruti, in profundum somnū delabuntur. Quibus dormientib. Hormisdas & uincula rumpit, & castello elapsus, à Romanis honorificētissimè suscipitur. At Sapores fuga eius lætari se ostendebat, ut metu ab eo imminente liberatus. Nam exulem non modò dedi sibi nō postulauit, sed uxorem etiam honorificè ad eum misit. Erat autem Hormisdas, & magni roboris, & iaculator adeò peritus, ut dum iaculū uibrabat, prædiceret, qua parte hostem percussurus esset. Hic igitur Constantio contra populares suos nauat operam, multis equitum turmis præfectus. Verum Constantius imperator, sæpe cum Persis congressus, inferior recedebat, multis suorum amissis: ceciderunt etiam Persarum plurimi, Sapore ipso uulnerato. *Magnētius tyrannidem inuadit.* Cognitis autem aduersis Persico bello Constantij rebus, Magnentius, patre Britanno natus, qui primùm inter protectores militarat, deinde Comes duarum Romanarum legionum appellatus fuerat, cum iampridem regni occupandi cupiditate æstuaret, tunc magis etiam consilium suum urgebat, cum Persico bello rem malè gerere Constantium audiret, opportunitatem optata perficiendi dari sibi ratus. Itaque per speciem natalis sui celebrandi in urbe Augustali, primores ciuitatis ad epulas inuitat, quosdam consilij sui conscios, nonnullos ignorantes, quid animi haberet: productoque usque ad uesperam conuiuio, surgit, & properè cubiculum ingressus, paulo pòst habitu regio cum multis satellitibus progreditur. Ea res ignaros quid moliretur consternauit: sed oratione ad eos quia derant habita, alios uerbis, alios ui in suas partes traducit. ijsque comitantibus regiam ingreditur, pecuniam dilargitur, portis urbis custodes adhibet: mandat, ut ingredi patiantur omnes, exire neminem, ne facinus suum publicetur. *Constans Maxentij insidijs occiditur.* statim mittit qui Constantem tollant, rei ignarum. Erat ille uenatione tum occupatus, cuius insano studio tenebatur. idque, cum articulari morbo perpetuo uexaretur, quem immoderatis sibi uoluptatibus uitæque intemperantia conciliarat: aut etiam per speciem uenationis in syluas sese abdebat, cum pueris & adolescentulis, quos ob formam conquisitos in delicijs habere dicebatur: qui exquisitum in modum culti, auidos eius oculos turpi libidinis flamma incendebant. Ea quoque de causa syluas magis frequentabat, ut modestorum uirorum consuetudinem euitaret. Milites à Magnentio missi, cum ad Rhodanum fluuium uenissent, Constantem à uenatu dormientem occidūt, interfectis etiam satellitibus, quos paucos circum se habebat. Alij rem aliter narrant: cum seditionem contra se motam cognouisse, & à suis destitutū, depositis Imperij insignib. in sacellū quoddā confugisse, & inde extractū, occisumque esse, regni anno XVII. ætatis XXX.

ἅτε τοῖς φρουροῖς ἡ ἐκείνου σύνευνος δεῖπνον πολυτελὲς δαψιλές· οἱ δέ, καὶ βρωμάτων ἐμφορηθέντες, καὶ τοῦ ἀκράτου ἀρυσάμενοι ἀκρατέστερον, ἐλήφθησαν ὕπνῳ βαρεῖ. ὁ δ᾽ Ὁρμίσδας κοιμωμένων ἐκείνων, τά τε δεσμὰ τῶν χειρῶν διέκοψε, καὶ τῆς φρουρᾶς ἐξελθὼν ᾤχετο, καὶ πρὸς τοὺς Ῥωμαίους ἀπέδρα, καὶ ὑπεδέχθη φιλοτιμότατα. ὁ δὲ Σαπώρης ἐῴκει τῇ φυγῇ ἐκείνου ἐφήδεσθαι, οἷα τὸν ἐξ ἐκείνου ἀπεσκευασμένος φόβον, ὃ οὐ μόνον ἐκδοθῆναί οἱ τὸν φυγάδα οὐκ ἐξῄτησεν, ἀλλὰ καὶ τὴν γυναῖκα αὐτοῦ ἐντίμως ἐξέπεμψεν. ἦν δὲ ὁ Ὁρμίσδας καὶ πολὺς τὴν ἰσχύν, καὶ ἀκοντιστὴς περιδέξιος, ὡς ἐν τῷ πάλλειν κατά τινος τὸ ἀκόντιον, λέγειν ὅπου βαλεῖ τὸν πολέμιον. οὗτος τοίνυν τῷ Κωνσταντίῳ κατὰ τῶν ὁμοφύλων συνεστρατεύετο, ἀρχὴν ταχθεὶς ἱππικῶν ἰλῶν πολλῶν. ὁ βασιλεὺς δὲ Κωνστάντιος πολλάκις τοῖς Πέρσαις συμβαλών, τὴν ἥττονα μοῖραν εἶχε, καὶ πολλοὺς τῶν οἰκείων ἀπέβαλε. καὶ τῶν Περσῶν δὲ πλεῖστοι πεπτώκασι, καὶ αὐτὸς ὁ Σαπώρης ἐτέτρωτο. οὕτω μέντοι τῶν ὑπὲρ Πέρσας πολέμων συνενεχθέντων τῷ βασιλεῖ Κωνσταντίῳ, μαθὼν ταῦτα Μαγνέντιος, ὃς ἐκ πατρὸς μὲν γεγόνει Βρεττανοῦ, ἐν τοῖς προτίκτορσι δ᾽ ἐστρατεύετο, εἶτα καὶ κόμης ὠνομάσθη ταγμάτων δύο ῥωμαϊκῶν, τυραννῆσαί τε πρώην ἐπιθυμῶν, τότε μᾶλλον εἴχετο τοῦ σκοποῦ, δι᾽ ἀτυχοῦντα περὶ τὸν περσικὸν πόλεμον ἤκουε τὸν Κωνστάντιον. καὶ εὐκαιρίαν ἔκρινε ταῦτα τοῦ ἐπιχειρήματος τῇ τυραννίδι· καὶ πλασάμενος τὰ ἑαυτοῦ ἑορτάζειν γενέθλια ἐν Αὐγουσταλίῳ τῇ πόλει, συνεκάλεσε τοὺς ἐξόχους τῆς πόλεως, τοῦ συμποσίου αὐτῷ συμμεθέξοντας, τοὺς μὲν καὶ συνίστορας αὐτῷ τοῦ σκοποῦ, τοὺς δὲ καὶ ἀμετόχους τοῦ σκέμματος. καὶ παρέτεινε τὸν πότον ἕως ἑσπέρας. ἐξαναστὰς δὲ τοῦ συμποσίου, ἄφνω εἰς τὸν κοιτῶνα εἰσέδραμε, καὶ πρόεισιν ἐκεῖθεν μετὰ βραχὺ ἐν σχήματι βασιλείας σὺν δορυφόροις πολλοῖς, ὃ τοὺς μὴ συνειδότας αὐτῷ τὴν πρᾶξιν ἐξέπληξεν. ἐκεῖνος δὲ διαλεχθεὶς τοῖς παροῦσι, τοὺς μὲν ἔπεισε συνθέσθαι αὐτῷ, ἐνίους δὲ καὶ ἐβιάσατο. καὶ συμπαραλαβὼν αὐτούς, εὐθὺς εἰς τὰ βασίλεια ἄπεισι, καὶ διανομὰς χρημάτων πεποίηκε, ταῖς τε πύλαις τῆς πόλεως ἐπιστήσας φύλακας, ἐνταλθέντας, τοῖς μὲν ἐθέλουσι τὴν εἴσοδον συγχωρεῖν, ἐξιέναι δὲ μηδενὶ παραχωρεῖν, ἵνα μή πως τὸ τόλμημα θᾶττον κηρυχθῇ. καὶ αὐτίκα στέλλει τοὺς τὸν Κώνσταντα ἀναιρήσοντας, πρὶν ἢ γνοίη τὸ τόλμημα. ὁ δὲ περὶ θήραν ἠσχολεῖτο. καὶ γὰρ ἐμεμήνει περὶ τὰ κυνηγέσια, καίτοι τῇ ἀρθρίτιδι προσπαλαίων ἀλγεινῇ, ἣν ἐξ ἀμετρίας νόσον ἐκ ἀκολάστου βίου· ἢ καὶ ἐν προσχήματι θήρας, εἰς ὕλας ἐγκατεδύετο μετὰ τῶν περὶ αὐτὸν μειρακίσκων καὶ νεανίσκων, οἳ ἐκείνῳ διὰ κάλλος συνελέγοντο καὶ ᾠκειοῦντο· ἐκαλλωπίζοντό τε περιεργότερον, καὶ λίχνοις ἦσαν ὀφθαλμοῖς ἀκολασίας ἐμπύρευμα, κἀκείνῳ ἐτύγχανον ὡς λέγεται παιδικά. ἀλλὰ καὶ διὰ πλεῖον ταῖς ὕλαις διέτριβεν, ἐκκλίνων τὴν μετὰ κοσμίων ἀνδρῶν συνδιαγωγήν. παρὰ τὸν Ῥοδανὸν τοίνυν ποταμὸν οἱ παρὰ Μαγνεντίου σταλέντες γενόμενοι, μετὰ τὴν θήραν ὑπνώττοντα τὸν Κώνσταντα διεχειρίσαντο· καὶ τοὺς ἐκείνῳ δὲ συνόντας, ὀλίγους ὄντας, ἀπέκτειναν. οἱ δὲ μὴ οὕτω φασὶ γενέσθαι τὴν ἐκείνου ἀναίρεσιν, γνῶναι δ᾽ ἐκεῖνον τὴν κατ᾽ αὐτοῦ ἐπανάστασιν· καὶ μονωθέντα, καταλιπόντων αὐτὸν τῶν περὶ αὐτόν, ναῷ προσφυγεῖν. κἀκεῖ τὰ τῆς βασιλείας παράσημα ἀποδύσασθαι, κἀκεῖθεν ἐκελκυσθέντα ἀναιρεθῆναι, ἑπτακαιδέκατον ἔτος ἀνύοντα παρὰ τὴν ἀρχήν· τῆς δ᾽ ἡλικίας

ἔνθα ὁ μαγνέντιος τυραννίδι ἐπεχείρησεν.

ἀναίρεσις κώνσταντος.

ἄγο

ἤδη παρεληλυθότα τριακοστόν. λέγεται δὲ ἄρτι γεννηθέντος αὐτοῦ, ἐπιτρέψαι τοῖς ἀστρολόγοις τὸν πατέρα αὐτοῦ, ἐπὶ τῷ τούτου γενεθλίῳ ποιῆσαι θεμάτιον. κἀκείνους πρὸς ἄλλοις οἷς περὶ αὐτοῦ προηγόρευσαν, καὶ τοῦτο εἰπεῖν, ὡς ἐν ταῖς ἀγκάλαις τῆς αὐτοῦ μάμμης ἀναιρεθήσεται. ὁ θανούσης ἐκείνης, καὶ διέπιπτε ζῶν ὁ Κώνστας. τὸ δ' ὡς ἔργον ἐκβέβηκε, καὶ ἡ τῶν ἀστρολόγων οὐ διήμαρτε πρόρρησις, καίτοι ὑπῆρχε λοξή. ἐν γὰρ πολίχνῃ Ἑλένῃ καλουμένῃ ὡς ὄνομα τῆς βασιλίσσης ἐκείνης, ὁ Κώνστας ἀνῄρηται. ὁ μὲν οὖν οὕτω βιώσας ἀσελγῶς, οὕτως οἰκτρῶς ἐστέρητο τῆς ζωῆς. ὁ δὲ μαγνέντιος κατὰ ῥοῦν αὐτῷ τῶν τῆς τυραννίδος χωρησάντων πραγμάτων, ἐπεχείρησε τῶν τὰς ἀρχὰς ἐχόντων τοὺς λογιμωτέρους ἐκ μέσου ποιήσασθαι. καὶ πλασάμενος γραφὰς πρὸς αὐτοὺς ὡς ἐκ τοῦ Κώνσταντος, στείλας αὐτοὺς μεταπεμπομένου δῆθεν πρὸς ἑαυτόν, καθ' ὁδὸν λοχήσας, πλείστους ἀπέκτεινε, μὴ δὲ τῶν οἰκείων συνωμοτῶν φεισάμενος. ἀλλὰ καὶ τούτους διαφθείρων. καὶ ὁ μὲν ἐν τούτοις ἦν, ἑαυτῷ κρατύνων τὴν τυραννίδα. ὁ δὲ Κωνστάντιος τὸν θάνατον πυθόμενος τοῦ ἀδελφοῦ, ἐμερίζετο ἡ διάνοια γινομένη, πότερον αὖ προτιμήσαιτο, τοῖς Πέρσαις ἀντικαθίστασθαι κακοῦσι τὰ Ῥωμαίοις ὑπήκοα, ἢ τούτων, κατά γε τὸ παρόν, ἀμελῆσαι, καὶ χωρῆσαι κατὰ τοῦ τυραννήσαντος, ἵνα καὶ τὸν τοῦ συγγόνου τίσηται φόνον, καὶ ἑαυτῷ προσποιήσηται τὰ ἑσπέρια. ταῦτα τοῦ Κωνσταντίου σκοποῦντος καὶ διαμέλλοντος, ὁ Σαπώρης ἐπεὶ κἀκείνῳ πρὸς γνῶσιν ἦλθε τὰ συμβεβηκότα περὶ τὸν Κώνσταντα, ἐπιτίθεται τῷ καιρῷ, καὶ σὺν βαρεῖ στρατεύματι κατὰ τῶν ὑποκειμένων Ῥωμαίοις ἔπεισι χωρῶν τε καὶ πόλεων, καὶ πολλὴν μὲν ἐληίσατο χώραν, ἀλλὰ μέντοι καὶ φρούρια εἷλε, καὶ τέλος ἐπολιόρκει τὴν Νίσιβιν, ἣ πάλαι μὲν τῇ τῶν Ἀρμενίων διέφερε βασιλείᾳ, ἐπὶ δὲ Μιθριδάτου, ὃς Τιγράνου τοῦ τῶν Ἀρμενίων τότε κρατοῦντος ἦν γαμβρός, καὶ ἐξ ἐκείνου τὴν πόλιν εἰλήφει, ὑπὸ Ῥωμαίων ἑάλω πολιορκίᾳ. ἐν ταύτῃ γοῦν ὁ Σαπώρης ἐλθών, πᾶσαν ἐκίνησε μηχανήν, ἵν' αὐτῷ ἡ πόλις ἁλῷ, κριούς τε γὰρ προσῆγε τοῖς τείχεσι, καὶ διώρυχας ὑπογαίους πεποίητο, ἀλλὰ πρὸς πάντα γενναίως ἀντικαθίσταντο οἱ πολιορκούμενοι, καὶ τὸν ποταμὸν δέ, ὃς διὰ μέσης ἔῤῥει τῆς πόλεως, μετωχέτευσεν, ἵνα δίψει πιεζόμενοι οἱ τῆς πόλεως, προδῶσιν αὐτῷ τὴν πόλιν. τοῖς δέ, ἀφθονία ἦν ὑδάτων καὶ ἐκ φρεάτων καὶ ἐκ πηγῶν. ὡς δ' οὐδὲν αὐτῷ καὶ τούτων ἀνύσιμον ἀπέβαινεν, ἕτερόν τι αὐτῷ μεμηχάνηται. ἀναδραμὼν τὸν ποταμόν, ὅς, ὡς ἄρρητο, διὰ τῆς πόλεως ἔῤῥει, καὶ πρὸς φάραγγας γεγονώς, ἔνθα ὁ χῶρος δίοδον στενὴν ἐποιεῖτο. ἀπέφραξε τὸν τόπον, καὶ ἐπέσχε τὸ ῥεῦμα αὐτοῦ. τοῦ δ' ὕδατος πλημμυρήσαντος, ἀθρόον τὰ φράγματα τὴν τοῦ ὕδατος δίοδον ἐξελών, ἀφῆκε τὸ ῥεῦμα κατὰ τῆς πόλεως, τὸ δέ, πολύ τε συνωρευμένον καὶ σὺν βίᾳ σφοδρᾷ τῷ τείχει προσπεσόν, μέρος ἐκείνου κατέῤῥαξεν. οὐκ εὐθὺς δὲ ὁ βάρβαρος εἰσῆλθε τὴν πόλιν, ἀλλ' ὡς ἤδη ἁλωθείσης αὐτῆς (ἐπεὶ καὶ πρὸς ἑσπέραν ἦν ὁ καιρὸς) ἐσαύριον παραλήψεσθαι τὴν πόλιν, μηδενὸς ἀντιβαίνοντος, ὑπετίθετο. οἱ δ' ἐν τῇ πόλει, πρὸς μὲν τὸ ῥῆγμα τοῦ τείχους ἐθορυβήθησαν. ὡς δ' εἶδον τοὺς Πέρσας ὑπερθεμένους τὴν εἴσοδον, ἄυπνοι τὴν νύκτα διατελέσαντες, πολυχειρίᾳ τὸν τόπον ὠχύρωσαν, τεῖχος ἕτερον ἀνεγείραντες. ὅπερ ἕωθεν ὁ Σαπώρης ἰδών, ἀμελείᾳ οἰκείᾳ τὸ ἀτύχημα ἐπεγράφετο. ἀλλ' οὐδ' οὕτω τῆς πολιορκίας ἀφίστατο. πολλὰ δὲ καὶ ἕτερα κατὰ τῆς πόλεως ἐπινοησάμενος, καὶ πλείστους τῶν οἰκείων ἐκ-

ætatis trigesimo expleto. Ferunt patrē eius, iussisse Astrologos, infantis recens editi thema natalitium constituere, qui præter cætera illi prædicta, illud etiam adiecerint, eum in sinu auiæ interfectum iri. Id, illa mortua etsi Constans elusit, nihilominus est euentu comprobatum, non frustrata astrologorum prædictione, quamuis obliqua. Nam in oppidulo cui de reginæ nomine factum erat nomen Helenæ, interfectus est, qui ut uitam petulantem egerat, ita miserabilem eius exitum est sortitus. Magnentius autem, cùm usurpato imperij feliciter successisset, eorum qui magistratus gerebant celeberrimum quenque è medio tollere studuit, missis ad eos sub nomine Constantis literis, quibus illos ad se accerseret, eorumq́ plurimos in itinere per insidias interfecit, ne coniuratis quidem suis parcens. Illo hæc ad tyrannidem suam stabiliendam agitante, Constantius morte fratris audita, anceps animi erat, utrum Persis Romanas prouincias uastantibus resisteret, an ea re in præsentia omissa, nouitium tyrannum inuaderet: tum fratris necem ulturus, tum occidentis imperium sibi uendicaturus. Sed Constantio hac deliberatione suspenso, Sapores, qui & ipse Constantis casum cognouerat, occasionem urget, & cum ingenti exercitu prouincias & urbes Romanorum inuadit, longè lateq́ prædas agens, castellis etiam captis, deniq́ Nisibin obsidet. Ea quondam ad Armeniæ regnum pertinuit, sed sub Mithridate Tigranis regis Armeniorum genero, qui tum illam dotalem tenebat, à Romanis capta fuit. Hanc igitur Sapores aggressus, omnes ad expugnandum machinas adhibuit, admotis ad muros arietibus actisq́ cuniculis. Sed qui obsidebantur, fortiter ad omnia resistebant. Cumq́ fluuio, qui mediam urbem perfluit, alio deriuato, ut oppidani siti coacti sese dederent, ex puteis & fontibus abundè illis aqua suppetente, nihil profecisset: ad aliud conuertitur. Regressus enim uersus caput eiusdem amnis, quà in conuallibus angusto alueo defluebat: loco illo obsepto, cursum inhibuit, & aquam stagnantem, remotis aggeribus confestim uersus urbem emisit: quę quia plurima collecta fuerat, magno impetu partem muri deiecit. Barbarus uerò quum urbem non statim intraret, tum quia diei serum erat, tum quod iam expugnatam, postridie citra dimicationem se accepturum putabat. Oppidani etsi ad ruinam muri consternati, tamen ut Persas differre ingressum uiderunt, noctem illam egere insomnem, & operarum multitudine nouo extructo muro locum illum muniuerunt. Quo Sapores mane conspecto, casum eum suæ negligentiæ ascribens, nihilò secius oppugnationem urget, multis alijs rationibus tentatis. Cum autem suorum plurimos atta-

Astrologorum Cōstantis obitu obitu prædicto.

Magnētius proceres tollit.

Cōstātij anceps cura.

siſſet (Nam ad uiginti millia Perſarum ad Niſibin cecidiſſe dicuntur) cum dedecore diſcedit, quód Maſſagetæ facta impreſsione Perſiam uaſtarent. Conſtantius imperator, Niſibi munita, & ciuibus recreatis, Orienti à Perſis iam inducijs datis, uerſus Occidentem progreditur, quum ei nunciatur Britannio colludere cum Magnentio. Erat is Illyricarum legionum dux, cognitoque Magnentij motu, & cæde Conſtantis, Tyranno haud ceſſerat, ſed & ipſe alibi tyrannidem occuparat: etſi per literas ſe tyranno reſiſtere profitebatur, ipſumque Conſtantium ad illum properè opprimendum euocabat.

Magnentij et Britãnionis legatio ad Conſtantium.

Britannio igitur & Magnentius certis conditionibus reconciliati, ambo cõmuniter legatos ad Conſtantium mittunt, petentes, ut armis poſitis principem honorem obtineret. Hæc legati, Imperatorem circa Thraciæ Heracleam adepti renunciant, qui ob illa ſolicitus, noctu ſomnium huiuſmodi uidit.

Cõſtãtij ſomnium et expeditio contra Magnẽtium.

Patrem aſtare ſibi putabat, qui filium Conſtantem manu tenẽs, ita ſibi diceret: Conſtanti, En fratrem tuum Conſtantem, multis Regibus oriundum, qui à tyranno cæſus eſt. Eius necem te ulciſci oportebit, neque conniuere ad imperij dilacerationem & euerſionem Reipublicæ. Quare ad tyrannidem euertendam propera, neque inultum fratrem eſſe patere. Conſtantius è ſomno expertectus, legatos in cuſtodiam dat, ipſe ſtatim, nihil cunctatus, Sardicam peruenit.

Britannio ſe Conſtantio dedit.

Britannio improuiſo imperatoris aduentu territus, Conſtantio ut domino procedit obuiam, relictis prioribus conſilijs, & pactis quæ cum Magnentio inierat reiectis. Eum Conſtantius ſyncerè admiſit, etiam menſæ ſuæ adhibitum. Nam regni inſignibus depoſitis Britannio, plebeio habitu pedes imperatoris amplexus fuerat. Is uerò hominem amplexus patrem nominauit, porrectaque manu ſenem fulciens, cœnæ adhibuit, aſsignata ei Pruſa urbe Bithyniæ in qua habitaret, & prædijs unde uiueret, attributis. Ibi ille ſex annis uitam molliter actam finijt. Ac Britannionis huiuſmodi fuit exitus. Conſtantius autem imperator, contra Magnentium profectus eſt.

Decentius Magnentij frater.

Is Mediolani degens, fratrem Decentium, quem Cæſarem nominarat, ad Galliarum defenſionem miſit. Interea Sapores, impunitatem nactus, orientem uaſtat, & magna prçda parta, multiſque captis domum reuertitur. Sic imperator curis hoſtilibus utrinque circumuentus,

Gallus Cæſar appellatus Antiochiam mittitur.

Gallum patruelem ſuum, & nomine Cæſaris dignatus, & Conſtantia ſorore in matrimonium data, in Orientem ablegat. Ita Gallus Cæſar ſalutatus, unà cum uxore Orientem petit, Conſtantius bellum contra Magnentium parat. Ne uerò pugnis inteſtinis et mutuis cædibus Romani polluerentur, tyrannum ad pactiones prouocandum eſſe cenſet. Miſsis igitur

βαλὼν (ὑπὲρ γὰρ τὰς εἴκοσι χιλιάδας ἀνδρῶν ἀπολέσθαι λέγεται τοῦ περσικοῦ στρατεύματος πολιορκουμένης Νισίβιος) μετ' αἰσχύνης ἀνεχώρησεν· ἤδη γὰρ καὶ Μασσαγέται τῇ Περσίδι ἐπῆλθον, καὶ αὐτὴν ἐλυμαίνοντο. Κωνστάντιος δὲ ὁ βασιλεὺς τὴν μὲν Νίσιβιν κατωχύρωσε, καὶ τοὺς πολίτας αὐτῆς ἀνεκτήσατο. αὐτὸς δὲ ἀνακωχῆς ἤδη τῇ ἑῴᾳ γενομένης ἐκ τῶν Περσῶν, πρὸς τὰ ἑσπέρια ὥρμησε. καὶ οἱ ἀγγέλλεται Βρεττανίωνα κοινοπραγήσας τῷ Μαγνεντίῳ. τῶν γὰρ παριλλυρικοῖς ἄρχων οὗτος στρατευμάτων τυγχάνων, καὶ μαθὼν τὴν τοῦ Μαγνεντίου ἐπανάστασιν, καὶ τὸν φόνον τοῦ Κώνσταντος, οὐχ ὑπεῖξε τῷ τυραννήσαντι, ἀλλὰ καὶ αὐτὸς ἑτέρωθεν τυραννίδι ἐπεχείρησε.

ὅτι καὶ Βρεττανίων τυραννίδι ἐπεχείρησε.

τῷ Κωνσταντίῳ δὲ ἐπιστέλλων, ἔλεγε τῷ τυράννῳ ἀντικαθίστασθαι, καὶ αὐτὸν ἀφικέσθαι εἰς τὴν ἐκείνου κατάλυσιν κατήπειγεν. ἤδη συνθήκαις οὖν ὁ Βρεττανίων καὶ ὁ Μαγνέντιος ἀλλήλοις συνασπισάμενοι, πρέσβεις ἄμφω κοινῶς πρὸς τὸν Κωνστάντιον στέλλουσιν, ἀξιοῦντες αὐτὸν καταθέσθαι τὰ ὅπλα, καὶ τὴν πρώτην ἔχειν τιμήν. περὶ γοῦν τὴν τῆς Θρᾴκης Ἡράκλειαν ἐντυχόντες οἱ πρέσβεις τῷ αὐτοκράτορι, τὰ μεμηνυμένα οἱ ἀπήγγειλαν. ὁ δέ, ἐν φροντίδι διὰ ταῦτα γενόμενος, νυκτὸς ἐπιγενομένης, ὁρᾷ τοιοῦτον ὄναρ. ἔδοξε τὸν πατέρα αὐτοῦ αὐτῷ παρεστάναι, τὸν υἱὸν αὐτοῦ τὸν Κώνσταντα κατέχοντα τῇ χειρί, καὶ λέγειν αὐτῷ· Κωνστάντιε, ἰδοὺ Κώνστας ὁ σὸς ἀδελφός, πολλῶν δὲ βασιλέων ἀπόγονος, ὃς ἐκ τυράννου διώλετο. χρή σε τοίνυν τούτῳ ἐπιτιμωρῆσαι, καὶ τὴν ἀρχὴν μὴ περιόψεσθαι διασπωμένην, μηδὲ τὴν πολιτείαν ἀνατρεπομένην. σπεῦσαι δὲ τὴν τυραννίδα καθελεῖν, καὶ μὴ περιιδεῖν τὸν ἀδελφὸν ἀνεκδίκητον.

ὄναρ τοῦ Κωνσταντίου [illegible]

ἐκ τούτου διυπνισθεὶς ὁ Κωνστάντιος, τοὺς μὲν πρέσβεις κατέσχε, καὶ φρουρᾷ παραδίδωσιν· αὐτὸς δὲ αὐτίκα μηδὲν μελλήσας εἰς Σαρδικὴν παραγίνεται. καὶ ὁ Βρεττανίων τὴν ἀνέλπιστον ἐπιδημίαν πτήξας τοῦ Κωνσταντίου, ὡς δεσπότῃ αὐτῷ προϋπαντήσαι, τάς τε προτέρας καταλείψας βουλάς, καὶ ἀθετήσας τὰς συνθήκας τὰς πρὸς Μαγνέντιον.

ὅτι προσεχώρησεν ὁ Βρεττανίων τῷ Κωνσταντίῳ.

καὶ ὁ Κωνστάντιος δὲ αὐτὸν γνησίως προσήκατο, καὶ ὁμοδίαιτον ἐποιήσατο. τὰ γὰρ τῆς βασιλείας ἀποδυσάμενος ὁ Βρεττανίων γνωρίσματα, ἐν ἰδιώτου στολῇ τῶν τοῦ βασιλέως ποδῶν ἐπελάβετο. ὁ δέ, περιεπτύξατό τε τὸν Βρεττανίωνα, καὶ πατέρα ὠνόμασε. καὶ χεῖρα ὀρέγων αὐτῷ, καὶ ὑποστηρίζων, πρεσβύτην ὄντα, σύνδειπνον ἐποιήσατο. εἶτα ἡ Προῦσα αὐτῷ (πόλις δ' αὕτη τῶν Βιθυνῶν) εἰς κατοικίαν ἀφώριστο, καὶ χωρία πρὸς χορηγίαν τῶν ἐπιτηδείων ἀπενέμετο, ἔνθα τρυφῶν ἤδη ἓξ ἐνιαυτοὺς τὴν ζωὴν ἐξεμέτρησε. καὶ τὰ μὲν περὶ Βρεττανίωνα εἰς τοιοῦτον κατηντήκασι τέλος. ὁ δ' αὐτοκράτωρ Κωνστάντιος πρὸς Μαγνέντιον ὥρμητο. ὁ δέ, ἐν Μεδιολάνῳ διάγων, τὸν ἀδελφὸν Δεκέντιον ἀναειπὼν καίσαρα, καὶ στείλας αὐτὸν τὰς Γαλλίας φυλάξοντα. ἐν τούτοις δ' αὖθις ὁ Σαπώρης ἀδείας δραξάμενος, τὰ ἑῷα ἐπόρθησε, καὶ λείαν λαβὼν, καὶ αἰχμαλώτους πολλοὺς ἐπανέζευξεν. οὕτω δὲ ἑκατέρωθεν ὁ βασιλεὺς περιστοιχιζόμενος ταῖς ἐκ τῶν πολεμίων φροντίσι, Γάλλον τὸν οἰκεῖον ἐξάδελφον τιμήσας τῇ ἀξίᾳ τοῦ καίσαρος, καὶ τὴν ἑαυτοῦ ἀδελφὴν Κωνσταντίαν κατεγγυήσας αὐτῷ, εἰς τὴν ἑῴαν ἐξέπεμψε, τὰς ἐφόδους τὰς περσικὰς ἀνακόψοντα. ὁ μὲν οὖν Γάλλος καῖσαρ, τὸν τρόπον τοῦτον ἀναρρηθεὶς, ᾤχετο εἰς τὴν ἑῴαν ἀπιών, καὶ τὴν σύζυγον ἐπαγόμενος. ὁ δέ γε Κωνστάντιος, ὡς τὸν κατὰ Μαγνεντίου ἐχώρησε πόλεμον. ἵνα δὲ μὴ μάχαις ἐμφυλίοις καὶ σφαγαῖς ἀλλήλων οἱ Ῥωμαῖοι μιαίνοιντο, δεῖν ἔγνω πρὸς συμβάσεις τὸν τύραννον προκαλέσασθαι. στείλας οὖν

περὶ μαγνεντίου τυραννήσαντος καὶ συμβαλόντος τῷ κωνσταντίῳ ἡττηθέντος.

πρὸς αὐτὸν ἄνδρας τῶν ἐπιφανῶν, καὶ γράμματα δι' ἐγχειρίσαι αὐτῷ, συγγνώμην αὐτῷ διδοὺς ἐπὶ τῷ τολμήματι, εἰ τῶν ὅπλων ἀπόσχοιτο, καὶ παραχωρῶν αὐτῷ τῶν γαλλιῶν, ἵνα τούτων ἄρχῃ, καὶ τοῖς ὅροις ὑποδιορίζηται. ὁ δὲ, οὐδὲν φρενῶν μέτριον, ᾗ προσῆκε τὰ παρὰ τοῦ κωνσταντίου ἀπραγμόνως αὐτῷ παρεχόμενα. ἀλλὰ τὸν πόλεμον εἵλετο. καὶ μᾶλλον σὺν τάχει πρὸς τοῦτον ἐχώρησεν, ὅτι σιλβανὸς, εἷς τῶν αὐτοῦ ταξιάρχων μετὰ πλήθους ὁπλιτῶν, ἐκεῖνον λιπὼν, κωνσταντίῳ προσῆλθε τῷ αὐτοκράτορι. ἤδη δὲ πλησιασάντων ἀλλήλοις, καὶ ἀντιστρατοπεδευομένων, ὅ, τε κωνστάντιος τοὺς οἰκείους στρατιώτας λόγοις διήγειρεν εἰς ἀλκὴν, καὶ ὁ μαγνέντιος τοὺς ἑαυτοῦ παρεκέλευεν ἄνδρας φανῆναι πιστούς τε καὶ ἀγαθοὺς, πολλὰ σφίσιν ἐπαγγελλόμενος. ἀντιπαρατεταγμένοι δὲ, τὸ μὲν πλεῖστον τῆς ἡμέρας ἀπρακτοῦντες διῆγον, μηδενὸς τῶν ἀντιπαρατεταγμένων μέρει ἐπεξιόντος. ὁ δὲ μαγνέντιος καὶ γοητείαις ἐχρῆτο. γυνὴ γάρ τις μάγος, παρθένον αὐτῷ σφαγιάσαι ὑπέθετο, καὶ οἴνῳ τὸ ταύτης αἷμα προσμῖξαι, καὶ δοῦναι τοῖς στρατιώταις αὐτὸ ἐκγεύσασθαι, ἐκείνης τότε ἐπῳδάς τινας εἰπούσης, καὶ δαιμόνων ἐπικαλουμένης ἐπικουρίαν. ἄρτι δὲ τῆς ἡμέρας κλινούσης, συνερράγησαν ἀλλήλοις τὰ στρατεύματα, καὶ πολλὰς τῆς μάχης χρόνου μεταβολὰς, τέλος ἡ νίκη τῷ κωνσταντίῳ ἐπιμειδίασε, καὶ μέχρι βαθείας νυκτὸς οἱ τοῦ μαγνεντίου συνεκόπτοντο καὶ ἀπώλλυντο. ἔστι δὲ τῆς τοῦ πολέμου ῥοπῆς τῷ τυράννῳ συνιχθείσης, εἰς φυγὴν ἐκεῖνος ἀπέκλινεν. ἵνα δὲ μὴ τοῖς βασιλικοῖς παρασήμοις φεύγων γνωρίζοιτο, ἀποτίθησι ταῦτα, καὶ ἰδιωτικὴν ἀναλαμβάνει στολήν. καὶ τῷ βασιλείῳ ἵππῳ τὰ παράσημα ἐπιθέμενος, ἀνετὸν ἀφῆκε τρέχειν αὐτὸν, ἵνα νομίζοιτο πρὸς τῶν ὁρώντων τὸν ἵππον θέοντα τὸν ἐπιβάτην χαμαὶ, ἀνῃρημένος αὐτὸς, καὶ μὴ καταδιώκοιτο πρός τινων. ὁ μὲν οὖν οὕτω διέδρα. ἕωθεν δὲ ὁ κωνστάντιος ἐπί τινος ἀναβὰς λόφου, καὶ τὴν παρακειμένην πεδιάδα, ἀλλὰ μὴν καὶ τὸν παραρρέοντα ποταμὸν νεκρῶν ἰδὼν γέμοντα, εἰς φανερὰ κατενεχθῆναι δάκρυα, οὐ μᾶλλον διὰ τῇ νίκῃ ἡδόμενος, ὅσον διὰ τὸν τῶν πεσόντων δακνόμενος ὄλεθρον. λέγεται γὰρ ἐκ μὲν τῶν ἐκείνου, περὶ τριάκοντα πεσεῖν χιλιάδας, ἁπασῶν ἀριθμουμένων εἰς ὀγδοήκοντα. ἐκ δὲ τῶν μαγνεντίου τριάκοντα καὶ ἓξ ὅσων χιλιάδων, διαφθαρῆναι τὰς εἴκοσι πρὸς ταῖς τέσσαρσιν. αὐτίκα τοίνυν τὸν ἀνῃρημένον τοὺς πεσόντας ταφῆς ἀξιωθῆναι πάντας ἐκέλευσε, μὴ διακρινομένων τῶν οἰκείων ἢ τῶν πολεμίων. τοὺς δ' ἔτι ἐμπνέοντας, ἐπιμελείας τυχεῖν καὶ ἰατρικῆς θεραπείας. διαδρὰς δὲ, ὡς εἴρηται, ὁ μαγνέντιος, τούς τε περισωθέντας ἐκ τῶν οἰκείων ἤθροιζε, καὶ ἄλλους συνέλεγε, καὶ αὖθις ἐπαναλαμβάνειν ἑαυτὸν ἐπειρᾶτο. ἔστειλε δὲ καὶ πρὸς τὸν κωνστάντιον συγκλητικόν τινα πρεσβεύσαντα, ὃν ὁ κωνστάντιος εὐθὺς τῷ τῆς πρεσβείας ὀνόματι κατασκοπήσοντα ἥκειν, καὶ τὰ κατ' αὐτὸν περιεργασόμενον, προσιέμενος. ὁ δὲ μαγνέντιος ἐπισκόποις αὖθις εἰς πρεσβείαν ἐχρήσατο, συγγνωμονηθῆναι ζητῶν, ἵν' ἐν στρατιώτου μοίρᾳ τῷ βασιλεῖ συστρατεύοιτο. ἀλλ' οὐδὲν πρὸς τὴν πρεσβείαν ταύτην ἀντεπεκρίνατο ὁ κωνστάντιος. ἀφῆκε δὲ τοὺς πρέσβεις ἀπράκτους ἐπανελθεῖν. κἀκεῖνος ἀπιὼν, ἐκίνησε τὸ στράτευμα, καὶ πολλοὶ τῶν ὑπὸ μαγνέντιον, αὐτῷ προσῄεσαν, ἑαυτούς τε καὶ τὰ φρούρια ἐγχειρίζοντες. μαγνέντιος δὲ ἀπογνοὺς τὸ τὸ συγγνώμης τυχεῖν, πρὸς πόλεμον ἡτοιμάζετο, καὶ ἐν γαλλίαις δυνάμεων πλήθη συνήθροιζεν. ἵνα δὲ φροντίσι περιβάλῃ τὸν αὐτοκράτορα, καὶ ἐξ ἑαυτοῦ ἀντιπερισπάσῃ, πρὸς ἕτερα ἐπιπέμπει τινὰ τῶν ἑαυτοῦ οἰκείων εἰς ἀντιόχειαν, ἀναιρήσοντα γάλλον. καὶ ὁ πεμφθεὶς, διὰ τὸ

ὅτι ἡττηθεὶς ὁ μαγνέντιος ἔφυγεν.

ὅτι καὶ αὖθις περὶ πολέμου ὁ μαγνέντιος ἑτοιμάζετο.

ὅτι ἐπεβούλευσεν ὁ μαγνέντιος τῷ γάλλῳ.

περὶ τοῦ ἱεροῦ σταυροῦ,

ad eum uiris illustribus, literis etiam exaratis, ueniam illi pollicetur, si ab armis discesserit, & Gallias concedit, uteius regni finibus se contineat. Verùm ille nihil modicum animo agitans, non accepit ea quæ per ocium à Constantio accipere potuisset. Sed bellum pati prælatum, eò celerius aggressus est, quòd Syluanus quidam ex tribunis illius, ab ipso ad imperatorem cum multis militibus defecerat. Cum propè uentum esset, castris utrinque positis, & Constantius suos milites ad rem fortiter gerendam cohortatur, & Magnentius suos item, ut se uiros fortes & fidos præberent, multa pollicitus. Iam instructis ordinibus maximã diei partem ignauã transegere, neutris alteros aggressis. Magnẽtius etiã præstigijs usus est. Nam saga quædã eum monuit, ut uirginem immolaret, eiusque sanguinem uino mistum militibus gustandum præberet, ipsa interim carmina quædam recitante, & dæmonum opem implorante. Sed die iam inclinante, exercitibus congressis, quum diu ancipiti Marte pugnatum esset, uictoria tandem penes Constantium fuit, Magnentianis in multam noctem cæsis & profligatis. Tyrannus uerò hac plaga accepta, fugam arripit, & ne agnoscatur, plebeiam uestem sumit, & equum suum regijs insignibus impositis, solutũ dimittit: ut qui sessore uacuum currentem uiderẽt, ipsum interfectum existimantes, non persequerentur. Sic ille effugit. Mane Constantium, quum tumulo quodam conscenso subiectam planiciem, & præterfluentem amnem cadaueribus plena uidisset, in manifestas erupisse lachrymas ferunt, non tam uictoria lætatum, quàm ob cæsorum interitum mœstum. Nam eum ad octoginta milia haberet, ad triginta milia cecidisse: de Magnentij trigintasex millibus, quatuor & uiginti perijsse. Cæsos omnes statim sine discrimine, siue hostes siue amici essent, sepeliri iussit, adhuc spirantes diligenter haberi & curari à medicis. Magnentius, ut dictum est, elapsus, reliquias suorum conquirendo, & alios adsciscendo, uires recolligere satagebat, misso ad Constantium senatorij ordinis legato, quem ille nomine legati, ad sua exploranda uenisse ratus, non admisit. At Magnentius rursus episcopis missis ueniam impetrare studet, ut pro milite Imperatori nauaret operam. Ad eam legationem nihil respondit Constantius, sed legatis re infecta dimissis, moto exercitu pergit, multis qui sub Magnentio militarant ad eum confluentibus, ac semetipsos & castella fidei illius committentibus. At Magnentius uenia desperata, se ad bellum parat, & in Gallijs copias colligit. Vt autem sollicitum redderet imperatorem, & à sese aliò aduerteret: familiarium suorum quendam mittit Antiochiam, qui Gallum tollat. Is quò minus suf-

Magnẽtius repudiatis pacis conditionib. profligatur.

Virginis immolatio.

Cruenta uictoria.

Magnẽtius uenia desperata, frustra insidias Gallo comparat.

pectus esset, in anus cuiusdam tugurio iuxta Orontem fluuium diuertit, qui, ut quidam tradunt, olim Ophites dictus, pòst de nomine filij, Cambysis Regis Persarum, in eo submersi, sic cognominatus est. Insidijs iam Gallo comparatis, & multis legionarijs sibi conciliatis, uesperi cum quibusdam rei conscijs in uetulæ tugurio concœnans, liberius de suis consilijs colloquebatur, contempta anicula, ut minimè curiosa, & ob senium ne intellectura quidem quid diceretur. At illa, ut apparet, acriore prædita ingenio, uel audire se illa, dissimulat, sed memoriæ diligenter mandat omnia: cumque hospes uino grauis, iam obdormisset, clàm egressa tugurio, urbem intrat, & omnia Cæsari nunciat, à quo missi quidam insidiatorem comprehendunt, qui quæstionibus adhibitus, omnem fabulam recenset. Sic Gallus euitatis insidijs, de illo & conscijs supplicium sumit. His ita gestis,

Magnentij secunda clades & interitus.

Magnentius denuò ad pugnā paratus, commissoque prælio à Constantio uictus, fugit. Sed milites fugæ illius socij, quum nullam salutis spem reliquam uiderent, superuacaneum arbitrati pro homine desperato pericula adire, eum Imperatori tradere decreuerunt. Itaque diuersorium eius circunstantes, hominem satellitum ritu, custodiunt, ne clàm elabatur. Magnentius sententia illorum cognita, in angustias redactus ineuitabiles, per desperationem, ut fertur, furiosi hominis facinora edidit, interfectis, quos circa se habuerat, cognatis & amicis omnibus, Desiderio etiam fratri multis uulneribus inflictis, nullo tamen ex eis letali, denique seipsum sustulit, ne à satellitibus Constantio Imperatori traditus pœna diuturniore afficeretur.

Decentij interitus.

Decentius Cæsar ab illo appellatus, quum in Gallijs ad opem fratri ferendam se pararet, illius interitu cognito, spe abiecta, uitam laqueo finit. Desiderius autem ex uulneribus à fratre Magnentio acceptis recuperata ualetudine, ultrò se Constantio dedit. Sic Magnentij tyrannide euersa, quæcunque ille occuparat, ea etiam in Constantij potestatem

Gallus Cæsar ob insolentiam & crudelitatē iussu Constantij occiditur.

uenerunt, ut paterno imperio integro solus potiretur. Ex eo pacatus fuit Occidens, sed orientales partes sunt turbatæ. Nam Gallus rebus secundis elatus, quum Antiochiam uenisset, subditos suos asperè tractabat, ac multifariàm uexabat, quam ad rem à coniuge etiam extimulabatur. Veritus igitur Constantius, ne populo, ex malorum impatientia deficiente, bello ciuili conflictandum esset, Do-

Domitiani ob importunitatem interitus.

mitianum senem illustrem, prætorio præfectum, misit Antiochiam, cum arcano mandato, ut Gallo arte persuaderet, ut ad se ueniret. Sed ille profectus Antiochiam, rem sine ullo tractauis ingenio, apertè iusso Cæsare ad Imperatorem proficisci, comminatus, ni pareret, se commeatus eorum, qui illi parerent,

αὐτόπτην(?), ὡς καλύβην τινὸς κατάλυσι γραός, παρὰ τὸν Ὀρόντην ποταμὸν πεπηγμένην, ὃς ὀφίτης πρώην ἐκαλεῖτο, ὥς τινες ἱστοροῦσιν, Ὀρόντης ἐπωνομάσθη μετέπειτα, τοῦ υἱοῦ Καμβύσου τοῦ Περσῶν βασιλέως εἰς αὐτὸν ἐμπεσόντος, καλουμένου Ὀρόντου. ἤδη γοῦν ὁ παρὰ τοῦ Μαγνεντίου σταλεὶς τὴν κατὰ τοῦ Γάλλου ἐξαρτύσας ἐπιβουλήν, καὶ πολλοὺς τῶν ἐκεῖ προσποιησάμενος ὁπλιτῶν, ἑσπέρας παρὰ τῇ τῆς γραὸς καλύβῃ τῶν συνιστόρων τισὶ συνδειπνῶν, ἀδεέστερον αὐτοῖς ὡμίλει περὶ ὧν ἐβουλεύοντο, καταφρονῶν τῆς γραὸς ὡς ἀπράγμονος, καὶ μὴ δὲ συνιείσης διὰ τὸ γῆρας τῶν λεγομένων. ἡ δὲ φύσεως ὡς ἔοικεν ἐντρεχεστέρας τυγχάνουσα, ἐῴκει μὲν μηδ' ἀκούειν τῶν λεγομένων, πάντα δὲ συνετήρει καθ' ἑαυτήν. καὶ ἐπεὶ ὁ ξένος αὐτῆς οἰνωθεὶς ὕπνωσεν, ἐκείνη λάθρα τῆς καλύβης ὑπεξελθοῦσα παρὰ τὴν πόλιν ἀφίκετο, καὶ πάντα κατήγγειλε τῷ καίσαρι. παρ' οὗ σταλέντες τινές, συνέσχον αὐτοῦ τὸν ἐπίβουλον, ὃς ταῖς ἀνάγκαις καταστὰς, τὸ ἅπαν δρᾶμα ἐξέφηνε. καὶ οὕτω τὴν ἐπιβουλὴν ὁ Γάλλος διέφυγεν, ἐκεῖνον κολάσας, καὶ τοὺς ἐκείνου συνίστορας. τούτων οὕτω συμβεβηκότων, ὁ Μαγνέντιος αὖθις πρὸς μάχην ηὐτρέπιστο, καὶ συμβαλὼν τοῖς τοῦ Κωνσταντίου, ἡττᾶται καὶ φεύγει. οἱ γοῦν αὐτῷ συμφυγόντες στρατιῶται, ἐπεὶ μηδεμίαν ἑώρων αὐτοῖς σωτηρίας ἐλπίδα περιλειπῆ, μάταιον ἐκρίναντες κινδυνεύειν ὑπὲρ ἀπεγνωσμένου ἀνδρός, ἐκδοῦναι αὐτὸν τῷ βασιλεῖ ἐβουλεύσαντο. καὶ περιστάντες τὴν οἰκίαν, ἔνθα κατέλυε, τὸ σχῆμα δὲ φρουρῶν ἐφρούρουν αὐτόν, ἵνα μὴ λάθῃ σφᾶς ἐκφυγών. ὡς δ' ἔγνω τὴν αὐτῶν διάνοιαν ὁ Μαγνέντιος, καὶ τὸ ἄφυκτον ἔγνω ἑαυτὸν περιειλημμένον, ὑπ' ἀπονοίας μεμηνότος ἔργον ὡς λόγος εἰργάσατο, τοὺς μεθ' ἑαυτοῦ πάντας συγγενεῖς τε καὶ φίλους ἀνῃρηκώς, ἔτι τε καὶ Δεσιδερίῳ τῷ ἀδελφῷ πολλὰς πληγὰς διὰ ξίφους ἐπενηνοχώς, ὧν μηδεμία τις αὐτῷ θανάσιμος ἦν. καὶ ταῦτα πράξας καὶ ἑαυτὸν ἀνεῖλεν, ἵνα μὴ παραδοθῇ πρὸς τῶν αὐτὸν φυλαξάντων Κωνσταντίῳ τῷ αὐτοκράτορι, καὶ χρονιώτερον κολασθῇ. καὶ Δεκέντιος δὲ ὁ ἀδελφὸς αὐτοῦ, ὃν προεχειρίσατο καίσαρα, ἐν Γαλλίαις ὤν, καὶ πρὸς τὸν ἀδελφὸν ἐπειγόμενος ἀφίξεσθαι σύμμαχος, ὡς τὸν ἐκείνου ἐπύθετο ὄλεθρον, ἀπέγνω, ἀγχόνῃ ἐχρήσατο. ὁ δὲ παρὰ τοῦ Μαγνεντίου πληγὰς δεξάμενος ἐκείνου ὅμαιμος ὁ Δεσιδέριος, τὸν θάνατον ἐκφυγὼν, καὶ ἀναρρωσθεὶς ἐκ τῶν πληγῶν, τῷ Κωνσταντίῳ προσῆλθεν ἐθελοντής. οὕτω δὲ τῆς τοῦ Μαγνεντίου τυραννίδος διαλυθείσης, ὅσα ἐκεῖνος κατεῖχε, καὶ ταῦτα ὑπὸ τὸν Κωνστάντιον γέγονε. καὶ ὁλοκλήρου τῆς πατρικῆς ἀρχῆς μόνος γέγονεν ἐγκρατής. τὰ μὲν οὖν ἑσπέρια εἰρήνην ἦγον τὸ τηνικάδε. τὰ δὲ τῆς ἕω ἐταράττετο μοίρας. ὁ Γάλλος γὰρ τῷ εὐτυχήματι ἐπαρθεὶς, ἐπεὶ ἐν Ἀντιοχείᾳ ἐγένετο, βαρὺς τοῖς ὑπ' αὐτὸν προσεφέρετο, κακουμένοις πολυειδῶς πρὸς αὐτοῦ, ἔχοντος καὶ τὴν ὁμόζυγον πρὸς τοῦτο αὐτὸν ἐρεθίζουσαν. δείσας οὖν ὁ Κωνστάντιος, μὴ κινηθῶσιν εἰς ἀποστασίαν οἱ ὑπ' ἐκείνῳ κακούμενοι, καὶ ἐμφυλίου πολέμου δεήσῃ αὐτῷ, Δομετιανὸν ἄνδρα ἐπιφανῆ τε καὶ γηραιόν, ὕπαρχον τῶν πραιτωρίων προχειρισάμενος, ὡς Ἀντιόχειαν ἔστειλεν, ἐντειλάμενος αὐτῷ ἐν ἀπορρήτοις, εὐφυῶς πως τὸν Γάλλον ὑπελθεῖν, καὶ πεῖσαι ἀφίξεσθαι πρὸς αὐτόν. ὁ δὲ εἰς Ἀντιόχειαν παραγεγονὼς, καὶ πάνυ ἀδεξίως τὸ πρᾶγμα μετεχειρίσατο, ἀναφανδὸν ἐπιτάξας τῷ καίσαρι πορεύεσθαι πρὸς τὸν αὐτοκράτορα, καὶ ἀπειλήσας, εἰ μὴ πείθοιτο, τὰς σιτήσεις τῶν ὑπ' αὐτὸν ἐπισχεῖν

[illegible] ἐγνώσθη ὁ κατὰ γάλλου δόλος.

ἧττα καὶ [illegible] ὁ μαγνέντιος καὶ ἑαυτὸν ἀνῃρήσατο.

[illegible] ὁ κωνστάντιος καὶ ὁ [illegible] ἀρχῆς γέγονεν ἐγκρατής.

[illegible] ὁ γάλλος [illegible] καὶ [illegible] ἀναιρεῖ [illegible] ἀνῃρέθη.

ἐπισχεῖν. τούτοις εἰς θυμὸν ἐκεῖνος παροξυνθεὶς, καὶ ἄλλως εὐκίνητος ὢν πρὸς ὀργὴν, κατέσχε τὸν ἔπαρχον, καὶ φρουροὺς αὐτῷ στρατιώτας ἐπέστησε. Μοντίου δὲ τοῦ κοιαίστορος αἰτιωμένου τὴν πρᾶξιν, καὶ εἰς σαφῆ τυραννίδα ταύτην ἀναγεσθαι λέγοντος, ἔτι χαλεπήνας ὁ καῖσαρ, ἀλλὰ καὶ πρὸς τῆς γυναικὸς εἰς ὀργὴν ἐξαφθεὶς ὡς καταφρονούμενος, καὶ αὐτὸν ὑπὸ δεσμοῖς ἐποιήσατο τὸν κοιαίστορα, καὶ τοῖς στρατιώταις καὶ ἄμφω παρέδωκεν. οἱ δὲ ἄμφω τὼ ἄνδρε συνδήσαντες, ἔσυραν διὰ τῆς ἀγορᾶς καὶ ᾐκίσαντο. καὶ τέλος ἐνέβαλον εἰς τὸν ποταμὸν καὶ διέφθειραν. ταῦτα μαθὼν ὁ Κωνστάντιος ἔπεμψε τοὺς ἕλξοντας τὸν Γάλλον εἰς ἑαυτόν. ὁ δὲ, τὴν γυναῖκα προέπεμψεν ἐξευμενισομένην τὸν ἀδελφὸν, ἣν ὁδοιποροῦσαν ἔτι, τὸ τέλος ἐκ νόσου κατέλαβε τῆς ζωῆς. γνοὺς οὖν τὸν τῆς ἀδελφῆς ὁ Κωνστάντιος θάνατον, αὐτίκα στείλας, γυμνοῖ τὸν Γάλλον τοῦ ἀξιώματος, καὶ ὑπερόριον τίθησιν. εἶτα στέλλει καὶ τοὺς αὐτὸν ἀναιρήσοντας, παρὰ τῶν περὶ αὐτὸν εἰς τοῦτο ἐρεθισθείς. μεταμεληθεὶς δ' αὖθις, ἑτέρους στέλλει τοὺς εἴρξοντας τὴν ἀναίρεσιν. οὓς ἀνέπεισαν οἱ τῷ Γάλλῳ ἐχθραίνοντες, καὶ μᾶλλον ὁ εὐνοῦχος Εὐσέβιος, τὴν τοῦ πραιποσίτου διέπων ἀρχὴν, καὶ μέγα παρὰ τῷ Κωνσταντίῳ δυνάμενος, μὴ πρότερον ἀπαγγεῖλαι τοῖς τὸν Γάλλον φθάσουσι κτανεῖν τὴν βασιλικὴν μεταμέλειαν, πρὶν ἢ καὶ γνῶσιν ἀνῃρημένον τὸν ἄνθρωπον. ὁ μὲν οὖν ἀνῄρητο. τῶν πέραν δὲ τοῦ Ῥήνου βαρβάρων ταῖς Γαλλίαις ἐπικειμένων, ἐκπέμπεται Σιλβανὸς, ἀνακόψων αὐτῶν τὰς ὁρμὰς, ἀνὴρ στρατηγικώτατος καὶ ἄριστος τὰ πολέμια. διαβολαῖς δὲ κατ' αὐτοῦ πεισθεὶς ὁ βασιλεὺς (εἶχε γὰρ ἐπικλινῶς τὰς ἀκοὰς πρὸς διαβολὰς) ἐβουλεύετο δεινὰ κατὰ τοῦ ἀνδρός. ὁ γνοὺς ἐκεῖνος, πρὸς ἀποστασίαν ἀπέκλινε. καὶ σχῆμα καίσαρος ἑαυτῷ περιέθετο. οὐκ ἐπὶ μακρὸν δὲ τῇ ἀποστασίᾳ ἐχρήσατο. Οὐρσίκινος γὰρ ἐστάλη ἐκεῖ. καὶ χρήμασι τῶν ἐκείνου στρατιωτῶν τινὰς ὑποφθείρας, δι' ἐκείνων ἀνεῖλε τὸν Σιλβανὸν, καὶ τὴν ἀποστασίαν κατέπαυσε. τῷ μέντοι Κωνσταντίῳ ἀναζευγνύντι ἐκ τῶν ἑσπερίων, καὶ ἐπανιόντι πρὸς τὸ Βυζάντιον, ἐκ τῶν Περσῶν πρέσβεις περὶ τὸ Σίρμιον συνηντήκασιν, ἐσταλμένοι παρὰ Σαπώρου, ἀπαιτοῦντος ἀποδοθῆναι Πέρσαις τὴν Μεσοποταμίαν καὶ Ἀρμενίαν, ἵν' οὕτω παύσαιντο Ῥωμαίοις μαχόμενοι. ταύτας γὰρ τὰς χώρας ἀνέκαθεν ἐκ προγόνων αὐτοῖς διαφέρειν. εἰ δ' οὐ πείθοιτο, δηλοῦντος τῷ αὐτοκράτορι, ὑπὸ τῷ Ἄρει δικαστῇ ποιήσασθαι τὴν τῆς ὑποθέσεως ζήτησιν. πρὸς ταῦτα ἀντεπέστειλεν αὐτῷ ὁ Κωνστάντιος, θαυμάζειν εἰ ἐπιλέληθε, ὅτι Πέρσαι Μακεδόσιν ἐδούλευσαν, καὶ ὅτι Μακεδόνων Ῥωμαίοις ὑποταγέντων, καὶ οἱ ἐκείνοις δουλεύοντες, ὑπήκοοι Ῥωμαίοις ἐγένοντο. τούτοις ὁ Σαπώρης παροξυνθεὶς, πρὸς πόλεμον ἀνῆπτε, καὶ αὖθις εἰς πολιορκίαν κατέστη Νισίβεως. ὡς δ' οὐδὲν ἐπέραινε κατ' αὐτῆς, ἀπέστη, καὶ ἑτέρων ἀπεπειρᾶτο. ὡς δὲ κἀκείνων ἀπεκρούσθη, εἰς Ἄμιδαν κατήντησε, καὶ ταύτης ἐκράτησε. Κωνστάντιος δὲ μὴ οἷός τε ὢν τὴν ὅλην διευθύνειν μόνος ἀρχὴν, τοσαύτην οὖσαν, ὡς ἐξ ἄκρων σχεδὸν περάτων τῆς γῆς εἰς ἄκρα πέρατα κατανταῖν, ἐξ Ἀθηνῶν τὸν τοῦ Γάλλου ὁμαίμονα τὸν Ἰουλιανὸν μετακαλεσάμενος, καίσαρα τοῦτον ἀνεῖπε, καὶ Ἑλένην αὐτῷ τὴν οἰκείαν συνῴκισεν ἀδελφήν. λέγεται δὲ τῇ μητρὶ αὐτοῦ κυούσῃ αὐτὸν, ὀνείρατι γενέσθαι, καὶ δόξαι τὸν Ἀχιλλέα τεκεῖν. ἡ δὲ, διυπνισθεῖσα, καὶ τὸ ὄναρ διηγουμένη τῷ ἀνδρὶ, ἔτεκε τοῦτον μετ' ὀλίγον σχεδὸν ἐπ' αὐτῷ.

Ἀποστασία Σιλβανοῦ καὶ ἀναίρεσις.

Σαπώρης τῷ Κωνσταντίῳ Μεσοποταμίαν καὶ Ἀρμενίαν ἀπαιτεῖ, καὶ ὁ Κωνστάντιος ἀνθίσταται.

Ἰουλιανὸς καῖσαρ ἀναγορεύεται, καὶ Κωνστάντιος τὴν ἀδελφὴν Ἑλένην αὐτῷ συνέζευξεν.

detenturum. His ille, alioqui pronus in iram, commotus, præfectum detinet, & militibus custodiendum tradit. Eam rem Montio quæstore culpante, & manifestæ tyrannidis esse asserente, Cæsar denuo iratus, & magis etiam ab uxore inflammatus, quasi contemneretur: & quæstorem in uincula conijcit, & ambos militibus tradit, qui utrunque per forum tractum & excruciatum, denique in flumen coniectum suffocarunt. His Constantius cognitis, misit, qui Gallum ad sese pertraherent. At ille præmisit uxorem, fratrem placaturam, quæ in itinere ex morbo decessit. Cuius obitu cognito Constantius, Gallum statim dignitate priuatum relegat, pòst etiam percussores contra illum mittit, à suis incitatus, cuius rei quum pœnituisset, per alios cædem eius auerti iubet. Iis Galli inimici, ac potius Eusebius Eunuchus, qui præpositi magistratum curabat, homo apud Constantium gratiosus, persuasit, ne Galli percussoribus pœnitentiam Imperatoris indicarent prius, quàm hominem cæsum esse cognouissent. Sic ille interfectus est. Quum autem Transrhenani Barbari Gallias infestarent, Syluanus, uir rei militaris peritissimus, & optimus imperator, ad eorum impetum retundendum mittitur. Sed Imperator, calumijs adductus (quibus sanè pronas solebat aures præbere) atrocia contra illum clàm machinatur. Quo ille intellecto, ad defectionem impulsus, Cæsaris habitum sibi usurpat. Verum breuis ille motus fuit. Nam Vrsicinus à Constãtio missus, quosdam milites eius, pecunia corrupit, quorum opera sublato Syluano, defectio sopita est. Constantium ab Occidente Byzantium reuersurum, legati Persarum à Sapore missi circa Sirmium cõueniunt, qui Mesopotamiam & Armeniam Persis restitui postulabant, ut ad quos eæ prouinciæ à multis seculis pertinerent: quò tãdem desinerent bella gerere cum Romanis. Sin minus, Imperatori significabant, Regem Marte iudice causam illam disceptaturum. Ad ea rescripsit Constantius: mirari se, oblitum illum esse, quòd Persæ Macedonibus seruierint, quibus per Romanos subactis, illorum etiam serui Romanæ ditionis facti sint. His Sapores inflammatus, bellum parat, Nisibin confestim obsidet, eaque, quum nihil proficeret, relicta, alias urbes tentat: ab illis etiam repulsus, Amidam tandem capit. Constantius autem quum tantum imperium, quod ab extremis terræ finibus, ferè in extremos protendebatur, solus gubernare non posset: Galli fratrem Iulianum Athenis accersitum, Cæsarem appellat, sorore Helena in matrimonium data. Ferunt matrem eius uterum ferentem, in somnis sibi uisam esse Achillem parere. Experrecta, dum somnium marito narrat, illum parit, penè sine do-

Constantiæ obitus.

Eusebius eunuchus.

Syluani defectio & interitus.

Vrsicinus.

loribus, fœtu edito priusquam se parituram sensisset. Hinc magna de illo spe concepta parentes, puerum Eusebio Nicomediæ Episcopo in sacra scriptura erudiendum tradiderunt. Sed Constantius Imperator eum iam Cæsarem, cum paucis omnino militibus in Gallias ablegauit, ut inde suspicio nasceretur, Iulianum non delectum esse Imperij collegam, sed ad dissimulandas insidias, habitu Cæsareo ornatum esse, ut paribus tanto bello copijs non instructus, ab hostibus cæderetur. Cæterum Iulianus secunda fortuna usus, hostes præter spem uincit, eosdemque recuperatis uiribus rebellantes, denuo fundit, ac tropæum erigit, multis cæsis, multis itē in amne præterfluente submersis, captis haud paucioribus. Eo prælio uictis hostibus, undecim millia Romanorum soluta uinculis captiuitatis feruntur. Post hæc contra Alemannos etiam re bene gesta, genti, petentibus illis, pacem dedit, captiuis receptis. His Cæsar Iulianus ad superbiam elatus, aut, ut quidam autores sunt, Constantium successibus suis inuidentem ueritus, ne fratris Galli exemplo uita priuaretur: defectionem molitur, conciliatis sibi tribunis aliquot, à quibus milites cōcitati, per conspirationem eum Augustum salutant, & strictis gladijs, imperij titulum repudiantem scilicet, circunstantes occisuros minantur, nisi obtemperet. Sic igitur, inuitus forsitan, ad impetum multitudinis euitandum, accipit imperium. Quum autem diadema quæreretur, atque ille sibi nullum esse iuraret: quibusdam ornamenta muliebria petentibus, ut inde conficeretur, recusante Iuliano, ut mali ominis, tribuni cuiusdam torquem aureum, gemmis ornatum, capiti illius accommodant. Tum ille Pentadium magistrum imperatoriarum legionum cum alijs ad Constantium mittit, additis literis quibus se purgabat, quòd imperij titulū non spontè admisisset, sed à militibus coactus, qui non sub Cæsare, sed sub imperatore militare uellent, quò digna suis laboribus operæprecia flagitare possint. Petere, ut imperij communionem ex usu Reipublicæ futuram æquo animo pateretur, polliceri, se cursores equos de more ex Hispania, & delectos è Gallijs uiros, quotannis ei missurum. His literis, se non Imperatorem scripsit, sed Cæsarem, ne eas, inscriptione offensus Constantius, abijceret. Quas quum accepisset, præ iracundia nihil respondit, sed expeditione Persica militibus denunciata, Leonam quæstorem ad Iulianum misit, cum eo per literas expostulans, quòd suam sententiam non expectasset: illi quàm sibi turpius esse, quòd Augusti titulum non ab eo cuius esset autoritas, sed à confuso militum tumultu accepisset: suadere, ut abstineret, eo quòd non ritè consecutus esset, & ad pristinum habitum à se tra-

Iulianus Cæsar, Augustum se appellari patitur.

Iuliani ad Constantiū legatio.

παραθεῖσα, καὶ τεκοῦσα πρὶν ἢ γνῶναι, ὡς μέλλοι τίκτειν. γεννηθέντι ἐπ' αὐτῷ μεγάλας ἐσχηκότες ἐλπίδας οἱ τούτου γονεῖς, Εὐσεβίῳ τῷ νικομηδείας αὐτὸν παραδεδώκασι, παρ' αὐτοῦ μυηθησόμενον τὴν θείαν γραφήν. καίσαρα δὲ τοῦτον ἀναγορεύσας ὁ αὐτοκράτωρ κωνστάντιος, ὡς γαλλίας ἐξέπεμψε μεθ' ὀλίγων πάνυ στρατιωτῶν, ὡς ὑπόνοιαν ἐντεῦθεν ἐγγίνεσθαι, ὅτι οὐ κοινωνὸν τῆς ἀρχῆς τὸν ἰουλιανὸν ὁ κωνστάντιος εἵλετο, ἀλλ' ὡς ἐπιβουλεύων αὐτῷ πρόφασιν τὸ σχῆμα περιέβαλε τὸ τοῦ καίσαρος, ἵν' ὑπὸ τῶν πολεμίων διαφθαρῇ, μὴ ἔχων δύναμιν πρὸς τὸν κατ' ἐκείνων πόλεμον ἀξιόχρεων. ὁ δὲ ἀπελθὼν, καὶ ἀγαθῇ τύχῃ χρησάμενος, συμβάλλει τοῖς πολεμίοις, καὶ ἀνελπίστως νικᾷ. καὶ αὖθις ἐκείνων ἀναρρωσαμένων τῶν πολεμίων, προσμίγνυται αὐτοῖς, καὶ τρόπαιον ἵστησι, πολλῶν μὲν ἀναιρεθέντων, πολλῶν δ' ἀπολομένων ἐν τῷ παραρρέοντι ποταμῷ, καὶ ζωγρηθέντων οὐκ ἐλαττόνων. ὅτε καὶ ἕνδεκά φασι χιλιάδας αἰχμαλώτων ῥωμαίων, τῶν τῆς αἰχμαλωσίας ἀπολυθῆναι δεσμῶν, ἡττηθέντων τῶν πολεμίων. εἶτα καὶ ἀλαμανοῖς πολεμήσας, καὶ κατὰ τούτων εὐτυχήσας, καὶ δεηθέντων αὐτῶν, τῷ ἔθνει ἐσπείσατο, λύσαντι τῆς δουλείας τοὺς παρ' αὐτοῖς ὄντας δορυαλώτους ῥωμαίους. τούτοις οὖν ὁ καῖσαρ ἰουλιανὸς ἐπαρθεὶς καὶ ὑπερφρονήσας, ὡς δ' ἔνιοι συνεγράψαντο, ὅτι καὶ δεδιὼς τὸν κωνστάντιον, βασκαίνοντα οἱ διὰ τὰ εὐτυχήματα, μὴ κατὰ τὸν ἀδελφὸν γάλλον καὶ αὐτὸν ὑπεξαγάγῃ τοῦ ζῆν, εἰς ἀποστασίαν ἐπῆρε, καί τινας τῶν ὑπ' αὐτὸν ταξιαρχῶν ὑπελθὼν, δι' ἐκείνων τὸ στρατιωτικὸν παρεκίνησε, καὶ συσταὶ, ἀνεῖπον αὐτὸν αὔγουστον. εἶτα ξιφήρεις ἐπιστάντες αὐτῷ, ὡς δῆθεν μὴ προσιεμένῳ τὴν τῆς βασιλείας ἀνάρρησιν, ἠπείλουν διαχειρίσασθαι αὐτὸν, εἰ μὴ πείθοιτο. οὕτω δὲ τάχα καὶ ἄκων τὴν τοῦ στρατιωτικοῦ πλήθους ὑπεκστὰς ὁρμὴν, προσήκατο τὴν ἀρχήν. ζητουμένου δὲ διαδήματος, ἵν' αὐτίκα τούτῳ ταινιωθῇ, ἐκεῖνος μὲν μὴ ἔχειν ἐξώμνυτο. τινῶν δὲ κόσμον αἰτούντων γυναικεῖόν τινα, ἵν' ἐκ τούτου σχεδιασθῇ διάδημα, ἠρνήσατο τοῦτο ὁ ἰουλιανὸς, ὡς ἀπαίσιον οἰωνόν. ἐπεὶ δὲ χρύσεόν τις τῶν ταξιαρχῶν ἐφόρει στρεπτὸν, λίθους ἔχοντα χρυσοδέτους, τοῦτον λαβόντες τῇ ἐκείνου προσήρμοσαν κεφαλῇ. ὁ δὲ πεντάδιον τὸν μάγιστρον τῶν βασιλικῶν τάξεων, σὺν ἑτέροις ἀπέστειλε πρὸς κωνστάντιον, ἐπιστείλας αὐτῷ καὶ ἀπολογούμενος, ὡς οὐχ ἑκὼν προσήχθη πρὸς τὴν τῆς βασιλείας ἀνάρρησιν, βιασθεὶς δ' ὑπὸ τῶν στρατιωτῶν, μὴ βουλομένων στρατεύεσθαι ὑπὸ καίσαρι, ἀλλ' ὑπὸ βασιλεῖ, ἵν' ἔχοιεν ἐξ αὐτοῦ ἀξίας τῶν πόνων τὰς ἀμοιβὰς ἀπαιτεῖν. καὶ ἀξιῶν δέξασθαι τὴν τῆς ἀρχῆς κοινωνίαν, ὡς ὠφέλειαν ἐσομένην τῇ πολιτείᾳ, ἐπαγγελλόμενός τι, καὶ τοὺς ἀμιλλητηρίους ἵππους ἐξ ἱσπανίας ὡς ἔθος, καὶ τοὺς ἐπιλέκτους ἄνδρας ἐκ τῶν γαλλιῶν ἐτησίως στέλλειν αὐτῷ. ταῦτ' ἐπιστείλας, οὐ βασιλέα ἑαυτὸν ἐν τῇ ἐπιγραφῇ προσγέγραφεν, ἀλλὰ καίσαρα, ἵνα μὴ τῇ ἐπιγραφῇ προσοχθίσας ὁ κωνστάντιος, τὴν ἐπιστολὴν ἀποπέμψηται. ταύτης τῷ βασιλεῖ κωνσταντίῳ κομισθείσης κατὰ τὴν ἐν καππαδοκίᾳ καισάρειαν διατρίβοντι, ἐκεῖνος ὑφ' ὀργῆς ἀπεκρίνατο. ἀλλὰ τὴν μὲν στρατείαν κατὰ περσῶν τοῖς στρατιώταις ἐκήρυξε, πρὸς δὲ τὸν ἰουλιανὸν, λεωνᾶν τὸν κοιαίστορα ἔστειλεν, ἐπιστείλας αὐτῷ, καὶ αἰτιώμενος, ὅτι μὴ ἀνέμεινε τὴν γνώμην αὐτοῦ, καὶ εἰς ὕβριν ἐκείνου μᾶλλον ἢ ἑαυτοῦ ἀνάγων, τὸ, μὴ κρίσει τοῦ τὴν ἐξουσίαν ἔχοντος, ἀλλ' ἀτάκτῳ θορύβῳ στρατιωτῶν δέξασθαι αὐτὸν τὴν τοῦ αὐγούστου κλῆσιν, καὶ συμβουλεύων ἀφέξασθαι τοῦ μὴ προσηκόντως γινομένου, καὶ ἐς τὸ πρότερον ἐπανελθεῖν σχῆμα, ὃ παρ' αὐτοῦ εἴληφε,

Ἐπὶ τῶν πολεμίων τρόπαιον ἵστησιν ἰουλιανός.

Ὅτι ἀκουσίως ἰουλιανὸς καὶ ἄκων γέγονεν ὑπὸ τοῦ στρατοῦ ἀναγορευθείς.

Οἷα τῷ κωνσταντίῳ ἐπιστέλλει ἰουλιανός.

Οἷα ἐπιστέλλει μόνον τῷ ἰουλιανῷ ὁ κωνστάντιος.

τοῦ ἀδελφοῦ. τῷ μέντοι κοιαίστορι ἐπέτρεψε καὶ τοὺς τὰς ἀρχὰς ἐκεῖσε ἀνύοντας, παραλῦσαι τῆς ἐξουσίας, καὶ αὐτὸν τῶν πραιτωρίων ὑπερχόμενον, ἑτέρους τε ἐς ταύτας ἐγκαταστῆσαι, οὓς ἐκεῖνος ἐς ἑκάστην ὠνόμασεν. ἀπελθὼν οὖν ὁ κοιαίστωρ πρὸς τὸν Ἰουλιανόν, τοὺς λόγους αὐτῷ τοῦ Κωνσταντίου ἀπήγγελλεν. οἶδα ἴσως, ὅτι ἔδει σε μεμνῆσθαι ὅσων ὀφειλέτης μοι εἶ, οὐ μόνον ὅτι καίσαρα ἀνηγόρευσα, ἀλλ' ὅτι καὶ ὀρφανὸν ἐν παιδικῇ γενόμενον ἡλικίᾳ, ἀνεθρεψάμην, αὐτὸς προσλαβόμενος. ὁ δὲ ὑπολαβὼν, τῷ κοιαίστορι ἔφη. τίς δέ μοι, ὦ βέλτιστε, ἐν τοιαύτῃ ἡλικίᾳ τὴν ὀρφανίαν ἐπήνεγκεν; οὐχὶ τῶν ἐμῶν γονέων φονεύς; ὥστε οὐκ οἶδε τούτων ἀναμιμνήσκων με, ὡς ἀναξαίνων τὸ τραῦμα καὶ χαλεπώτερον ἐργαζόμενος; ἐπελθὼν δὲ καὶ τὸ πρὸς αὐτὸν ἐπιστόλιον ὁ Ἰουλιανός, πρὸς τὴν συμβουλὴν τοῦ ἐκδύσασθαι τὸ βασίλειον σχῆμα, καὶ αὖθις ἐνδύσασθαι τὸ καίσαρος, ἔφη πρὸς τὸν κοιαίστορα, ὅτι ποιήσοι τοῦτο, ἀλλὰ γνώμῃ τῶν στρατευμάτων. ὁ δέ γε κοιαίστωρ φοβηθείς, ὡς εἰ τοῖς στρατιώταις τοῦτο ἐκφάνειεν ὁ Ἰουλιανός, παρ' αὐτῶν διασπασθήσεται, πρὸς αὐτόν, ἐδεῖτο μή τι τὸ τῶν στρατιωτικῶν κοινώσασθαι ὄχλῳ. ἀπογνοὺς μέντοι διαπράξασθαί τι τῶν αὐτῷ προστεταγμένων ἀνύσαι, ὑπέστρεψε μετὰ γραμμάτων τοῦ τυραννήσαντος, ἀναιδῶς ὀνειδιζόντων τὸν αὐτοκράτορα, καὶ ἐπαπειλούντων, ὡς πλεῖστα ἐξαμαρτόντα περὶ τὸ γένος αὐτοῦ, καὶ ἀπειλούντων, αὐτὸν γενέσθαι τιμωρὸν τῶν ἀδίκως παθόντων. καὶ ὁ μὲν ἀπῄει πρὸς τὸν Κωνστάντιον. ὁ τύραννος δὲ πολλοὺς εἰδὼς ἐν τοῖς αὐτῷ συνοῦσι τὰ Κωνσταντίου φρονοῦντας, πάντας ἐκεῖθεν ἐξήλασεν. αὐτὸς δὲ πρὸς ἐμφύλιον ἡτοιμάζετο πόλεμον. ἐν τούτοις καὶ ἡ αὐτοῦ γυνὴ τελευτᾷ, ὡς μέν τινές φασι τίκτουσα παρ' αὐτῷ, ὡς δ' ἕτεροι, ἤδη ἐκβεβλημένη. ἐκεῖνος δὲ τοὺς στρατιώτας συναγαγών, ἐπὶ τὸν ἐμφύλιον ἠρέθιζε πόλεμον, καὶ συνεβούλευε δεῖν αὐτοὺς κατὰ τοῦ Κωνσταντίου χωρῆσαι, καὶ μὴ μένειν ἐκεῖνον κατ' αὐτῶν ἐπελθεῖν. ἤδη δὲ τὴν εἰς Χριστὸν ἐξομοσάμενος πίστιν, εὐλαβεῖτο διὰ τοὺς στρατιώτας, σχεδὸν ξύμπαντας Χριστιανοὺς ὄντας. διὸ συσκιάζων τὴν ἑαυτοῦ κακίαν, ἕκαστον ἐπέτρεπε θρησκεύειν ὡς βούλοιτο. αὐτὸς δὲ τῆς γενεθλίου τοῦ σωτῆρος ἡμέρας ἐφεστηκυίας, εἰσῆλθεν εἰς τὸν ναόν, καὶ προσκυνήσας, ἵν' ὁμόδοξος τοῖς στρατιώταις δοκῇ, ἐξῆλθεν. ἀπέστειλε δὲ καὶ ταῖς ἀρχαῖς οὓς ἐκεῖνος ἐβούλετο. καὶ οὕτως ᾔει πρὸς τὸν ἐμφύλιον πόλεμον. ἔλεγε δὲ μὴ κατὰ Κωνσταντίου χωρεῖν, ἀλλ' ἐθέλειν εἰς ἓν συνελθεῖν τὰ ἑῷα στρατεύματα καὶ τὰ ἑσπέρια, ἵν' ὁμοῦ γενόμενα, τὸν αὐτῶν ἐκλέξωνται βασιλεύσοντα. ηὔχει δὲ προεγνωκέναι τὴν ἡμέραν καθ' ἣν τεθνήξεται ὁ Κωνστάντιος, ἐν ὀνείρῳ αὐτὴν μυηθείς, δι' ἐπῶν ταῦτα φραζόντων.

Ζεὺς ὅταν εἰς πλατὺ τέρμα μόλῃ κλυτοῦ ὑδροχόοιο,
παρθενικῆς δὲ Κρόνος μοίρης βαίνῃ ἐπὶ πέμπτης
εἰκοστῆς, βασιλεὺς Κωνστάντιος Ἀσίδος αἴης.
τέρμα φίλου βιότου στυγερὸν καὶ ἐπώδυνον ἕξει.

τέθνηκε δὲ ὁ Κωνστάντιος τὰ μὲν τῶν Περσῶν λιπών. ἐπεὶ καὶ ὁ ἐκείνων βασιλεὺς ἐπ' οἴκου ἀνεχώρησε. κατὰ δὲ τοῦ τυραννήσαντος ἐπιών. φροντίσι δὲ πολλαῖς συνεχόμενος, κἀντεῦθεν συλληφθεὶς πυρετῷ, χολήν τε ἀναγαγὼν μέλαιναν, ἐτελεύτησεν ἐν Μόψου κρήνῃ. κεῖται δ' αὕτη κατὰ τὴν τοῦ Ταύρου ὑπώρειαν, ἐπὶ τρισὶν ὡς λέγεται μεμφόμενος ἑαυτῷ, τῷ φόνῳ τῶν συγγενῶν. οὐ γὰρ τὸν Γάλλον μόνον ἀπέκτεινεν, ὡς εἴρηται ἤδη, ἀλλὰ καὶ τοὺς ἀδελφοὺς τοῦ οἰκείου πατρός. τῇ ἀναρρήσει τοῦ Ἰουλιανοῦ, καὶ τῇ καινοτομίᾳ τῆς πίστεως. ἦν δὲ ὁ αὐτοκράτωρ οὗτος, εὐμενὴς μὲν τοῖς ὑπηκόοις, δικαιοσύνης δὲ περὶ τὰς κρίσεις στοιχῶν. περὶ

[illegible]

[illegible]

τελευτὴ Κωνσταντίου.

οἷος ὁ Κωνστάντιος ἦν.

ditum reuerteretur. Quæstori porrò mandat, ut qui illic in magistratibus essent, ijs adempta potestate, alios à se ad quenque magistratum designatos, surrogaret. Quæstor Iuliano mandata Imperatoris nunciat, quæ erant: meminisse eum oportere, quantum Constantio deberet, non tantum quòd Cæsarem appellasset, sed etiam, quòd puerili ætate parentibus orbatum apud se aluisset. Ille uerò quæstori: Quis, inquit, ea ætate mihi orbitatis autor extitit? nónne parentum meorum interfector? An ignorat istis commemorandis, se refricare cicatricem, & uulnus reddere atrocius? Lectisq; literis, ad consilium Imperatorij habitus deponendi, Cæsarei´que resumendi, quæstori ait, se id facturum, sed de consilio legionum. Tum quæstor ueritus, ne te cum exercitu communicata, ipse à militari turba discerperetur, Iulianum orat, ne id faceret, mandata´que exequendi spe abiecta, cum tyranni literis, quibus Imperatorem, ut qui familiam suam multis iniurijs onerasset, impudenter proscindebat, additis minis, se ultorem eorum fore, qui contra ius & fas occisi essent, discedit. Tyrannus, quum se multos Constantij studiosos, secum habere sciret, ijs pulsis omnibus, ad ciuile bellum sese parat. Interea & uxor eius moritur, suis, ut quidam aiunt, adhuc materfamilias eius, siue, ut alij, iam repudiata. Conuocatos igitur milites ad bellum intestinum concitat, suadens, ut Constantini aduentu non expectato, ipsi illum inuaderent. Quanquam autem Christianismum iam obiurarat, tamen milites reformidans, quos ferè omnes Christianos esse norat, tegendæ suæ nequitiæ causa, liberum cuique facit, quamuis religionem colere, natalíq; Saluatoris die, in templo adorat, ut consentire cum militibus uideatur, & mandatis Magistratibus ijs quos ipse probabat, ad bellum ciuile proficiscens, se Constantium inuasurum negat, sed illud uelle, ut Orientales exercitus cum Occidentibus congressi, Imperatorem sibi deligerent. Gloriabatur etiam se diem obitus Constantij somnio cognouisse, his uersibus:

Iupiter Augustos ubi fines intrat Aquarij
Virgineoq; sinu uicesima quinta recepit
Portio Falciferum, Constantius induperator
Regnũ Asię tristi superatus morte relinquet.

Mortuus autem est Constantius, relicto bello Persico, quum hostis etiam domum redisset, tyrannum aggressurus. Sed curis multis æstuans, febri corripitur, ac multa atra bile reiecta, ad Mopsi fontem (locus est ad Tauri radices) obit, trium, ut aiunt, se pœnitere professus, cædis propinquorum. Nec enim Gallum duntaxat (ut diximus) sed & patruos suos occiderat, collati in Iulianum tituli, & mutatæ religionis. Fuit enim clemens erga subditos: æquitatis in iudicando seruans: in

Iulianus aperto Marte Constantium inuasurus.

Helenæ uxoris Iuliani obitus.

Iuliani simulatio.

Somnium Iuliani.

Constantij obitus.

Pœnitentia trium rerũ.

Elogia.

uictu temperans: in mandandis imperijs & magistratibus decori obseruans: nec in senatum quenquam admisit nisi eruditum, & in dicendi facultate ita exercitatum, ut solutam ligatamque scriberet orationem. Cæterum in religione non fuit purus putus, *Arianismus* neque patris secutus est pietatem, sed Arianis studuit, Eusebij cubiculariorum principis impulsu, & D. Alexandrum, post Metrophanem Nouæ Romæ patriarcham electum, in societatem recipere Arium, atque illo abnuente, concilium indici iussit, cuius dies cùm instaret, Alexander uesperi ædem ingressus, pronus humi stratus, *Arij interitus.* deprecatur Deum, ne lupum (Arium intelligens) in mandram suam ingredi pateretur, aut se prius è uita tolleret. Hæc ingenti cum dolore & lachrymis precabatur. Mane, concilio primum inchoando, Arius elato animo prodit. Sed inter eundum, uentre conuulso, secedit ad aluum exonerãdum & urinam reddendam, ibique effusis unà intestinis miserè periit. *Alexander Paulus Confessor.* Alexander autem patriarcha annis III. & XX. sacerdotio functus, uitam cum morte commutauit: in cuius locum ab orthodoxis suffectus est Paulus confessor. Sed Constantius Antiochia reuersus, eum sede Constantinopolitana pellit, suffecto in eius locum Eusebio Nicomediæ episcopo, Arianæ factionis. *Eusebius Nicomedẽsis.* At S. Paulus cùm se Romam contulisset, à Papa Iulio Constantinopolitanæ sedi restitutus, denuo fugatur à Constantio, & relegatus, ab Arianis occiditur. *Macedonius pneumatomachos.* Eusebio mortuo Macedonius, cui ab oppugnando spiritu Pneumatomachi cognomẽ erat, ab Arianis in nouæ Romæ sedem introducitur, qui per superbiam sacrosanctum D. Cõstantini corpus è S. Apostolorum æde in S. martyris Acatij diuinum sacellum intulit. Quo facto irritatus Constantius, cum in patriã urbẽ redisset, Macedoniũ, qui unũ annũ in patriarchatu egerat, throno *Eudoxius.* auulsum relegat, Eudoxio Arianarũ partiũ in eundem collocato, quem ille per decennium tenuit, et patris corpus in æde reposuit. *S. Apostolorum.* Idem Constantius etiam S. Apostolorum Andreæ & Lucæ sacrosancta corpora, per Alexandriæ tum ducem, pòst illustrem Christi martyrem Artemiũ, in patriam urbem translata, in S. Apostolorum æde intra Sacrarium *S. Andreæ & Lucæ corpora.* condidit. Vxorem habuit Eusebiam, forma *Eusebia Cõstantij uxor* celebrem illam quidem, sed ob maritum calamitosam, cùm natura tum morbis mollem & ad Venerem segniorem. Vnde paulatim contabescens, ante Constantium decessit, nullo unquam fœtu edito, & ut quidam dicunt, uteri dolonbus alienata mente defecit. Constantius & equitandi & iaculandi peritus *Constantij eruditio.* fuisse memoratur, & in literis ita eruditus, ut etiam uersus componeret.

τὴν δίαιταν ἐγκρατὴς, καὶ ἐν ταῖς τῶν ἡγεμονιῶν, καὶ ταῖς τῶν ἀξιωμάτων διανομαῖς, τοῦ πρέποντος στοχαζόμενος, μηδένα τῇ γερουσίᾳ συντάσσων, ὃς παιδείας μὴ μετέλαχεν, οὐδὲ ἱκανὸς πρὸς τὸ λέγειν, καὶ ἤδει γράφειν ἐμμέτρως τε καὶ πεζῶς. περὶ δὲ τὴν πίστιν οὐκ ἦν ὑγιὴς εὐσεβής. οὐ γὰρ τῇ πατρικῇ εὐσεβείᾳ ἐστοίχησεν, ἀλλὰ προσέθετο τοῖς ἀρειανίζουσι, πεισθεὶς τῷ τῶν βασιλικῶν κοιτώνων πρωτεύοντι εὐσεβίῳ. ἦθεν καὶ τὸν θεῖον ἀλέξανδρον, ὃς μετὰ τὸν ἱερὸν μητροφάνην πατριάρχης τῆς νέας ῥώμης ἐχειροτόνητο, ἀναγκάζειν εἰς κοινωνίαν τὸν ἄρειον δέξασθαι, ὁ δὲ οὐκ ἐπείθετο. διὸ καὶ σύνοδον ὁ βασιλεὺς συγκροτηθῆναι προσέταξεν. ὡρίσθη οὖν τῇ συνόδῳ ἡμέρα. καὶ ὁ ἀλέξανδρος κατὰ τὴν ἑσπέραν ἐκείνην εἰς τὸ θυσιαστήριον εἰσελθὼν, καὶ πρηνῆ καταβαλὼν ἑαυτὸν, ἐδέετο τοῦ θεοῦ, μὴ παραχωρῆσαι τὸν λύκον, τὸν ἄρειον δηλαδὴ, εἰς τὴν ποίμνην αὐτοῦ εἰσελθεῖν, ἢ ἐμὲ πρότερον τῆς ζωῆς ἀπόλυσον, ἔλεγε. ταῦτα περιπαθῶς ἀνεβάλλει σὺν δάκρυσιν. ἕωθεν οὖν ἄρτι τῆς συνόδου συνισταμένης, καὶ ὁ ἄρειος ἀπῄει μέγα φρονῶν. καὶ ἀπιὼν, νύττεται τὴν γαστέρα πρὸς ἔκκρισιν κοιλίας καὶ λύσεως. παρεκκλίνας τι τῆς ὁδοῦ, καθῆκεν ἀποσκυβαλίσασθαι τὸ περίττωμα. συνεξεχύθη δὲ τῇ κόπρῳ καὶ τὰ ἔγκατα τοῦ δειλαίου, βιαίως ἀπορρήξαντος τὴν ζωήν. ὁ μέντοι πατριάρχης ἀλέξανδρος, εἴκοσι πρὸς τοῖς τρισὶν ἀρχιερατεύσας ἐνιαυτοὺς, μετήλλαξε τὴν ζωὴν, καὶ ἀντεισήχθη παρὰ τῶν ὀρθοδόξων εἰς τὸν θρόνον τῆς κωνσταντινουπόλεως, παῦλος ὁ ὁμολογητής. ἐπανελθὼν δ' ὁ κωνστάντιος ἐξ ἀντιοχείας, καθαιρεῖ τοῦ θρόνου αὐτὸν, καὶ ἀντικαθίστησι τὸν νικομηδείας εὐσέβιον, αἱρεσιώτην ἀρείου τυγχάνοντα. ὁ δὲ ἅγιος παῦλος τῷ πάπᾳ τῆς ῥώμης προσελθὼν ἰουλίῳ, καὶ ὑπ' αὐτοῦ εἰς τὸν θρόνον ἀποκαταστὰς κωνσταντινουπόλεως, καὶ αὖθις ὑπὸ κωνσταντίου διώκεται. καὶ τέλος ὑπερόριος, ὑπὸ ἀρειανῶν ἀναιρεῖται. τοῦ δ' εὐσεβίου θανόντος, ὁ πνευματομάχος παρὰ τῶν ἀρειανῶν εἰς τὸν τῆς νέας ῥώμης θρόνον ἀνάγεται μακεδόνιος, ὃς ὑπερφρονήσας, μετήνεγκε τὸ ἱερώτατον σῶμα τοῦ ἐν ἁγίοις κωνσταντίνου ἐκ τοῦ τῶν ἁγίων ἀποστόλων ναοῦ εἰς τὸ τοῦ ἁγίου μάρτυρος ἀκακίου θεῖον τέμενος. δι' ὅπερ ἐξώργιστο ὁ κωνστάντιος, καὶ πρὸς τὴν πατρικὴν πόλιν ἐπανελθὼν, τὸν μὲν μακεδόνιον ἔτος ἓν ἀνύσαντα, τοῦ θρόνου κατέσπασε, καὶ ὑπερώρισε. καθίδρυσε δ' ἐν αὐτῷ τὸν εὐδόξιον, τὰ τοῦ ἀρείου πρεσβεύοντα, ὃν δέκα ἐνιαυτοὺς ἀρχιερατεύσαντα. μετεκόμισε δ' αὖθις τὸ σῶμα τοῦ οἰκείου πατρὸς, εἰς τὸν τῶν ἁγίων ἀποστόλων ναόν. οὗτος δὲ οὖν ὁ κωνστάντιος, καὶ τὰ τῶν ἁγίων ἀποστόλων ἱερώτατα σώματα ἀνδρέου τε καὶ λουκᾶ διὰ τοῦ δουκὸς ἀλεξανδρείας, ὕστερον δὲ καὶ καλλινίκου μάρτυρος ἀρτεμίου, εἰς τὸ πατρῷον ἀνεκόμισεν ἄστυ, καὶ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἀπεθησαύρισε, τοῦ θυσιαστηρίου ἐντός. γαμετὴ δὲ ἦν αὐτῷ εὐσεβία, ἣ ἐπὶ κάλλει γένει περιβόητος. πρὸς δὲ τὸν γαμέτην ἠτύχησε, μαλθακὸν ὄντα, καὶ τὰ πρὸς ἀφροδίτην νωθέστερον, ἐκ νόσων τε καὶ ἐκ φύσεως. ὅθεν κατὰ βραχὺ φθίνουσα, τοῦ κωνσταντίου προτέθνηκεν, ἄπαις διὰ βίου μείνασα. ὡς δέ τινες λέγουσι, καὶ μητρομανίας νοσήματι περιπεσοῦσα ἐξέλιπε. λέγεται δὲ καὶ πρὸς τὴν ἱππείαν καὶ ἀκοντίζειν, περιδέξιος ὁ κωνστάντιος εἶναι, καὶ λόγοις ὡμιληκέναι, ὡς καὶ ἔπος δύνασθαι συντιθέναι.

περὶ τοῦ ἀρείου διαφθορᾶς.

περὶ πατριαρχῶν.

ὅτι ὁ μακεδόνιος τὸ σῶμα τοῦ μεγάλου κωνσταντίνου εἰς τὸν ναὸν τοῦ ἁγίου μάρτυρος ἀκακίου μετέθηκε, αὖθις δὲ ὁ κωνστάντιος εἰς τὸν ναὸν τῶν ἁγίων ἀποστόλων τὸ μετακόμισεν.

περὶ τῶν λειψάνων τῶν ἁγίων ἀποστόλων ἀνδρέου καὶ λουκᾶ.

περὶ εὐσεβίας τῆς γαμετῆς τοῦ κωνσταντίου.

ΒΑΣΙΛΕΙΑ ΙΟΥΛΙΑΝΟΥ τοῦ παραβάτου.

Ἀγγελθείσης δὲ Ἰουλιανῷ τῆς τοῦ Κωνσταντίου τελευτῆς, τὰ μὲν στρατεύματα αὔγουστον αὐτὸν ἀνευφήμησαν. ἐκεῖνος δὲ τὸ βασιλικὸν ἀμείψας σχῆμα, καὶ πένθιμον ἀναλαβὼν, σκυθρωπάζων ὤφθη. καὶ δημόσιον ἐπὶ τῷ τελευτήσαντι βασιλεῖ κατ' ἔθος πεποίηκε πένθος. ἔπειτα ἐπὶ τὸ Βυζάντιον ὥρμησε. καὶ οἱ προσυπήντησαν καὶ ἡ σύγκλητος καὶ ὁ δῆμος. καὶ σὺν εὐφήμοις φωναῖς προῆλθεν εἰς τὰ βασίλεια, καὶ τῆς τῶν κοινῶν διοικήσεως ἥψατο. τὸ δὲ τοῦ Κωνσταντίου σῶμα τὸ σὺν ἐκείνῳ στρατιωτικὸν καὶ οἱ ἄρχοντες, ἐπ' ὀχήματος εἰς Κωνσταντινούπολιν διεκόμισαν. ᾧ ὁ Ἰουλιανὸς προσυπήντησε καὶ προέπεμψε, περιελόμενος τῆς κεφαλῆς τὸ διάδημα. κατετέθη δὲ ὁ τοῦ τελευτήσαντος νεκρὸς αὐτοκράτορος, ἐν τῷ τῶν ἁγίων ἀποστόλων ναῷ. πολλοὺς δὲ τῶν περὶ τὰ βασίλεια ὁ Ἰουλιανὸς τοὺς μὲν ἀνεῖλε, οὓς δὲ, ὑπερώρισε, καὶ τῶν οὐσιῶν ἀπεστέρησε. ταῖς δὲ λοιπαῖς τῆς βασιλείας διοικήσεσι, καὶ τὸ δικάζειν συνεῖπε. ποτὲ γοῦν δικάζων τινὶ κλοπὴν κατηγορουμένῳ δημοσίων χρημάτων, καὶ τὴν κλοπὴν ἀρνουμένῳ, ἐπεὶ ὁ κατήγορος, τίς ἔφη βασιλεῦ ἐπ' ἐγκλήματι δίκην ὑφέξει, εἰ ἐξαρνήσασθαι ὠφελοῖντο οἱ αἰτιώμενοι; ἐκεῖνος ἀντεπεκρίνατο, καὶ τίς ἔσται ἀναίτιος, εἰ ἐλέγχειν αὐτοὺς παρεῖντο οἱ κατήγοροι; ἐχρημάτιζε δὲ καὶ πρέσβεσιν, ἐκ διαφόρων ἐθνῶν σταλεῖσι πρὸς τὸν Κωνστάντιον. καὶ τὰ στρατεύματα δὲ ἀνεσκόπει καὶ ἐξήταζε. τὸ πολὺ τε τῆς βασιλικῆς θεραπείας ἀπεπέμψατο, κουρέα τε ζητήσας, ὡς προσῆλθεν αὐτῷ τοῦ Κωνσταντίου κουρεὺς πολυτελῶς ἐσταλμένος, κουρέα ζητῶν εἶπον, ἀλλ' οὐ συγκλητικὸν, καὶ αὐτὸν ἀπεπέμψατο. καὶ μάγειρον δὲ τῶν βασιλικῶν ἐν ἐσθῆτι λαμπροτέρᾳ τῆς ὑπουργίας αὐτοῦ θεασάμενος, καὶ τὸν ἑαυτοῦ μεταπεμψάμενος μάγειρον, κατὰ μάγειρον ἐσταλμένον, καὶ ἤρετο τοὺς παρόντας, πότερον αὐτῶν κρίνοιεν ἂν μαγείρῳ προσοικέναι; τῶν δὲ τὸν εὐτελῶς εἰπόντων ἐνδεδυμένον, παρῃτήσατο τὸν λοιπόν. ταῦτα δ' ἐποίει, δόξαν θηρῶν ἐκ τοῦ δοκεῖν ἀπέριττος, καὶ ὄντως φιλόσοφος. τοῖς στρατιώταις δὲ διένειμε χρήματα, εἰς τὸν κατὰ Περσῶν ἑτοιμάζων πόλεμον. αὐτοκράτωρ δὲ γεγονὼς, καὶ ἑαυτῷ τὴν ἀρχὴν κρατυνάμενος, αὐτίκα εἰς προῦπτον ἐξέρρηξεν ἑλληνισμόν. ἐξωμόσατο μὲν γὰρ καὶ πρότερον, ὡς εἴρηται, τὰ χριστιανῶν, οὐ μὴν εἰς τοὐμφανὲς ἐκρῆξαι τὴν ὠδῖνα τῆς ἀσεβείας ἐτόλμησε. λέγεται γὰρ ὅτι ἔρωτα τρέφων τῆς βασιλείας, καὶ ὡς ὑπὸ σποδιᾷ τοῦτον κρύπτων ἐν τῇ ψυχῇ, μάντεσι προσέσχε καὶ γόησιν, εἰ τοῦ κράτους τεύξεται πυνθανόμενος. καὶ παρ' ἐκείνων διέφθαρτο καὶ μετήνεκτο εἰς ἑλληνισμόν. τυχὼν δὲ τοῦ κράτους, τοῖς ἀνεφίκτοις κρίμασι τοῦ θεοῦ, πολλοὺς εἰργάσατο μάρτυρας. οὕτω γὰρ ἐξεμάνη κατὰ χριστιανῶν, ὡς καὶ κωλύειν αὐτοὺς μαθημάτων μετέχειν ἑλληνικῶν, μὴ δεῖν λέγων, μύθους αὐτὰ ὀνομάζοντάς τε καὶ διαβάλλοντας, τὰς ἐξ αὐτῶν ὠφελείας ἐπαπολαύειν, καὶ δι' αὐτῶν ὁπλίζεσθαι κατ' αὐτῶν. ὅθεν τῶν παίδων τῶν χριστωνύμων εἰργομένων μετιέναι τοὺς ποιητὰς, ὁ Ἀπολλινάριος λέγεται εἰς τὴν τοῦ ψαλτῆρος ὁρμῆσαι παράφρασιν, καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος, εἰς τὴν ποίησιν τῶν ἐπῶν, ἵν' ἀντὶ τῶν ἑλληνικῶν μαθημάτων ταῦθ' οἱ νέοι μανθάνοντες, τήν τε γλῶσσαν ἐξελληνίζωνται, καὶ τὰ μέτρα διδάσκωνται, ὅπως καὶ τὴν φι-

Ὅτι ἐτίμησε τὸν τοῦ Κωνσταντίου νεκρὸν ὁ Ἰουλιανός.

Ὅτι ἀντίθεος ὁ παραβάτης μετέβη.

Ὅτι μετὰ τὴν μοναρχίαν φανερῶς τὰ ἑλληνικὰ ἐσέβετο.

Ὅτι κωλύει τοὺς χριστιανοὺς μαθημάτων μετέχειν.

IMPERIVM IVLIANI APOstatæ, seu Parabatæ.

Obitu Cōstātij nūciato, legiones Iulianū lætis acclamationibus Augustū consalutarunt. Verū ille regio habitu mutato, et lugubri sumpto, tristitiā præ se ferēs, ob Imperatoris funus, de more publicū luctū indixit. Deinde Byzātiū profectū, & senatus & populus obuiā progressi, faustis ominibus in regiam deduxerūt. Ita suscepta Imperij administratione, cum Cōstātij corpus (conditum id est in æde S. Apostolorum) ab illius legionibus in curru Cōstantinopolim deduceretur, amoto diademate obuiam egressus idq; prosecutus est. Multos aulicos sustulit, multos relegauit, bonis eorum confiscatis, ac cæteris Imperij curis, etiam iuris dicundi munus adiunxit. Cum autem aliquando quodam peculatus reo, qui crimen negabat, pro tribunali sederet, dicente accusatore, Quis ullius criminis pœnas dabit, si reo inficias ire proderit? Respondit, Et quis insons erit, si accusatori, crimine non probato, fides habeatur? Respondit & legatis, à uarijs gentibus ad Constantium missis, & legiones recensuit, & magnam partem Imperatorij comitatus dimisit. Cum tonsorem quæreret, & ad eum Constantij tonsor sumptuoso ornatu accessisset: tonsorem se quæsiuisse, non senatorem, dicens, dimisit hominē. Coquum item Imperatorium in splēdidiore ueste quàm pro ministerio conspicatus, suo coquo qui pro artis conditione ornatus erat, accersito, eos qui aderāt, rogat, utrum coquo similem iudicēt? qui cum uilius cultū dixissent, alterū repudiauit. Hæc faciebat gloriolæ causa, ut frugi homo & germanus philosophus haberetur. Donatiuo militibus dato, bellum Persicum apparabat. Rerum potitus firmatoq; Imperio, statim in euidentem paganismum erupit. Nam Christianismum (ut suprà dictum est) iam antèabiurarat, neq; tamen proferre in publicum impietatis partum ausus fuerat. Fertur enim, cum imperij cupiditatē tāquam ignem sub cineribus aleret animo, uates & præstigiatores consuluisse, num eò potiturus esset? quorum corruptelis, ad gentilium impietatem est relapsus. Voti compos factus, arcano Dei consilio, multos martyres reddidit. Nam tanto furore fuit erga Christianos percitus, ut eis græcas disciplinas intercideret: neq; enim decere, quas pro fabulis traducerent, ex eis utilitatem capere, & armis inde petitis oppugnare. Cum igitur nominis Christiani pueri lectione Poëtarū prohiberentur, fertur Apollinaris psalterij Paraphrasim aggressus, & Gregorius Magnus theologus uersus cœpisse scribere, ut pueri pro græcis disciplinis illa discentes, & græcæ linguæ & carminum peritiam consequerentur. Idem Iudæis Hiero-

solymitani

Iuliani moderatio post obitum Cōstantij.

Industria et frugalitas.

In calumniatores.

Christianismi abnegatio.

Interdictū disciplinarum.

Apollinaris Psalterium.

Gregorij Magni poëmata.

σαβὴλ καὶ ἰσμαὴλ καὶ πολλοὶ ἄλλοι. στρατεύσας δὲ κατὰ τῶν περσῶν, πρότερον μὲν εὐτύχησε, καὶ πόλεις εἷλέ τινας, καὶ πολλοὺς ἀνεῖλε, καὶ λάφυρα πολλὰ καὶ αἰχμαλώτων ἐκράτησε, καὶ κτησιφῶντα ἐπολιόρκει. εἶτ' ἀθρόον τῶν πραγμάτων αὐτῷ εἰς τὸ χεῖρον περιτραπέντων, αὐτός τε καὶ τοῦ στρατεύματος τὸ πλεῖον, ἀπώλετο. οἱ γὰρ πέρσαι ἀπεγνωκότες, καὶ εἰς ὄλεθρον ἑαυτοὺς περιφανῆ συνωθοῦν ἐβουλεύοντο, ἵνα τι κατεργάσωνται τοὺς ῥωμαίους δεινόν. δύο γοῦν ἐν σχήματι αὐτομόλων τῷ βασιλεῖ προσερρύησαν, καὶ νίκην αὐτῷ τὴν κατὰ περσῶν, εἰ πείθοιτο αὐτοῖς, ἐπηγγέλλοντο. ἐᾶσαι γὰρ αὐτῷ τὸν ποταμὸν συνεβούλευον, καὶ τὰς τριήρεις ἃς ἐπήγετο κατακαῦσαι, καὶ τὰ ἄλλα πλοῖα τὰ φορτηγὰ ἵνα μὴ τούτοις οἱ πολέμιοι χρήσονται. αὐτῶν δ' ἡγουμένων δι' ἑτέρων ὁδῶν διαγαγεῖν τὰ στρατεύματα. ἀκινδύνως τε καὶ δι' ὀλίγου τὰ τῆς περσίδος καταληψομένοις ἐνδότερα, καὶ εὐμαρῶς κυριεύσαι αὐτῶν. τούτοις φρενοβλαβῶς ὁ ἀλιτήριος ἐκεῖνος πεισθεὶς, καὶ ταῦτα πολλῶν λεγόντων αὐτῷ καὶ αὐτοῦ τοῦ ὁρμίσδου, δόλον εἶναι τὸ πρᾶγμα, πῦρ ἐνέβαλε ταῖς ναυσί. καὶ πλὴν δυοκαίδεκα, τὰς ἄλλας κατέκαυσεν. ἦσαν δὲ τριήρεις μὲν ἑπτακόσιαι, φορτηγοὶ δὲ τετρακόσιαι. ἤδη δ' ἐκείνων ἐκτεφρωθεισῶν, ἐπεὶ πολλοὶ τῶν ταξιαρχῶν ἐνέδραν καὶ δόλον ἐνίσταντο εἶναι τὰ παρὰ τῶν αὐτομόλων ἐκείνων λεγόμενα, μόλις πως κατένευσεν ἐξετασθῆναι τοὺς ψευδαυτομόλους, οἳ ἐκδοθέντες βασάνοις, ἐξεῖπον τὸ ἀπόρρητον. οἱ μὲν οὖν οὕτως ἀπατηθῆναι φασὶ τὸν ἰουλιανόν. οἱ δὲ, ἀπεγνωκέναι φασὶ πρὸς τὴν κτησιφῶντος πολιορκίαν διὰ τὸ ὀχυρότατα, καὶ ὅτι καὶ τῷ στρατεύματι τὰ ἀναγκαῖα ἐπέλιπεν, ἐπανόδου μνησθῆναι. ἀπιοῦσι δὲ ἐπιφανῆναι τοὺς πέρσας ὄπισθεν καὶ τοὺς οὐραγοῦντας ταράξαι. τοὺς γάλλους δὲ ἐπιλοχοφυλακοῦντας, ἀντιστῆναι τοῖς πολεμίοις γενναιότερον. καὶ πολλοὺς αὐτῶν ἀνελεῖν, οὐ τῶν τυχόντων μόνον, ἀλλὰ καὶ τῶν παρ' ἐκείνοις ἐπιφανῶν. ἐνδείᾳ δὲ τῶν ἐπιτηδείων οἱ ῥωμαῖοι σφοδρῶς ἐπιέζοντο. ἰουλιανὸς δ' ἐν ἀπορίᾳ τοῦ τί δεῖ πράττειν, καὶ ὅθεν ἐπανιέναι χρεὼν, καθεστὼς, ὕλωδες διὰ τῶν ὀρεινῶν τὴν πορείαν ποιεῖσθαι. τοῦτο οἱ πέρσαι κατανοήσαντες, καὶ εἰς ταυτὸν ἀθροισθέντες, τοῖς ῥωμαίοις ἐπέθεντο, καὶ κατὰ μὲν τὸ εὐώνυμον κέρας, ἐκράτουν οἱ ῥωμαῖοι. κατὰ δέ γε τὸ δεξιὸν, ἠλαττοῦντο. ὃ γνοὺς ἰουλιανὸς, ἀμύνων τοῖς ἐπιεζομένοις ἀπῄει. ἔτυχε δὲ διὰ βάρος καὶ τὴν ἐκ τοῦ ἡλίου φλόγωσιν (θέρους γὰρ ἦν ὥρα) τὸν θώρακα ἐκδυσάμενος. ἐν μέσοις οὖν τοῖς πολεμίοις γενόμενος, δόρατι βάλλεται κατὰ τῆς πλευρᾶς. λέγεται δὲ, ὅτι τότε σφοδροῦ ἐμπνεύσαντος πνεύματος, ἀχλὺς βαθεῖα τὸν ἀέρα τὸν ἐκεῖ κατεσκίασε. τὰ γὰρ πλήθη τῶν στρατευμάτων, πολὺν ἐκίνουν κονιορτόν. ὡς μηδὲ γινώσκειν, οὔθ' ὅπου εἰσὶν, οὔθ' ὅ,τι πράττοιεν, ἄδηλον δ' εἶναι ὅθεν ἡ αὐτὸν πλήξασα αἰχμὴ κατ' ἐκεῖνα ἐβέβλητο, εἴθ' ὑπό τινος τῶν αὐτοῦ, εἴθ' ὑπὸ πολεμίου, εἴτ' ἐκ θειοτέρας δυνάμεως. ᾄδεται γὰρ καὶ τοῦτο. διὸ φασὶν αὐτὸν ἐκ τοῦ καταρρέοντος τοῦ τραύματος αἵματος, κοίλῃ δεξάμενον τῇ χειρὶ καὶ τοῦ ἀέρος τοῦτο κατασκεδάσαντα, εἰπεῖν, κορέσθητι ναζωραῖε. καὶ ὁ μὲν, οὕτως ἀσεβῶς ζήσας, βιαίως τὴν ψυχὴν ἐξερεύξατο, βασιλεύσας ἔτη δύο. τὸ δὲ σῶμα αὐτοῦ ἡ στρατιὰ εἰς ταρσὸν τῆς κιλικίας κομίσασα, ἔθαψεν ἐν προαστείῳ τῆς πόλεως. ἐν δὲ τῷ τάφῳ καὶ τόδε τὸ ἐπίγραμμα ἐπιγέγραφε.

Ὅπως ὁ παραβάτης τοῖς πέρσαις μαχόμενος, ἀφανῶς κατὰ τῆς πλευρᾶς ἐτρώθη, καὶ θνήσκων τὰ τῇ χειρὶ ἐξερράνε σαν, καὶ οὕτως τὴν ἀθλίαν αὐτοῦ ψυχὴν ἀπερεύξατο.

Sabel, Ismael, & alij multi. Motò contra Persas exercitu principiò rem benè gerit, & quibusdam urbibus expugnatis, multis interfectis, multis captis, magnaque præda parta, Ctesiphontem obsidet. Tum subitò conuersa in deterius fortuna, & ipse & maxima pars exercitus perit. Nam Persæ quidem, desperata salute, ruere in manifestum interitum destinarant, ut cladem aliquam Romanis inferrent. Itaque duo pro transfugis ad Imperatorem se conferunt, uictoriam Persarum pollicentes, si omisso fluuio, & triremibus, cæterisque nauibus onerarijs, quas adduxisset incensis, ne hostibus usui essent, ipsos sequeretur. Nam per alias uias exercitum traducturos, ut sine discrimine & compendio in Persidis intima penetraret, eaque facilè potiretur. His scelestus ille uæsano animo persuasus, quamuis multi, atque ipse Hormisda dolum subesse dicerent: ignem iniicit nauibus, omnes, duodecim exceptis, cremat, quum triremes septingentæ, onerariæ quadringentæ essent. Iis iam in cineres redactis, quum multi ex tribunis asseuerarent, illa dolo dici à transfugis: uix tandem consensit, ut quæstio de ijs haberetur, qui in tormentis arcanum confessi sunt. Quidam igitur sic deceptum esse ferunt Iulianum. Alij dicunt desperata Ctesiphontis ob munitiones expugnatione, cum exercitus etiam penuria commeatus laboraret, reditum adornasse: abeuntes, Persas à tergo inuasisse, & extremum agmen turbasse. Gallos autem qui in subsidijs essent, fortiter restitisse hostibus, et multos eorum cæcidisse, nec plebeios duntaxat, sed proceres etiam. Sed quia Romani commeatus inopia uehementer premerentur, Iulianum inopem consilij, quid agendum, & quà redeundum esset, tandem per montana iter intendisse. Quo Persas animaduerso, coactis in unum copijs Romanos inuasisse, qui in sinistro cornu superiores, in dextro uincerentur. Iulianũ igitur suis laborantibus opem laturum, in confertos hostes irruisse, & thorace cum ob pondus, tum ob æstiui solis ardorem exuto, hasta in latere percussum. Fertur autem, uehemẽti orto turbine, aërem illic densa caligine fuisse oppletum, ingentique puluere à tantis exercitibus excitato, sciuisse neminem neque ubi esset, neque quid ageret: ambiguũ & illud fuisse, unde hasta quæ Iulianum icerat, uenisset, ab aliquó ue suorum, an ab hoste, an diuinitus emissa. Nam & hæc celebrantur. Quare aiunt, eum manantem ex uulnere sanguinem manu exceptum, in aërem sparsisse, cum hoc dicto, Satiare Nazarene. Ita ille, quemadmodum impiè uixerat, sic animam uiolenter eructauit, cum biennium imperasset. Cadauer eius milites Tarsum perlatum, in suburbio humarunt, cuius monumento hoc epigramma inscriptum fuit:

Res in Persia gestæ.

Transfugarum dolus.

Controuersia de Iuliani clade.

Rex

Rex bonus & fæuis bellator fortis in armis
Iulianus iacet hîc ad Cydni fluminis undas:
Dum ferus Euphrates & Persica tela cruenti
Martis opus cœptosq; negāt inire triūphos.

Iuliani elogia. Pòst in Reginam urbium translatum est, gloriæ cupiditate inflāmatus fuit, leuibus etiam è rebus laudis captator: errantem admoneri se ab amicis æquo ferebat animo: omnis generis disciplinis eruditus, præsertim uulgò minus cognitis. In uictu ita temperans, ut & naturalia illa, ructus inquam & sputa ferè euitaret. Dicebat enim, Philosopho, si fieri posset, ne respirandum quidem esse. *Præsagia mortis.* Aiunt eum in somnis Antiochiæ uidisse iuuenem quendam flauo capillo, qui diceret, ei in Phrygia moriendum esse. Ictum igitur, ijs qui aderant, rogatis, quomodo locus ille uocaretur? ut appellari Phrygiam audierit, exclamasse, O Sol Iulianum perdidisti. Præterea ferunt, obitum eius, eodem quo perijt die, Antiochiæ fuisse cognitum. Nam quendam paganum, eiusdemq; cum desertore religionis, ex ordine iudicum illius loci, cum iuxta prætorium excubaret, congeriem stellarū in cœlo uidisse, quę literas informaret in hanc sententiam: „Hodie Iulianus in Persia occiditur. Notato tēpore postea cognitū est, eodem die fuisse interfectum. Vita excessit anno ætatis trigesimoprimo. Is uerò cui per astra eius obitus significatus fuerat, uisionis illius occasione ueram religionem est amplexus.

IMPERIVM IOVIANI.

IVliano mortuo, cōsensu omnium Iouiano defertur imperiū, qui tum tribunus militū erat, uir pius, Varroniani Comitis filius: quod cū recusaret, causam rogatus, se Christianum esse exclamat, neq; imperare posse Pagano exercitui. Tum omnes consentientibus uocibus, quasi ex composito reclamāt, se esse Christianos. Sic ille accepto Imperio, cum Persis pacem fecit, necessariam magis quàm decoram. *Persica pax.* Nā Nisibi & Singara urbibus illustribus eis cessit, ciuibus aliò translatis, à quibus plorantibus citra uerecundiam maledictis incessebatur. Prouincias item multas & iura antiquitus ad Romanos pertinētia, eis concessit. Datis utrinq; obsidibus firmata pace, Romani inde discedētes, penuria rerum necessariarū cōflictati sunt, adeò ut aqua etiam deficerentur. Iouinianus cum ægrè Antiochiā Cœlesyriæ peruenisset, quotquot Christiani sub Cōstantio & Iuliano Ecclesijs pulsi fuerant, eos restituit, ac præ cæteris Athanasiū Magnum Alexandrum reuocauit. *Iouiani obitus.* Antiochia Tarsum profectus, ornato Iuliani sepulchro, Ancyrā Galatiæ urbem se cōtulit, inde iter unius diei progressus, Dadastanis repente obijt, cum (ut alij scribunt) recentes fungos uenenatos come-

Κύδνῳ ἐπ' ἀργυρόεντι ἀπ' Εὐφρήταο ῥοάων
Περσίδος ἐκ γαίης ἀτελευτήτῳ ἐπὶ ἔργῳ
κινήσας στρατιὴν τόδ' Ἰουλιανὸς λάχε σῆμα,
ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής.

ὕστερον δὲ ἀνεκομίσθη εἰς τὴν βασιλίδα τῶν πόλεων. ἦν δὲ ἐκεῖνος περὶ δόξαν ἐπτοημένος, καὶ ἐπὶ τοῖς τυχοῦσιν ἐπαινεῖσθαι βουλόμενος. ἐφ' οἷς δ' ἐσφάλλετο, διορθούμενος παρὰ τῶν φίλων, οὐκ ἤχθετο. ἦν δὲ καὶ παντοδαπῆς σοφίας μετειληχὼς, καὶ μάλιστα τῆς περιττοτέρας. *ἦθος τὸ τοῦ ἰουλιανοῦ.* περὶ δὲ τὴν δίαιταν ἐγκρατὴς, ὡς καὶ τὰ φυσικὰ ταῦτα διαφυγεῖν, ὡς μάλιστα, ἐρυγὰς καὶ τὰς ἐκκρίσεις τὰς διὰ στόματος. ἔλεγε δὲ χρῆναι τὸν φιλόσοφον, εἰ οἷόν τε, μηδὲ ἀναπνεῖν. *περὶ τοῦ ὀνείρου.* φασὶ δὲ αὐτὸν, ἐν Ἀντιοχείᾳ ὄντα, ὄναρ ἰδεῖν, ξανθὸν τὴν κόμην νεανίαν, φήσαντα αὐτῷ, ὡς ἐν Φρυγίᾳ τελευτήσει οἱ δεῖ. ὅτε γοῦν ἐπλήγη, ἤρετο τοὺς παρόντας, ὅπως ὁ τόπος καλοῖτο· ὡς δ' ἤκουσε, Φρυγίαν καλεῖσθαι αὐτὸν, ἀνέκραξεν· ὦ ἥλιε ἀπώλεσας Ἰουλιανόν. *περὶ σημείου δηλοῦντος τὸν τοῦ παραβάτου θάνατον.* λέγεται δὲ κατ' αὐτὴν τὴν ἡμέραν καθ' ἣν ἐτελεύτησεν, ἐν Ἀντιοχείᾳ γνωσθῆναι τὸν θάνατον αὐτοῦ. τινὰ γὰρ τῶν τῆς τάξεως τοῦ ἐκεῖσε δικαστηρίου, Ἕλληνα κἀκεῖνον, καὶ τῆς αὐτῆς θρησκείας τῷ παραβάτῃ, διανυκτερεύοντα περὶ τὴν φυλακὴν τοῦ ἀρχείου, συνθήκην ἀστέρων ἐν οὐρανῷ θεάσασθαι, γράμματα ἐκτυποῦσαν, λέγοντα· σήμερον ἐν Περσίδι Ἰουλιανὸς ἀναιρεῖται. σημειωθείσης οὖν τῆς ἡμέρας, μετὰ ταῦτα ἐγνώσθη, ὅτι κατ' ἐκείνην τὴν ἡμέραν ἀνῄρητο. καὶ ὁ μὲν, τριάκοντα πρὸς ἑνὶ ἔτεσι βιώσας, οὕτως ὡς εἴρηται, ἀπεβίω. ὁ δὲ διὰ τῶν ἀστέρων τὴν ἐκείνου προμηνυθεὶς τελευτὴν, ἀφορμὴν ἔσχε πρὸς εὐσέβειαν τὸ ὅραμα.

ΒΑΣΙΛΕΙΑ ΙΟβιανοῦ.

Τελευτήσαντος δὲ Ἰουλιανοῦ, ψήφῳ κοινῇ, Ἰοβιανὸς εἰς τὴν αὐταρχίαν προκέκριτο, τότε χιλιαρχῶν, ἀνὴρ εὐσεβὴς, υἱὸς Βαρρωνιανοῦ χρηματίσαντος κόμητος. ὁ δὲ τὴν βασιλείαν ἀπαναινόμενος, καὶ τὴν αἰτίαν ἐρωτηθεὶς, διεβόησε Χριστιανὸς εἶναι, καὶ μὴ ἀνέχεσθαι βασιλεύειν στρατοῦ ἑλληνίζοντος. καὶ εὐθὺς ὁμοφώνως ὡς ἐκ συνθήματος ἅπαντες ἀντεβόησαν εἶναι Χριστιανοί. καὶ οὕτως ἐκεῖνος δεξάμενος τὴν ἀρχὴν, τοῖς Πέρσαις ἐσπείσατο, οὐ πάνυ πρεπούσας Ῥωμαίοις σπονδὰς ἐξ ἀνάγκης πεποιηκώς. *οἵας ὁ ἰοβιανὸς ἔθετο πρὸς πέρσας σπονδάς.* τὰς γὰρ Νισίβιος καὶ Σιγγάρας πόλεων περιφανῶν ἐξέστη αὐτοῖς, μετοικίσας τοὺς κατοίκους τῶν πόλεων, ὑφ' ὧν θρηνούντων, καὶ ἀνέδην ἐβλασφημεῖτο. ἀλλὰ καὶ χωρῶν αὐτοῖς πολλῶν παρεχώρησε, καὶ δικαίων Ῥωμαίοις ἀνηκόντων ἀνέκαθεν. καὶ ὁμήρων δοθέντων ἑκατέρωθεν, οὕτως ἐβεβαιώθησαν αἱ σπονδαί. ἐντεῦθεν ἀναζευγνύντες οἱ Ῥωμαῖοι, σπάνει τῶν ἀναγκαίων περιεπεπτώκεσαν, ὡς μηδὲ ὕδατος εὐπορεῖν. μόλις γοῦν εἰς τὴν τῆς κοίλης Συρίας Ἀντιόχειαν ὁ Ἰοβιανὸς καταντήσας, τοὺς τῶν Χριστιανῶν ἱερεῖς ὅσοι τε ἐπὶ Κωνσταντίου καὶ ὅσοι ἐπὶ τοῦ παραβάτου τῶν ἐκκλησιῶν ἐξηλάθησαν, εἰς αὐτὰς ἐπανήγαγε. καὶ πρὸ τῶν ἄλλων, τὸν μέγαν Ἀθανάσιον τὸν Ἀλεξανδρείας. ἐξ Ἀντιοχείας δὲ εἰς Ταρσὸν γεγονὼς, καὶ τὸ μνῆμα κοσμήσας τοῦ Ἰουλιανοῦ, ἐπανήει, καὶ εἰς τὴν Ἄγκυραν τῆς Γαλατίας γενόμενος, *περὶ τοῦ θανάτου ἰοβιανοῦ.* ἐκεῖθεν ἀπάρας, καὶ σταθμὸν προελθὼν, εἰς Δαδαστάνα τι καταλύσας, αἰφνίδιον τετελεύτηκεν. ὡς μὲν ἔνιοι συνεγράψαντο, ἀρτιφυεῖς μύκητας δηλητηρίους φαγὼν, ὡς

γὰρ ἦν γὰρ λεγῆς περὶ δίαιταν, ὡς δ' ἕτεροι, χειμῶνος ὄντος, ἐν οἰκήματι κατέδαρθε νέον ἐμπεπλασμένῳ κονίᾳ. καὶ διὰ τὸ τοῦ ψύχους πολὺ ἀνθράκων ἀναφθέντων ἔνδον, ἀτμὶς ἐκ τῆς κονίας πυρουμένης ἀνῆλθε πολλὴ, καὶ διὰ τοῦτο ἀπεπνίγη κοιμώμενος, μηδ' αἰσθόμενος τῆς πνιγμονῆς, ὑπ' οἴνου καρηβαρῶν. πολλῷ γὰρ λέγεται κεχρῆσθαι ἀκράτῳ. καὶ οὐδὲ ἡ γυνὴ αὐτοῦ ἔφθη τοῦτον θεάσασθαι, καὶ ταῦτα εἰς ὑπάντησιν αὐτοῦ προελθοῦσα μετὰ βασιλικῆς προπομπῆς, σὺν τῷ υἱῷ αὐτοῦ Βαρρωνιανῷ. θανόντος μέντοι τοῦ Ἰοβιανοῦ, οἱ στρατιῶται σκυθρωπάζοντες, τὴν Νίκαιαν κατειλήφασι, καὶ γεγονότες ἐκεῖ, περὶ βασιλέως ἐβουλεύοντο. καὶ οἱ μὲν, τὸν δὲ, οἱ δὲ, τὸν δὲ ἐπὶ ὠνόμαζον, οἱ πλείους δ' ἐπὶ τὸν Σαλούστιον ὕπαρχον τῶν πραιτωρίων τυγχάνοντα, ὁμοφώνησαν. ὁ δ' ἀπηνήνατο, τὸ γῆρας εἰς παραίτησιν προβαλλόμενος. αἰτουμένων δὲ τὸν τούτου υἱὸν, οὐκ ἐπένευσε, διὰ νεότητα καὶ γνώμης ἀφέλειαν κρίνας ἐκεῖνον πρὸς ἀρχὴν τοιαύτην ἀνεπιτήδειον. διὸ μετὰ τῶν ἄλλων καὶ αὐτὸς ὁ Σαλούστιος βασιλέα καὶ ἀπόντα τὸν Οὐαλεντινιανὸν ἐψηφίσατο. ὁ μέντοι Ἰοβιανὸς εὐσεβὴς ἦν περὶ τὸ δόγμα καὶ ἀγαθοθελής. οἴνου δ' ἥττητο καὶ ἀφροδισίων, καὶ τὴν τοῦ σώματος ἀναδρομὴν εὐμήκης ἐτύγχανε, καὶ γραμμάτων οὐκ ἄπειρος. ὃς ὄπισθέ ποτε τοῦ Ἰουλιανοῦ πορευόμενος ὡς χιλίαρχος, ἐν τόπῳ κατάντει προϊόντος, ἐπάτησε τὸ κράσπεδον τῆς πορφυρίδος αὐτοῦ. ὁ δὲ, εἴτ' ἐκ τούτου διάδοχον αὐτοῦ τὸν Ἰοβιανὸν ἐστοχάσατο, εἴτ' ἐκ μαντείας ἐγνωκὼς τοῦτό τινος, ἔφη· * εἴθε δὲ καὶ ἄνθρωπος. ἦρξε δὲ ἐπ' ὅλους μῆνας ὀκτώ. ὁ μέντοι νεκρὸς αὐτοῦ εἰς τὸ Βυζάντιον ἀνακομισθεὶς, ἐν τῷ τῶν ἁγίων ἀποστόλων ἐτάφη ναῷ. ὅπου μετὰ ταῦτα συνετάφη αὐτῷ καὶ ἡ γυνὴ αὐτοῦ Χαριτώ. ἔθανε δὲ ὁ Ἰοβιανὸς τρίτον ἄγων τῆς ἡλικίας ἔτος ἐπὶ τριακοστῷ.

περὶ Σαλουστίου.

ὅτι παρὰ πάντων βασιλεὺς Οὐαλεντινιανὸς ἐψηφίσθη.

εἶδος τοῦ Ἰοβιανοῦ.

dissent (ussi enim uictu usus est) ut alij, hyberno tempore in conclaui tectorio recens inducto obdormisset. Nam cum ob frigoris acrimoniam carbonibus intus accensis magnus uapor è calce æstuāte extitisset, eo dormiens sine sensu mortis suffocatus est, uino grauis. Multò enim mero usus esse fertur. Neque uxor, eius obitum anteuertit, etsi ei obuiā cum regio comitatu & filio Varroniano progressa. Iouiniani morte consternati milites, Nicæam occupant, de Imperatore creando deliberantes. Alijs autem alios nominantibus, plures in Sallustium prætorio præfectum consenserunt. Verùm ille excusata ætate renuit. Cum eius filium postularent, non concesit, tanto Imperio cùm ob ætatem tùm ob simplicitatem ingenij ratus impatem. Sed unà cum cæteris Valentinianum, tum absentem, Imperatorem nominat. Iouianus de religione rectè sensit, benefica uoluntate præditus, quamuis uini & libidinum intemperantia uinceretur, statura corporis fuit excelsa, literarū non rudis. Cum aliquando Iulianum accliuem locum ascendentem ut tribunus comitaretur, fimbriam purpuræ eius calcauit. Tum ille, siue ex hoc conijciens, eum Imperij fore successorem, siue oraculo quodam edoctus, dixit: * Vtinā uerò, licet sis homo. Imperauit nō integros menses octo. Corpus eius Byzantium perlatum in S. Apostolorum æde sepultum est, ubi pòst uxor etiam eius Charito est sepulta. Obijt annos natus III & XXX.

Valentinianus Sallustij suffragio creatur Imperator.

Iouiani Elogium.

Augurium Imperij.

ΒΑΣΙΛΕΙΑ ΟΥΑΛΕΝΤΙΝΙΑΝΟΥ.

Οὕτω μὲν οὖν ὡς εἴρηται, Οὐαλεντινιανὸς ἐψήφιστο βασιλεύς. ἀχθεὶς δὲ καὶ ἀναρρηθεὶς, καὶ τὰ βασιλικὰ περιθέμενος σύμβολα, ὁ δ' ἔλεγε Σαλούστιος ὅτι συνῳδὴν φιλοδόξατο ἀναρρηθῆναι αὐτὸν, ἀμοιβὴν ᾔτει τῶν τῆς ὑπαρχότητος ἀνεθῆναι φροντίδων. καὶ ὁ βασιλεύς, διὰ τοῦτό μοι ἐπὶ τοσούτων πραγμάτων ἐπεφόρτισας ὄγκον, ἵν' αὐτὸς μηδ' ἐφάπτοιο τούτου; ὥρμητο δὲ ὁ Οὐαλεντινιανὸς ἐκ Παιονίας, ἦν δ' εὐσεβὴς τὰ περὶ θεόν. διὸ καὶ ὑπερορίᾳ αὐτὸν Ἰουλιανὸς κατεδίκασεν. εἶτα τριβοῦνον ἀριθμοῦ τῆς ὑπερορίας ἀνακληθέντα ἐποίησεν. οὗτος καὶ τὴν ἰσχὺν γενναιότατος, καὶ τὴν γνώμην ἦν δικαιότατος. διὸ καὶ τῶν ἀρχὰς τότε μετιόντων πολλοὺς ὡς ἀδικοῦντας ἐτιμωρήσατο, τὸν κρατοῦντα λέγων ἀπαιτεῖσθαι πρὸ τῶν ἄλλων δικαιοσύνης φροντίζειν. οὗτος κοινωνὸν τῆς βασιλείας Οὐάλεντα τὸν ἀδελφὸν προσλαβόμενος, τῇ ἑῴᾳ μοίρᾳ αὐτὸν ἐπέστησεν. αὐτὸς δὲ τοῖς ἑσπερίοις διέτριβε, καὶ πολέμους τοῖς βαρβάροις συγκροτήσας πολλοὺς, τρόπαια κατ' ἐκείνων ἐστήσατο. εἶχε δὲ πρὸ τῆς βασιλείας υἱὸν ἐκκληθέντα Γρατιανὸν, ὃς αὐτῷ ἐκ τῆς γαμετῆς Σευήρας ἐγένετο. ὃν καὶ ἀνηγόρευσεν αὐτοκράτορα. ἔγημε δὲ καὶ δευτέραν γυναῖκα, ἔτι περιούσης καὶ τῆς προτέρας. Ἰουστίνα ἦν ἡ δευτέρα, ἐξ ἧς καὶ τὸν νέον ἐγέννησεν Οὐαλεντινιανὸν, καὶ θυγατέρας Ἰοῦσταν, Γράταν, καὶ Γάλλαν. ἐπὶ τούτου τελευτήσαντος Εὐδοξίου τοῦ κακοδόξου τῆς νέας Ῥώμης ἀρχιερέως, ἀντεισήχθη

περὶ πατριαρχῶν.

IMPERIVM VALENTINIANI.

Valentinianus igitur, hoc modo (ut dictū est) creatus Imperator, cum adductus & proclamatus esset, regium ornatū sumpsit. A quo cum Sallustius eam pro nauata in electione opera gratiam repeteret, ut præfecturæ molestijs liberaretur: Eóne, inquit Imperator, tantam mihi rerum molem imposuisti, ut eam tu ne attingeres quidem? Oriundus erat ex Pannonia Valentinianus. Cum autem uir pius esset, à Iuliano relegatus fuerat, & deinde reuocatus, ac tribunus numeri * factus. Hic & robore multum ualuit, & summus iustitiæ cultor fuit. Itaque multos tum Magistratibus præditos ut iniurios mulctauit, cum diceret, à principe in primis iustitiæ flagitari curam. Valentem fratrem Imperij consortem ascitum, Orienti præposuit, ipse in occidente degens sæpius de Barbaris triumphauit. Filium Gratianum ante Imperium è Seuera susceptum, Imperatorem appellauit. Priore uxore adhuc superstite, alteram duxit Iustinam, è qua Valētinianum iuniorem genuit, et filias Iustam, Gratam, & Gallam. Sub hoc, Eudoxio, secus quàm nomen sonat, malè de religione sentienti defuncto, successit in nouæ Romæ pontifi-

Valentiniani dictū in Sallustium. Iustitia.

Valens.

Gratianus Seuera.

Demophilus.

catū Demophilus, cum deceſſore ſuo conſenſiens, qui Eccleſiam annos XII. gubernauit. *Ambroſius.* Idem hic Imperator Magnum Ambroſium etiam Mediolani Epiſcopum deſignauit. Cum autem cognouiſſet, Valentē fratrem Arianam fouere ſectam, & cogere omnes illi aſſentiri: per literas obiurgatum ab inſtituto dehortatur. Verùm ille ſuo indulgens animo, magis etiam contra rectè ſentientes exaſperabatur. *Rhodani Præpoſiti ſupplicium.* Rhodanus quidam Præpoſitus, homo apud Valentinianum admodum gratioſus, à muliere quadam, Berenice nomine, apud Imperatorem cuiuſdā iniuriæ accuſabatur. Qui cum, quæſita re, crimen uerum eſſe comperiſſet, mulieri ſatisfieri iubet. Verùm ille gratia Imperatoris fretus, nullam illius rationem habuit. Quod muliere denuo conqueſta, præpoſitum illico dignitate priuatū & uinctum ludis Circēſibus in theatro circumduci iubet, præcedētibus præconibus, et proclamātibus eū in mulierē admiſſū facinus, tū Imperatoris edicti contemptū, & his factis illico comburi. Talis igitur illius fuit exitus, omnibus eius opibus, Imperatoris literis mulieri conceſſis. *Valentinia ni obitus.* Obijt Imperator in Gallijs degens, uita longa uſus, uixit enim annos octogintaquatuor, imperauit undecim, relicto filio Gratiano, Imperij Occidentalis ſucceſſore.

IMPERIVM VALENTIS.

Valētis crudelitas in Chriſtianos. Valens Arianorū defenſor, & aſſenſor, orthodoxos perſequebatur, & uxoris Domninæ gratiam, multis malis afficiebat. Cum enim aliquando Nicomediæ agentem legati ex cœtu orthodoxorum, uiri ſacerdotes octoginta cōueniſſent, eos omnes unà cum naui qua uenerant, comburi iuſſit, itaq; conflagrarunt omnes in mari medio, unà cum naui, quæ tamenuſq; ad Dacybizā durauit. Horū etiam magnus in Theologia Gregorius meminit, his uerbis: Presbyterorū exuſtiones marinæ. Neq; uerò orthodoxos tantum ſupplicijs afficiebat, ſed & pulſis epiſcopis rectè ſentientibus, omnes Eccleſias Arianis attribuebat. *Baſilij Magni legatio ad Valētē et miraculum.* Feruntur qui Catholica Nicena Eccleſia eiecti fuerant, ueræ pietatis ſtudioſi, Baſiliū Magnum acceſſiſſe, qui pro eis legatus ad Valentem profectus, cum nihil impetraſſet, dixerit: " Iudicium huius cōtrouerſiæ, Imperator, Deo " eſt permittendum. Claudatur templum accu" ratè, Ariani foris ſtantes precentur Deum. " Id ſi ultrò eis patuerit, habeto. Sin minus, con" cedatur & nobis precari Deum. Quòd ſi ual" uæ ultrò apertæ fuerint, ſtatuendum erit, ſan" ctam ædem à Deo nobis eſſe attributam. Sin " ea nec nobis aperta fuerit, ſic etiam ad Aria" nos pertineto. Placet Imperatori cōditio, conſentit, ædes Nicena undiq; clauditur. Precātur Ariani Deum: cum ſatis diu nugati eſſent, ædes nō aperitur. Serò tandem digreſſis hæreticis, & Orthodoxis, Magno Baſilio du-

Δημόφιλος ὁμόδοξος τυγχάνων τῷ πρὸ αὐτοῦ, ὃς ἐν ἔτεσι δώδεκα τῆς ἐκκλησίας ἐκράτησεν. οὗτος ὁ βασιλεὺς, καὶ τὸν μέγαν Ἀμβρόσιον ἐπίσκοπον τῇ Μεδιολάνων προεχειρίσατο πόλει. *ὅτι τὸν ἀδελφὸν ὀνειδίσατο ἀρειανὰ φρονοῦντα ὁ βασιλεὺς Οὐαλεντινιανός.* μαθὼν δὲ περὶ τοῦ ἀδελφοῦ Οὐάλεντος, ὅτι τὴν ἀρειανικὴν αὐτὸς πρεσβεύει αἵρεσιν, καὶ πάντας βιάζεται ταύτῃ συνθέσθαι, διὰ γραμμάτων ἐπέπληξεν αὐτῷ, καὶ ἀπεῖπε παραινῶν τῆς αἱρέσεως. ὁ δὲ, τῷ οἰκείῳ θελήματι οὐκ ἀφίστατο, καὶ μᾶλλον τῶν ὀρθοδόξων ἀπηγριαίνετο. Ῥοδανὸς δέ τις πραιπόσιτος παρὰ Οὐαλεντινιανῷ μέγα ἐδύνατο. *περὶ Ῥοδάνου καὶ ὅπως τοῦτον ἀδικοῦντα ἐκόλασεν Οὐαλεντινιανός.* κατὰ τούτου προσῆλθε γυνή τις Βερενίκη καλουμένη τῷ βασιλεῖ Οὐαλεντινιανῷ, ἀδικίαν ἐπεγκαλοῦσα τῷ πραιποσίτῳ. ἐρευνήσας οὖν ὁ αὐτοκράτωρ, καὶ γνοὺς μὴ ψεύδεσθαι τὴν γυναῖκα, προσεκαλέσατο τὸν πραιπόσιτον, θεραπεῦσαι κελεύσας τῇ γυναικὶ τὸ ἀδίκημα. ἐκεῖνος τῇ παρρησίᾳ τῇ πρὸς τὸν βασιλέα θαρρῶν, οὐδένα λόγον ἔθετο τῆς ἀδικουμένης. προσῆλθεν οὖν καὶ αὖθις τῷ βασιλεῖ ἡ γυνή. καὶ ὃς μαθὼν μηδεμίαν φροντίδα τῆς γυναικὸς τὸν πραιπόσιτον θέσθαι, αὐτίκα γυμνοῖ μὲν ἐκεῖνον τοῦ ἀξιώματος. κελεύει δὲ δεθέντα ἐν τῷ θεάτρῳ περιαχθῆναι, ἀγῶνος ἱππικοῦ ἀγομένου, κηρύκων αὐτοῦ προαγόντων, καὶ τὸ εἰς τὴν γυναῖκα βοώντων ἀδίκημα, καὶ τοῦ βασιλικοῦ κελεύσματος τὴν παρακοήν. καὶ μετὰ τὴν περιαγωγὴν καὶ τὸ κήρυγμα, ἐκεῖ παραδοθὲν καυθῆναι αὐτόν. καὶ ὁ μὲν, τοιοῦτον ἔσχηκε τέλος, ἡ δὲ πᾶσα ἐκείνου περιουσία, τῇ γυναικὶ διὰ βασιλικῶν παρακεχώρηται γραμμάτων. ἐξέλιπε δὲ ὁ βασιλεὺς οὗτος, ἐν Γαλλίαις διάγων, ἀπολαύσας χρόνου μακροῦ. ἐβίω γὰρ ἔτη πρὸς τέσσαρσιν ὀγδοήκοντα. ἐν δ᾽ ἕνδεκα τοῖς βασιλεύσας ἐνιαυτοῖς. καὶ τὸν υἱὸν Γρατιανὸν τῆς βασιλείας τῶν ἑσπερίων διάδοχον καταλελοιπώς. *τελευτὴ Οὐαλεντινιανοῦ.*

ΒΑΣΙΛΕΙΑ ΟΥΑΛΕΝΤΟΣ.

Οὐάλης δὲ τῶν ἀρειανιζόντων ὑπερμαχῶν ὡς ὁμογνώμων αὐτοῖς, τοὺς ὀρθοδόξους ἐδίωκε, καὶ πολλὰ ἐπήνεγκεν αὐτοῖς τὰ δεινά, τῇ οἰκείᾳ συζύγῳ Δομνίκᾳ πειθόμενος. *περὶ τοῦ βασιλέως Οὐάλεντος καὶ τῶν κατὰ θάλασσαν ἐμπρησθέντων παρ᾽ αὐτοῦ ἱερέων.* ἐπεί ποτε ἐν Νικομηδείᾳ διάγοντι, προσῆλθον αὐτῷ εἰς πρεσβείαν ἐκ τοῦ τῶν ὀρθοδόξων συστήματος, ἄνδρες ἱερατικοὶ ὀγδοήκοντα. οὓς ἅπαντας σὺν τῷ πλοίῳ δι᾽ οὗ ἐκομίζοντο, καυθῆναι προσέταξε, καὶ κατεφλέχθησαν πάντες ἐν μέσῃ τῇ θαλάσσῃ σὺν τῇ νηΐ, ἄχρι Δακιβύζης διαρκεσάσῃ. ὧν καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος μέμνηται λέγων, πρεσβυτέρων ἐμπρησμοὶ θαλάττιοι. οὐ μόνον δὲ τοὺς ὀρθοδόξους ἐκόλαζεν. ἀλλὰ καὶ τὰς ἐκκλησίας ἁπάσας ἀπένειμε τοῖς ἀρειανοῖς, τοὺς ὀρθοδόξους ἐπισκόπους ἐκδιώκων αὐτῶν. λέγεται γοῦν καὶ τῆς ἐν Νικαίᾳ καθολικῆς ἐκκλησίας ἐκδιωχθέντας τοὺς τοῦ ὀρθοῦ δόγματος, *περὶ τῆς ἐν Νικαίᾳ ἐκκλησίας καὶ τοῦ μεγάλου Βασιλείου γενομένου θαύματος.* τῷ μεγάλῳ προσελθεῖν Βασιλείῳ, κἀκεῖνον πρεσβεῦσαι ὑπὲρ τούτων πρὸς τὸν Οὐάλεντα. τὸν δὲ, μὴ πεισθῆναι, καὶ τὸν μέγαν φάναι Βασίλειον. ὡς ἐπιτρεπτέον τὴν περὶ τούτου κρίσιν, ὦ βασιλεῦ, τῷ θεῷ, καὶ κλεισθέντος μὲν ἀσφαλῶς τοῦ ναοῦ, " ἐκτὸς ἑστῶτες οἱ τὰ ἀρείου φρονοῦντες, δεηθῶσι τοῦ θεοῦ, " καὶ εἰ μὲν αὐτομάτως αὐτοῖς ἀνοιχθῇ ὁ ναὸς, ἐχέτωσαν αὐτόν. " εἰ δὲ μὴ ἀνοιγῇ, ἐπιτρεπτέον καὶ ἡμῖν δεηθῆναι τοῦ θεοῦ. καὶ " εἰ μὲν αὐτομάτως ἀναπετασθῶσιν αἱ θύραι, νομιστέον ἐκ " θεοῦ προσκεκληρῶσθαι ἡμῖν τὸ θεῖον τέμενος. εἰ δὲ οὐδ᾽ " ἡμῖν τὸ ἱερὸν ἀνοιγῇ, καὶ οὕτως αὐτὸ τοῖς ἀρειανίζουσιν. " ἤρεσε ταῦτα τῷ βασιλεῖ, καὶ γενέσθαι ταῦτα ἐπέτρεψεν. ἐκλείσθη οὖν πάντοθεν ὁ ἐν Νικαίᾳ ναός. ἐλιτάνευον οἱ ἀρειανοὶ τὸν θεόν, καὶ ἠδολέσχουν ἐφ᾽ ἱκανόν. ὁ δὲ ναὸς οὐκ ἠνοίγετο. ὀψὲ δέ ποτε τῶν αἱρετικῶν μεταστάντων, οἱ ὀρθόδοξοι τοῦ μεγάλου Βασιλείου προηγουμένου αὐτῶν,

τῆς

τῆς ἀθέου ἔρξαντος. καὶ αὐτίκα τῶν κλείθρων διαρραγέντων καὶ τῶν μοχλῶν, αἱ πύλαι διέστησαν ἀπ' ἀλλήλων. καὶ τὴν εἴσοδον τοῖς πιστοῖς παρεχώρησαν. οὗτος ὁ βασιλεὺς Ἕλλησι μὲν ἐνεδίδου θυσίας ποιεῖν, καὶ Ἰουδαίοις προσέκειτο, τοῖς δ' ὀρθοδόξοις μόνοις ἀντέκειτο. σκυθῶν δὲ τὴν θρᾳκῴαν καὶ μακεδονικὴν κατατρεχόντων χώραν, ἐξιόντι τούτοις ἀντιταξόμενος, ὅτε καὶ ὁ μέγας πατὴρ Ἰσαάκιος ἐφ' ἵππου αὐτῷ ἐντυχών. ἀπόδος, ἔφη, τὰς ἐκκλησίας τοῖς ὀρθοδόξοις ὦ βασιλεῦ, καὶ ἴσθι ὡς ἐπανήξεις νικητής. εἰ δὲ κατὰ θεοῦ στρατεύῃ, οὐκ ἐπανήξεις ἐκεῖθεν. ὀργισθεὶς δὲ τούτοις ὁ δυσσεβέστατος βασιλεύς, καὶ φρουρεῖσθαι προστάττει τὸν ἅγιον, ἕως ἐπανελεύσεται. ὁ δέ, εἰ σὺ ὑποστρέψεις, ἔφη, ὁ λελάληκεν ἐν ἐμοὶ ὁ θεός. καὶ ἐν ὀνείρῳ δὲ εἶδε τοῦτο ὁ Οὐάλης, ἄνδρα τινὰ λέγοντα αὐτῷ.

τάχος βάδιζε πρὸς Μίμαντα τὸν μέγαν,
ἔνθα μόρος σε δεινὸς ἁρπάζει τάλαν.

διυπνισθεὶς δὲ ἐπυνθάνετο, τίς ἂν εἴη ὁ Μίμας; καί τις τῶν λόγοις ἐσχολακότων (τοιοῦτοι γὰρ τοῖς βασιλεῦσι συμπαρωμάρτουν τε καὶ ἐτιμῶντο, ὡς εἴθε καὶ νῦν) ἔφη αὐτῷ. ὄρος εἶναι τῆς Ἀσίας τὸν Μίμαντα πρὸς τῇ θαλάσσῃ κείμενον. τούτου δὲ καὶ τὸν Ὅμηρον ἐν Ὀδυσσείᾳ μεμνῆσθαι, λέγοντα, παρ' ἠνεμόεντα Μίμαντα. καὶ ὃς ἔφη. τίς οὖν μοι ἀνάγκη τὸ ὄρος τοῦτο καταλαβεῖν, κἀκεῖσε θανεῖν. στρατεύσας οὖν ἐπὶ τῶν σκυθῶν, καὶ περὶ τὴν Θρᾴκην αὐτοῖς συμβαλών, αἰσχρῶς ἡττήθη, καὶ φυγὼν ἐν οἰκήματι κατεκρύφθη. παρ' ᾧ ἀχυρώδης σεσώρευτο συρφετός. τῶν οὖν σκυθῶν μετὰ τὴν ἧτταν τοῦ βασιλέως τὴν χώραν ἐκείνην ληϊζομένων καὶ ἐμπιπρώντων καὶ τὰς οἰκίας, κἀκεῖνο τὸ οἴκημα κατεπίμπρησαν. καὶ Οὐάλης διεφθάρη ἐν αὐτῷ. ὁ μέντοι ἅγιος Ἰσαάκιος καθειργμένος, τὴν κατάφλεξιν τοῦ Οὐάλεντος ἐγνώκει τῷ πνεύματι, καὶ εἶπε τοῖς παρατυχοῦσιν ἐκεῖ, ὡς Οὐάλης ἄρτι θνήσκει διὰ πυρός. σημειωθείσης οὖν τῆς ἡμέρας, ἐγνώσθη μετὰ ταῦτα μὴ πλανηθῆναι τὸν ἅγιον. μετὰ δὲ τὴν τῶν βαρβάρων ἐκεῖθεν ὑποχώρησιν, τὸ σῶμα τοῦ βασιλέως ἀναζητούντων τινῶν, εὑρέθη τάφος ἐν τῇ οἰκίᾳ ἐν ᾗπερ ἐκαύθη ἐκεῖνος, παλαιὸν τινὸς ἔχων ἐπίγραμμα. ἐνταῦθα Μίμας Μακεδὼν στρατηγέτης. τούτῳ δὲ τῷ βασιλεῖ ἐπανίσταται Προκόπιος ὁ ἀνεψιὸς Ἰουλιανοῦ, καὶ κρατεῖ τοῦ Βυζαντίου. προδοθεὶς δὲ παρὰ τῶν οἰκείων, καὶ προσδεθεὶς ἐκ τῶν σκελῶν δύο δένδροις εἰς κλίσιν, τῶν δένδρων ἀνορθωθέντων, διεσπάσθη ὁ δείλαιος. καθῃρέθη δὲ τότε καὶ τὰ τείχη τῆς πόλεως Χαλκηδόνος, ὡς τῶν αὐτῆς πολιτῶν τὰ Προκοπίου φρονούντων. ὧν καθαιρουμένων εὑρέθη πλὰξ ἐν τοῖς θεμελίοις αὐτῶν, ἔχουσα γεγραμμένα ταῦτα.

Ἀλλ' ὅτε δὴ νύμφαι ἱερὴν κατὰ ἄστυ χορείην,
Τερπόμεναι στρέψονται ἐϋστεφέας κατ' ἀγυιάς,
Καὶ τεῖχος λουτροῖσι πολύστονον ἔσσεται ἄλκαρ,
Δὴ τότε μυρία φῦλα πολυσπερέων ἀνθρώπων
Ἄγρια μαργαίνοντα κακὴν ἐπιειμένα ἀλκήν,
Ἴστρου κιμμερίοιο πόρον διαβάντα σὺν αἰχμῇ,
Καὶ σκυθικὴν ὀλέσει χώραν καὶ μυσίδα γαῖαν.
Θρηκίης δ' ἐπιβάντα σὺν ἐλπίσι μαινομένῃσιν,
Αὐτοῦ κεν βιότοιο τέλος καὶ πότμον ἐπίσποι.

ὁ μὲν οὖν Οὐάλης τῇ τῶν τειχῶν τῆς Χαλκηδόνος ὕλῃ, εἰς οἰκοδομὴν ὁλκοῦ ἐχρήσατο ὕδατος (ὃν ἀγωγὸν ἡ δημώδης ὀνομάζει φωνή) καὶ τοῦτον Οὐάλεντα ἐπωνόμασεν. δι' οὗ πολὺ εἰς τὴν πόλιν ὕδωρ εἰσάγεσθαι, ἵν' ἀφθονία ὑδάτων ᾖ αὐτῇ καὶ πρὸς χρῆσιν ἄλλην, καὶ πρὸς λουτρά. ὁ δὲ τῆς πόλεως ἔπαρχος, νυμφαῖον ἐν τῷ καλουμένῳ ταύρῳ κατεσκεύασε, τὰς ἐκ τοῦ τῶν ὑδάτων ὁλκοῦ χάριτας ἐκ φύτε παρα δεικνύς. οἷς ὕστερος καὶ ἡ τῶν βαρβάρων ἐπέλευσις, κατὰ τὰ γεγραμμένα ἐν τῇ πλακί. οἳ ἐληΐζοντο μὲν τὴν Θρᾴκην

περὶ τοῦ νικήσαντος τοῦ Οὐάλεντος καὶ τοῦ περὶ τούτου προφητεύσαντος ὁσίου Ἰσαακίου.

περὶ τῆς Προκοπίου τυραννίδος καὶ τῶν καθαιρουμένων τειχῶν Χαλκηδόνος.

ce, preces auspicatis, statim claustris & uectibus ruptis ualuæ patefactæ fidelibus ingressum præbuerunt. Is Paganis sacrificandi potestatẽ dabat, & Iudæis studebat. Solis rectè sentientibus aduersabatur. Cum autem Scythæ prouincias Thraciam & Macedoniã incursarent, Magnus pater Isaacius ei cõtra illos proficiscenti equo occurrens, Redde, inquit Imperator orthodoxis ecclesias, & scito te uictorem rediturũ. Sin cõtra deum militaris, inde non reuerteris. His commotus homo impius, custodiri iubet uirũ sanctũ donec redierit. Tũ ille, si redieris, inqt, nõ locutus est per me deus. Pòst, Valẽs in somnis uirũ uidet, sibi dicentẽ:

Miser ad Mimanta magnum iter capessito
Citus: hic te sæuæ mortis opprimet dolor.

Experrectus percontatur quis sit Mimas? Ibi quidam homo doctus (Nam tales eo tempore, utinam nunc etiam, in regio comitatu et familiaritate erant) respondet, esse montẽ Asiæ ad mare situm, cuius & Homerus in Odyssea meminerit, ac uẽtosum appellet. Tum ille, Et quæ me, inquit, necessitas urget, ut montem illum occupem, ibiq; moriar? Congressus autem circa Thraciam cum Scythis turpiter succubuit, & in fuga domum quãdam ingressus, in aceruo palearum sese abdidit, in qua, cum Scythæ post uictoriam prædas è prouincia agerent, uillasq; incenderẽt, & ipse conflagrauit. Cæterũ eius interitu S. Isaacius in carcere per spiritũ cognito, ijs qui aderãt, dixit, Valentẽ iam incẽdio perire. Die illo annotato, postea cõpertum est, uirũ sanctũ non errasse. Post Barbarorũ discessum cũ Imperatoris corpus quæreretur, inuentũ est in ijs ædibus ubi combustus fuerat, sepulchrũ cum hac inscriptiõe: Hic Macedo Mimas Imperator est situs. Seditionem contra hunc Imperatorem mouit Iuliani consobrinus Procopius, Byzantio occupato, sed proditus à suis, duabus arboribus ui inclinatis pedibus annexus, atq; iterũ dimissis, laceratus est miser. Tum Chalcedonis etiã diruta sunt mœnia, quòd ciuibus Procopij studiũ crimini dabatur, quæ cum diruerẽtur, tabula reperta est, cum hac inscriptione,

Nymphis in sacra choreas agitantibus urbe
Vndiq; per uicos, festa exultante corona,
Balnea cum murus gemitu custodiet ægro,
Tum uerò gens dira, potens, numerosa, feroci
Robore prædita, Cimmerij freta uecta p Istri
Et Scythiã sæuis & Mysida deprime armis
Threiciumq; ingressa solum spe freta furẽte,
In sua fata ruens, tristem mittetur ad Orcum.

Valẽs materia Chalcedonij muri ad aquæductũ usus est, quem Valentẽ nominauit, ut urbi aquarũ copia tum ad alios usus, tum ad balnea suppeteret: & urbis præfectus, Nympharũ ædem, in loco qui Taurus dicitur, ad testandum gratum animum ob ductiles aquas, ædificauit. Hæc consecuta est Barbarorum impressio, ut in tabula scriptum erat, qui & Thra

Isaacius Valenti exitiũ prædicit.

Valẽtis somnium.

Mimas & montis et uiri nomen.

Valentis interitus.

Isaacius Valentis cõflagrationem præuidet.

Procopiana seditio.

Chalcedonense oraculum.

τῶν Σκυθῶν. ἐπεὶ δ' ἔγνω τὸ ἀληθὲς, καὶ τὴν τῶν βαρβάρων φθορὰν ὁ αὐτοκράτωρ ἐπληροφορήθη, καὶ ἐθαύμασε τὸν ἄνδρα τῆς τε ταχυτῆτος, καὶ τοῦ ἀριστεύματος ἄγαν, καὶ ἐπῄνεσεν. ἤδη δὲ καὶ τῆς Οὐάλεντος μοίρας προσκτηθείσης αὐτῷ μετὰ τὴν ἐκείνου φθορὰν, ἀπιδὼν πρὸς τὸ ἄπειρον χρῆμα τῆς ἀρχῆς, καὶ συνιδὼν ὡς οὐχ οἷός τ' ἂν εἴη αὐτὸς μόνος τὴν τοσαύτην ἰθύνειν ἀρχὴν, βασιλέα τῆς νέας Ῥώμης ἀναγορεύει τὸν Θεοδόσιον, ἅμα μὲν τῆς ἀρετῆς αὐτὸν ἀμειβόμενος, ἅμα δὲ καὶ μηδένα κρίνας ἕτερον εἰς κοινωνίαν τῆς ἀρχῆς, τούτου κρεῖττον ἐσόμενον. τῆς γοῦν ἑῴας ἁπάσης καὶ τῆς Θρᾴκης αὐτῷ ἀνατεθειμένης, ἐκεῖνος ἑαυτῷ ἀπεκλήρωσε τὰ ἑσπέρια. καὶ ἐν τῇ Γαλλίᾳ γενόμενος, ἀνῃρέθη δόλῳ ὑπ' Ἀνδραγαθίου τοῦ στρατηγοῦ, βασιλεύσας μετὰ τὴν τοῦ πατρὸς αὐτοῦ τελευτὴν ἐνιαυτοὺς ἕξ.

ΒΑΣΙΛΕΙΑ ΟΥΑΛΕΝΤΙΝΙΑΝΟΥ τοῦ νέου, καὶ Θεοδοσίου.

Τοῦ δὲ Γρατιανοῦ τελευτήσαντος, κατελείφθη βασιλεὺς αὐτοκράτωρ τῶν ἑσπερίων, ὁ νέος Οὐαλεντινιανὸς μήπω μειράκιον γεγονώς. ὃς ὑποφθαρεὶς παρὰ τῆς μητρὸς Ἰουστίνης ἀρειανιζούσης, τῷ τῶν ἀρειανῶν συνετέθη δόγματι, καὶ τοῖς ὀρθοδόξοις ἀντικαθίστατο. ἐπαναστάντος οὖν τοῦ Μαξίμου αὐτῷ καὶ τυραννίδι ἐπιχειρήσαντος, καὶ ἐν μάχαις ὑπερισχύσαντος, ἔγραψε πρὸς τὸν βασιλέα Θεοδόσιον τὰ συμβάντα, συμμαχίαν αἰτούμενος. κἀκεῖνος μὴ δεῖν θαυμάζειν ἀντιγράφει, εἰ ὁ δοῦλος ὑπερισχύει, δεσπότου κατεξανιστάμενος, τὸν τε οἰκεῖον ἀθετοῦντος δεσπότην, καὶ κτίσμα καὶ δοῦλον καλοῦντος τὸν κτίσαντα καὶ τῷ πατρὶ ὁμοούσιον καὶ ὁμότιμον. ἀπελθὼν δὲ εἰς συμμαχίαν αὐτοῦ, τόν τε Μάξιμον συλλαβὼν ἀνεῖλε, καὶ τὸν στρατηγὸν Ἀνδραγάθιον, ὃς ἐδολοφόνησε τὸν Γρατιανόν. εἶτ' αὖθις Εὐγένιος ἐπανίσταται τῷ νέῳ Οὐαλεντινιανῷ. καὶ τυραννίδι ἐπιθέμενος, φοβηθεὶς οὖν Οὐαλεντινιανὸς, ἀγχόνῃ τοῦ βίου ἑαυτὸν ὑπεξήγαγε, καὶ μαθὼν τοῦ Εὐγενίου τὴν τυραννίδα ὁ Θεοδόσιος, ἐξεστράτευσε κατ' αὐτοῦ. καὶ εἰς Θεσσαλονίκην ἐλθὼν μετὰ τοῦ στρατεύματος, ἱκανῶς μὲν ὑβρίσθη ὑπὸ τῶν Θεσσαλονικέων. ὁ δὲ ἔπαρχος ἐφονεύθη, στασιάσαντος τοῦ δήμου διὰ αἰτίας τινάς. τότε μὲν οὖν ἐπὶ τῇ τοῦ λαοῦ κινήσει ἔδοξεν ἀνεξικακῆσαι ὁ βασιλεύς. μετὰ δὲ ταῦτα, ἱππικὸν ἀγῶνα ἐκήρυξε καὶ τοῦ λαοῦ ἀθροισθέντος ἐπὶ τὸ θέατρον, περιέστησεν αὐτοῖς τὰ στρατεύματα, καὶ κατετόξευσαν τὸν δῆμον καὶ κατηκόντισαν, ὥστε θανεῖν ἐξ αὐτῶν ἄχρι τῶν πεντεκαίδεκα χιλιάδων. καὶ οὕτως ἐμπλήσας ὁ Θεοδόσιος τὸν θυμὸν, ἐκεῖθεν ἀπάρας, εἰς τὴν πόλιν τῶν Μεδιολάνων ἀφίκετο. ὅτε καὶ ἠλέγχθη παρὰ τοῦ μεγάλου Ἀμβροσίου διὰ τὴν τῶν Θεσσαλονικέων σφαγήν. καὶ εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν οὐ συγκεχώρητο. καὶ οὐ πρότερον ἐφῆκεν αὐτῷ τὴν εἰς τὸ θεῖον τέμενος εἴσοδον, εἰ μὴ νόμον ἔθετο, τὰς ψήφους τὰς φονικὰς μὴ πρότερον ἐκβιβάζεσθαι πρὶν ἂν παρέλθοιεν μετὰ τὴν ψῆφον ἡμέραι τριάκοντα. τοῦτο δὲ ἐποίησε διὰ τὸ τοῦ βασιλέως ὀξύῤῥοπον πρὸς θυμὸν, ἵνα διὰ τῶν τριάκοντα ἡμερῶν τοῦ θυμοῦ καταστορεσθέντος, ἀπαθῶς ἐπισκέπτηται τὰς ψήφους, καὶ τὰς μὲν γνησίας κυροῖ, τὰς δὲ δι' ὀργὴν ἴσως ἐψηφισμένας, ἀκύρους καταψηφίζηται. τῷ δὲ τυράννῳ Εὐγενίῳ συμμίξας ἐν ταῖς Γαλλίαις ὁ Θεοδόσιος, νικᾷ τε αὐτὸν καὶ συλλαμβάνει καὶ ἀναιρεῖ. οὗτος ὁ βασιλεὺς ἰδιωτεύων, εἶχε γυναῖκα εὐσεβῆ τε καὶ σώφρονα καὶ φιλόπτωχον τὴν Πλακίλλαν. ἐξ ἧς αὐτῷ ἐγεγόνει Ἀρκάδιος καὶ Ὀνώριος. ἣν καὶ αὐγοῦσταν ἐποίησε. μετὰ δὲ τὴν βασιλείαν θανούσης αὐτῆς, ἔγημε Γάλλαν τὴν τοῦ μεγάλου Οὐαλεντινιανοῦ θυγατέρα. ἐκδημοῦντος δὲ τοῦ βασιλέως

Scytharũ summã rei militaris perictã. Cùm autẽ ueritatẽ cognouisset Imperator, deq; internecione Barbarorũ planè cõstaret, uiri celeritatẽ admiratus est, et rem bene gestã laudibus prosecutus. Iam quia Valentis etiã partẽ post illius interitũ consecutus, prouidebat, se tam immẽsam tanti Imperij molem sustinere solũ non posse: Theodosiũ nouæ Romæ Imperatorẽ appellat, partim, ut eius industriã remuneraretur, partim quòd neminem ad Imperij societatem magis idoneũ iudicabat. Tradito igitur illi uniuerso Oriente & Thracia, occidentẽ sibi reseruauit: & in Gallias profectus, anno Imperij post obitũ patris sexto, fraude ducis Andragathij occiditur. *Gratianus ab Andragathio occisus.*

IMPERIVM VALENTINIANI IVnioris & Theodosij.

GRatiano defuncto, Occidẽtalis Imperij potestas in Valẽtinianũ iuniorẽ impuberẽ adhuc, collata est: qui paulatim à Iustina matre, Arianis fauẽte corruptus, illorũq; dogma amplexus, orthodoxis aduersatus est. Cum autẽ Maximus cõtra eum insurrexisset, regnũ affectãs, & prælijs aliquot uicisset: Theodosio scribit, ut secũ agatur, & auxilia petit. Cui ille respondit, non esse mirandũ, si seruus seditiosus eo domino sit superior, qui suũ dominũ repudiet, & creaturam ac seruum appellet conditorem, pari & natura & dignitate cum patre præditum. Sed suppetias profectus, Maximum comprehensum supplicio affecit, unà cũ duce Andragathio, qui Gratianũ fraude occiderat. *Theodosius Maximũ et Andragathium supplicio afficit.* Post, Eugenius etiam mota seditione regnum affectauit: qua Valentinianus perterritus, laqueo sibi necem consciuit, Theodosius autem bellum contra illum suscepit. *Valentinianus laqueo uitam finit.* Ac Thessalonicæ contumeliosè acceptus, præfecto per seditionem populi, quibusdam de causis ortam, interfecto, in præsentia ad populi motum conniuendum ratus, pòst equestre certamen indixit. *Thessalonicenses cæsi à Theodosio.* Populum in theatro congregatum, circumdedit legionibus, quæ ad quindecim millia sagittis & iaculis confecerunt. Sic expleta iracundia, Mediolanum digressus, à magno Ambrosio propter Thessalonicensium cædem obiurgatus, ingressu Ecclesiæ prohibetur: neq; prius admittitur, quàm lege sanxisset, ne capitales sententiæ ante diem trigesimum ratæ essent. *D. Ambrosius Theodosium punit.* Id factum, ob Imperatoris animum ad iracundiam proniorẽ: ut illo spatio lenita ira, sententias recognosceret, ac legitimas confirmaret, ab iracundia forsan profectas, abrogaret. Eugenium tyrannũ in Gallijs prælio uictum & captum, occidit. *Eugenij cædes.* Habuit uxorem priuatus adhuc, Placillam, matronam piam, modestam, & pauperum amantem, quam suscepto ex ea Honorio & Arcadio Augustam appellauit. Ea post adeptum imperium defuncta, Gallam Magni Valentiniani filiam duxit. *Placilla. Galla.* Interea dum Imperator

in Occidente uersatur, Iudæi conciliato & annuente Honorato urbis præfecto (nam Paganus erat) magnificā in foro ærario synagogam extruūt. Sed urbana multitudo ea re irritata, præfecto maledicit, illo maledicta negligente, synagogā igne iniecto cremat. Præfectus rem ad Imperatorē perscribit, qui eā audaciæ pœnā statuit, ut sumptus synagogæ persoluerent, eāq; Iudæis instaurare liceret. Hoc magnus Ambrosius cognito, cum quodā dominico festo imperator Mediolanēsem ecclesiam ingrederetur, sic exorsus est: Cur Imperator, eum qui te ex priuato regē fecit, suo grege tibi cōmisso, qui caput tuū prius squalidū diademate exornauit, tu contumelijs afficis, eos à quibus ille rejicitur, ijs præferēdo à quibus colitur, ut etiā illata, ut in media urbe, in qua Christus colitur, & crux adoratur, synagogā Christi interfectoribus ædificent? Ea reprehensione uerecundatus Imperator, Nunquid, inqt, episcope in Republica benè cōstituta plebi concedēda est quiduis temerè & impudēter audendi licētia? At ne illud quidē, inquit D. Ambrosius, concedēdū est, ut Iudæi in medio Christianæ urbis synagogas habeāt, & blasphemis precibus piorū aures obtundant? Ne uerò istud decreueris, sanctissime Imperator. His lenitus Theodosius, Byzātijs remisit mulctā, & Iudæos intra urbē regiā, habere synagogā uetuit. Cum autē Antiochenis noua tributa imperasset, populus ob exactionis nouitatem indignatus, prioris eius uxoris imagines in foro sitas, reuellit, & in publicis uijs traxit. Ob id facinus ille iratus, urbem & priuilegijs priuauit, & uicinæ Laodiceæ subiecit, cōminatus etiā ciuibus, quos utiq; malè tractasset, nisi Flauianus Archiepiscopus Antiochenus legatione suscepta, Imperatorē mitigasset. Quo tēpore uir sūmus Ioānes Chrysostomus, Antiochenæ ecclesiæ presbyter adhuc, eas orationes scripsit, quæ Statuarū titulū præ se ferunt. Tunc etiā Gregorius rerum diuinarū peritissimus, qui pridē Orthodoxos clā in S. Anastasiæ æde ob hæreticorū impudētiā & audaciā, docuerat: post apertas orthodoxis à Theodosio ecclesias palā filiū eiusdē cū patre naturæ, & sanctū spiritū cū utroq; adorādū & glorificādū prædicauit. Nā Macedonius, qui, ut dictū est, exiguo tēpore patriarcha Cōstātinopolitanus fuit, non ferebat, ut spiritus uel Deus nominaretur, uel pari cū patre filioq; potētia, eadēq; natura præditus diceretur: quā obrē iussu Imperatoris secūdū cōciliū est indictū CL. diuinis patrib. in urbe imperatoria cōgregatis, quorū in disputationibus principes fuere, theologus & magnus Gregorius, Nyssenus episcop⁹, & sanctus Amphilochius, Iconiensis ecclesiæ præses, q spiritū sanctū, & Deū esse statuerūt, & patri filioq; potentia et dignitate parem, Macedonio & eius sectatoribus Catulica ecclesia eiectis, & in sanctum

D. Ambrosius pro Cōstātinopolitanis apud Theodosiū intercedit.

Antiochenorum mulcta.

Flauianus.

Io. Chrysostomus.

Gregorius.

Macedoniana heresis.

Cōstantinopolitani Cōcilij decretum de spiritu sancto.

ἐς τὰ ἑσπέρια, οἱ ἰουδαῖοι τὸν τῆς πόλεως ἔπαρχον ὀνωράτον ἐξευμενισάμενοι, κτίζουσι συναγωγὴν ἐν τοῖς χαλκοπρατείοις πολυτελῆ, ἐκείνου παραχωρήσαντος. ἦν γὰρ τὰ ἑλλήνων πρεσβεύων. ὁ δὲ τῆς πόλεως δῆμος ἀγανακτήσας ἐπὶ τούτῳ, ἐβλασφήμει τὸν ἔπαρχον. καὶ ὃς ἐν οὐδενὶ λόγῳ τὰ τῆς βλασφημίας ἐποιεῖτο. μὴ φέρων οὖν ὁ λαὸς, πῦρ ἐνίησι νυκτὸς τῇ συναγωγῇ, καὶ ταύτην ἐμπίπρησι. γράφει οὖν τῷ βασιλεῖ θεοδοσίῳ περὶ τούτου ὁ ἔπαρχος. κἀκεῖνος ἐπιτιμᾷ τοῖς τολμήσασι τὸν ἐμπρησμὸν τῆς συναγωγῆς ἔκτισιν τῶν ἀναλωμάτων τῶν εἰς αὐτὴν, καὶ ἐφίησιν αὖθις ἐγερθῆναι αὐτήν. τοῦτο μαθὼν ὁ μέγας ἀμβρόσιος, τοῦ βασιλέως τῇ πόλει μεδιολάνων ἐνδημοῦντος, καὶ κατά τινα τῶν δεσποτικῶν ἑορτῶν, εἰς τὴν ἐκκλησίαν ἀφικομένου, ἤρξατο λέγειν, ἵνα τί βασιλεῦ τὸν ἐξ ἰδιώτου σε βασιλέα ποιήσαντα, καὶ τὴν οἰκείαν ἐγχειρίσαντά σοι ποίμνην, καὶ ἣν τῷ ἑαυτοῦ ἐκτήσατο αἵματι, καὶ τῷ διαδήματι τὴν κεφαλήν σου αὐχμῶσαν πρώην, αὐτὸς ὑβρίζεις, τοὺς ἀθετοῦντας αὐτὸν, τῶν ἐπισεβούντων προτιμοτέρους τιθέμενος, καὶ δίκας εἰσπράττειν ὑπὲρ ἰουδαίων χριστιανοὺς, καὶ βίαν αὐτοῖς ἐπάγων, ἐν μέσῃ τῇ πόλει ἐν ᾗ κηρύττεται ὁ χριστὸς, καὶ προσκυνεῖται σταυρὸς, συναγωγὴν οἰκοδομῆσαι τοῖς χριστοκτόνοις; καὶ ὁ βασιλεὺς πρὸς τὸν ἔλεγχον αἰδεσθεὶς, ἔφη, καὶ δώσομεν, ὦ ἐπίσκοπε, τοῖς δήμοις ἀτάκτως καὶ ἀναιδῶς ἐν ταῖς εὐνομουμέναις πόλεσιν ὅσα βούλονται δρᾷν; ἀλλ' οὐδὲ τοῦτο δίκαιον, ὦ βασιλεῦ, ὁ ἱερὸς ἀμβρόσιος ἀντιπέφηνε, τὸ συναγωγὰς ἔχειν τοὺς ἰουδαίους ἐν μέσῃ πόλεως εὐσεβοῦς, καὶ βλασφήμους εὐχὰς ἐκτελεῖν ἐπ' ἀκροάσει θεοσεβῶν. μὴ οὖν τοῦτο θεσπίσῃς, ὀρθοδοξότατε αὔγουστε. τούτοις ὁ θεοδόσιος μαλαχθεὶς, τοῖς βυζαντίοις ἀνῆκε τὸ ἐπιτίμιον, καὶ συναγωγὴν ἐντὸς τῆς βασιλίδος τῶν πόλεων, τοὺς ἰουδαίους ἔχειν ἀπείρηκε. τοῖς ἀντιοχεῦσι δὲ φόρων ἐπιταχθέντων νέων, κινηθεὶς ὁ δῆμος εἰς ἀγανάκτησιν διὰ τὸ καινὸν τῆς εἰσπράξεως, εἰκόνας τῆς προτέρας γαμετῆς τοῦ βασιλέως θεοδοσίου ἐν τῇ ἀγορᾷ τῆς πόλεως αὐτῶν ἱδρυμένας κατέσπασε, καὶ ἔσυρεν ἐν ταῖς δημοσίαις ὁδοῖς. δι' ὅπερ ὀργισθεὶς ἐκεῖνος, τῆς τε τῆς πόλεως ἀφείλετο δίκαια, καὶ τῇ γειτονούσῃ λαοδικείᾳ ταύτην ὑπέταξε, καὶ τοὺς αὐτῆς πολίτας ἠπείλει διαθήσειν κακῶς. καὶ διετέθησαν ἂν, εἰ μὴ φλαβιανὸς ὁ τότε τῆς ἀντιοχείας ἀρχιερεὺς, τῷ βασιλεῖ προσελθὼν ἐπρέσβευσε, καὶ ἐνδοῦναι αὐτὸν πεποίηκε τοῦ θυμοῦ. ὅτε καὶ ὁ πάμμεγας ἰωάννης ὁ χρυσόστομος, τοὺς ἐπιγραφομένους ἀνδριάντας λόγους συνέγραψε, τῆς ἀντιοχέων ἐκκλησίας τυγχάνων πρεσβύτερος. τότε καὶ ὁ πολὺς ἐν θεολογίᾳ γρηγόριος, κεκρυμμένως πρώην διδάσκων τοὺς ὀρθοδόξους ἐν τῷ τῆς ἁγίας ἀναστασίας ναῷ, διὰ τὴν τῶν αἱρετικῶν ἀναίδειαν καὶ θρασύτητα, τοῦ βασιλέως θεοδοσίου τὰς ἐκκλησίας τοῖς ὀρθοδόξοις ἀνοίξαντος, παρρησίᾳ τόν τε υἱὸν ὁμοούσιον ἐκήρυττε τῷ πατρὶ, καὶ τὸ ἅγιον πνεῦμα θεὸν ἀμφοῖν συμπροσκυνούμενον καὶ συνδοξαζόμενον. ὁ γὰρ μακεδόνιος, ὃς καὶ πατριάρχης ἐπ' ὀλίγον, ὡς ἤδη εἴρηται, τῆς κωνσταντίνου πόλεως γέγονε, θεὸν αὐτὸ λέγεσθαι οὐκ ἠνείχετο, ἀλλ' οὐδ' ἰσοσθενὲς τῷ πατρὶ καὶ τῷ υἱῷ, ὅτι μὴν ὁμοούσιον. διὸ καὶ ἡ δευτέρα τότε συγκεκρότητο σύνοδος, τοῦ βασιλέως προστάξαντος, ἑκατὸν πεντήκοντα συναθροισθέντων πατέρων θεοφόρων ἐν τῇ βασιλευούσῃ τῶν πόλεων, ὧν προεξῆρχον ἐν τοῖς ἀγῶσιν ὁ θεολόγος, καὶ ὁ μέγας γρηγόριος ὁ νύσσης ἐπίσκοπος, καὶ ὁ ἱερὸς ἀμφιλόχιος, τῆς ἰκονιέων προεστὼς ἐκκλησίας. οἳ τὸ πνεῦμα τὸ ἅγιον καὶ θεὸν ἐδογμάτισαν, καὶ τῷ πατρὶ καὶ τῷ υἱῷ ὁμοσθενὲς καὶ ὁμότιμον. τόν τε μακεδόνιον καὶ τοὺς ὁμοδόξους αὐτῷ τῆς καθολικῆς ἐκκλησίας ἐξεκήρυξαν, καὶ εἰς τὸ ἅγιον σύμβολον,

περὶ τῆς τῶν ἰουδαίων συναγωγῆς, ἣν ἐν τοῖς χαλκοπρατείοις ἔκτισαν· καὶ ὅπως διὰ ταύτην ὁ μέγας ἀμβρόσιος ἐπαρρησιάσατο.

περὶ τῆς ἐν ἀντιοχείᾳ γενομένης ἀταξίας.

περὶ τῆς δευτέρας συνόδου.

σύμβολον, τὴν περὶ τοῦ ἁγίου πνεύματος προσθῆκαν τοσοῦτον γραφὴν, ἐκ τοῦ, καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, μέχρι τέλους. καὶ τὰ ἐν τῇ πρώτῃ συνόδῳ δογματισθέντα, ἐπεβεβαίωσεν. ὅτε καί τινες τῶν ἐπισκόπων βασκήναντες τῷ θεολόγῳ τοῦ θρόνου χάριν τῆς Κωνσταντινουπόλεως, οὐ κανονικῶς αὐτὸν αὐτὸν ἐπιβεβηκέναι τοῦ θρόνου, ὡς ἑτέρῳ πρότερον ἐπικηρυχθέντα· διὸ καὶ τὸν συντακτήριον ὁ ἅγιος συγγραψάμενος, καὶ δημοσίᾳ ἀναγνοὺς, ἐξίστη τοῦ θρόνου, καὶ εἰς τὴν οἰκείαν πατρίδα τὴν Ναζιανζὸν ἐπανῆλθε. ἐχειροτονεῖτο δὲ τῆς Κωνσταντινουπόλεως πατριάρχης Νεκτάριος συγκλητικὸς ἀνὴρ, καὶ πολιτικὰς ἀρχὰς ἀνύσας. τότε καὶ ὁ θρόνος τῆς νέας Ῥώμης δευτέραν τάξιν ἔλαχε μετὰ τὴν πρεσβυτέραν Ῥώμην ταχθεὶς, καὶ τῶν ἑτέρων δὲ προκριθείς. ἀλλὰ καὶ ὁ μέγας Ἀμφιλόχιος τότε ἠξίου τὸν βασιλέα, ἐξελαθῆναι τῆς πόλεως τοὺς Ἀρειανοὺς, ὡς τὸν υἱὸν τοῦ θεοῦ βλασφημοῦντας, ἢ τέως μὴ παραχωρεῖσθαι συνάξεις ποιεῖν. ὡς δὲ νωθῆ πρὸς τοῦτο ἑώρα τὸν Θεοδόσιον, φυλάξας καιρὸν, ὅτε καὶ ὁ Ἀρκάδιος συνεδρεύων ἦν τῷ πατρὶ, εἰσῆλθε, καὶ τῷ μὲν Θεοδοσίῳ τὴν προσήκουσαν ἀπένειμεν ὡς βασιλεῖ καὶ πρόσρησιν καὶ προσκύνησιν. πρὸς δὲ τὸν Ἀρκάδιον ἁπλῶς οὕτως ἔφη. χαίροις καὶ σὺ παιδίον. χαλεπήναντος δὲ τοῦ βασιλέως ἐπὶ τῇ τοῦ παιδὸς καταφρονήσει, ἔτι φησὶν ὁ ἅγιος, σὺ μὲν ἄνθρωπος ὢν, τὴν τοῦ παιδὸς ἀτιμίαν τοῦ σοῦ πρᾴως οὐκ ἤνεγκας. οἴει δὲ τὸν θεὸν τοὺς τὸν ἑαυτοῦ μονογενῆ παῖδα βλασφημοῦντας μὴ βδελύττεσθαί τε καὶ ἀπεχθάνεσθαι, μὴ δ' ὀργίζεσθαι κατὰ τῶν ἐᾶν ποιούντων ἐκείνους τοῖς ὀρθοδόξοις συναναστρέφεσθαι καὶ διαφθείρειν πολλούς; θαυμάσας οὖν ἐπὶ τῇ μεθόδῳ τοῦ ἁγίου ὁ βασιλεὺς, δόγματι τοὺς τῶν αἱρετικῶν συλλόγους ἐκώλυσε. τὸν τελευταῖον δὲ τυραννήσαντα καθελόντι Εὐγένιον τούτῳ τῷ βασιλεῖ, ἡ τῶν Ῥωμαίων ἀρχὴ περιελήλυθε ξύμπασα· καὶ ἀναγορεύσει τοὺς δύο υἱεῖς αὐτοῦ βασιλέας, θέλων δὲ μετασχεῖν αὐτοὺς καὶ τῆς ἐν λόγοις παιδείας καὶ τῆς ἐν ἤθεσιν, ἐκ Ῥώμης ἤγαγε τὸν μέγαν Ἀρσένιον τῆς ἐκεῖ ἐκκλησίας ὄντα διάκονον ἐπὶ λόγοις τε καὶ ἀρετῇ περιβόητον. καὶ αὐτῷ τοὺς παῖδας παρέδωκε, μὴ ὡς βασιλεῦσιν αὐτοῖς, ἀλλ' ὡς ἰδιώταις καὶ τοῖς τυχοῦσι προσφέρεσθαι ἐντειλάμενος, καὶ μαστίζειν εἰ ἀμελοῦντας ὁρῴη, ἢ παρεξιόντας τι τοῦ καθήκοντος, καὶ ὡς οἰκείοις τούτοις κεχρῆσθαι πᾶσι. τιμαῖς δὲ μεγάλαις ἠξίωσε τὸν Ἀρσένιον καὶ χρήμασι κατεπλούτισεν. ὁ δὲ, τοὺς παῖδας παραλαβὼν, ἐκείνους μὲν ἐπὶ θρόνων ἐκάθιζεν, αὐτὸς δ' ἑστὼς, ἀπένεμε τὴν διδασκαλίαν αὐτοῖς. καί ποτε ἀθρόον αὐτοῖς ὁ βασιλεὺς ἐπιστὰς, καὶ τοὺς μὲν καθημένους εὑρὼν, ἱστάμενον δὲ τὸν Ἀρσένιον, ἠγανάκτησε, καὶ τοὺς μὲν παῖδας τῶν θρόνων ἐξαναστήσας, καθίσας δὲ τὸν Ἀρσένιον, οὕτω διδάσκειν αὐτοὺς διετάξατο. καὶ ἔκτοτε οἱ μὲν παρεστῶτες τοῦ διδασκάλου, ὁ δὲ, διδάσκων καθήμενος. ποτὲ τοίνυν παρασφαλέντι τοῦ Ἀρκαδίου μάστιγας ἐνέτεινεν ὁ διδάσκαλος. ὁ δὲ μηνιῶν διὰ ταύτας αὐτοῦ, ἐπιβουλὴν συντίθησι κατ' αὐτοῦ, καὶ κελεύει τὸν ἄνδρα διαχειρίσασθαι. καὶ τὸν σφαγέα ἑτοιμάζει. γνοὺς δὲ τὸ μελετώμενον ὁ Ἀρσένιος, λάθρα τῶν βασιλείων ὑπανεχώρησε, καὶ εἰς τὴν Σκῆτιν ἀπελθὼν, τὴν μονήρη ζωὴν ὑπῆλθε, καὶ ἰσάγγελος γέγονε. πολλὴν δὲ αὐτοῦ θέμενος ζήτησιν ὁ βασιλεὺς Θεοδόσιος, οὐχ εὗρεν ὅποι γῆς ἦν. νοσήσας δ' οὗτος ὁ βασιλεὺς ἐν Μεδιολάνοις, μετήλλαξε τὴν ζωὴν, ἑπτακαίδεκα ἔτη τὴν βασιλείαν ἰθύνας, ἐπὶ πέντε μησί. μερίζει δὲ ταύτην τοῖς δυσὶν υἱέσιν αὐτοῦ. καὶ τῷ μὲν Ἀρκαδίῳ τὴν νέαν ἀπονέμει Ῥώμην καὶ τὰ πρὸς αὐτὴν, καὶ τὸ ἑῷον τμῆμα, τῷ Ὁνωρίῳ δὲ τὴν πρεσβυτέραν Ῥώμην προσκληρώσας, καὶ τὰ ἑσπέρια ὁπόσα Ῥωμαίοις ὑπῆρχεν ὑπήκοα.

Περὶ τοῦ ἁγίου Ἀμφιλοχίου.

[illegible] Θεοδοσίου ἢ περὶ τοῦ ἁγίου Ἀρσενίου.

[illegible] βασιλέως παίδων.

symbolū inserta clausula illa, quę incipit (et in spiritū sanctū) usq; ad finē, primiq; cōcilij decretis cōfirmatis. Sed qdā episcopi thronū Cōstantinopoleos theologo inuidēres, negarunt eo rite potitū, q prius alteri delat⁹ esset. Qua re uir sāctus oratione, quæ quia de cōcordia tractat, Syntracteria inscribit, publicè recitata, Nazāza in patriā rediit. Fuerat autē patriarcha designatus Nectarius uir senatorius, & ciuilibus functus Magistratibus. Tūc nouę Romæ sedes secundū ordinē sortita est: pòst Romā ueterē collocata, prelataq; ceteris. Tūc & magnus Amphilochius ab Imperatore postulauit, ut Ariani, in Dei filiū maledici, urbe pellerētur, aut saltē conuētus agitare prohiberētur. Cum autē segnē ad id uideret esse Theodosiū, captato tēpore, quo etiā Arcadius patri in concilio assidebat, Theodosio quidē cōuenientē honorē habuit, ut Imperatori, cùm uerbis, tum gestibus. Ad Arcadiū autē simpliciter ita dixit, Salue & tu fili. Imperatore autem filij cōtemptū grauiter ferēte, uir sanctus, Tu inquit, cùm homo sis, tui filij neglectū iniquo animo tulisti. Deū uerò non existimas abominari eos & odisse, qui filio eius unigenito maledicūt, neq; irasci ijs, qui eos in coetu orthodoxorū uersari, ac multos corrūpere patiūt. Admiratus igitur uiri sancti artificiū, decreto cōuenticula hereticorū sustulit, amotoq; postremo tyrāno Eugenio, toto Romano imperio potitus, duos filios suos Imperatores appellauit, quos cum literis & moribus erudiri uellet, magnū Arseniū, Romę ecclesię diaconū, uirum & eruditione & uirtute celebrē accersit, filios tradit, cum eis non ut Imperatoribus, sed ut plebeijs & uulgaribus agere iubet, flagris etiā adhibitis, si negligētes eos esse, aut ab officio decedere uiderit, & planè pro suis filijs tractare. Ac magnū Arsenio honorē habuit, magnāq; pecuniā donauit. Is pueris in sellas collocatis, cum stās munere præceptoris fungeretur: Imperator aliquando de improuiso ingressus, ut pueros sedētes, Arseniū stantē deprehendit, indignatus, pueros astare, Arseniū sedentem docere iussit, quod ab eo tēpore illi obseruarūt. Arcadius autē plagis aliquādo ob delictū acceptis iratus, insidias præceptori cōparat, de eo occidēdo assiduè cogitās, percussore subornato. Sed Arsenius consilio eius cognito, clàm Regiā egressus, Scetin se in uitam solitariā cōtulit, ibiq; instar angeli uixit. Theodosius autem Imperator, eum diligenter inquisitū nusquā reperit, & Mediolani ex morbo moritur, Anno imperij decimo septimo, supra menses quinq;, eo inter duos filios diuiso, Arcadio noua Roma attributa est cum finitimis regionibus & Orientali parte: Honorio, Roma uetere cęterisq; occidentalibus prouincijs assignatis.

Nectarius Gregorio Nazanzeno pulso, Constantinopolitanam sedē occupat.

Sedes Constantinopolitana et Romana.

Amphilochij artificium in pellendis Arianis.

Arsenius Honorij & Arcadij præceptor.

IMPERIVM ARCADII ET HONORII.

IMperio Romanorũ sic inter Theodosij filios diuiso, suam uterque partẽ gubernabat. Cum autem rescissent, magnum Arseniũ Sceti uitam agere solitariã, sæpissime per literas ab eo petierunt, ut uota pro ipsis faceret, Arcadio priuatim etiam à uiro sancto ueniã petente, ob structas illi insidias, donato illius anni tributo Aegyptio, quo suo arbitratu uteretur. At ille rescribere Imperatoribus noluit, sed legatos eis renunciare iussit, se precari Deum ut illis ueniam det, atque reficiat, ut uolũtati eius pareãt: sibi uerò, qui iam mundo esset mortuus, nulli usui esse pecuniam. Arcadius urbẽ ædificauit in Thracia, quam Arcadiopolim nominauit. In Xerolopho columna erexit, in qua suã statuam collocauit. Nectario Cõstantinopolitano patriarcha mortuo, Ioannẽ Chrysostomũ Antiochia accersitum, nouæ Romæ patriarchã designat. Sed cum Arcadius tardus esset iustoque mollior, ab uxore Eudoxia regebatur, muliercula ferocula, & ex auaritia iniustissima: cuius cupiditas cum à magno illo patre inhiberetur, aliquando etiam obiurgaretur, iracundia inflãmata, uirum sanctum ulcisci studet, & Alexandrinũ Theophilũ improbitatis suæ nacta ministrũ, Arcadio persuadet, ut uirum sanctum releget. Sic ille eiectus Ecclesia, relegatur. At populus urbanus, partim lugere, partim non sine seditione tumultuari. Quo tardus ille Arcadius cognito, Ioãnẽ celeriter reuocari iubet. Reuocatus, Ecclesię redditur. Sed quia uir inuicti animi, linguam cõtra iniustos acuere non desistebat: Eudoxia Imperatrix, quæ doctrinas de iniustitia ad sese accõmodaret (Nam à suapte cõscientia arguebatur) inflãmato cõtra magnũ patrẽ animo, rursus (ut quæ intercessere omittã) marito, quem ueluti capistro, quóuis trahebat, persuadet ut uirum sanctũ releget. Qui sic tyrãnicè pulsus ecclesia, in prouincias periculosas abducitur, & loca remotissima à cõgressu hominũ, multas expertus difficultates & molestias in itinere, quæ in epistolis auream eius linguã narrantem audire licet. Perductus primũ Cucusum, inde Pityuntẽ, denique Comana Coppidulũ id, est * illic uitam cum morte cõmutauit, natus annos LII. pontificatu urbis regiæ functus, annos V. cum dimidio. Verũ numẽ non dormitauit, sed celeriter est aggressum miserrimã illã Imperatricem. Nondum enim tribus à Chrysostomi obitu mensibus elapsis, uiolenta morte perijt. Nam cum parturiret, intra uterum maternum extincto fœtu & computrefacto, acerrimis affecta doloribus, utero unà corrupto, miserabiliter mortua est. Chrysostomo ecclesia eiecto, substitutus est Arsacius, qui biennium episcopatu functus obijt, Ei succes-

Arsenius benignitatem Imperatorum aspernatur.

Arcadiolis.

Ioannes Chrysostomus patriarcha Constãtinopolitanus, Eudoxiæ indignatione relegatus, Comanis obit.

Cucusum.

Eudoxiæ interitus.

Arsacius Atticus.

ΒΑΣΙΛΕΙΑ ΑΡΚΑΔΙΟΥ ΚΑΙ Ονωρίου.

Οὕτω δ' ἀνημμένης τοῖς τοῦ Θεοδοσίου υἱοῖς τῆς τῶν ῥωμαίων ἡγεμονίας, ἦρχε τῆς οἰκείας μοίρας ἑκάτερος, καὶ γνόντες ὡς ἐν τῇ σκήτει μονάζων ὁ μέγας ἀρσένιος, πλειστάκις αὐτῷ ἐπεστάλκασιν εὔχεσθαι ἀξιοῦντες ὑπὲρ αὐτῶν. ὁ δέ γε ἀρκάδιος καὶ ἰδίᾳ τῷ ἁγίῳ ἐπέστελλε, παρακαλῶν συγγνώμην νέμειν αὐτῷ, ὅτι αὐτῷ ἐπεβούλευσε, καὶ ἐπιτρέπει λαβεῖν αὐτὸν τὸν τῆς αἰγύπτου πάσης δασμὸν τοῦ ἔτους ἐκείνου, καὶ χρήσασθαι ὡς αὐτῷ προβούλοιτο. ὁ δὲ μέγας ἀρσένιος, ἀντεπιστεῖλαι μὲν τοῖς αὐτοκράτορσιν οὐκ ἠθέλησε, τοῖς δ' ὡς αὐτὸν ἀποσταλεῖσιν εἰπεῖν αὐτοῖς ἐνετείλατο, ὅτι ὁ θεὸς συγχωρήσοι ὑμῖν, καὶ τὰ αὐτοῦ πρᾶξαι ποιήσοι θελήματα. ἐμοὶ δὲ ἤδη νεκρωθέντι τῷ κόσμῳ, τὰ χρήματα ἄχρηστα. οὗτος ὁ βασιλεὺς ἀρκάδιος ἐν τῇ θρᾴκῃ πόλιν οἰκοδομήσας, ἀρκαδιόπολιν αὐτὴν ἐπωνόμασε. καὶ τὸν ἐν τῷ ξηρολόφῳ ἀνήγειρε κίονα. καὶ ἐπ' αὐτοῦ ἀνδριάντα οἰκεῖον ἐνίδρυσε. τοῦ πατριάρχου δὲ κωνσταντινουπόλεως νεκταρίου θανόντος, τὸν χρυσοῦν τὴν γλῶτταν ἰωάννην ἐξ ἀντιοχείας τῆς μεγάλης μετακαλεσάμενος, πατριάρχην τῆς νέας ῥώμης προβάλλεται. νωθὴς δὲ ὢν καὶ τὴν γνώμην πέρα τοῦ δέοντος μαλθακὸς ὁ ἀρκάδιος, ὑπὸ τῆς γαμετῆς κατήρχετο εὐδοξίας. ἡ δὲ, ἦν γύναιον ἰταμὸν καὶ χρημάτων ἡττώμενον ἔρωτος. κἀντεῦθεν καὶ ἀδικώτατον, ὅθεν παρὰ τοῦ μεγάλου τούτου πατρὸς, ἀνακοπτόμενον τῆς ὁρμῆς, ἔστι δ' οὗ καὶ ἐπιτιμώμενον, ἠρέθιστο εἰς ὀργήν. καὶ ἀμύνασθαι τὸν ἅγιον ἐσπούδαζεν. εὑροῦσα δὲ καὶ τὸν ἀλεξανδρείας θεόφιλον τῆς κακίας αὐτῆς συνεργὸν, πείθει τὸν ἀρκάδιον ὑπερορίαν τοῦ ἁγίου καταψηφίσασθαι. καὶ ὁ μὲν τῆς ἐκκλησίας ἐξεβέβλητο καὶ ἀπήγετο ὑπερόριος. ὁ δὲ τῆς πόλεως δῆμος, οἱ μὲν ἐθρήνουν, οἱ δὲ ἐστασίαζον. ὃ γνοὺς ὁ νωθὴς ἀρκάδιος, εἰς ὅτι τάχος τὸν ἰωάννην ἀνακαλεσάμενος, καὶ ἐπανελθὼν, αὖθις ἀπεδόθη τῇ ἐκκλησίᾳ. ὁ δὲ ἀδιάλειπτος ἦν, κατὰ τῶν ἀδικούντων τὴν γλῶτταν ἐκθήγων οὐκ ἐπαύετο. ἡ δὲ βασιλὶς εὐδοξία τὰς περὶ ἀδικίας διδασκαλίας ἑαυτῇ προσαρμόττουσα (ἤλεγχε γὰρ αὐτὴν ἡ συνείδησις τοιαύτην οὖσαν) ἐμηνία, καὶ σὺν θυμῷ ἐξέκαιε τοῦ μεγάλου πατρὸς. καὶ πάλιν (ἵνα τὰ ἐν μέσῳ παρῶ) πείθει τὸν γαμέτην, ἑλκύσασα τοῦτον ὥσπερ ἐκ φορβειᾶς, ὑπερορίαν τοῦ ἁγίου καταψηφίσασθαι. καὶ ὁ μὲν, τῆς ἐκκλησίας ἐξώσθη τυραννικῶς, καὶ εἰς χώρας κινδυνώδεις ἀπήγετο, ὡς τὰ πορρωτάτω κειμένας ἐσχατιὰς, πολλῶν παραθεὶς κατὰ τὴν ὁδὸν δυσχερῶν τε καὶ ἀλγεινῶν. ἃ τῆς ἐκείνου χρυσῆς γλώττης ἐν ἐπιστολαῖς ἔξεστιν ἀκούειν διηγουμένης. καταντήσας δ' εἰς κουκουσὸν, κἀκεῖθεν εἰς πιτυοῦντα ἀπαγόμενος ἐν κομάνοις γενόμενος (πολίχνιον δὲ τοῦτο *) ἐκεῖ τὴν ζωὴν ἐξεμέτρησεν, ἐτῶν γεγονὼς δύο τε καὶ πεντήκοντα. ἀρχιερατεύσας δὲ τῆς βασιλίδος τῶν πόλεων ἔτη πέντε πρὸς τῷ ἡμίσει. οὐκ ἐπηγρύπνησε μὲν ἡ θεία δίκη, ἀλλὰ ταχέως μετῆλθε τὴν τριτάλαιναν ἐκείνην βασίλισσαν. οὔπω γὰρ τρεῖς παρῆλθον μῆνες μετὰ τὸν θάνατον τοῦ χρυσοστόμου πατρὸς, καὶ βιαίῳ περιπέπτωκε μόρῳ. τικτούσης γὰρ τὸ ἔμβρυον τέθνηκε, καὶ ὠδῖνες ἐκείνην συνεῖχον δριμεῖαι. διαφθαρέντος δ' ἔνδον ἐκείνου, καὶ ἡ νηδὺς τῆς βασιλίσσης διέφθορεν ἐκ τῆς σήψεως. καὶ οὕτως ἀθλίως μετήλλαξε τὴν ζωήν. τοῦ μέντοι χρυσορρήμονος ἐκείνου πατρὸς ἐκβληθέντος τῆς ἐκκλησίας, ἀντεισῆκτο ἀρσάκιος, καὶ οὗτος δύο ἐπισκοπήσας ἐνιαυτοὺς, ἔθανε. μεθ' ὃν ἐχειροτο-

νεῖτο

περὶ τοῦ χρυσοστόμου ἰωάννου πατριάρχου καὶ ἐξορισθέντος.

θάνατος εὐδοξίας.

τίνες μετὰ τὸν χρυσόστομον ἐγένοντο πατριάρχαι.

ναι τε ἀπῆλθε. τῆς δ' Εὐδοξίας προτεθνηκυίας, τοῦ ὁμευνέτου καὶ αὐτοκράτορος, καὶ αὐτὸς ὁ μετὰ μακρὸν ἐπαπῆλθεν αὐτῇ ὁ Ἀρκάδιος, βασιλεύσας μετὰ θάνατον Θεοδοσίου τοῦ οἰκείου πατρὸς, ἔτη τεσσαρεσκαίδεκα, καὶ μῆνας τρεῖς, πρὸς ἡμέραις τισί. λέγεται δὲ τῆς Εὐδοξίας ἔργον τυγχάνειν, ὁ εἰς τὰ λεγόμενα Πιττάκια ἑστὼς κίων. θνήσκων δὲ ὁ Ἀρκάδιος, τὸν υἱὸν ἑαυτοῦ τῆς βασιλείας διάδοχον κατέλιπε Θεοδόσιον, τὸν μικρὸν λεγόμενον πρὸς ἀντιδιαστολὴν τοῦ πάππου αὐτοῦ, ἢ ὅτι ἐν παιδικῇ πάνυ ἐτύγχανεν ἡλικίᾳ τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος. ἑπτὰ γὰρ ἦν τότε μόνων ἐνιαυτῶν. ἀλλ' ἀναβεβλήσθω τὰ περὶ τούτου. τὰ δ' ἐπὶ τὸν Ὀνώριον ὁ λόγος ἐν βραχεῖ διεξίτω.

Τελευτὴ Ἀρκαδίου.

ΠΕΡΙ ΟΝΩΡΙΟΥ.

Περὶ τοῦ Ὀνωρίου.

Ὁ βασιλεὺς δὲ τῆς πρεσβυτέρας Ῥώμης καταλειφθεὶς παρὰ τοῦ πατρὸς ἐν νεαρᾷ τῇ ἡλικίᾳ (δεκέτης γὰρ ἦν) ὑπὸ ἐπίτροπον ἐτέλει γνώμῃ τοῦ πατρὸς τὸν Στελίχωνα, ἄνδρα τῶν ἐν τῇ Ῥώμῃ πρωτευόντων, καὶ τὴν τῶν κοινῶν πραγμάτων ἐγκεχειρισμένον διοίκησιν. ἄγεται τοίνυν τὴν τούτου θυγατέρα Μαρίαν εἰς γαμετήν. ἧς τελευτησάσης, τὴν ἀδελφὴν αὐτῆς Θερμαντίαν γῆμαι, ἀτελῆ τὴν ἡλικίαν. κἀκείνη δὲ ταχὺ ἐτελεύτησεν. οὗτος ἀβέλτερος ὤν, παρὰ τῶν ἐν τῇ Ῥώμῃ μεγιστάνων διεμισεῖτο. καὶ γνοὺς ἐπιβουλευόμενος, εἰς Ῥάβενναν μετανάστευσε, διεπέμψατο πρὸς Ἀλάριχον, ὡς λόγος, τὸν ἄρχοντα τῶν Βανδήλων ἢ Γότθων ἔθνους, ἀξιῶν αὐτὸν ἐπὶ τὴν Ῥώμην στρατεύσασθαι, ἀμυνόμενος οὕτως τοὺς τῆς Ῥώμης πολίτας διὰ τὸ μῖσος τὸ πρὸς αὐτόν. καὶ ἐπελθεῖν μὲν τῇ Ῥώμῃ τὸν Ἀλάριχον, μὴ μέντοι πορθῆσαι αὐτήν, ἀλλὰ σπείσασθαι τοῖς Ῥωμαίοις, λαβόντα ὁπόσα ἐν τοῖς βασιλείοις εὑρήκει χρήματα, καὶ τὴν ἀδελφὴν Ὀνωρίου τὴν Πλακιδίαν, καὶ ὑποχωρῆσαι. παραδοῦναι δὲ τὴν κόρην Κωνσταντίῳ τινὶ κόμητι τοῦ φυλάττεσθαι. τὸν δὲ, προσλαβόντα αὐτὴν ἀποδρᾶναι, καὶ κομίσαι πρὸς τὸν ἀδελφὸν αὐτῆς. κἀκεῖνον συζεῦξαι ταύτην αὐτῷ, τετιμηκότα συγκλητικόν, ὥστε καὶ βασιλέα ἀναγορεῦσαι. γονῆς γὰρ οἰκείας ἠμοίρει παντάπασιν Ὀνώριος. σφαγῆναι δὲ μετὰ μικρὸν τὸν Κωνστάντιον, γεννήσαντος αὐτοῦ ἐκ τῆς Πλακιδίας Οὐαλεντινιανὸν καὶ Ὀνωριάδα. καὶ οἱ μὲν οὕτω ταῦθ' ἱστοροῦσιν, ἕτεροι δὲ, σφαγῆναι μὲν λέγουσι τὸν Στελίχωνα, ἀπεχθάνεσθαι δὲ τοῖς ἐν τῇ Ῥώμῃ τὸν Ὀνώριον, καὶ τὸν εἰς Ῥάβενναν μετοικίσασθαι. τὸν δ' Ἀλάριχον τῆς ἀβελτηρίας ἐκείνου καταφρονήσαντα, ἐπιστρατεῦσαι τῇ Ῥώμῃ καὶ ταύτην πολιορκίᾳ ἑλεῖν. ἁλούσης δὲ, ἐπιστῆναι τῷ Ὀνωρίῳ δεδακρυμένον τινά, ἀπαγγέλλοντα, ὡς ἑάλω ὑπὸ Ἀλαρίχου ἡ Ῥώμη. τὸν δὲ, πρὸς τὴν ἀγγελίαν συγκλονηθέντα σπασμῷ τὸ σῶμα, καὶ τὼ μηρὼ πατάξαντα ταῖν χεροῖν, φάναι, ὡς ἄρτι ὧδε ἦν ἡ Ῥώμη, πῶς οὖν ἑάλω; συνιέντα δὲ τὴν ἀγγελίαν, καὶ μέγα στενάξαντα, εἰπεῖν, ὡς περὶ τῆς πόλεως λέγω, καὶ ὁ περὶ τῆς ὄρνιθος. ἦν γὰρ τῷ βασιλεῖ τούτῳ ἀλεκτορὶς ὑπερμεγέθης, ἣ ἐγεγόνει ὄνομα Ῥώμην. δι' ἣν καὶ ἀνώμωξεν, ἐκείνην νομίσας ἑαλωκέναι. ὑδέρῳ δὲ περιπεπτωκὼς ὁ Ὀνώριος, θνήσκει. ζήσας μὲν ἐνιαυτοὺς τεσσαράκοντα, βασιλεύσας δὲ δυσκλεῶς ἐκ τούτων τριάκοντα. Ἰωάννης δὲ ὁ τυραννήσας ἐν Ῥώμῃ, τὴν ἐκείνου ἀδελφὴν Πλακιδίαν μετὰ τῶν δύο τέκνων αὐτῆς Οὐαλεντινιανοῦ τε καὶ Ὀνωριάδος, ἐκεῖθεν ἐξήλασε.

ΒΑΣΙΛΕΙΑ ΤΟΥ ΜΙΚΡΟΥ ΘΕΟΔΟΣΙΟΥ.

Ὁ μικρὸς μέντοι Θεοδόσιος ἐν Κωνσταντινουπόλει διάγων, παρὰ Πουλχερίας τῆς οἰκείας αὐταδέλφης, ἐπιμελῶς ἐτρέφετό τε καὶ ἐπαιδεύετο. μηδενὸς ἐπανισταμένου αὐτοῖς, φόβῳ τοῦ τῶν Περσῶν βασιλεύοντος Ἰσδιγέρδου. ὁ γὰρ Ἀρκάδιος τελευτῶν, ἐπίτροπον τοῦ οἰκείου υἱοῦ, παιδὸς ἔτι ὡς εἴρηται ὄντος, ἐγγέγραφεν ἐν διαθήκαις τὸν Ἰσδιγέρδην. ὁ δὲ τὰς διαθήκας κομισθείσας αὐτῷ, ἐξέπεμψεν Ἀντίοχον

sit Atticus. Eudoxiam defunctam Arcadius Imperator non longo tempore pòst, secutus est, cũ post obitũ patris imperasset, annos duodecim & tres menses, cum aliquot diebus. Cõlũna quę in Pittacijs erecta est, Eudoxiæ opus esse dicitur. Moriẽs Arcadius filiũ suũ Theodosiũ qui iunior dicitur, uel ad discrimẽ aui, uel φ defũcto patre puer septẽnis erat, imperij successorẽ reliqt. Sed de hoc tũ agem⁹, ubi res ab Honorio gestas breuiter exposuerimus.

Arcadij obitus.

Theodosius iunior.

DE HONORIO.

Hic Romæ ueteris Imperator, admodũ adolescẽs, decẽ duntaxat natus annos, relictus à patre, de illius sententia tutorẽ habuit Stiliconẽ, uirũ Romæ principem, à quo Respublica administrabatur. Huius igitur filiã Mariam uxorem ducit, qua mortua fertur eius sororẽ Thermatiã immatura adhuc ætate duxisse, quæ & ipsa breui defuncta est. Hic cum ob uecordiã se Romanis magnatibus inuisum esse, et insidijs appeti animaduertisset: Rauennã abijt, & Romanorũ in se odium ulturus, legatos ad Alaricũ Vandalicæ seu Gothicę gẽtis ducẽ misit, petens, ut Romã oppugnaret. Alaricus autẽ Romã inuasisse, non tamẽ uastasse fertur, sed pacẽ fecisse cũ Romanis, acceptaq; pecunia omni imperatoria, et Honorij sorore Placidia recessisse: puellã autẽ tradidisse custodiẽdam Comiti cuidã Constantio, qui eam arrepta fuga ad fratrẽ perduxerit. A quo & senatoria dignitate sit ornatus, & affinis ascitus, deniq; etiã Imperator appellatus, cũ Honorius omnino liberis orbus esset. Constantiũ autẽ paulò pòst occisum, cũ è Placidia Valentinianũ et Honoriadẽ genuisset. Quidam igitur hæc ita narrãt. Alij uerò dicũt, occisum esse Stiliconẽ, & Romanos odisse Honoriũ, q Rauennã migrarit. Alaricũ autẽ cõtẽpta eius uęcordia, Romã obsidione cœpisse. Qua capta, quẽdã opplerũ lachrymis nũciasse, Romã ab Alarico captã. Ad eum nunciũ cõsternatũ cõuulso corpore, & femora manibus ferięrẽ, dixisse Honoriũ: Roma modò hîc fuit: quomodo igitur capta est? quo errore nũciũ intellecto, cũ gemitu dixisse, se de urbe loqui, non de aue. Habebat enim in delitijs gallinã prægrãdẽ, nomine Romã, quã cum putasset esse captã, ingemuerãt. Mortuus est hydropicus, natus annos XL. quorũ triginta, nulla cum laude imperauit. Ioannes autem qui Romæ tyrannidem inuaserat, sororẽ eius Placidiam cum liberis ambobus Valẽtiniano et Honoriade urbe expulit.

Stilicõ tutor Honorij & socer.

Alaricus Gothus ab Honorio euocatus.

Constãtius Placidia.

Historicorũ dissensio.

Roma Honorij obitus.

Honorij obitus.

Ioannes Romæ tyrannus.

IMPERIVM THEODOSII IVNIORIS.

Iunior autẽ Theodosius Cõstãtinopoli, Pulcheriæ sororis studio, diligẽter educabatur & erudiebatur, metu Isdigerdis Persarũ regis, nemine cõtra eos insurgẽte. nã Arcadi⁹ moriẽs Isdigerdẽ in testamẽto, filij, pueri adhuc, ut dictũ est, tutorẽ scripserat. quo ille accepto Antiochum

Pulcheria soror Theodosij.

Isdigerdes. Antiochus.

eunuchorũ suorũ principē misit, custodem et curatorē imperatoris Theodosij, admonitis per literas proceribus, ut Imperatori suo parerēt. Quòd nisi fecissent, se iniurias pueri nō esse neglecturũ. Iam pubescēti soror Pulcheria Eudociã Atheniēsem despōdet, forma excellēti præditã, & omni doctrinæ genere perpolitam. Erat ea Leontij cuiusdã Atheniensis philosophi filia, & Athenais nominabatur. qui cum eã splēdidã fortunã consecuturã, ex arte cognouisset: testamento suas opes duobus filijs reliquerat, Valerio & Genesio, filiæ tantum centũ aureis legatis, hac adiecta clausula, quòd fortuna eius suffectura ei esset. Fratres igitur patrimonio sibi uēdicato, Athenaidē legitimã suam postulantē, et testamentũ iniuriæ secusantē, paternis etiam ædibus exegerunt. Qua matertera suscepta, & Cōstãtinopolim perducta, causa exposita Pulcheriæ supplicãt. Quæ cum puellã formosissimã, & integra ætate esse uidisset, rogat, An adhuc uiri expers esset: eo cognito, baptizat rudem adhuc Christianæ religionis, & mutato eius nomine in Eudociã, fratri Theodosio despōdet, diademate ornat, & Augustam appellat. Hac uxore ducta Theodosius, Antiocho inter Imperatorios Eunuchos potētissimo, & omnia pro imperio, non pro imperij ministro cōmiscēti, Præpositi honorē adimit, omnibus etiã opibus ereptis. Is uerò tōdetur & Chalcedonēsis ecclesiæ fit clericus in æde inclytæ martyris Euphemiæ, nec multo pòst moritur. At Eudocia Imperatrix fratres accersit, neq̃ irata illis, sed gratias potius agēs, ut dignitatis tãtæ autoribus (nisi enim ab eis exacta fuisset, nunquã uenturã fuisse Cōstãtinopolim) Genesio præfecturã Illyriorũ ab Imperatore impetrat, Valeriũ Magistri honore donat. Sub id tempus, Atticus patriarcha Iudæũ quēdã paralyticũ monitis in Christi cognitionē perductũ, sacro lauacro est dignatus, & sanũ ex aqua eduxit. Hic etiã D. Chrysostomi nomē in Ecclesiæ cōmētarios retulit, prius nō inscriptũ. Nã religiosissimus ille pater, Origenista & uocabatur & habebatur. Attico mortuo, qui XX. annos cœtui fideliũ præfuerat, Sisinnius eligitur, et biēniũ pōtificatu functus, uitã cũ morte cōmutat, ãno imperij Theodosii XXII. in cuius locũ introductus est Nestorius, qui cũ triēniũ præfuisset, docuit sanctã uirginē Mariã nō esse deiparã dicēdã, Christũ uerò nō aliud nisi hominē esse asserebat: in eoq̃ dei filiũ, ut in propheta quopiã habitasse nugabatur, eũq̃ bipertiēs, affirmabat, dei uerbũ non sũpsisse carnē è » casto sanguine matris dei, sed aliũ esse filiũ & » uerbũ Dei, aliũ Christũ, qui filius esset adopti» uus, et gratia deus factus. His cæteri patriarchæ » cognitis, Coelestinus Romanus, Cyrillus Ale» xãdrinus, Ioãnes Antiochenus, Iuuenalis Hie» rosolymitanus, negociũ ad Imper. Theodosiũ & Pulcheriã deferũt, petentes ut indicto cōci

Eudocia Leontis philosophi filia, uxor Theodosij.

Antiocho Eunucho magistratus abrogatur.

Eudocia in fratres benefica.

Atticus patriarcha Iudæum sanat.

Sisinnius patriarcha.

Nestorius hereticus.

τὸν παρ' αὐτῷ εὐνούχων τὸν ἐντιμότερον, φύλακα τοῦ βασιλέως Θεοδοσίου καὶ κηδεμόνα ἐσόμενον, παραινέσας διὰ γραμμάτων τοὺς ἄρχοντας ὑπείκειν τῷ σφετέρῳ βασιλεῖ. εἰ δὲ μὴ οὕτω ποιοῖεν, ἀπειλήσας αὐτοῖς αὐτὸς ἐπιστῆναι εἰς ἐκδίκησιν τοῦ παιδός. τούτῳ τοίνυν ἤδη ἡβᾶν ἀρχομένῳ εἰς γάμον, ἡ ἀδελφὴ Πουλχερία μνηστεύεται τὴν ἐξ Ἀθηνῶν Εὐδοκίαν, κάλλος μὲν ἔχουσαν ποθεινόν, σοφίας δὲ μετασχοῦσαν παντοδαπῆς. ἡ θυγάτηρ μὲν ἦν Λεοντίου τινὸς φιλοσόφου, Ἀθήνηθεν ὡρμημένου, Ἀθηναῒς δ' ὠνομάζετο. ὃς γνοὺς ἐξ ἐπιστήμης εὐτυχῆσαι μέλλουσαν τὴν θυγατέρα λαμπρῶς, διατιθέμενος, τὴν μὲν περιουσίαν αὐτοῦ τοῖς υἱοῖς καταλέλοιπε, δύο δ' ἦσαν, Βαλέριος καὶ Γενέσιος. τῇ δὲ θυγατρὶ ἑκατὸν χρυσίνους μόνους δεδώκει ἐπισκήψας, ἀρκεῖν αὐτῇ τὴν τύχην εἰπών. τῶν γοῦν συγγόνων αὐτῆς σφετερισαμένων τὴν πατρικὴν οὐσίαν, ἡ Ἀθηναῒς, νόμιμον τὸ οἰκεῖον ἀπῄτει λάχος. καὶ ἠξίου τοὺς ἀδελφούς, μὴ τὰς τοῦ πατρὸς διαθήκας ἀδίκους οὔσας ποιεῖν. οἱ δὲ καὶ τῆς οἰκίας αὐτὴν ἐξῶσαν τῆς πατρικῆς. δεξαμένη τοίνυν αὐτὴν ἡ πρὸς μητρὸς θεία, ἀνελήλυθεν εἰς Κωνσταντινούπολιν. ἐπὶ τῆς Πουλχερίας ἐδέοντο, διηγούμεναι τὴν ὑπόθεσιν. ἰδοῦσα δ' ἐκείνη τὴν κόρην περικαλλῆ καὶ ἀκμάζουσαν, ἤρετο εἰ ἀπείρατος ἀνδρός ἐστι. καὶ γνοῦσα τοῦτο, βαπτίζει αὐτὴν ἔτι οὖσαν ἀμύητον, καὶ Εὐδοκίαν μετονομάσασα, τῷ ἀδελφῷ τε αὐτῆς Θεοδοσίῳ συζεύγνυσι, καὶ διαδήματι ταινιοῖ, καὶ αὐγοῦσαν καλεῖ. γήμας δὲ ταύτην ὁ Θεοδόσιος, τὸν Ἀντίοχον, ὃς τῶν βασιλικῶν εὐνούχων ὑπῆρχεν ὁ κράτιστος, καὶ πάντα συνεκίνει δυναστεύων, ὡς παραδυναστεύων ἀπεσκευάζετο. καὶ οὕτω παραλύεται ὁ Ἀντίοχος τῆς τοῦ πραιποσίτου τιμῆς. ἀφαιρεῖται δὲ καὶ πᾶσαν τὴν ὕπαρξιν, αὐτὸς δὲ κείρεται κληρικὸς εἰς τὸν ἐν Χαλκηδόνι ναὸν τῆς πανευφήμου μάρτυρος Εὐφημίας. καὶ θνήσκει μετ' οὐ πολύ. ἡ δὲ βασιλὶς Εὐδοκία, μετακαλεῖται τοὺς ἀδελφούς, καὶ μηδὲν αὐτοῖς μηνίσασα, ἀλλὰ χάριτας μᾶλλον ὁμολογήσασα, ὡς οὐκ ἂν τυχοῦσα τῆς βασιλείας εἰ μὴ παρ' αὐτῶν ἐξώσθη, καὶ διὰ τοῦτο εἰς τὴν Κωνσταντινούπολιν παρεγένετο, τὸν μὲν Γενέσιον, ὕπαρχον τῶν Ἰλλυριῶν διὰ τοῦ βασιλέως πεποίηκε, τὸν δὲ Οὐαλέριον, ἐτίμησε μάγιστρον. ὁ μέντοι πατριάρχης Ἀττικὸς Ἰουδαῖόν τινα παράλυτον εἰς ἐπίγνωσιν τοῦ Χριστοῦ διὰ παραινέσεων ἀγαγών, τοῦ θείου λουτροῦ κατηξίωσε, καὶ ὑγιῆ ἐκ τῆς κολυμβήθρας ἐξήγαγεν. οὗτος καὶ τὸ τοῦ ἱεροῦ Χρυσοστόμου ὄνομα ἐν τοῖς τῆς ἐκκλησίας διπτύχοις ἐνέγραψε, μὴ πρότερον ἐγγραφέν. ὠριγενιαστὴς γὰρ ὁ εὐσεβέστατος ἐκεῖνος πατὴρ ἐκαλεῖτο καὶ ἐνομίζετο. θανόντος δὲ Ἀττικοῦ, ὃς εἴκοσιν ἔτη τοῦ τῶν πιστῶν προέστη συστήματος, χειροτονεῖται Σισίννιος, καὶ ἐπὶ δύο ἔτη τὴν ἀρχιερωσύνην κατασχών, τὴν ζωὴν ἐξεμέτρησε, κατὰ τὸ εἰκοστὸν δεύτερον ἔτος τῆς βασιλείας Θεοδοσίου. καὶ ἀντεισήχθη Νεστόριος, ὃς ἐπὶ τρισὶν ἀρχιερατεύσας ἐνιαυτοῖς, ἐδίδασκε τὴν ἁγίαν παρθένον Μαρίαν θεοτόκον μὴ λέγειν, ψιλὸν ἄνθρωπον τὸν Χριστὸν δογματίζων, καὶ αὐτῷ ἐνοικῆσαι τὸν υἱὸν τοῦ θεοῦ φλυαρῶν ὡς ἑνὶ τῶν προφητῶν, καὶ εἰς δύο διαιρῶν αὐτόν, οὐ σάρκα λαβεῖν ἐκ τῶν ἁγνῶν αἱμάτων τῆς θεομήτορος τὸν τοῦ θεοῦ λόγον ἀπισχυρίζετο, ἀλλὰ ἄλλον μὲν εἶναι τὸν υἱὸν τοῦ θεοῦ καὶ λόγον, ἄλλον δὲ τὸν Χριστὸν θέσει υἱοποιηθέντα, καὶ χάριτι θεωθέντα. ταῦτα δὲ μαθόντες οἱ τῶν λοιπῶν πατριαρχικῶν προεστῶτες θρόνων, ὅ, τε τῆς Ῥώμης Κελεστῖνος, Κύριλλος ὁ Ἀλεξανδρείας, Ἰωάννης Ἀντιοχείας, Ἰουβενάλιος Ἱεροσολύμων, ἀναφέρουσι πρὸς τὸν ἄνακτα Θεοδόσιον καὶ τὴν Πουλχερίαν, αἰτούμενοι σύνοδον ἀθροισθῆναι καὶ γυμνασθῆναι τὰ παρὰ

περὶ τῆς ἐξ Ἀθηνῶν Εὐδοκίας ἣ συνῴκησε τῷ Θεοδοσίῳ.

περὶ τοῦ Ἀντιόχου.

περὶ τῶν τῆς βασιλίδος ἀδελφῶν.

περὶ τοῦ εἰς τὸν παράλυτον Ἰουδαῖον θαύματος.

περὶ πατριαρχῶν καὶ Νεστορίου καὶ τῆς αὐτοῦ αἱρέσεως.

τὰ παρὰ τοῦ νεστορίου δογματιζόμενα. συγκροτηθείσης οὖν τῆς ἐν ἐφέσῳ συνόδου διακοσίων πατέρων, ἧς ἐξῆρχεν ὁ ἁγιώτατος κύριλλος, ἐπέχων καὶ τὸν τόπον κελεστίνου τοῦ πάπα ῥώμης, μὴ δυνηθέντος συνελθεῖν δι' ἀσθένειαν. τὰ τοῦ νεστορίου κατεξητάσθησαν δόγματα, καὶ ἀπεβλήθησαν ὡς κακόδοξα. ἡ δὲ ἁγία παρθένος θεοτόκος ἀπεδείχθη καὶ φρονεῖσθαι καὶ λέγεσθαι, καὶ ὁ ἐξ αὐτῆς σαρκωθεὶς ἀνάνδρως, υἱὸς τοῦ θεοῦ καὶ θεὸς παρὰ τῶν ἱερωτάτων πατέρων ἐκηρύχθη. πρὸς τρανοτέραν δὲ τῆς πίστεως ὁμολογίαν, καὶ τῆς δυσσεβείας τοῦ νεστορίου σαφέστερον ἔλεγχον, καὶ δώδεκα συντάξας κεφάλαια ὁ ἱερώτατος κύριλλος τῆς ὀρθῆς δόξης ὑπομνήματα, τῇ ἐκκλησίᾳ παρέδωκεν. ὁ δὲ νεστόριος ἀπεβλήθη καὶ τοῦ τῶν ὀρθὰ φρονούντων ἀρχιερέων ἀπεκινήθη χοροῦ. μετὰ τρίτην δὲ τῆς συνόδου ἡμέραν, ἐφίστανται τῇ ἐφέσῳ ὅ,τε ἀντιοχείας ἰωάννης, καὶ ὁ κύρου ἐπίσκοπος θεοδώρητος, καὶ ὁ ἐδέσσης ἴβας καὶ ἕτεροι. καὶ ὅτι μὴ καὶ τὴν αὐτῶν παρουσίαν οἱ τῆς συνόδου ἀνέμειναν, ὀργισθέντες τῷ μεγάλῳ κυρίλλῳ ὡς τῶν ἄλλων ἐξάρχοντι, τήν τε τοῦ νεστορίου καθαίρεσιν ἐπιεσαντο, καὶ κατὰν θέμενοι, τοῦ τε θείου κυρίλλου καὶ μέμνονος τοῦ ἐφέσου, καθαίρεσιν ἐψηφίσαντο. ὁ θεοδώρητος δὲ καὶ κατὰ τῶν δώδεκα κεφαλαίων τῶν τοῦ κυρίλλου ἐχώρησε. καὶ εἰς ἀνατροπὴν αὐτῶν κεφάλαια συνέταξεν ἕτερα, πρὸς ἃ πάλιν ὁ μέγας ἀντηγωνίσατο κύριλλος, οὐκ ὀρθῶς δογματίζειν ἐλέγχων τὸν θεοδώρητον. κατεγνώσθησαν δὲ παρὰ τῆς συνόδου ὅ,τε ἀντιοχείας καὶ οἱ λοιποί, καὶ τῶν ὀρθοδόξων ἀλλοτριώθησαν. οὕτως οὖν τούτων ἐχόντων καὶ κατ' ἀλλήλων γενομένων τῶν ἐπισκόπων, καὶ σχίσματος ὄντος μέσον αὐτῶν, ὁ βασιλεὺς θεοδόσιος ἀφικέσθαι πάντας ἐκέλευσεν εἰς κωνσταντινούπολιν, καὶ παραγενομένων ἐνώπιον τοῦ βασιλέως ἡ ζήτησις γέγονε, καὶ καθῃρέθη νεστόριος, καὶ εἰς ἑῴαν ὑπερωρίσθη, τοῦ ἀντιοχείας καὶ τοῦ θεοδωρήτου συμφρονησάντων τῇ ἱερᾷ συνόδῳ, ὡς διὰ λύπην καὶ ἔριν ἀντιπαθησάντων τὸ πρότερον. τοῦ δὲ νεστορίου κἀν τῇ ἐξορίᾳ πολλοὺς διαστρέφοντος, ὁ ἀντιοχείας ἰωάννης ἀναφορὰν περὶ τούτου πρὸς τὸν αὐτοκράτορα ἐποιήσατο, ἀξιῶν μετοικισθῆναι αὐτὸν ἀλλαχοῦ. καὶ ἀπῳκίσθη ὁ δείλαιος εἰς ὄασιν χώραν οὖσαν τῆς ἀραβίας λυπρὰν καὶ ὑπ' ἀνέμων καταπνεομένων φθοροποιῶν. ἐνταῦθα δὲ εἰς τὴν τῆς νέας ῥώμης ποιμαντικὴν μαξιμιανὸς τῆς ἐκκλησίας πρεσβύτερος. καὶ μετὰ τοῦτον ἐπὶ διετίαν ἀρχιερατεύσαντα πρόκλος ὁ τοῦ χρυσοστόμου μαθητὴς πατριάρχης προεχειρίσθη, ὑπὸ σισιννίου τοῦ πατριάρχου ἐπίσκοπος κυζίκου πρώην χειροτονηθείς, μὴ δεχθεὶς δὲ παρὰ τῶν ἐκεῖ, ἕτερον ἑλομένων ἀρχιερέα, καὶ τὸν μεταξὺ χρόνον σχολάζων. οὗτος τοίνυν ἐπὶ θρόνου τῆς κωνσταντινουπόλεως ἀναθρονισθείς, ἀξιοῖ τὸν βασιλέα τὸ ἱερώτατον τοῦ χρυσοστόμου σῶμα ἐκ πιτυοῦντος ἀνακομισθῆναι, ἵνα μὴ μένῃ καὶ θανόντα τὸν ἅγιον ὑπερόριον. πείθεται τούτῳ ὁ βασιλεύς, καὶ ἀνακομίζεται ὁ τοῦ ἁγίου νεκρός. καὶ ὑποδέχεται μεθ' ὑπερβαλλούσης τιμῆς, καὶ κατατίθεται ἔνδον τοῦ θυσιαστηρίου τοῦ τῶν ἁγίων ἀποστόλων ἐπωνύμου ναοῦ. ἐθελήσας δὲ ὁ βασιλεὺς θεοδόσιος τὰ τείχη μετατεθῆναι τῆς πόλεως, καὶ μείζονα τὴν ταύτης ποιῆσαι περιοχήν, κύρῳ τῷ ἐπάρχῳ τὸ ἔργον ἀνέθετο. καὶ ὃς σπουδῇ πολλῇ καὶ προθυμίᾳ χρησάμενος, ἀνήγειρε τὸ χερσαῖον τεῖχος ἐκ θαλάσσης ἕως θαλάσσης δι' ἑξήκοντα ἡμερῶν. ὁ γοῦν δῆμος τῆς πόλεως ἐπί τε τῷ ἔργῳ ἡσθείς, καὶ τὴν ταχυτῆτα θαυμάζων τοῦ ὑπάρχου ἐξεβόησε δημοσίᾳ. κωνσταντῖνος ἔκτισε, κῦρος ἀνενέωσε. διὸ φθονηθεὶς παρὰ

περὶ τῆς τρίτης συνόδου.

περὶ τῶν ἀναφθέντων τῆς συνόδου ἀρχιερέων καὶ στάσεως.

ὅτι εἰς κωνσταντινούπολιν μετεκλήθησαν οἱ τῆς συνόδου, ὁμονοήσαν.

περὶ νεστορίου.

περὶ τῆς ἀνακομιδῆς τοῦ σώματος τοῦ χρυσοστόμου.

ὅτι θεοδόσιος μετέθηκε τὰ τείχη τῆς πόλεως, καὶ περιλαμβάνει.

cilio in Nestoriana dogmata inquiratur. Igitur ducētis patribus Ephesum ad concilium cōgregatis, cuius princeps erat sanctissimus Cyrillus, Cœlestini Papæ Romani etiam uice fungens, qui per ualetudinem adesse non poterat: Nestorij decreta examinata, & ut peruersa, reiecta sunt: & constitutum, ut sancta uirgo Deipara & haberetur & diceretur, & qui carnem ex ea citra uirilem operam sumpserit, Dei filius & Deus à sanctis patribus est pronunciatus. Ac in certiorem fidei cōfessionem, & euidentiorem Nestorianæ impietatis refutationem, sanctus Cyrillus duodecim capita in ueræ sententiæ monimentum composuit, Ecclesiæq; tradidit, Nestorio reiecto, & amoto è cœtu rectè sentientium pontificū. Cæterum post tertiam cōcilij diem Ephesum ingrediuntur Ioannes Antiochenus, Theodoretus Cyrēsis, Ibas Edessenus & alij, iratiq; Cyrillo, ut principi consilij, ob aduentū suum non expectatum: tum Nestorij abdicationē incusant, tum diuo Cyrillo & Mēnoni Ephesino episcopatus eripiendos decernūt. Theodoretus etiam capita duodecim, à Cyrillo cōposita inuasit, & ad ea euertenda, edidit alias: quæ cum Diuus Cyrillus erroris conuicisset, Antiochenus et cæteri á concilio damnati, ab orthodoxis alienātur. Episcopos sic affectos & inter sese decertantes, Imperator Theodosius omnes Constantinopolim accersit: corā quo agitata quæstione, reiectus Nestorius, in Orientem relegatur, Antiocheno & Theodoreto etiam sancto concilio assensis, ut cui ante per contentionem & ex mœrore aduersati essent. Cum autem Nestorius in exilio etiam multos peruerteret, Ioannes Antiochenus, de eo alium in locum transferendo refert. Itaq; miser in Oasin, Arabiæ regionem sterilem, & uentis pestilentibus infestam, trāsfertur. Nouæ autē Romæ sedi pastorali Maximianus Ecclesiæ presbyter præficitur. Post quem pontificatu biennio functum, Proculus diui Chrysostomi discipulus, patriarcha creatur, qui pridem à Sisinnio patriarcha Cyzici episcopus designatus, sed à Cyzicenis, qui alium elegerant, non receptus, tempore interiecto ocium egerat. Hic igitur sede Constantinopolitana receptus, petit ab imperatore, ut corpus diui Chrysostomi, Pityunte referatur, ne uir sanctus, post obitum etiam exularet. Paret Imperator, relatumq; & insigni cum honore susceptum, intra sacrarium ædis sanctorum Apostolorum conditur. Theodosius autē mœnia trāslaturus, & urbem amplificaturus, munus id Cyro præfecto mandat, qui magno studio & celeritate, Chersæū murum, à mari ad mare pertinentem, intra dies sexaginta absoluit. Vrbana igitur multitudo, & opere delectata, et præfecti celeritatē admirata, publicè exclamat: Cōstantinus condidit, Cyrus renouauit, Quāobrem Cyrus inuisus & susceptus

Cyrilli 12. capita.

Seditio inter episcopos.

Theodoreti 12. capita.

Maximianus.

Proculus.

Io. Chrysostomi corpus Constantinopolim refertur.

Cyrus amplificata Cõstantinopoli inuidia Theodosij fit clericus. *Flauianus.* *Eutychiana hæresis Ephesi confirmata.*

& suspectus Imperatori, uel inuitus tondetur ut clericus, pòst, etiam Smyrnæ fit episcopus. Proculo autem patriarcha, cum duodecim annos orthodoxo Constantinopolitano populo præfuisset, mortuo, D. Flauianus in eius sede collocatur: qua tempestate Archimandrita quidam Eutyches, docebat, dominum nostrum Iesum Christum, duas naturas post incarnationem non retinuisse, sed ambas in unam naturam contemperatas & permistas esse. Hunc, suam opinionem pertinaciter defendentem, Flauianus ab ecclesiæ corpore resecuit, ne peste illa, sana etiam membra inficerentur. Sed Eutyches Chrysaphium Eunuchum adit, suæ sententiæ suffragatorem. Qui cum apud Imperatorem plurimum posset, impetrat, ut Dioscoro qui post Cyrilli obitũ Alexandriam ecclesiam gubernabat, cum alijs episcopis Ephesum uocato, Eutychianum dogma excuteretur, præsente etiam Flauiano. Is igitur Dioscorus, cum Eutyche consentiens, adductis alijs etiam episcopis eiusdem opinionis, Ephesum profectus, suffragatur Eutychiano dogmati, Cæterum sancto Flauiano aduersante, Dioscorus exiliens instar indomiti asini, calcibus sancti illius uiri pectus impetijt, & pugnis maxillas eius tundere non prius destitit, quàm cõcilio expulisset. At sanctus ille ex plaga pectoris post triduum decedit, cum nouæ Romæ thronum per biennium ornasset. Dioscorus autem episcopos qui aderant, subscribere sentẽtiæ suæ coëgit. Nam Eunuchus ille milites armatos adesse iusserat, ut aduersantes perterrefaceret. Verùm Domnus, Antiochenæ urbis præses, cũ & ipse in tumultu illo subscripsisset, postea in Dioscorum uociferantur, eiusq; sententiam ut impietate plenam proscindit. His Theodosius auditis, & Flauiani cognito interitu, iratus cum Chrysaphio expostulat: cui Dioscorus periculi metu suadet, ut ab Imperatore impetret, ut Anatoliũ, qui ei à responsis erat, quẽ Apocrisiarium uocant, patriarcham Constantinopolitanũ designet, quò & Eutychem in societatem reciperet, & de Flauiani calamitate quæstio nulla haberetur. Ea re per castratum ab Imperatore facile impetrata, patriarcha designatur Anatolius. Idẽ Chrysaphius, ascita etiam Eudocia adiutrice, facilitati principis illudens, persuadet, ut et Pulcheria ab administratione rerum amoueatur. Ea igitur, aula relicta, uitam priuatam agit, & in Hebdomo quiescit. At imperator, uix tandem ad sanam mentem reuersus, considerata & nefaria Flauiani cæde, & Pulcheriæ delatione: iusta indignatione contra Eunuchum commotus, quem earum rerum omnium autorem esse constabat, hominem relegat, opibus eius confiscatis, & sororem petita uenia reuocat. Erat pulcheria mulier prudẽtissima, quæ multa fratris errata partim corrigebat, partim te-

Chrysaphius. *Dioscorus.* *Flauiani interitus.* *Domnus.* *Anatolius patriarcha.* *Pulcheria aula pulsa reuocatur.* *Pulcheriæ cõmentũ ad coarguẽdã Theodosij oscitantiam*

τῷ βασιλεῖ ὁ Κῦρος καὶ ὑποπτευθείς, καὶ ἄκων κείρεται κληρικός. εἶτα καὶ σμύρνης ἐπίσκοπος γίνεται. τοῦ πατριάρχου δὲ πρόκλου θανόντος μετὰ δυοκαίδεκα ἔτη ἐξ ὅτου προέστη τοῦ ἐν κωνσταντινουπόλει ὀρθοδόξου λαοῦ, ὁ θεῖος φλαβιανὸς εἰς τὸν ἐκείνου θρόνον ἐγκαθιδρύνεται. ὅτε καὶ ὁ εὐτυχὴς ἀρχιμανδρίτης ὤν, ἐδογμάτιζε τὸν κύριον ἡμῶν ἰησοῦν χριστόν, μὴ τὰς δύο φύσεις τηρῆσαι μετὰ τὴν ἐνανθρώπησιν, ἀλλ' εἰς μίαν φύσιν ἄμφω συγκραθῆναι καὶ συμφυρθῆναι. τοῦτον ἀδιόρθωτον μένοντα ὁ φλαβιανὸς τοῦ τῆς ἐκκλησίας ἐξέκοψε σώματος, ἵνα μὴ τῆς λύμης καὶ τῷ ὑγιαίνοντι μεταδῷ. πρόσεισιν οὖν ὁ εὐτυχὴς χρυσαφίῳ τῷ ἐκτομίᾳ ὁμοδοξοῦντι αὐτῷ, καὶ πλεῖστα δυναμένῳ παρὰ τῷ βασιλεῖ. καὶ ὃς πείθει τὸν θεοδόσιον ἐπιτρέψαι τῷ μετὰ τὴν τοῦ ἁγίου κυρίλλου μετάστασιν τῆς ἀλεξανδρείας τὸν θρόνον διέποντι διοσκόρῳ, ἀθροισθῆναι εἰς ἔφεσον μεθ' ἑτέρων ἐπισκόπων, καὶ τὰ περὶ τὸν εὐτυχῆ γυμνάσαι, παρόντος καὶ τοῦ φλαβιανοῦ. οὗτος οὖν ὁ διόσκορος τῷ εὐτυχεῖ τυγχάνων ὁμόδοξος, καὶ ἄλλους ἐπισκόπους προσλαβὼν ὁμογνώμονας, εἰς ἔφεσον παραγίνεται, καὶ κυροῖ τὰ παρὰ τοῦ εὐτυχοῦς δογματιζόμενα. ἀντιλέγοντος δὲ τοῦ ἱερωτάτου φλαβιανοῦ, δίκην τις ἀγρίου ὄνου ἀναθορὼν ὁ διόσκορος, λὰξ τὸ στέρνον ἐνέθορε τοῦ θεσπεσίου ἐκείνου ἀνδρός. καὶ πὺξ αὐτὸν κατὰ κόρρης ἔτυπτεν, οὐκ ἀνῆκεν ἕως τοῦ συνεδρίου ἐξώθησε. καὶ ὁ μὲν ἅγιος μετὰ τρίτην ἡμέραν ἐκ τῆς τοῦ στέρνου πληγῆς μετήλλαξε τὴν ζωήν, ἐν δύο ἐνιαυτοῖς τὸν ἀρχιερατικὸν κοσμήσας θρόνον τῆς νεωτέρας ῥώμης. ὁ δὲ διόσκορος τοὺς ἐκεῖ παρόντας ἐπισκόπους ὑποσημήνασθαι ἐβιάζετο, τῷ παρ' αὐτοῦ ἐκτεθέντι ὅρῳ. ἡ γὰρ τοῦ ἀνδροθήλους εὐνούχου δυναστεία στρατιώτας ἐνόπλους ἐκεῖ παρεῖναι ἐποίησε, καὶ τοὺς ἀντιλέγοντας ἐκφοβεῖν. δόμνος δὲ ὁ τῆς ἀντιοχέων πόλεως πρόεδρος, ὑποσημήνας μὲν καὶ αὐτὸς συναρπαγείς, εἶτα κατεβόα τοῦ διοσκόρου καὶ τὸν ὅρον διέβαλλεν ὡς ἀσεβείας μεστόν. ταῦτα μαθὼν ὁ βασιλεὺς θεοδόσιος, καὶ τὰ κατὰ τὸν φλαβιανὸν γνούς, ἐν αἰτίαις ἐποίει τὸν χρυσάφιον καὶ ὠργίζετο. δείσας δὲ ὁ διόσκορος, ὑποτίθησιν αὐτῷ, πεῖσαι τὸν βασιλέα πατριάρχην κωνσταντινουπόλεως προχειρίσασθαι ἀνατόλιον τὸν αὐτοῦ ἀποκρισιάριον, ἵνα καὶ τὸν εὐτυχῆ δέξηται πρὸς κοινωνίαν, καὶ τὰ περὶ τὸν μακάριον φλαβιανὸν μείνῃ ἀνεξερεύνητα. πείθει τοίνυν ὁ ἐκτομίας τὸν βασιλέα, εὐάγωγον ὄντα, καὶ χειροτονεῖται πατριάρχης ὁ ἀνατόλιος. εἶτα ὁ εἰρημένος χρυσάφιος τῆς εὐκολίας τοῦ κρατοῦντος κατατρυφῶν, ἔπεισεν αὐτόν, καὶ τὴν βασίλισσαν εὐδοκίαν προσλαβὼν συνεργόν, τὴν πουλχερίαν τῆς τῶν πραγμάτων μεταστῆσαι διοικήσεως. καὶ ἡ μέν, τῶν ἀνακτόρων ὑποχωρήσασα, καθ' ἑαυτὴν ἔζη, καὶ ἐν τῷ ἑβδόμῳ ἡσύχαζεν. ὁ δὲ βασιλεὺς εἰς ἑαυτὸν ὀψὲ καὶ μόλις ἐλθὼν καὶ τὴν περὶ τὸν μακαρίου φλαβιανοῦ μιαιφονίαν ἀναλογισάμενος, καὶ τὰ περὶ τὴν πουλχερίαν, καὶ πάντων αἴτιον τὸν βέβηλον ἐκεῖνον εὐνοῦχον εὑρών, εἰς δίκαιον κατ' αὐτοῦ κινεῖται θυμόν, καὶ τοῦ μέν, ὑπερορίαν καταψηφίζεται, καὶ δημεύει τὴν οὐσίαν αὐτοῦ, τὴν δὲ ἀδελφὴν μετακαλεσάμενος, συγγνώμην ᾔτει, καὶ τὴν τῶν πραγμάτων διοίκησιν αὖθις αὐτῇ ἐνεχείρισεν. ἦν δὲ ἡ πουλχερία συνετωτάτη, καὶ πολλὰ τῶν ἐλαττωμάτων τοῦ ἀδελφοῦ, τὰ μέν, ἐπηνώρθου, τὰ δέ, συνεκάλυπτε. λέγεται γοῦν ἀπροσέκτως τὸν βασιλέα τοῦτον ὑποσημαίνεσθαι τὰς γραφάς. ἡ δέ, παραινεῖ αὐτόν, μὴ πᾶν τὸ προσαγόμενον βεβαιοῦν, ἀλλὰ τὰ γεγραμμένα προεπισκέπτεσθαι. ὁ δέ, διαβε-

βαιοῦτα

περὶ τοῦ πατριάρχου φλαβιανοῦ καὶ περὶ εὐτυχοῦς τοῦ αἱρετικοῦ. *ὅτι τῷ διοσκόρῳ [illegible] τῶν τοῦ εὐτυχοῦς δογμάτων [illegible].* *ὅτι τοῦ φλαβιανοῦ θανόντος, πατριάρχης χειροτονεῖται ἀνατόλιος.* *ὅτι τὴν πουλχερίαν μετέστησαν τῆς διοικήσεως [illegible].* *ὅτι αὖθις τῇ ἀδελφῇ τὴν διοίκησιν.* *ὅπως ἡ πουλχερία ἐβελτίου τὸν ἀδελφόν.*

βαιοῦντι, μή τι κακουργηθείη παρ' αὐτοῦ. ἐδίδου γὰρ αὐτὸς ἀπιχυρίζων τὰ γραφόμενα, ὡς ἔλεγχον τούτου τῆς ῥᾳθύμου γνώμης τοῦ ἀδελφοῦ, ποιεῖ δὲ τι τῇ Πουλχερίᾳ ἐπινόηται. ἔγγραφον ἐξ ἐκείνου συντίθησι πρᾶσιν, ὡς αὐτῇ τὴν αὐγοῦσταν Εὐδοκίαν πωλήσαντος, καὶ ὡς ἕτερόν τι αὐτῷ προσαγαγοῦσα τὸ συμβόλαιον, ἔπεισε βεβαιῶσαι τῇ οἰκείᾳ ὑπογραφῇ, εἶτα μεταπεμψαμένη παρ' ἐκείνου τὴν Εὐδοκίαν, ἐκώλυεν ἀπιέναι. ἐρομένου δὲ τὴν αἰτίαν τοῦ αὐτοκράτορος, τὸ πρατήριον ἡ Πουλχερία αὐτῷ ἐμφανίζει. καὶ οὕτως ἤλεγξεν αὐτὸν πολλὰ ὑποσημαίνεσθαι, ἃ οὔτ' οἶδεν οὔτ' ἴσως βούλεται γίνεσθαι. τότε μὲν οὖν τῆς πεπλασμένης ἐκείνης πράσεως χαλασθείσης, ἡ βασιλὶς ἐχωρίσθη τῷ αὐτοκράτορι. μετέπειτα δ' αἰτίας συμβάσης τινός, ἀπέστρεψε τὴν αὐγοῦσταν ὁ βασιλεύς. ἡ δ' αἰτία, μῆλον ὑπερφυὲς εἰς ὄγκον, ἐκομίσθη τῷ βασιλεῖ· ὁ δὲ, τοῦτο θαυμάσας, τῇ βασιλίδι ἀπέστειλεν. ἐκείνη δὲ τῷ Παυλίνῳ τὸ μῆλον δέδωκεν. ἦν δὲ λόγιος ὁ ἀνήρ, κἀντεῦθεν τῇ βασιλίσσῃ ᾠκείωτο. ὁ δὲ τὸ τοῦ μήλου μέγεθος ἀγασθεὶς, προσάγει τοῦτο τῷ βασιλεῖ, ἀγνοῶν τὰ περὶ αὐτοῦ. ἐκεῖνος δ' ἐπέγνω τὸ προσαχθὲν, καὶ κρύψας αὐτὸ, τὴν γυναῖκα ἠρώτησε, ποῦ δῆτα τὸ σταλὲν αὐτῇ μῆλον εἴη· ἡ δὲ φαγεῖν ἔφη τοῦτο. δείσασα μὴ ὁ ἀνὴρ ὑποπτεύσῃ, ὃ ἐκεῖνος ἤδη ὑπώπτευεν. ὁ δ' ἐπὶ πλεῖον ἤρετο ἀπαιτητικώτερον. ἡ δ' αὖθις φαγεῖν τὸ μῆλον ἐξώμνυτο. ἐξάγει τοῦτο μέσον ὁ αὐτοκράτωρ ὀργῆς καὶ ἡ μὲν, ἐπ' αὐτοφώρῳ ἑάλω ψευδομένη. τῷ δὲ, τὰ τῆς ὑπονοίας ἐστέρεωτο. κἀντεῦθεν ἀναιρεῖται μὲν ὁ Παυλῖνος ἐξ ὑπονοίας ψευδοῦς, ἡ δ' Εὐδοκία ἐμέμφετο. καὶ ᾐτήσατο ἀπελθεῖν ὡς Ἱεροσόλυμα, κἀκεῖσε δὴ ἀπελθοῦσα σὺν πλούτῳ βαθεῖ, ναούς τε ᾠκοδόμησε, καὶ πολλὰ τοῖς πενομένοις καὶ τοῖς ἐκεῖ μοναστηρίοις διένειμεν. ἐκεῖθεν δ' ἐπανελθοῦσα αὖθις μετὰ θάνατον τοῦ ἀνδρὸς, ἐκεῖσε ἀφίκετο, κἀκεῖ τετελεύτηκεν. οἵα δὲ περὶ λόγους ἦν ἡ βασιλὶς ἐκείνη, δηλοῦσι τὰ λεγόμενα ὁμηρόκεντρα. πατρικίου γάρ τινος ἐγχειρήσαντος τῷ συντάγματι, ἀτελὲς δὲ καταλελοιπότος αὐτό, καὶ οἷον ἀκατέργαστον, ἐκείνη καὶ εἰς τέλος ἤγαγε καὶ ἀπειργάσατο· ὡς ἡ παρ' ἐκείνης δι' ἐπῶν ἡρωϊκῶν τῷ πονήματι γενομένη προγραφὴ τοῖς ταύτην ἐντυγχάνουσι παρίστησι. Θνήσκει δὲ ὁ βασιλεὺς Θεοδόσιος πεντηκοντούτης γενόμενος, καὶ σχεδὸν ἅπαντας τοῦ βίου χρόνους βασιλεύσας· βραχεῖς μὲν πάνυ σὺν τῷ πατρί, τοὺς δ' ἄλλους καθ' ἑαυτόν. τὴν δ' αἰτίαν τῆς αὐτοῦ τελευτῆς, οἱ μὲν νόσον γεγονέναι φασίν, οἱ δ' ἐν θήρᾳ ἐλαύνοντι συμπεσεῖν τὸν ἵππον ἱστόρησαν, καὶ πληγέντα τῶν καιρίων μερῶν, μετ' ὀλίγον θανεῖν. ἦν δὲ λογικῆς παιδείας οὐκ ἀνομίλητος. ἀλλὰ καὶ τῶν ἄλλων μαθηματικῶν βίβλων μετεσχηκώς, καὶ τῆς ἀστρονομίας αὐτῆς ἀπεγεύσατο. ἱππεύειν δὲ καὶ τοξεύειν, ὡς ἄκρον ἤσκητο. ἀλλὰ καὶ πρὸς τὴν γραφικὴν, καὶ τὴν πλαστικὴν δεξιῶς εἶχεν. ἐπιεικὴς δὲ τὸν τρόπον γενόμενος, μαλθακῶς πρὸς μεταχείρισιν πραγμάτων διέκειτο. ὅθεν καὶ οἱ παρ' αὐτῷ δυνηθέντες εὐνοῦχοι, πολλὰ τῶν οὐ δεόντων εἰργάσαντο. ὁ Ἀντίοχος, καὶ μετ' ἐκεῖνον Ἀμάντιος, καὶ τελευταῖος Χρυσάφιος. ἐν τοῖς χρόνοις δὲ τούτου τοῦ βασιλέως, Πρόκλου τοῦ πατριάρχου λιτανεύοντος σὺν τῷ κλήρῳ καὶ πλείστῳ μέρει τοῦ πλήθους τῆς πόλεως, ἄφνω παιδίον αἴρεται μετέωρον. τοῦ δὲ λαοῦ θαμβουμένου καὶ ἐπὶ πλεῖστον βοῶντος τὸ, Κύριε ἐλέησον, αὖθις κατάγεται τὸ παιδίον, λέγων κεκελεῦσθαι μηδ' ἐν

Διὰ τί τὴν αὐγοῦσταν ἀπέστρεψεν ὁ Θεοδόσιος.

gebat Literis ille certè quidem inconsideratè subscribere dicebatur. Quod ne faceret, utque literarum sententiam consideraret, ab illa admonitus, affirmabat, à nemine strui sibi fraudem, & scire se quid literæ continerent. Quare illa ad socordiam fratris coarguendā huiusmodi commento usa est. Nomine illius syngrapham componit, qua sibi Eudocia Augusta uenderetur, eaque, ceu aliud quiddam esset, Imperatori oblata, efficit ut subscribat. Deinde Eudociam ab illo accersitam, abire non sinit, quæsitaque retentionis causa, profert syngrapham: itaque conuincit, eum subscribere plurimis, quæ neque norit, neque etiam fortasse fieri uelit. Ac tum quidem, commentitia illa uenditione sublata, uxor Imperatori restituitur. Pòst autem, in odium eius tali de causa incurrit. Pomum inusitata magnitudine sibi oblatum Imperator, admiratus, uxori misit. Id illa Paulino dedit uiro erudito, eaque de causa sibi familiari. Is rei ignarus, illud Imperatori effert, ut rē mirā. quo ille agnito & occultato, uxorem rogat, ubi sit mâlum ipsi missum? Illa uerita ne id suspicaretur maritus, quod iā suspicabatur, se comedisse respondet. Verū illo acrius urgēte, iureiurando affirmat, se iam comedisse. Tum ira percitus Imperator, pomū profert. Sic illa in manifesto mendacio deprehensa, suspicio mariti confirmatur, Paulinus insons occiditur. Eudocia cū se inuisam esse cerneret, facultatem abeūdi Hierosolyma petit, quò cum magnis opibus profecta, & templa ædificauit, & pauperibus, eiusque loci monasterijs multa dedit. Inde reuersa, post mariti obitum, eòdem rediit, ibique mortua est. Quā uerò eruditione Imperatrix illa fuerit, centones Homerici declarant. Nam cum Patricius quidam id opus imperfectum & indigestum reliquisset: illa & absoluit & digessit, ut inscriptio uersibus heroicis præfixa declarat. Moritur Theodosius quinquagenarius, omnibus ferè uitæ suæ annis Imperator, quorū paucis omnino cum patre, cęteris per se regnauit. Causam eius obitus alij morbum fuisse perhibent, alij in uenatione eū equo lapsum, læsis uitalibus membris paulò post obiisse. Fuit literarum non imperitus, sed cū in alijs Mathematicis libris uersatus, tum Astronomiæ non ignarus, equitandi & sagittandi peritia excellens, prætereaque pingēdo fingendoque dexter. Cum autem leni esset ingenio, mollior ad res gerendas fuit. Vnde factum, ut castrati apud illum gratiosi, multa perperā agerent, ut Antiochus, & post illū Amātius, ac denique Chrysaphius. Huius Imperatoris tempòribus, Proculo patriarcha cum Clero & maxima urbanæ multitudinis parte supplicantibus, puer sublimis in aërem tollitur. Populo obstupefacto & longo tempore uociferante, Kyrie eleeson, rursus demittitur, ac sibi præceptum esse dicit, ne in Cantico Tersancto ad-

Pomum occasio cædis Paulini, & odij Eudociæ.

Eudociæ obitus et eruditio.

Centones Homerici.

Theodosij iunioris obitus.

Theodosij elogia.

Miraculum pueri in aërem sublati.

deretur clausula: Qui crucifixus est pro nobis.

IMPERIVM MARCIANI.

Theodosio mortuo, sed eius obitu paucis cognito, Pulcheria Marcianum accersit, senē iam, sed uirum bonū & modestum: & Imperatoris morte indicata, » Te, inquit, præ cæteris omnibus imperatorē » elegi, si fidem dederis, te uirginitatem meam, » quam consecraui Deo, intactam conseruatu» rum. Assensum illi, patriarcha & senatu accersitis, Imperatorē salutat, & diademate cingit. Erat autem Marcianus neq; gestis magistratibus clarus, neq; illustri genere ortus, sed gregarius miles. qui cùm aliquando cum sua legione in expeditionē profectus, & in Lycia ægrotans à commilitonibus relictus, duorū fratrum Iulij & Tatiani hospitio usus esset, recuperata ualetudine, cum hospitibus uenatū exijt. Fatigati procumbunt humi, requiescendi causa, & obdormiscunt circa meridiem. Ibi Tatianus præ cæteris experrectus, aquilā uidet expansis alis umbram facientem Martiano & solis ardorem prohibentem. fratremq; sensim excitat, rem insolitam ostēdit, quam admirati ambo, Martiano Imperiū portendi existimant, idq; experrecto narrant, petunt, ut sui meminissent potit⁹ imperio, ac ducētis aureis datis dimittunt. Cum denuo sub Aspare contra Vandalos bellum inferentes militans, cū alijs plurimis captus in aula quadā custodiretur: Dux Vandalorum è superiore loco per fenestram captiuos spectans, Martiano dormienti umbrā ab aquila fieri uidet, eoq; augurio & ipse imperiū homini portendi coniiciens, eum accersit, & pactus, si imperio potiretur, ne Vandalis bellum inferret, missum facit. Ita imperio multò ante diuinitus ei denunciato, sed tū augurijs re ipsa cōprobatis, statim fratres hospites, qui principatum ei gratulati fuerant, uocant, ac Tatianum præfectū urbis creat, Iulio Illyricam prouinciam tradit, benignū se præbens erga omnes. Sub hoc tēpus Pulcheria Deiparæ ædem in Blachernis extruit, & quartū conciliū indicitur: quum Leo Papa Romanus, & Anatolius nouæ Romæ patriarcha, ab imperatore Martiano petiuissent, ne Dioscori Alexandrini & Eutychis dogmata inexcussa relinquerentur, & commissum in sanctum Flauianum facinus dissimularetur. Itaq; DCXXX patres Deo pleni Chalcedone in ædem sanctæ martyris Euphemiæ cōueniunt, quorū principes erāt, Leo Papa Romanus, Anatoli⁹ Cōstantinopolitan⁹, & Iuuenalis Hierosolymitanus. Conuenerat autē ea patrū multitudo contra Dioscorū & Eutychem, qui dominū Christū Iesum alterius naturæ carnē gestasse, & unam esse naturā fabulabātur: ut eo pacto quæcūq; perpessus esset, ea diuinitati attribuerentur.

Auguria Marciano Imperium portendētia.

Chalcedonēse cōcilium quartum.

προστίθεσθαι τῷ τρισαγίῳ, τὸ ὁ σταυρωθεὶς δι' ἡμᾶς.

ΒΑΣΙΛΕΙΑ ΜΑΡΚΙΑΝΟΥ.

Ὁ μὲν οὖν Θεοδόσιος τέθνηκε. Πουλχερία δὲ μήπω πολλοῖς γνωσθείσης τῆς τοῦ αὐτοκράτορος τελευτῆς, τὸν Μαρκιανὸν μεταπέμπεται, ἄνδρα γηραιὸν ἤδη, χρηστὸν δὲ τοὺς τρόπους καὶ σώφρονα, καὶ ἐπαγγέλλει αὐτῷ τὸν τοῦ βασιλέως θάνατον. καί φησιν, ἐσὲ παρὰ πάντας εἰς βασιλέα προκέκρικα, εἴ μοι δοίης πληροφορίαν τηρῆσαί μου τὴν παρθενίαν ἀδιάφθορον, ἣν τῷ θεῷ ἀνατέθεικα. τοῦ δὲ συνθεμένου, μετακαλεῖται τόν τε πατριάρχην, καὶ τὴν βουλήν, καὶ ἀναγορεύει αὐτόν, καὶ ταινίᾳ διαδήματι. ἦν δὲ ὁ Μαρκιανὸς οὔτε τῶν πράξεων ἐπιφανῶν, οὔτε τῶν ἐκ γένους λαμπρῶν, ἀλλὰ στρατιώτης ἁπλῶς. ὅς ποτε ὡς ἐστρατεύετο σὺν τῷ οἰκείῳ τάγματι ἀπιὼν, κατὰ τὴν Λυκίων ἐπαρχίαν ἐνόσησε, καὶ τῶν ὁμοταγῶν ἐγκαταλέλειπτο. ξενίζεται οὖν καὶ παρά τισι δυσὶν ἀδελφοῖς, ὧν τῷ μὲν ἡ κλῆσις Ἰούλιος, τῷ δὲ ἑτέρῳ Τατιανός, καὶ τῆς νόσου ῥαΐσας, ἐθήρευεν ἔξω σὺν τοῖς ξενισταῖς. οἱ δ' ἐν τῷ θηρεύειν γεγονότες κατάκοποι, κατὰ γῆς ἀνεκλίθησαν, ἑαυτοὺς ἀναπαύσοντες, καὶ ὕπνωσαν περὶ μεσημβρίαν. τὸν ὕπνον δὲ πρὸ τῶν ἄλλων ὁ Τατιανὸς ἐκτιναξάμενος, ἀετὸν ὁρᾷ διαπεπετασμένοις ταῖς πτέρυξι κατασκιάζοντα τὸν Μαρκιανόν, καὶ τὸν ἐκ τῆς ἡλιακῆς ἀκτῖνος κωλύοντα καῦσωνα. θαυμάσας οὖν, ἠρέμα διυπνίζει τὸν ἀδελφόν, καὶ τὸ καινὸν ὑποδείκνυσι. κἀκεῖνος οὖν ἐξεπέπληκτο. ἔδοξεν οὖν καὶ ἄμφω τὼ ἄνδρε, βασιλείας εἶναι σημαντικὸν τὸ ὑπὸ τοῦ ἀετοῦ γεγονὸς εἰς Μαρκιανόν. καὶ διεγερθέντι τοῦ ὕπνου αὐτῷ, τὴν βασιλείαν προκαταγγέλλουσι. καὶ μεμνῆσθαι αὐτῶν ἀξιοῦσιν ὅτε τεύξεται τῆς ἀρχῆς. καὶ δόντες αὐτῷ διακοσίους χρυσίνους, ἐπιγράκα ἀφῆκαν. αὖθις δὲ σὺν Ἄσπαρι στρατευόμενος κατὰ Βανδήλων πόλεμον ἀραμένῳ, αἰχμάλωτος σὺν ἑτέροις πλείστοις ἑαλωκὼς, ἐν αὐλῇ τινι μετὰ τῶν συναιχμαλώτων ἐφρουρεῖτο. ἄνωθεν δὲ ὁ τῶν Βανδήλων ἀρχηγὸς προκύπτων, ἐπισκοπεῖ τοὺς αἰχμαλώτους καὶ ὁρᾷ κἀκεῖνον κοιμώμενον τὸν Μαρκιανόν, καὶ αὐτοῦ ἄνωθεν διηρμέναις ταῖς πτέρυξι σκιὰν αὐτῷ ἐργαζόμενον ἀετόν. κἀκεῖνος δὲ εἰς βασιλείαν τείνειν τὸ ὅραμα εἰκάσας, καὶ μεταπεμψάμενος τὸν Μαρκιανόν, ἀπῄτησεν αὐτόν, εἰ βασιλεύσει, μὴ πολεμῆσαι Βανδήλοις. καὶ συνθέμενον, ἀπέλυσεν αὐτὸν τῆς εἱρκτῆς. οὕτω μὲν οὖν πρὸ μακροῦ τῆς βασιλείας αὐτῷ προεσήμανεν ὁ θεός. τότε δ' εἰς ἔργον ἐκβεβηκότων τῶν προσημαινομένων, καὶ αὐτίκα μετακαλεῖται τοὺς ξενίσαντας αὐτὸν ἀδελφούς, καὶ συγχαρέντας αὐτῷ τῆς ἀρχῆς, καὶ τὸν μὲν Τατιανὸν ἔπαρχον τῆς πόλεως ἀναδείκνυσιν, Ἰουλίῳ δὲ τὴν τῶν Ἰλλυριῶν ἀρχὴν ἐγχειρίζει. γέγονε δὲ περὶ πάντας χρηστός. ἐπὶ τοὺς χρόνους τούτους, ὁ ἐν Βλαχέρναις ναὸς τῆς θεοτόκου ἡ Πουλχερία ἀνήγειρε, καὶ ἡ τετάρτη γέγονε σύνοδος, Λέοντος τοῦ πάπα Ῥώμης, καὶ Ἀνατολίου τοῦ πατριάρχου τῆς νέας Ῥώμης, αἰτησαμένων τὸν βασιλέα Μαρκιανόν, μὴ μεῖναι ἀζήτητα τὰ περὶ τὸν Ἀλεξανδρείας Διόσκορον καὶ τὸν Εὐτυχῆ, καὶ ὅσα παρ' αὐτῶν εἰς τὸν ἱερώτατον ἐτολμήθη Φλαβιανόν. ὡρίσθη οὖν σύνοδον γενέσθαι, καὶ συναθροίζονται εἰς τὸν ἐν Χαλκηδόνι ναόν, τῆς ἁγίας μάρτυρος Εὐφημίας θεοφόροι πατέρες ἑξακόσιοι καὶ τριάκοντα, ὧν ἦρχον ἦσαν τότε, Λέων ὁ πάπας Ῥώμης, καὶ ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος, καὶ Ἰουβενάλιος Ἱεροσολύμων. συνῄθροιστο δὲ τὸ τῶν πατέρων πλῆθος κατὰ Διοσκόρου καὶ Εὐτυχοῦς, ἑτερούσιον ἡμῖν τῆς σαρκὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν φορέσαι μυθολογούντων, καὶ μίαν φύσιν αὐτοῦ ἀπ' ἀρχῆς, ὡς ἐντεῦθεν τῇ θεότητι τὰ παθήματα προσάπτεσθαι

ὅς και

περὶ σημείων προμηνυόντων τὴν βασιλείαν τῷ Μαρκιανῷ.

περὶ τῆς τετάρτης συνόδου.

ὡς καθ᾽ ἕνα λόγον τι καὶ ἀνεθεμάτισαν οἱ θεῖοι πατέρες, τὴν ἑαυτῶν κακοδοξίαν παραιτήσασθαι μὴ θελήσαντας. ἐδέξαντο δὲ τόν τε Θεοδώρητον καὶ τὸν Ἴβαν, ἀναθεματίσαντας τὸν Νεστόριον. καὶ ἅπερ αὐτοὶ ἐκδεδώκασι πρὸς ἔριν κεφάλαια, καὶ τὰς προτέρας τρεῖς συνόδους ἐκύρωσαν, καὶ τὸ ἅγιον ἐπεκράτυναν σύμβολον. ἀναθέματι καθυπαγαγόντες τούς τε υἱῶν δυάδα εἰσάγοντας, καὶ τοὺς παθητὴν δογματίζοντας τὴν θεότητα, καὶ τοὺς κρᾶσιν καὶ σύγχυσιν ἐπὶ τῶν δύο φύσεων φρονεῖν καὶ λέγειν τολμῶντας. ἢ δύο μὲν εἶναι φύσεις πρὸ τῆς ἑνώσεως ἐπὶ τοῦ Χριστοῦ, μίαν δὲ μετὰ τὴν ἕνωσιν ἀναπλάττοντας, καὶ τοὺς οὐράνιον, ἤ τινος οὐσίας ἑτέρας μυθεύοντας τὴν προσληφθεῖσαν ἐξ ἡμῶν ὑπὸ κυρίου μορφήν. ἐδογμάτισαν δὲ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τέλειον ἐν θεότητι, καὶ τέλειον ἐν ἀνθρωπότητι, καὶ θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς ἐκ ψυχῆς λογικῆς καὶ σώματος, ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ἡμῖν ὁμοούσιον καὶ ὅμοιον κατὰ πάντα, χωρὶς ἁμαρτίας, ἵνα τὸν αὐτὸν ἐν δύο φύσεσιν, ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωριζόμενον, σωζομένων τῶν ἰδιωμάτων φύσεως ἑκατέρας, καὶ εἰς ἓν πρόσωπον συντρεχόντων, καὶ μίαν ὑπόστασιν. τούτων οὖν πᾶσι τοῖς θεοφόροις ἐκείνοις δεδογμένων πατράσι, παρόντος καὶ τοῦ εὐσεβοῦς βασιλέως Μαρκιανοῦ, ὁ Διόσκορος προστάξει βασιλικῇ ἐς Γάγγραν ὑπερόριος ἐστάλη. ὁ γὰρ Εὐτυχὴς προτέθνηκε δυστυχῶς. ἀντὶ δὲ Διοσκόρου τῆς Ἀλεξανδρείας ἐπίσκοπος ἐχειροτονήθη Προτέριος, ἀνὴρ ἱερώτατος καὶ ὀρθοδοξότατος. τῶν δὲ τοῦ Εὐτυχοῦς, καὶ τοῦ Διοσκόρου αἱρεσιωτῶν ἀνὰ τὴν πόλιν στρεφομένων καὶ διαχλευαζόντων τὰ ὑπὸ τῆς συνόδου δογματισθέντα, κἀκ τῆς βασιλικῆς δυναστείας λεγόντων τὸ κράτος τῇ συνόδῳ προσεῖναι, καὶ οὐκ ἐκ τῆς ἀληθείας, καὶ τὴν οἰκείαν συνιστᾶν ἐπιχειρουμένων κακοδοξίαν. ὁ πατριάρχης Ἀνατόλιος ἐκκλησιάσας τούς τε αὐτῷ ὁμογνώμονας καὶ τοὺς ἀντιδοξοῦντας, ἔφη πρὸς τοὺς ἐναντίους. ἐπεὶ ἐπὶ τῆς οἰκείας δόξης ἀντέχεσθε, καὶ οὐ πάντως μὴ δοξάζειν ὀρθῶς, ἀλλ᾽ αἰτιᾶσθε ἡμᾶς, ὡς τὸ Νεστορίου παραδεχομένους δόγμα, δύο φύσεις ἐπὶ τοῦ σωτῆρος κηρύξαντας, ἑκατέρας τηρούσας ἀσυγχύτους τὰς ἰδιότητας. ἐπιτρεπτέον, εἰ δοκεῖ, τῷ θεῷ τὴν περὶ τούτου διάκρισιν, καὶ γραφέτω μὲν παρ᾽ ὑμῶν ἐν τόμῳ τὸ ὑμέτερον περὶ τῆς πίστεως φρόνημα. γραφέσθω δὲ καὶ παρ᾽ ἡμῶν τὸ ἡμέτερον. καὶ ἄμφω τὼ τόμω ἐν τῇ λάρνακι τεθήτων τῆς πανευφήμου μάρτυρος Εὐφημίας. καὶ ταύτην τὴν κρίσιν δοτέον τῶν ὀρθῶν καὶ διαστρόφων δογμάτων. ἤρεσε ταῦτα καὶ τοῖς αἱρετικοῖς. καὶ οἱ τόμοι γεγράφαται. καὶ ὁ κλείων λίθος τὴν λάρνακα, αἴρεται. καὶ οἱ χάρται τῷ στήθει τῆς μάρτυρος ἐπιτίθενται. καὶ ὁ λίθος αὖθις τῇ λάρνακι ἐπιτίθεται. καὶ σφραγίζεται ὑπ᾽ ἀμφοῖν τοῖν μεροῖν. τὸ δ᾽ ἐντεῦθεν ἱκεσίαι πρὸς τὸν θεὸν καὶ δεήσεις παννύχιοι, ἐκκαλύψαι τίς αὐτῷ τῶν δοξῶν καταθύμιος καὶ τίς ἀποβλητέα δοκεῖ. καὶ μετὰ τρίτην ἡμέραν συνέρχονται, μὴ δὲ τοῦ βασιλέως ἀπολειφθέντος. καὶ ἀνοιγείσης τῆς λάρνακος, τῶν θαυμασίων σου κύριε, εὑρέθη ὁ μὲν τῶν αἱρετικῶν τόμος, ἐν τοῖς ποσὶ τῆς μάρτυρος κείμενος. ὁ δ᾽ ἕτερος λοιπός, τῇ δεξιᾷ ταύτης χειρὶ κατεχόμενος, ὃν ἐκτεῖναι λέγεται πρὸς τὸν βασιλέα καὶ τὸν πατριάρχην, τὸν τόμον αὐτοῖς ἐγχειρίζουσα. οἱ μὲν οὖν τὸ ὀρθὸν πρεσβεύοντες δόγμα, κρότον ἐν ἱεροῖς. οἱ δὲ τούτοις ἐναντιούμενοι,

περὶ Προτερίου.

περὶ τοῦ γενομένου θαύματος παρὰ τῇ ἁγίᾳ μάρτυρι Εὐφημίᾳ καὶ τῇ κρίσει τῶν περὶ τῆς πίστεως.

Hos igitur diuini patres cum à peruersa opinione decedere nollent, loco motos anathemate notarūt, Theodoretum autem & Ibam receperunt: damnato & Nestorio & ijs capitibus, quæ hi studio contentionis ediderant, tribusq; prioribus concilijs approbatis, & sancto symbolo confirmato. Eos porrò anathemate notarunt, qui filios binos statuerent, & diuinitatem passibilem esse assererent, quiq; temperamentum & confusionem duarum naturarum sentire & profiteri auderent, aut duas naturas in Christo ante unionem, & unam post unionem confingerent, quiq; formam à domino ex nobis assumptam uel cœlestem, uel alterius esse naturæ fabularentur. Statuerunt, Iesum Christum dominum nostrum perfectum esse in diuinitate, & perfectum in humanitate, uerè Deum & uerè hominē, qui anima ratiōe prędita & corpore cōstet, eiusdē cū patre naturę secundū diuinitatem, eiusdē naturæ nobiscū & similē per omnia nobis peccato excepto: q unus idē in duabus naturis, citra cōfusionē, citra mutationē, citra diuisionē, citra separationē agnoscatur, seruatis utriusq; naturæ proprietatibus, & in unā personā, & unā hypostasim cōspirantibus. Hęc cū à diuis illis patribus decreta essent, etiā pio imperatore Marciano pręsente, Dioscorus eius iussu Gangrā relegatur. Nā Eutyches iā antè infeliciter perierat. Dioscori aūt loco Alexandrinus episcopus eligitur Proterius uir sanctissimus & fide integerrima. Cū aūt Eutychis & Dioscori sectatores q in urbe uersabantur, decreta cōcilij subsannarēt, eiusq; autoritatē nō ueritate, sed potentia Imperatoris niti dicerēt, & prauitatem sententiæ suæ stabilire conarentur: Anatolius patriarcha & suffragatoribus suis & aduersarijs conuocatis, ad hos ita infit: Quoniā sententiā uestrā adhuc mordicus tenetis, neq; uos perperàm sentire creditis, sed nos incusatis, quasi Nestorij dogma approbemus, cū duas naturas in seruatore prædicemus, utraq; citra cōfusionē proprietates suas retinēte: istius cōtrouersiæ dijudicatio, si placet, Deo permittatur. Scribatur igitur uestra de fide sentētia in uno libello, & nostra in altero, atq; ambo, in loculo gloriosæ martyris Euphemiæ collocētur, & huius iudiciū esto, utri rectè aut perperā sentiāt. Hæc cū hæreticis etiā placuissent, libelli scripti, remoto lapide qui loculum claudebat, pectori martyris imponūtur, & lapis in suū locū repositus, ab utraq; parte signat. Dehinc supplicationes fiūt, & preces ad Deū peruigiles, ut demōstret, utra sentētia ei cordi sit, quæ rejiciēda uideat. Post triduū cōueniunt, imperatore etiā præsente, aperto loculo. O rem mirā, libellus hæreticorū ad pedes martyris inuenitur, alter in manu eius dextra, quā extēdisse ferū ad Imperatorē & patriarchā, ac libellū eis porrexisse. Itaq; rectę sentēdę assertores plaudere, aduer

Proterius.

Cōcilij Chalcedonensis decreta miraculo firmantur.

satij uerò demissis uultibus & præ pudore caligantibus abire, quidam etiam ueram sententiam amplecti. *Pulcheriæ obitus.* Eo tempore Pulcheria imperatrix piè, gloriosè & cum spe bona moritur, omnes suas opes dilargita pauperibus, & misericordia erga illos diuina misericordia redempta. Valentinianus uerò, cuius suprà obiter est facta mentio, Honorij è sorore Placidia nepos, Romæ ueteris imperator, *Valentinianus à Maximo interficitur.* Eudoxiam iunioris Theodosij filiam uxorem ducit. Sed homo uitæ insolentis & flagitiosæ, omissa coniuge, quamuis eleganti forma, in stupris & adulterijs uolutabatur, diuinationibus etiam & præstigijs deditus. Vt igitur uitam agebat nefariam, ita miserabilem sortitus est interitum. Maximus enim patricius Romanus, ex illius Maximi familia, quem tyrannide occupata magnus Theodosius debellarat, palatium ingressus, Valentinianum perimit, Eudoxiam ui stuprat, imperium inuadit. At illa Theodosio patre mortuo, Pulcheria item defuncta, cum nullum alium iniuriæ uindicem speraret, *Gensericus Vādalus ab Eudoxia accitus, Romā diripit.* Gizericho à Vandalorum rege precibus impetrat, ut per eum à Maximi tyrannide liberetur. Is igitur cum classe & copijs magnis Romam uenit, Maximo cum inde profugisset, à suis occiso, urbe citra laborem potitur, & omnes eius diuitias, sacrarum ædium aurea donaria, & gemmis ornata, nonnulla etiam uasa è templo Hierosolymitano à Tito allata, aurea & ipsa, unà cum Eudoxia, & duabus eius filiabus in Africam secum asportat. Cuius filiam Eudociam *Eudocia. Olybrius. Placidia. Hildérichus.* natu maiori filio Honoricho iungit: alteram, quia Olybrio patricio desponsam nouerat, cum matre asseruat. Quæ cum biennium ibi egisset, cum filia Placidia, regnante adhuc Martiano, Byzantium reuertitur, relicta filia Eudocia, quæ quamuis annos XVI cum marito uixisset, genito Hilderícho filio: tamen eius consuetudinem ob Arianismum ægrè ferens, nacta opportunitatem & ipsa Constantinopolim secedit, matre iam defuncta. Inde Hierosolyma profecta, moritur. *Martiani obitus.* Obijt & Martianus cum annos sex & aliquot menses imperasset, siue ex morbo, siue ueneno Asparis patricij nutu dato, admodum senex, uir mitis ingenio & erga subditos benignus: *Aspar Leonē imperatorē creat.* dicere solitus, Imperatori nō capienda esse arma, dum pacem agere liceret. Aspar Patricius, etsi multum poterat, non tamen imperator creatus est à populo Constantinopolitano, ob Arianæ sectæ studium. Quare ipse Leonem siue suapte autoritate, siue accepta à populo potestate, Imperatorem declarat, stipulatus, ut alter filiorum suorum Cæsarea corona insigniretur. quòd cum ille promisisset, ad regium fastigium est euectus. Is Leo Asparis procurator fuerat: alij Selebrianorū uectigalium fuisse, *præfectum tribunum, & alij genus è Thracia ducere, alij ex Dacia Illyrica, aiunt.

καταφρονοῦντες καὶ σκότος ὑπ' αἰσχύνης περιχυθέντες ἀπῆλθοσαν. τινὲς δ' ἐκ τούτων καὶ πρὸς τὸ ὀρθόδοξον μετεβάλλοντο. κατὰ τὸν τότε χρόνον καὶ ἡ βασιλὶς Πουλχερία θνήσκει εὐσεβῶς τε καὶ εὐκλεῶς καὶ ἐπ' ἐλπίσι χρησταῖς. *τελευτὴ πουλχερίας βασιλίσσης.* πάντα γὰρ τὸν πλοῦτον αὐτῆς διανείμασα πτωχοῖς, καὶ τῷ πρὸς τούτους ἐλέῳ τὸν τοῦ θεοῦ ἐκπριαμένη ἔλεον. Οὐαλεντινιανὸς δὲ ὁ ἀνεψιὸς ὀνομασθεὶς ἄνω που ἐπιμνησθέντες ὡς ἐκ τῆς ἀδελφῆς αὐτοῦ γεννηθέντος τῆς Πλακιδίας, βασιλεύων ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ, ἄγεται εἰς γυναῖκα Εὐδοξίαν τὴν παῖδα τοῦ νέου Θεοδοσίου. *περὶ βαλεντινιανοῦ τοῦ ἀναιρεθέντος ὑπὸ τοῦ ἐν ῥώμῃ βασιλεύσαντος.* ἐκδιῃτημένως δὲ βιώσκων καὶ ἀσελγῶς, τὴν μὲν οἰκείαν γαμετὴν ἀπαξιῶν, καίτοι κάλλος δὲ ἔχουσαν, ἀλλοτρίαις ἐσωματοφθόρει, ἐπεχείρει δὲ καὶ μαντείαις καὶ γοητείαις. οὕτω δὲ βιώσκων ἐναγῶς, ἀπεβίω καὶ ἐλεεινῶς. Μάξιμος γὰρ εἷς τῶν ἐν τῇ Ῥώμῃ πατρικίων, ἔγγονος δὲ τοῦ πάλαι τυραννήσαντος Μαξίμου, ὃν ὁ μέγας καταπολεμήσας Θεοδόσιος, εἰσδὺς τὸν βασίλειον γενόμενος ἐν αὐτοῖς, τόν τε Οὐαλεντινιανὸν ἀποσφάττει, καὶ τῇ Εὐδοξίᾳ βίᾳ συμμίγνυται, καὶ τῆς βασιλείας κρατεῖ. ἡ δὲ τοῦ πατρὸς αὐτῆς Θεοδοσίου θανόντος, καὶ τῆς Πουλχερίας ἐκμετρησάσης τὸ ζῆν, ἐκδίκησιν ἑτέρωθεν μὴ ἐλπίζουσα, διαπέμπεται πρὸς Γιζέριχον τὸν Βανδήλων ῥῆγα καλούμενον, καὶ τῆς τοῦ Μαξίμου τυραννίδος δι' αὐτοῦ ἀπαλλαγῆναι ἐκλιπαρεῖ. *… γιζερίχου τοῦ βανδήλων ῥηγὸς ἡ ῥώμη.* καὶ ὃς ἔπεισι τῇ Ῥώμῃ σὺν στόλῳ καὶ δυνάμει πολλῇ. ὁ δὲ Μάξιμος ἀποδιδράσκει ταύτης, καὶ κτείνεται παρὰ τῶν συνόντων αὐτῷ. ὁ δὲ Γιζέριχος ἀπόνως τῆς Ῥώμης κρατεῖ, καὶ τὸν πλοῦτον αὐτῆς συγκομισάμενος ἅπαντα, καὶ τὰ τῶν θείων ναῶν ἀναθήματα ἐκ χρυσοῦ πεποιημένα καὶ λίθοις κοσμούμενα, καί τινα τῶν παρὰ Τίτου κομισθέντων ἐξ Ἱεροσολύμων σκευῶν τοῦ ἐκεῖσε ναοῦ, εἰργασμένα καὶ αὐτὰ ἐκ χρυσοῦ, λαβὼν δὲ καὶ τὴν Εὐδοξίαν σὺν ταῖς δυσὶ θυγατράσιν αὐτῆς, ἐπανῆλθεν εἰς Ἀφρικήν. καὶ τὴν μὲν τῶν θυγατέρων αὐτῆς τὴν Εὐδοκίαν τὴν πρεσβυτέραν τῶν οἰκείων υἱῶν Ὀνωρίχῳ συνέζευξε, τὴν δέ γε λοιπὴν μαθὼν ἀνδρὶ κατηγγυῆσθαι τῷ πατρικίῳ Ὀλυβρίῳ, ἐτήρει σὺν τῇ μητρὶ Εὐδοξίᾳ. ἔνθα δύο διαγαγοῦσα ἐνιαυτοὺς ἡ βασιλὶς Εὐδοξία, ἐπανῆλθεν εἰς τὸ Βυζάντιον, μετὰ τῆς θυγατρὸς αὐτῆς Πλακιδίας, Μαρκιανοῦ βασιλεύοντος. ἡ γὰρ Εὐδοκία σὺν τῷ ἀνδρὶ καταλέλειπτο, ᾧ συμβιώσασα ἔτη ἑκκαίδεκα, καὶ παῖδα τεκοῦσα Ἰλδέριχον, ὅτι τοῖς Ἀρειανοῖς ὁμόδοξος ἦν ὁ ἀνὴρ αὐτῆς, ἤχθετο τὴν μετ' ἐκείνου συμβίωσιν. καὶ λαβομένη καιροῦ, καὶ αὐτὴ εἰς τὴν Κωνσταντίνου μεταχωρεῖ, ἤδη τῆς μητρὸς αὐτῆς θανούσης. εἶτα εἰς τὰ Ἱεροσόλυμα ἄπεισι, κἀκεῖ τελευτᾷ. *θάνατος τοῦ βασιλέως μαρκιανοῦ.* Μαρκιανὸς δὲ θνήσκει ἓξ βασιλεύσας ἔτη καὶ μῆνας τινάς, ὡς μέν τινες λέγουσι, νοσήσας, ὡς δέ τινες, φαρμαχθεὶς νεύσει τοῦ πατρικίου Ἄσπαρος. πρεσβύτης γενόμενος καὶ ζήσας ἐπὶ μακρόν, ἥμερος δὲ τὴν γνώμην ὤν, καὶ πρὸς τοὺς ὑπηκόους χρηστός, ἔλεγε μὴ δεῖν ὅπλα βασιλέα κινεῖν, ἕως εἰρηνεύειν ἐξόν. μέγα δὲ τότε δυνάμενος ὁ πατρίκιος Ἄσπαρ, οὐχ ᾑρετίσθη βασιλεῦσαι παρὰ τοῦ δήμου τῆς πόλεως, ὅτι τῆς Ἀρείου ἦν μετέχων μερίδος. διὸ τὸν Λέοντα αὐτὸς ἐβασίλευσεν, ὡς μέν τινες ἱστόρησαν αὐτὸς βουληθείς, ὡς δ' ἕτεροι, παρὰ τοῦ δήμου τὴν ἐξουσίαν λαβών. ὃν ἱκέτευσεν αὐτοῦ ὡς λέγεται προνοούμενον, ἀπήτησε Καίσαρα εἶναι θάτερον τῶν υἱῶν αὐτοῦ. καὶ τοῦτο ἐπαγγειλάμενον, εἰς τὴν τῆς βασιλείας περιωπὴν ἀνεκόμισεν. ἕτεροι δέ, τριβοῦνον εἶναι αὐτὸν φασί, καὶ τῶν ἐν Σηλυβρίᾳ τελῶν ἄρχοντα. καὶ οἱ μέν, ἐκ Θρᾳκῶν τὸ γένος ἕλκειν αὐτὸν λέγουσιν. οἱ δέ, ἐκ Δακίας τῆς Ἰλλυρικῆς.

ΒΑΣΙΛΕΙΑ ΛΕΟΝΤΟΣ ΤΟΥ μεγάλου.

Ἄρτι δὲ καταστάντος τοῦ Λέοντος αὐτοκράτορος, ὁ Ἄσπαρ ἐπέκειτο βιαζόμενος αὐτὸν Καίσαρα ποιῆσαι θάτερον τῶν υἱῶν αὐτοῦ κατὰ τὴν ὑπόσχεσιν. ἀναβαλλομένου δ' αὐτοῦ, ὁ Ἄσπαρ τῆς βασιλικῆς ἁλουργίδος ἁψάμενος ἔφη· βασιλεῦ, τὸν ταύτην ἀμπεχόμενον, ψεύδεσθαι οὐ χρεών. ὁ δὲ ἀνθυπήνεγκεν· ἀλλ' οὐδὲ βιάζεσθαι καὶ ἄγεσθαι ὡς ἀνδράποδον. μέχρι δὲ τέλους ἀντέχειν μὴ οἷός τε ὤν, ἄκων ἀνάγκῃ Καίσαρα ποιεῖ ἐκ πατρικίου τὸν τοῦ Ἄσπαρος παῖδα, Ἀρδαβουρίου δὲ ἀδελφόν. τοῦτο καὶ τῇ συγκλήτῳ ἀποθύμιον ἔδοξε, καὶ τὸν δῆμον τῆς πόλεως εἰς στάσιν ἐκίνησεν. ἐδεδίεσαν γὰρ μὴ εἰς τὸ γένος τοῦ Ἄσπαρος περιστάντος τοῦ κράτους, παρρησίας αὖθις λαβόμενοι οἱ Ἀρειανοί, πλείονα κακὰ τῶν προτέρων εἰς τοὺς ὀρθοδόξους ἐνδείξονται. συνελθόντες οὖν οἵ τε τοῦ κλήρου καὶ οἱ μονάζοντες, καὶ τοῦ δήμου τῆς πόλεως ὅσοι ὀρθῶς ἐφρόνουν περὶ τὴν πίστιν, ἐδέοντο τοῦ βασιλέως ὁμόφρονα σφίσι Καίσαρα προχειρίσασθαι. ὁ δὲ τότε μὲν οἷς τε εἶπε, καὶ οἷς ἐποίησε, τὴν στάσιν κατεπράϋνε. μεταξὺ δὲ παρερρυηκότος καιροῦ, ἐπιβουλεύοντας αὐτῷ φωράσας τόν τε Ἄσπαρα, κἀκεῖνον καὶ τὸν Ἀρδαβούριον ἔκτεινεν. Ἰσοκάσιον δὲ τὸν κυαίστωρα λόγιον ἄνδρα διαβληθέντα ἐπ' ἄλλοις τέ τισι καὶ ὡς ἑλληνισμῷ, τῆς ἀξίας γυμνώσας, τῷ ἐπάρχῳ παρέδωκεν εἰς ἐξέτασιν. ἀναγομένου δ' εἰς τὸ δικαστήριον ἐν σχήματι κατακρίτου, ἔφη αὐτῷ ὁ ἔπαρχος· ὁρᾷς Ἰσοκάσιε ἐν οἵᾳ κατέστης; ὁ δὲ ὁρῶ, εἶπεν, καὶ οὐ ξενίζομαι ὅτι ἄνθρωπος ὤν, ἀνθρωπίναις περιπέπτωκα συμφοραῖς. σὺ δὲ δίκασον ἐπ' ἐμοὶ ὡς ἐδίκαζες σὺν ἐμοί. τοῦτο ἀκούσας ὁ δῆμος, τὸν μὲν βασιλέα εὐφήμησε, τὸν δ' Ἰσοκάσιον ἐξαρπάσαντες, εἰς τὴν ἐκκλησίαν ἀπήγαγον. βαπτισθέντα δὲ τοῦτον μαθὼν ὁ κρατῶν, ἥσθη. εἶχε δὲ ὁ βασιλεὺς γυναῖκα κεκλημένην Βηρίναν. ἐξ ἧς ἐγένοντο αὐτῷ θυγατέρες δύο, Ἀριάδνη καὶ Λεοντία. ὧν τὴν μὲν τῷ Ζήνωνι κατηγγύησε. τὴν δὲ Λεοντίαν, συνέζευξε τῷ πατρικίῳ Μαρκιανῷ, υἱῷ Ἀνθεμίου, τοῦ βασιλεύσαντος ἐν τῇ Ῥώμῃ. ἐπὶ τούτου γέγονεν ἐν Κωνσταντινουπόλει φρικωδέστατος ἐμπρησμός. ἐκ θαλάσσης ἕως θαλάσσης, ἐκ τῆς ἀρκτῴας δηλαδὴ μέρους ἕως τῆς μεσημβρινῆς, τὴν πόλιν διέζωσεν, εἰς μῆκος δὲ διεξῆλθεν ἀπὸ τοῦ Βοσπόρου, μέχρι τοῦ ναοῦ ἁγίου Ἰωάννου τοῦ Καλυβίτου. πρὸς δὲ νότον ἀπὸ τοῦ ναοῦ τοῦ ἁγίου ἀποστόλου Θωμᾶ μέχρι τοῦ ναοῦ τῶν μεγάλων μαρτύρων Σεργίου καὶ Βάκχου, ἐν δὲ τῷ μέσῳ τῆς πόλεως ἀπὸ τῶν Λαύσου ἕως τοῦ Ταύρου τὰ ἐν μέσῳ πάντα κατέκαυσεν. ὅτε λέγεται καὶ ὁ Ἄσπαρ διαθέοντας ἀγυιὰς ἀγγεῖον πλῆρες ὕδατος ἐπὶ τῶν ὤμων φέρων καὶ τὸν δῆμον παρακαλῶν ὁμοίως ποιεῖν, ἵνα τὸ πῦρ κατασβέσωσι. καὶ διδοὺς ἑκάστῳ ὑπὲρ μισθοῦ νόμισμα ἀργυροῦν. διήρκεσε δὲ τὸ πῦρ ἐκεῖνο τὴν πόλιν νεμόμενον, ἐφ' ἡμερῶν τεττάρων. καὶ κατέκαυσε πρὸς τοῖς ἄλλοις τόν τε ἐν τῷ Σενάτῳ καλούμενον μέγιστον οἶκον, εἰς ὃν ἥ τε γερουσία καὶ οἱ λογάδες συνερχόμενοι ἐβουλεύοντο. καὶ αὐτὸς ὁ βασιλεὺς ὅτε στολὴν ὑπατικὴν ἀνελάμβανεν, ἔργον περιφανὲς καὶ ὑπέρλαμπρον. καὶ τὸ καλούμενον Νυμφαῖον, οἶκον ἕτερον ἀντικρὺ κείμενον τοῦ προρρηθέντος οἴκου, εἰς τὸ τοὺς γάμους γίνεσθαι ἐν αὐτῷ χρηματίζοντα τοὺς μὴ κεκτημένους οἴκους, χωροῦντας πλῆθος ἐν ἑαυτοῖς. καὶ ἕτερον οἶκον ἐν τῷ Ταύρῳ βασιλικὸν

ὅτι τὸν υἱὸν τοῦ ἄσπαρος ὁ λέων ἐποίησε καίσαρα, καὶ ὅτι ὁ δῆμος ἐστασίασε διὰ τοῦτο, καὶ ὅτι ὕστερον ἐφονεύθησαν, αὐτοῦ ἀνελόντος τόν τε ἄσπαρα καὶ τὸν υἱὸν αὐτοῦ ἀρδαβούριον.

περὶ τοῦ κοιαίστορος ἰσοκασίου.

περὶ τοῦ γενομένου ἐμπρησμοῦ ἐπὶ τῆς βασιλείας λέοντος.

IMPERIVM LEONIS MAGNI.

Leonem recens imperium adeptum crebris flagitationibus urgebat Aspar, ut quemadmodũ promisisset, alterum filiorũ suorum Cæsarem appellaret. Cum contaretur, purpura eius prehensa, Imperator, inquit, hac ueste indutum mentiri nefas est. Cui respõdit ille. Etiã cogi & instar mancipij trahi, nefas est. Sed cum tandem resistere non posset, necessitati cedens, filium illius è patricio Cæsarem facit, Ardaburij fratrem. Id factum nec senatui fuit gratum, & urbanam multitudinem ad seditionem impulit. Verebantur enim, ne Imperio ad Asparis familiam deuoluto, Ariani, data impunitate, pluribus etiam incommodis, quàm priores, orthodoxos afficerent. Congressi igitur clerici & monachi, & è populo qui de fide rectè sentiebant, ab Imperatore petunt, ut eiusdem religionis Cæsarem sibi designaret. At ille tum & uerbis & factis seditionẽ suppressit, cumq; interea nonnihil temporis elapsum esset, Asparem insidiatum sibi, cum Ardaburio filio interfecit. Isocasium uerò quæstorem uirum eruditum, cùm ob alia quædam, tum de paganismo accusatum, dignitate erepta, præfecto examinandum tradidit. Cui, cum ille habitu condemnati in prætorium adducto, dixisset, Vides Isocasi quo in statu sis: ille respondit, uidere se, neq; uideri sibi nouum, si homo cum esset, humanis casibus subiaceret: illumq; ita sibi ius dicere iussit, ut secum dixisset. His populus audits, imperatorem laudat, & Isocasium raptim in Ecclesiã abducit. Quem cum Imperator baptizatum audiuisset, lætatus est. Vxorem habuit Leo Verinam, è qua duas filias suscepit, Ariadnam & Leontiã, quarum illam Zenoni despondit, hanc Martiano patricio, Anthemij filio, qui Romæ imperauit. Huius tẽporibus Cõstantinopoli horrendũ incendiũ extitit, à mari ad mare, hoc est à septentrione uersus meridiẽ peruagatũ: in lõgitudinẽ, à Bosporo uersus ædẽ D. Ioãnis Calybitæ: uersus austrũ, ab æde S. apostoli Thomę usq; ad ędẽ magnorũ martyrũ Sergij et Bachi: in urbis medio, à Lauso usq; ad Taurũ, & quæ in medio fuerũt, cõbussit omnia. Quo tẽpore fertur, Aspar uas aqua plenũ humeris ferẽs uicos percurrisse, & suo exẽplo populũ cohortatus ad restinguendũ incendiũ, & singulis nũmum argenteũ pro mecede dedisse. Ea flãma urbẽ per dies quatuor depasta est, & pręter alia Curiam maximam, quo & senatus & delecti ciues deliberatũ conuenire solebant: atq; ipse Imperator, consularem uestem sumpturus, opus illustre & splendidissimum, & aliam domum amplissimam è regione huic sitam Nymphæum, nomine ex eo indito, quòd ibi nuptias celebrarent, qui proprijs ædibus carebãt: ad hęc aliam domum regiam in Tauro

Asparis & Ardaburij supplicium.

Isocasij baptismus.

Verina. Ariadna. Leontia.

Cõstantinopolitanũ incendium.

Asparis in restinguendo incendio diligentia.

Nymphæũ.

sumptuosam & maximam: prætereaq; templa celeberrima, & priuatas ædes illustrium hominum multas. Hoc regnante fertur etiam Antiochia uehementissimo terræmotu ferè totam concidisse, & in agro Byzantio pluuia cineris, palmi altitudine decidisse. Quibus prodigijs perterritus imperator, urbe relicta, longo tempore apud sanctum Mamantem habitarit. Legionibus eius præfectus fuit Rusticius, uir strenuus & rei militaris peritissimus, in cuius mortui locum suffecit Verinæ uxoris fratrem Basiliscum: qui cum magna classe contra Gizerichum in Africam profectus, turpissimè uictus est, siue ex temeritate atq; inscitia rei bellicæ, siue per proditionē, accepta ab hoste maxima pecunia. Fertur enim commisso prælio, naue prætoria conuersa paulatim fugisse, itaq; animis hostium auctis, suorum imminutis, cum paucis turpiter redisse domum, cæteris nauali pugna interfectis. Nepotem Leonem è Zenone & Ariadna genitum, infantem adhuc diademate cinxit, quòd Zenonem nequaquam idoneum regno iudicaret, ob animum minimè regium, & formam imperio indignā. Nam & facie erat odiosissima, & animo longè deteriore. Quidam autores sunt Asparē & Ardaburiū ea gratia à Leone interfectos, ut nepotem ex filia, Leonem iuniorem, Imperatorem crearet, ueritum illorum potentiam, ne despecta huius infantia imperium sibi uendicarent. Hoc Imperatore preciosa Deiparæ sanctissimæ uestis è Palæstina Romam nouam translata, & ab illo in argenteo loculo, in æde quam ipse in Blachernis struxerat, reposita est, quæ ædes ex eo Sacer loculus appellatur. Anatolio patriarcha defuncto, qui octo annis Ecclesiæ præfuerat, successit Gennadius, qui cum & ipse post tredecim annos obijsset, in eius locum suffectus est Acacius. Etiam Leo imperator ex morbo decedit, anno imperij decimooctauo, Leone iuniore successore relicto: cùm alijs uirtutibus ornatus, tum clementia in primis. Solebat enim dicere, quemadmodum Sol quibus affulserit, ijs calorem suum impertiri soleat: ita etiam ab Imperatore clementiam eis tribuendam, quos aspexerit.

Antiochenus terræmotus.

Pluuia cineris.

Rusticius.

Basiliscus.

Gensericus.

Leo Ariadnes & Zenonis filius.

Zenonis elogia.

D. Mariæ uestis.

Anatolius.

Gennadius.

Acacius.

IMPERIVM LEONIS IVNIORIS.

Iunior igitur Leo adhuc infans relictus, unum annū uixit in imperio, & infans adhuc, consecutus est auum: patre suo Zenone relicto successore, cuius capiti diadema suis manibus imposuit.

IMPERIVM ZENONIS.

Vit autē Zeno ex fœdissima gente Isaurica, ipse etiam & forma & animo fœdissimus. Imperiū certè qui-

πολυτελῆ τι καὶ μέγιστον. ἤδη δὲ καὶ ναοὺς περιφανεστάτους καὶ ἰδιωτικὰς οἰκίας τῶν λαμπροτέρων πολλάς. τότε βασιλεύοντος, καὶ σεισμὸν σφοδρότατον ἐν Ἀντιοχείᾳ γενέσθαι λέγεται, ὡς μικροῦ τὴν πόλιν ἐκείνην πᾶσαν καταπεσεῖν. ὑσθῆναι δὲ καὶ σποδὸν ἐν τῇ Βυζαντίδι πολλὴν, ὥστε καὶ εἰς παλαιστὴν αὐτὴν ὑψωθῆναι. ἐκ τούτου δεδειλιακότα τὸν βασιλέα τῆς πόλεως ἐξελθεῖν, καὶ διατρίβειν ἐπὶ πολὺ περὶ τὸν ἅγιον Μάμαντα. τοῦ δὲ βασιλεύσας, στρατοπεδάρχην προεχειρίσατο Ῥουστίκιον, ἄνδρα γενναῖόν τε καὶ στρατηγικώτατον, θανόντος δ' ἐκείνου, τὸν τῆς βασιλίσσης τῆς Βηρίνης ὁμαίμονα Βασιλίσκον αὐτάδελφον. ὃς σὺν στόλῳ πολλῷ κατὰ Γιζερίχου στρατεύσας ἐν Ἀφρικῇ, ἡττήθη λίαν αἰσχρῶς, καὶ τὸ πλεῖον τοῦ στόλου ἀπέβαλε, ὡς μὲν τινὲς ἱστοροῦσιν, ἐκ κακοβουλίας καὶ τοῦ μὴ εἰδέναι στρατηγικῶς διαθέσθαι τὸν πόλεμον. ὡς δ' ἄλλοι, ἐκ προδοσίας. χρήματα γὰρ αὐτὸν πλεῖστα παρὰ Γιζερίχου φασὶ λαβεῖν. καὶ τοῦ πολέμου συῤῥαγέντος στρέψαι τὴν ναυαρχίδα τριήρη, καὶ πρύμναν κρουσάμενον, ὡς φυγὴν τραπῆναι. ἐκ τούτου δὲ θάρσος μὲν γενέσθαι τοῖς ἐναντίοις, τῶν δ' οἰκείων καταβαλεῖν τὰ φρονήματα. καὶ τὸν μὲν ἐπανελθεῖν δυσκλεῶς μετ' ὀλίγων, τῶν δὲ λοιπῶν ἐν τῇ ναυμαχίᾳ πεσόντων. τούτῳ τῷ βασιλεῖ ἔγγονος ἐξ Ἀριάδνης τῆς θυγατρὸς ἐγεννήθη καὶ Ζήνωνος, ὃν Λέοντα ὀνομάσας, βασιλικῷ ταινιοῖ διαδήματι, ἤδη νηπίῳ ὄντι τὴν ἡλικίαν. τὸν γὰρ Ζήνωνα μὴ προσήκοντα τῇ βασιλείᾳ ἔκρινεν, ὅτι μήτε τὴν γνώμην εἶχε βασιλικὴν, μήτε μὴν εἶδος ἄξιον τυραννίδος. ἀλλὰ καὶ τὴν ὄψιν ἦν εἰδεχθέστατος, καὶ τὴν ψυχὴν μεῖζον τῆς ὄψεως χείρονα. διὰ τοῦτό τινες ἱστορήκασιν, ἀναιρεθῆναι τὸν Ἄσπαρα, καὶ τὸν Ἀρδαβούριον παρὰ τοῦ αὐτοκράτορος Λέοντος, θέλοντος τὸν θυγατριδοῦν αὐτοῦ τὸν μικρὸν Λέοντα βασιλεύειν. φοβηθῆναι δ' ἐκείνους ὡς μέγα δυναμένους, μήποτε τοῦ νηπίου ἐκείνου καταφρονήσαντες, τὴν ἀρχὴν σφετερίσωνται. ἤδη τότε τοῦ βασιλέως καὶ ἡ τιμία τῆς ὑπεραγίας θεοτόκου ἐσθὴς, εἰς τὴν νέαν Ῥώμην ἐκομίσθη ἐκ Παλαιστίνης. καὶ ἀπετέθη ἐν τῷ παρ' αὐτοῦ δομηθέντι ναῷ ἐν Βλαχέρναις ἐν ἀργυρέᾳ σορῷ. διὸ καὶ ὁ ναὸς ἁγία σορὸς κατωνόμασται. τοῦ πατριάρχου δὲ θανόντος Ἀνατολίου, ὃς ἐπ' ἔτη προέστη τῆς ἐκκλησίας ὀκτὼ, Γεννάδιος χειροτονεῖται. τούτου δ' ἐνιαυτοῖς ἰθύναντος τὴν ἐκκλησίαν δέκα ἤδη τρισὶ καὶ τὴν ζωὴν ἐκμετρήσαντος, ἀντεισήχθη Ἀκάκιος. καὶ ὁ βασιλεὺς δὲ Λέων νοσήσας, ἐξέλιπεν. ὀκτωκαίδεκα βασιλεύσας ἐνιαυτούς. τὸν μικρὸν Λέοντα διάδοχον τῆς βασιλείας καταλιπών. ἐκεκόσμητο δὲ καὶ ἄλλαις μὲν ἀρεταῖς, ἐπέλαμπε δ' ἐκείνῳ μάλιστα τὸ φιλοίκτιστον, εἰωθότι λέγειν ὅτι ὥσπερ ὁ ἥλιος οἷς ἐπιλάμπει, τῆς θέρμης αὐτοῦ μεταδίδωσιν, οὕτω δεῖ καὶ τὸν βασιλέα, οἷς ἂν ἐπιβλέψῃ, οἴκτου αὐτοὺς ἀξιοῦν.

περὶ τοῦ γενομένου ἐν Ἀντιοχείᾳ σεισμοῦ.

ὅτι ὁ Βασιλίσκος στρατοπεδάρχης προβληθεὶς, προδοὺς τοῖς τοῦ Γιζερίχου ἡττήθη.

ὅτι ἔγγονον αὐτοῦ Λέοντα ἔστεψε διαδήματι ὡς βασιλέα.

περὶ τῆς τιμίας ἐσθῆτος τῆς θεοτόκου.

περὶ πατριαρχῶν.

τελευτὴ Λέοντος τοῦ μεγάλου.

ΒΑΣΙΛΕΙΑ ΛΕΟΝΤΟΣ τοῦ μικροῦ.

Καταλειφθεὶς οὖν ὁ μικρὸς Λέων, νηπιάζων ἔτι, ἐφ' ἕνα ἐνιαυτὸν ἐπεβίω τῇ βασιλείᾳ, καὶ νήπιος ἐπαπῆλθε τῷ πάππῳ. τὸν ἑαυτοῦ πατέρα τὸν Ζήνωνα βασιλέα καταλιπὼν, αὐτὸς ταῖς αὐτοῦ χερσὶ τῇ ἐκείνου κεφαλῇ περιθεὶς τὸ διάδημα.

ΒΑΣΙΛΕΙΑ ΖΗΝΩΝΟΣ.

Ἦν δὲ ὁ Ζήνων ἐξ ἔθνους αἰσχίστου τοῦ τῶν Ἰσαύρων, αἴσχιστος καὶ αὐτὸς καὶ τὴν μορφὴν καὶ τὴν ψυχὴν γεγονώς. καὶ οὐχ ὡς βασι-

βασιλεὺς τὴν ἀρχὴν ᾐτίνων, ἀλλ' ὡς ἄντικρυς τύραννος. ἦν δὲ τούτῳ καὶ ἀδελφὸς λόγγινος καλούμενος, ὃς τὸν ἀδελφὸν εἰς κακίαν ὑπερβαλλόμενος, αἵμασι χαίρων, καὶ σφαγαῖς ἀνθρώπων ἡδόμενος. ἐπὶ τούτῳ τῷ ζήνωνι ὁ ἐν θρᾴκῃ διατρίβων ὁ τῆς βασιλίσσης βηρίνης ὁμαίμων ὁ δηλωθεὶς βασιλίσκος, ἐπαίρεται χεῖρα, τῆς βηρίνης συναιρομένης αὐτῷ καὶ τῆς συγκλήτου τινῶν. δειλὸς δὲ ὢν ὁ ζήνων καὶ ἄνανδρος, φεύγει αὐτίκα σὺν ἀριάδνῃ τῇ γυναικί, ἐν ἰσαυρίᾳ πρὸς τοὺς ὁμογενεῖς.

ΒΑΣΙΛΕΙΑ ΒΑΣΙΛΙΣΚΟΥ.

Βασιλίσκος δὲ ἐλθὼν, ἐν τῷ κάμπῳ ἀναγορεύεται βασιλεὺς, καὶ τὴν οἰκείαν γαμετὴν ζηνωνίδα, αὐγοῦσταν ἔστεψε. καὶ μάρκον τὸν υἱὸν προσεχαρίσατο καίσαρα. ἦν δὲ καὶ οὗτος τοὺς τρόπους οὐδὲν βελτίων τοῦ ζήνωνος, καὶ περὶ τὸ σέβας οὐκ ὀρθῶς διακείμενος. τὰ γὰρ εὐτυχοῦς καὶ διοσκόρου μετεῖχε καὶ οὗτος αἱρέσεως, παρὰ τῆς γαμετῆς εἰς ταύτην προβιβασθεὶς, καὶ σφόδρα τὰς τῶν ὀρθοδόξων ἐκκλησίας ἐκάκωσε, καὶ τὴν ἐν χαλκηδόνι σύνοδον τυραννικῷ προστάγματι, ἄκυρον εἶναι διετάξατο. καὶ τὸν πατριάρχην τῆς νέας ῥώμης ἀκάκιον, ὡς ταῦτα ψηφίσασθαι συνοδικῶς ἐβιάζετο. ἀλλὰ τὸ ὀρθόδοξον πλῆθος τῆς πόλεως συνελθὸν εἰς τὴν ἐκκλησίαν, καὶ τὸν βασιλίσκον ἐκακηγόρησε, καὶ τὴν ἐν χαλκηδόνι σύνοδον ἁγίαν ἐκάλεσε. διὰ ταῦτα δὲ ἦν ὁ βασιλίσκος παρά τε τοῦ δήμου καὶ τῆς γερουσίας μεμισημένος. ὁ δὲ ἐπὶ ζήνωνα ἔπεμψε σὺν δυνάμεσιν ἴλλον καὶ τροκουνδόν. οἱ ἀπελθόντες ἐπολιόρκουν αὐτόν. ὅτι δὲ πολλὰ αὐτοῖς ὁ βασιλίσκος ἐπαγγειλάμενος οὐκ ἐπετέλεσε τὰς ὑποσχέσεις πεποίηκε, καὶ ἡ σύγκλητος δὲ βαρυνομένη τὸν βασιλίσκον διὰ τὴν κακίαν αὐτοῦ, ἔγραψε τοῖς ἐρημωθεῖσιν ἀνδράσι τὰ παρ' ἐκείνου δρώμενα. προσέθεντο τῷ ζήνωνι καὶ ἀντὶ πολεμίων φίλοι αὐτοῦ γεγόνασι καὶ συνήρχοντο, καὶ λαβόντες αὐτὸν ὑπεστρέψαν. ὁ δὲ βασιλίσκος ἁρμάτιον τὸν οἰκεῖον αὐτανεψιὸν μετὰ τῶν θρᾳκικῶν ταγμάτων, στέλλει κατὰ τοῦ ζήνωνος. καὶ ὃς συναντήσας αὐτῷ περὶ νίκαιαν, καὶ χρήμασιν ὑποφθαρεὶς, πρὸς δὲ τοῖς ὑποσχέσει τοῦ καίσαρα ἀναρρηθῆναι τὸν υἱὸν αὐτοῦ βασιλίσκον, τῷ ζήνωνι προσχωρεῖ. κἀντεῦθεν ἐλθὼν εἰς τὴν κωνσταντίνου ὁ ζήνων, ἐδέχθη ὑπό τε τῆς συγκλήτου καὶ τοῦ λαοῦ. καὶ ὁ βασιλίσκος τῇ ἐκκλησίᾳ μετὰ τῆς γυναικὸς καὶ τῶν παίδων προσπεφευγὼς, ὅθεν ἐξελθὼν πληροφορίαν λαβὼν, ὡς οὐ στερηθήσεται τῆς ζωῆς, καὶ ἀπήχθησαν εἰς τι φρούριον. ἔνθα λέγεται εἰς πύργον κατακλεισθῆναι σὺν τοῖς φιλτάτοις, καὶ διαφθαρῆναι λιμῷ. ἕτεροι δὲ ἀναιρεθῆναι αὐτοὺς ἐν τῷ ἀπάγεσθαι λέγουσιν. ὁ ζήνων δὲ τὴν ἑαυτοῦ πενθερὰν τὴν βασιλίδα βηρίναν ἐξώρισεν. ὁ γοῦν βασιλίσκος ἐπὶ δύο τυραννήσας ἐνιαυτοὺς, εἴτε ὡς εἴρηται, εἴτε πως ἄλλως, διώλετο, οὗ κρατοῦντος, ἐμπρησμὸς ἐν κωνσταντινουπόλει γέγονε μέγιστος, ἐκ τῶν χαλκοπρατείων ἀρξάμενος, καὶ πάντα τὰ τούτοις προσεχῆ νεμηθεὶς καὶ ἀποτεφρώσας. τάς τε τῶν δημοσίων πλατειῶν στοὰς, καὶ τὰς αὐταῖς ἐπικειμένας οἰκοδομάς. ἀλλὰ μὴν καὶ αὐτὴν τὴν καλουμένην βασιλικὴν, καθ' ἣν καὶ βιβλιοθήκη ἐτύγχανε δώδεκα μυριάδας βιβλίων ἀποκειμένων ἐν αὐτῇ ἔχουσα. ἐν οἷς ἀναγράφεται εἶναι καὶ δράκοντος ἔντερον, μῆκος ὂν ποδῶν ἑκατὸν εἴκοσιν. ἔχον ἐγγεγραμμένα χρυσοῖς γράμμασι τὰ τοῦ ὁμήρου ποιήματα, τήν τε ἰλιάδα καὶ τὴν ὀδύσσειαν.

ὅτι δὲ παρὰ βασιλίσκου τ... μεταστάντες κατὰ τοῦ ζήνωνος αὐτῷ προσετέθησαν.

ὅτι ἐπανελθόντος δὲ ζήνωνος εἰς τὰ βασίλεια, καὶ ὁ βασιλίσκος ἐκεῖ ἀνῃρέθη.

περὶ τοῦ ἐμπρησμοῦ γενομένου ἐν τοῖς χρόνοις τοῦ βασιλίσκου, ἐφ' οὗ καὶ ἡ μεγάλη βασιλικὴ βιβλιοθήκη διεφθάρη.

quidem non ut Rex, sed planè ut tyrannus administrauit. Fratrē habuit Cononem, ipso flagitiosiorem, hominem sanguinarium, cui mactationes hominum uoluptati erant. Huic Zenoni, Verinæ Imperatricis frater Basiliscus, cuius suprà facta est mentio, in Thracia degens, bellum intulit, & sorore & quibusdam è Senatu adiutantibus. Zenon igitur, ut homo timidus & effœminatus, cum uxore Ariadna ad Isauros populares suos confugit.

IMPERIVM BASILISCI.

Basiliscus in urbem profectus, & in Campo Imperator salutatus, uxorem suam Zenonidem Augustali corona ornat, & Marcū filium Cæsarem appellat. Fuit hic moribus Zenone nihilo melioribus, deq́ religione perperàm sensit, ab uxore in Eutychis & Dioscori sectā impulsus, & orthodoxorū ecclesias multis malis affecit, Chalcedonense conciliū tyrannico edicto abrogauit, & nouæ Romæ patriarcham Acacium, ut concilio idem approbaret, cogere uoluit. Sed urbana multitudo orthodoxorum in Ecclesia congressa, Basiliscum maledictis insectata est, & Chalcedonense concilium, sanctum appellauit. Ob hæc igitur Basiliscus & populo & senatui fuit inuisus. Illum & Trocundum contra Zenonem cum exercitu misit, quem cum obsiderent, nec Basiliscus quæ pollicitus eis fuerat præstaret, & Senatus ei ob improbitatem infestus, facinora hominis ad exercitum perscripsisset, milites se ad Zenonem contulerunt, ex hostibus amici & adiutores facti, eoq́ assumpto sunt regressi. At Basiliscus Armatium sobrinum cum Thracicis legionibus contra Zenonem mittit, qui cum ei circa Nicæam occurrisset, pecunia & pollicitatione filij eius Basilisci Cæsaris designandi corruptus, se ad Zenonem cōfert. Qui dehinc Constantinopolim profectus, à Senatu populoq́ recipitur. Basiliscus autem qui cum uxore & liberis in Ecclesiam confugerat, promissa incolumitate in castellum quoddam perducitur, ubi fame eum suis charissimis perijsse fertur. Alij inter abducendum eos occisos esse ferunt. Zeno autem socrum Verinam eiecit. Basiliscus igitur cum tyrannidem biennio tenuisset, siue ita ut dictum est, siue aliter perijt. Eo imperante maximum incendium Constantinopoli extitit, quod in foro ærario exortum, uicina loca omnia in cineres redegit, & publicarum uiarum porticus & ædes illis impositas absumpsit, ipsamq́ Basilicam, una cum Bibliotheca, in qua centum uiginti millia librorum reposita fuerunt. In ea fuisse perhibetur draconis intestinum longitudine pedū centū uiginti, cui aureis literis Homeri poëmata, tam ilias q̃ odyssea, inscripta essent;

Conon frater Zenonis.

Basiliscus Chalcedonense cōcilium abrogatus.

Illus, et Trocundus ad Zenonem deficiunt.

Armatij defectio.

Basilisci interitus.

Verinæ exilium.

Constantinopolitanū incendium.

Bibliotheca Constantinopolitana.

Homerus aureus.

Huius etiam Malchus in horum imperatorum historia meminit. Sed & hoc conflagrauit, & urbis amœnitas in Lauso, atq; illic posita simulacra Samiæ Iunonis, Lindiæ Mineruæ, & Cnidiæ Veneris, ob artificium celebrata, igni usq; ad forum progresso. At Zeno potestate recuperata filium Harmatij Cæsarem designauit, ut promissis staret, ipsumq; Harmatium ducem exercitus, neque multo post eundem occidit, cùm diceret, qui Basilisco fregisset fidem, eum ne sibi quidem seruaturum esse: & filium illius, Cæsarem designatum, clericum fecit. Occidit & Illum Magistrum, qui regnum ideo affectarat, quòd sibi ab Ariadna, Zenone conscio, insidias fieri sensisset. Et Pelagium patricium, uirum eruditissimum & optimum, per causam paganismi sustulit, cum re uera timeret, ne ab illo redargueretur. Nam uir ingenui animi facinora eius nefaria reprehendebat. Multos præterea illustres uiros Zeno odiosissimus interfecit, ad sectas quoq; deflexit, & ad nefanda facinora, uitamq; corruptissimam, quàm uiolentus interitus est consecutus: sed de modo illius ambigitur. Tradunt enim quidam, cum gulæ & ebrietati indulgentem, errore mentis affici solitum, & prolapsum à mortuo nihil distitisse. Cum uero ipsi etiã coniugi Ariadnę inuisus esset, sic inebriatum, pro mortuo in monumentum Imperatoriũ ab illa coniectũ, lapide maximo qui p operculo esset, imposito: factũq; sobriũ, uociferatum quidem esse lamentabiliter, sed nemine curante, miserè perijsse. Alij dicunt, cum ægrotus acerbissimis doloribus urgeretur pro mortuo habitum & in sepulchro positum, ibiq; expirasse, lamentantem, & domesticos implorantem, cum Ariadna prohiberet, ne quis monumentum aperiret, aut quicquam illum curaret.

Harmatij proditoris cædes. *Illi cædes.* *Pelagij cædes.* *Zenonis miserabilis interitus.*

IMPERIVM ANASTASII DICORI.

Zenone ad hunc modum miserabiliter mortuo, Ariadna Dicorum Anastasium silentiarium (humile id munus est) de sententia senatus & legionũ, Vrbicio Eunucho, cuius magna erat autoritas, suffragato, ad imperiũ euexit. Dicori porrò nomen ex eo habuit, quòd pupillis oculorũ fuit dissimilibus, altera nigrio re, altera magis ad glaucum colorem declinante. Antequàm coronaretur, fidei cõfessio nẽ scriptã, qua polliceretur, se in dogmatibus ecclesiasticis nihil esse nouaturum, ab eo exegit patriarcha Euphemius. Nã post Acaciũ, qui orthodoxos pessimè tractarat, cũ annos XVII. ecclesiã tenuisset, Frabitas eiusdẽ cum Acacio & Zenone sententię, patriarcha delectus fuerat, cui intra mẽses tres cũ semisse defuncto, successit Euphemi⁹, uir sanctus & orthodoxus. Hic Mõgi Petri nomẽ, qui magnę Antiochenę ecclesiæ thronũ p latrociniũ arripuerat, è cõmentarijs deleuit, tanq; heretici,

Dicorus à binis pupillis. *Euphemius patriarcha syngraphã ab imperatore extorquet.* *Acacius.* *Frabitas.* *Mõgus Petrus.*

οὗ καὶ ὁ Μάλχος τὰ περὶ τούτων τῶν βασιλέων συγγραφόμενος μέμνηται. διέφθειρε δὲ τὸ πῦρ ἐκεῖνο καὶ τὴν ἐν τοῖς Λαύσου τῆς πόλεως ἀγλαΐαν. καὶ τὰ ἐκεῖ ἱδρυμένα ἀγάλματα, τό τε Σαμίας Ἥρας καὶ τὸ Λινδίας Ἀθηνᾶς, καὶ τὸ Κνιδίας Ἀφροδίτης, τὰ διὰ τὴν τέχνην περιβόητα ἀφιδρύματα. καὶ μέχρι τοῦ φόρου ἐπέδραμε. Ζήνων δὲ αὖθις τῆς ἐξουσίας δραξάμενος, τὸν μὲν τοῦ Ἁρματίου υἱόν, περιεχαρίσατο καίσαρα, πληρῶν τὴν ὑπόσχεσιν. αὐτὸν δὲ τὸν Ἁρμάτιον, στρατηλάτην, καὶ μετ' ὀλίγον, τὸν μὲν Ἁρμάτιον ἔκτεινε, λέγων ὅτι ὥσπερ εἰς τὸν Βασιλίσκον οὐκ ἐφύλαξε πίστιν, οὐδ' εἰς ἐμὲ πάντως φυλάξει αὐτήν. τὸν δὲ υἱὸν ἐκείνου τὸν καίσαρα, πεποίηκε κληρικόν. ἀνεῖλε δὲ καὶ τὸν Ἴλλουν τὸν μάγιστρον, τυραννίδι ἐπιχειρήσαντα, ὅτι ἔγνω ἐπιβουλευόμενος παρὰ τῆς βασιλίσσης Ἀριάδνης, εἰδότος καὶ Ζήνωνος. ἀλλὰ μὴν καὶ Πελάγιον τὸν πατρίκιον, ἄνδρα λογιώτατόν τε καὶ δικαιότατον, λόγῳ μὲν δῆθεν, ἑλληνισμὸν αὐτῷ ἐγκαλῶν, τῇ δ' ἀληθείᾳ τοὺς ἐλέγχους ἐκκλίνων αὐτοῦ. γνώμης γὰρ ὢν ἐλευθέρας, ἤλεγχε τὰς ἀνοσίους πράξεις αὐτοῦ. καὶ ἄλλους δὲ πλείστους τῶν περιφανῶν ἀνδρῶν ὁ ἔχθιστος Ζήνων ἀπώλεσε. καὶ εἰς αἱρέσεις ἀπέκλινε καὶ ἀθεμίτους πράξεις, καὶ διεφθαρμένην ζωήν. καὶ οὕτω βιοὺς, βιαίως ἀπέρρηξε τὴν ζωήν. ὁ δὲ τρόπος τῆς αὐτοῦ τελευτῆς ἀντιλέγεται, οἱ μὲν γὰρ γαστριζόμενον αὐτὸν φασὶ καὶ μεθύοντα, τῶν τε φρενῶν ἐξίστασθαι καὶ καταπίπτοντα, μηδὲν διαφέρειν νεκροῦ. μισούμενον δὲ καὶ ὑπ' αὐτῆς τῆς γαμετῆς αὐτοῦ Ἀριάδνης, οὕτως οἰνωθέντα ποτὲ ὡς ἤδη θανόντα, λάρνακι τῶν βασιλικῶν ἐμβληθῆναι παρ' ἐκείνης, καὶ αὐτίκα τὸν ἐπιπωματίζοντα ταύτην μέγιστον λίθον ἐπιτεθῆναι αὐτῇ. τὸν δὲ ἀνανήψαντα, βοᾶν μὲν καὶ ὀλοφύρεσθαι ἔνδοθεν, μηδενὸς δ' ἐπιστρεφομένου αὐτοῦ, οἰκτρῶς ἐκεῖνον ἐναποθανεῖν. οἱ δὲ νοσήσαντά φασι καὶ περιωδυνίαις βαλλόμενον σφοδροτάταις, δόκησιν τοῖς ὁρῶσιν ὡς τέθνηκε παρασχεῖν. καὶ οὕτως ἐντεθῆναι τῷ τάφῳ, καὶ ἐν αὐτῷ τεθνάναι γοώμενον, καὶ τοὺς οἰκείους ἀνακαλούμενον, τῆς Ἀριάδνης μή τινι συγχωρούσης ἀνοῖξαι τὸ μνῆμα ἢ ὅλως ἐπιστροφὴν ἐκείνου ποιήσασθαι.

ἐν πολλοῖς δὲ εὗρον ἐφόνευσε βασιλίσκον τὸ δεύτερον. *τελευτὴ Ζήνωνος.*

ΒΑΣΙΛΕΙΑ ΑΝΑΣΤΑΣΙΟΥ τοῦ Δικόρου.

Οὕτω δὲ θανόντος οἰκτρότατα Ζήνωνος, ἡ Ἀριάδνη τὸν Δίκορον Ἀναστάσιον σιλεντιάριον ὄντα (τῶν χαμαιζήλων δὲ τοῦτο ἀξιωμάτων) εἰς τὴν βασιλείαν ἀνήγαγε, γνώμῃ καὶ τῆς γερουσίας καὶ τοῦ στρατεύματος, Οὐρβικίου τοῦ εὐνούχου μέγα τότε δυναμένου, συσπεύσαντος εἰς τὴν ἐκείνου ἀνάρρησιν. Δίκορος δ' ἐκαλεῖτο ὁ Ἀναστάσιος, ὅτι ἀνομοίας ἀλλήλαις εἶχε τὰς κόρας τῶν ὀφθαλμῶν. τῇ μὲν γὰρ ἦν τὸ χρῶμα μελάντερον, ἡ δὲ λαιά, πρὸς τὸ γλαυκότερον ἐχρωμάτιστο. μέλλοντα δὲ στεφθῆναι αὐτόν, ἀπῄτησεν ἔγγραφον ὁμολογίαν τῆς πίστεως καὶ τοῦ μή τι παρακινῆσαι τῶν ἐκκλησιαστικῶν δογμάτων ὁ πατριάρχης Εὐφήμιος. μετὰ γὰρ Ἀκάκιον, κάκιστον τοῖς ὀρθοδόξοις γενόμενον, καὶ τὴν ἐκκλησίαν ἔτη κατεσχηκότα δέκα πρὸς τοῖς ἑπτὰ καὶ θανόντα, Φραβίτας ἐχειροτονήθη πατριάρχης, ὁμόδοξος Ἀκακίῳ καὶ Ζήνωνι. μετὰ δὲ τρεῖς μῆνας πρὸς τῷ ἡμίσει καὶ οὗτος μετήλλαξε τὴν ζωήν. καὶ προέστη τῆς ἐκκλησίας Κωνσταντινουπόλεως ὁ Εὐφήμιος, ὅσιος ἀνὴρ καὶ ὀρθοδοξότατος. ὃς τὸ τοῦ Μογγοῦ Πέτρου ὄνομα, τὸν θρόνον τῆς μεγάλης Ἀντιοχείας ἁρπάσαντος κακῶς, τῶν διπτύχων ἀπήλειψεν ὡς αἱρετικοῦ.

ἰδοὺ Δίκορος ἐκαλεῖτο ὁ Ἀναστάσιος. *περὶ πατριαρχῶν.*

ἀντιγρά-

αὐτοῦ ἐνέγραψε δὲ τὴν Φίλικος κλῆσιν τοῦ πάπα Ῥώμης, ἀνδρὸς ὀρθοδόξου καὶ καθαιρουμένου διὰ γραμμάτων τοῦ τε Ζήνωνος καὶ τοῦ Ἀκακίου, ὅτι τῷ Μογγῷ ἐκοινώνει Πέτρῳ, τῷ Εὐτυχοῦς καὶ Διοσκόρου ὄντι αἱρέσεως, μάλιστα δὲ καὶ καθαιρέσεως λίβελλον στείλαντος Ἀκακίῳ, διὸ καὶ τὸ ὄνομα αὐτοῦ ὁ Ἀκάκιος ἐκ τῶν διπτύχων ἀπήλειψεν. οὗτος τοίνυν ὁ πατριάρχης Εὐφήμιος, ἔγγραφον ἰδιόχειρον τοῦ Ἀναστασίου δεξάμενος, ὡς δέχεται τὰ τῆς ἐκκλησίας δόγματα, καὶ τὰ παρὰ τῆς ἐν Χαλκηδόνι συνόδου ὁρισθέντα φυλάξει πάντα, ἔστεψεν αὐτόν. ὁ δὲ αὐτίκα τὴν Ἀριάδνην μνηστεύεται, καὶ γραφὴν ποιήσας βασιλικήν, ἀφῆκεν τὰ μέχρι τότε τῷ δημοσίῳ παρά τινων ὀφειλόμενα. ἤδη δὲ τεσσαρακοστῆς παρελθούσης ἡμέρας μετὰ τὴν ταφὴν Ζήνωνος, καὶ τοὺς γάμους ἐτέλεσε. δασμῷ δὲ τοὺς ὑπηκόους πιέζοντος τοῦ λεγομένου χρυσαργύρου, καὶ τοῦτον ἐξέκοψεν. ἦν δὲ ὁ τοῦ χρυσαργύρου δασμὸς τοιοῦτος. ἅπαντες καὶ προσαῖται καὶ πένητες, καὶ πᾶσα πόρνη, καὶ ξύμπαντες ἀπελεύθεροι ἐν ἀγροῖς τε καὶ πόλεσι διατρίβοντες, εἰσφέρειν ἠναγκάζοντο τῷ δημοσίῳ τέλος ἐτήσιον. καὶ ὑπὲρ ἵππων καὶ ἡμιόνων καὶ βοῶν ὄνων τε καὶ κυνῶν, ἐπράττετο φορολόγημα, ὑπὲρ ἑκάστου μὲν ἀνθρώπου νόμισμα ἀργυροῦν, τὸ δ᾽ αὐτὸ καὶ ὑπὲρ ἵππου, ἡμιόνου τε καὶ βοός, ὑπὲρ ὄνου δὲ φόλλεις ἕξ. ὁμοίως δὲ καὶ ὑπὲρ κυνός. καὶ ἦν ἱκανῶς τοῦτο συντρίβον τοὺς ἀνθρώπους καὶ ὀδυρμὸς πανταχοῦ. ἀλλὰ ταύτην ἐκκόψας τὴν εἰσφορὰν ὁ βασιλεὺς Ἀναστάσιος, καὶ αὐτὰς τὰς περὶ ταύτης ἀπογραφὰς ἐναντίον τοῦ δήμου κατέκαυσεν ἐν τῷ ἱππικῷ. καὶ ἦν μὲν ἐν τούτοις φιλότιμος, καὶ τὴν τῶν πολιτικῶν πραγμάτων διοίκησιν καλῶς μεταχειρισάμενος. τὰς γὰρ πολιτικὰς ἀρχὰς ὠνίους παρεχομένας τὸ πρίν, ἐκεῖνος ἀμίσθους ἐδίδου. περὶ δὲ τὴν εἰς τὸ θεῖον δόξαν, οὐκ ἀγαθὸς ἦν. ἐκκλίνας γὰρ εἰς τὴν τῶν συγχυτικῶν αἵρεσιν τῶν μίαν φύσιν δοξαζόντων ἐπὶ τοῦ σωτῆρος Χριστοῦ, μετὰ τὴν ἕνωσιν τῶν δύο φύσεων, πολλὰ τὰς τῶν ὀρθοδόξων ἐκκλησίας ἐκάκωσε, καὶ ἀδυσώπητος ἦν τοῖς τούτων προεστῶσι. τόν τε γὰρ πατριάρχην Εὐφήμιον ἐκάκωσε καὶ ἐξώρισε, μὴ πεισθέντα ἀναθεματίσαι τὴν ἐν Χαλκηδόνι σύνοδον, πρότερον μετὰ δόλου τὸ οἰκεῖον ἔγγραφον ἀφελόμενος, ἢ βίᾳ ὥς ἕτεροι λέγουσι. καὶ τὸν μετ᾽ ἐκεῖνον Μακεδόνιον ἱερὸν ἄνδρα μὴ καταδεξάμενον συνθέσθαι αὐτῷ, εἰς Εὐχάιτα ἐξώρισε. μεθ᾽ ὃν ἀντεισήχθη Τιμόθεος ὁμόφρων τῷ βασιλεῖ. Λογγῖνος δὲ ὁ ἀδελφὸς Ζήνωνος, τυραννίδι ἐπιθέμενος, ἡττήθη παρὰ Ἀναστασίου καὶ ὑπερορίσθη εἰς Ἀλεξάνδρειαν, ἔνθα καὶ πρεσβύτερος χειροτονηθεὶς ἔθανε. καὶ τοὺς Ἰσαύρους δὲ πολλοὺς ἐν τῇ βασιλίδι τῶν πόλεων διατρίβοντας, ταύτης ἐξήλασεν. οὓς προσλαβόμενος ὁ μάγιστρος Λογγῖνος, οὐχ ὁ τοῦ Ζήνωνος ἀδελφός, ἀλλ᾽ ἕτερος κατεστασίαζε, καὶ πολλὰ τῆς ἑῴας ληΐζεται. κατεπολεμήθη δέ, καὶ οἱ μετ᾽ αὐτοῦ διεφθάρησαν βάρβαροι. τότε λέγεται καὶ Θεοδέριχος ὁ τῆς Ἀφρικῆς ἡγεμών, Ἀρειανὸς ὤν, διάκονόν τινα ὀρθόδοξον αὐτῷ πάνυ ᾠκειωμένον, καὶ διὰ θεραπείαν αὐτοῦ εἰς Ἀρειανισμὸν μεταθέμενον, ἀποκτεῖναι, εἰπών, ὡς εἰ τῷ Θεῷ οὐκ ἐτήρησας πίστιν, μᾶλλον οὐ τηρήσεις ταύτην ἐμοί. Ἀναστασίου δὲ τοῦ τῆς πρεσβυτέρας Ῥώμης πάπα θανόντος, καὶ τοῦ λαοῦ μερισθέντος, καὶ τῶν μὲν Λαυρέντιόν τινα ψηφισαμένων, τῶν ὀρθοδόξων δὲ Σύμμαχον, κἀντεῦθεν πρὸς ἀλλήλους στασιαζόντων, ὁ ἀρειανὸς Θεοδέριχος τῆς Ῥώμης τότε κρατῶν, ἀφίκετο πρὸς αὐτήν, καὶ σύνοδον ἀθροίσας

ὅτι χρυσαργύριον ὁ Ἀναστάσιος ἔπαυσε, καὶ τὸ τοῦ χρυσαργύρου δασμὸν ἐξέκοψεν.

ὅτι αὐτὸς τῶν συγχυτικῶν αἱρέσεως ὁ Ἀναστάσιος γέγονε, τὸν πατριάρχην ἐξώρισεν.

περὶ Λογγίνου τοῦ ἀδελφοῦ Ζήνωνος τυραννεῖν ἐπιχειρήσαντος, καὶ περὶ τῶν Ἰσαύρων.

περὶ τοῦ πάπα Ῥώμης.

atque in eius locum Felicis Papae Romani nomen reposuit, uiri orthodoxi, quique per literas Zenonem & Acacium taxat, quod cum Petro Mongo Eutychis & Dioscori sectam amplexo communicassent: atque etiam misso libello, Acacio dignitatem abrogarat: qua de causa ille nomen eius è commentarijs deleuerat. Hic igitur patriarcha Euphemius, chirographo ab Anastasio accepto, quo se amplecti ecclesiae dogmata, & Chalcedonensis concilij decreta seruaturum esse omnia profitebatur, coronat hominem. Qui statim Ariadnam ambit, & literas regias conficit, quibus ea quae ad id tempus fisco à nonnullis deberentur, remittebat, & die quadragesimo à sepultura Zenonis iam elapso nuptias celebrat. Cumque uectigal, quod Aurargenteum dicebatur, subditos premeret, id quoque aboleuit. Huiusmodi autem illud erat: Omnes mendici & pauperes, omnes meretrices, omnes liberti in agris & urbibus, annuum fisco tributum pendere cogebantur. Exigebatur tributum de equis, mulis, bobus, asinis & canibus: de unoquoque homine nummus argenteus: de equo, mulo & boue tantundem: de asino pholes (nummi genus est) sex, & de cane totidem. Quo tributo attriti homines, ubique lamentabantur. Eo igitur abrogato Anastasius, commentarios illos in Hippico, inspectante populo, cremauit. Ac in huiusmodi rebus honestè se gessit, & reipublicae negocia propè administrauit, ac magistratus pridem uaenales, sine precio concessit. Sed de Deo non rectè sensit, Synchyticorum sectam secutus, qui unam naturam post duarum unionem, in Christo seruatore statuebant, & multis malis orthodoxorum ecclesias affecit, erga earum praefectos implacabilis. Nam & patriarcham Euphemium eiecit, quod Chalcedonense concilium anathemate notare recusabat, surrepto prius per dolum suo chirographo, siue ut alij tradunt, per uim extorto, & successorem eius Macedonium, uirum sanctum, ab ipso stare nolentem, Euchaita relegauit. In cuius locum suffectus est Timotheus, imperatoris assensor. Longinum item Zenonis fratrem, affectato regno, Anastasius superatum, Alexandriam relegat, ubi presbyter electus obijt. Isauros etiam multos in regia urbe uersantes expulit. Quibus Longinus Magister, non Zenonis frater, sed alius, assumptus, mota seditione, orientales prouincias populatur. Sed bello subactus est, Barbaris qui cum eo erant, interfectis. Eo tempore fertur & Theodericus Africae dux, qui Arianus erat, diaconum quendam sibi perquam familiarem, & in suam gratiam Arianismum amplexum, occidisse. Neque enim sibi fidem seruaturum, qui Deo non seruasset. Anastasio papa Romano mortuo, populoque per seditionem dissidente, alijs Laurentium quendam, orthodoxis uerò Symmachum decernentibus: idem Theodericus, cui roma tum parebat, in urbem uenit, & concilio indicto, repudia

Felix Papa.

Anastasij aequitas in moderandis tributis.

Synchyticorum secta.

Euphemij & Macedonij relegatio.

Timotheus patriarcha.

Longini relegatio.

Longiniana seditio.

Theodericus diaconum assentatorem interficit.

Symmachus Papa.

Bulgari. *Agareni* *Vitaliani seditio.* *Procli machina mirabilis.* *Archimedes.*

repudiato Laurentio, episcopatum Romanum Symmacho confirmauit. Circa hæc tempora, fertur gens Bulgarorum ignota, prius in Illyricum & Thraciam impressionem fecisse. Cum Agarenis orientem uastantibus, pacem fecit Anastasius: Vitaliano Thraci, qui Mysis & Scythis sibi conciliatis seditionem mouebat, & agro Byzantio prædas agebat, & classe urbem obsidebat, per Marianũ præfectum restitit, naualiq; pugna commissa, ex machina quadam a Proclo uiro excellentissimo facta. (Is enim tum & in Philosophia & in Mechanicis florebat, neq; Archimedis duntaxat, celeberrimi artificis cognorat omnia, sed & ipse noua quædam adinuenerat) classis hostium debellata est. Nam specula ex ære fabricasse ustoria fertur Proclus, eaq; de muro e regione hostilium nauium suspendisse: in quæ cum solares radij impegissent, ignem inde fulminis instar erumpentem, classiarios ipsasq; naues hostiũ combussisse, quod olim Archimedem excogitasse, Romanis Syracusas obsidentibus, Dion refert.

Seditio ob clausulam Qui crucifixus est, pro nobis.

Anastasius cum Eutychianus esset, in Tersancto cantico adijci uoluit clausulã illam: Qui crucifixus est pro nobis. eaq; de causa Logothetã & præfectũ misit in Ecclesiã: qui cum ex superiore loco edictum imperatoris recitare cœpissẽt: qui ex populo orthodoxi erant, concitati, ad discerpendos eos uiros properabant, & hi quidem popularem insaniam ægre uitarunt. cæterum populus ardens iracundia, ædes illorum inuasit, easq; deiecit atq; diripuit, & multis interfectis, imperatorem ignominiosis uerbis proscidit, Vitalianum ut imperatorẽ laudibus prosequens, multas ædes incendit, plurimos interfecit, atque inter alios etiam monachum quendam, qui prope cisternam ab Anastasio structam habitans, nomine Mocisiam, imperatori charus erat: Monacham item quandam inclusam prope portam Xylocercam, ut cui fides ab imperatore haberetur: ambo corpora colligata per urbem tracta cremataq; sunt.

Alamundari Agareni baptismus, et solers hæreticorũ refutatio.

Hoc regnante Alamundarus Agarenorum princeps ab orthodoxis institutus, credidit, & baptizatus est, ad quẽ Seuerus episcopus duos misit, ut eum ad suam hæresim pertraheret, qui quum docerent duas Christi naturas in unam esse confusas, unde colligeretur, etiam Deitatem Christi cum carne passam esse: ille conuicturus eos, ut qui absurda dicerent, & incredibilia docerent: quendam ex domesticis subornat, qui sibi aliqd in aurẽ diceret. Quo facto, tetrico uultu mœroẽ præ se ferẽs, eius causam sciscitãtibus episcopis, nunciatã sibi esse respõdet Michaëlis archãgeli mortẽ. Quẽ nunciũ quũ illi esse falsum asseuerarent, neq; enim mori posse archangelũ, subijcit ille: Si igitur angelus nõ moritur, qua ratione uos affirmatis Deitatẽ & passam & mortuã,

τὸν μὲν σύμμαχον, ἐπίσκοπον τῆς Ῥώμης εἶναι ἐκύρωσεν, ἀπήλασε δὲ τὸν Λαυρέντιον. κατὰ τούτους δὲ τοὺς χρόνους ἱστορεῖται καὶ τὸ τῶν Βουλγάρων ἔθνος, τὸ Ἰλλυρικὸν καὶ τὴν Θρᾴκην καταδραμὼν μήπω πρὶν γινωσκόμενον. τῶν δὲ Ἀγαρηνῶν τὴν ἑῴαν ληιζομένων σπονδὰς πρὸς αὐτοὺς ἐποιήσατο Ἀναστάσιος. τοῦ μέντοι Θρᾳκὸς Βιταλιανοῦ τυραννίδι ἐπικεχειρηκότος, Μυσούς τε καὶ Σκύθας προσεταιρισαμένου, καὶ ἅμα τούτοις τὰ περὶ τὴν Βασιλίδα ληιζομένου τῶν πόλεων, ἀλλὰ μὴν καὶ στόλον κατ' αὐτῆς ἐπελθόντος, αὐτίκα τέως τούτῳ διὰ Μαριανοῦ τοῦ ἐπάρχου ὁ Ἀναστάσιος, καὶ ναυμαχίας γενομένης ἔκ τινος μηχανῆς παρὰ Πρόκλου τοῦ πάνυ γεγονυίας (τότε γὰρ ἤνθει καὶ ἐν φιλοσοφίᾳ καὶ ἐν τοῖς μηχανήμασι, τά τε τοῦ ἐν τούτοις πρωτεύσαντος Ἀρχιμήδους ἅπαντα διελθὼν καὶ αὐτὸς καινότερα προσεξευρών) τὸ ναυτικὸν τῶν πολεμίων κατεπολεμήθη. κάτοπτρα γὰρ ἐκ χαλκοῦ χαλκεῦσαι πυροφόρα ὁ Πρόκλος, καὶ ἐκ τοῦ τείχους ταῦτα ἀπαιωρῆσαι κατέναντι τῶν πολεμίων νηῶν. τούτοις δὲ τῶν ἡλιακῶν ἀκτίνων προσβαλουσῶν, πῦρ ἐκεῖθεν ἐκκεραυνοῦσθαι καὶ καταφλέγειν τόν τε ναυτικὸν τῶν ἐναντίων στρατὸν, καὶ τὰς νῆας αὐτάς· ὃ πάλαι τὸν Ἀρχιμήδην ἐπινοῆσαι ὁ Δίων ἱστόρησε, τῶν Ῥωμαίων τότε πολιορκούντων Συρακούσας. Ἀναστάσιος δὲ τῆς Εὐτυχοῦς αἱρέσεως ὢν, ἐβουλήθη προσθεῖναι εἰς τὸν τρισάγιον, τὸ ὁ σταυρωθεὶς δι' ἡμᾶς. ἔστειλεν οὖν διὰ τοῦτο τὸν λογοθέτην καὶ τὸν ἔπαρχον εἰς τὴν ἐκκλησίαν. οἳ ἐν τῷ ἄμβωνι ὡς ἐπ' ἀναβάντες στάντες, διήγγειλαν ἄρξαντο τὸ πρόσταγμα τὸ βασιλικόν. ἐκινεῖτο τοίνυν ὅσον τοῦ πλήθους ὀρθόδοξον, καὶ διασπάσαι τοὺς ἄνδρας ὥρμησαν. ἀλλ' οἱ μὲν μόλις τὴν δημοτικὴν μανίαν διέφυγον. τὸ δέ γε πλῆθος εἰς θυμὸν ἐκκαυθὲν, ἐπὶ τὸν οἶκον ἐπῆλθε τῶν εἰρημένων ἀνδρῶν, καὶ τοὺς μὲν κατέπρησαν, τὰ δ' ἐν αὐτοῖς διηρπάκασι, καὶ πολλοὺς ἀνεῖλον, καὶ εἰς τὸν Βασιλέα ἐξύβριζον, τὸν δὲ Βιταλιανὸν, ὡς Βασιλέα εὐφήμουν, καὶ πολλοὺς οἴκους ἐνέπρησαν, καὶ πλείστους ἐφόνευσαν, καί τινα μοναχὸν πλησίον οἰκοῦντα τῆς παρὰ τοῦ Ἀναστασίου κτισθείσης κινστέρνης τῆς Μωκισίας καλουμένης, καὶ διὰ τιμῆς τῷ Βασιλεῖ τυγχάνοντα ἀνεῖλον, ἀλλὰ μὴν καί τινα μονάζουσαν ἐγκεκλεισμένην ἐγγὺς τῆς πόρτης τῆς Ξυλοκίρκου ἀνελόντες, ὡς πίστιν καὶ εἰς αὐτὴν κεκτημένου τοῦ βασιλέως, καὶ συνδήσαντες ἄμφω τὰ σώματα ἔσυραν, εἶτα κατέκαυσαν. τοῖς χρόνοις τούτου τοῦ Βασιλέως, Ἀλαμούνδαρος ὁ τῶν Ἀγαρηνῶν φύλαρχος κατηχηθεὶς παρὰ ὀρθοδόξων, ἐπίστευσέ τε καὶ ἐβαπτίσατο. πρὸς ὃν ὁ Σευῆρος ἐπισκόπους ἔστειλε δύο, σπεύδων εἰς τὴν οἰκείαν αἵρεσιν μεθελκύσαι αὐτὸν, τῶν γοῦν ἐπισκόπων διδασκόντων αὐτὸν εἰς μίαν φύσιν τὰς δύο τοῦ Χριστοῦ συγχυθῆναι φύσεις, κἀντεῦθεν συναγομένου τοῦ συμπαθεῖν τῇ σαρκὶ τοῦ Κυρίου Χριστοῦ καὶ τὴν θεότητα, ἐκεῖνος ἐλέγξαι θέλων αὐτοὺς ἄτοπα λέγοντας, καὶ διδάσκοντας ἄπιστα, παρασκευάζει τινα τῶν οἰκείων, παρόντων τῶν αἱρετικῶν ἐπισκόπων ἐκείνων, πρὸς οὖς τι αὐτῷ ἀπαγγεῖλαι. τοῦ δὲ ποιήσαντος τὸ ἐπιταχθὲν, ὁ Ἀλαμούνδαρος ἐσκυθρώπασε, καὶ ὑπεκρίνατο τὸν λυπούμενον. ἐρομένων δὲ τῶν ἐπισκόπων ὅτου χάριν συγκέχυται, καὶ τί ἂν εἴη τὸ ἀγγελθὲν, ἔφη ἐκεῖνος, ἀγγελθῆναι αὐτῷ τὸν ἀρχάγγελον θανεῖν Μιχαήλ. τῶν δὲ ψευδῆ τὴν ἀγγελίαν διατεινομένων τυγχάνειν, ἀδύνατον γὰρ εἶναι θανεῖν τὸν ἀρχάγγελον. ὑπολαβὼν ὁ φύλαρχος, εἶπεν· εἰ οὖν ἄγγελος οὐ θνήσκει, πῶς καθ' ὑμᾶς ἡ θεότης ἔπαθέ τι καὶ ἰδοὺ,

περὶ τῶν Βουλγάρων. *περὶ Βιταλιανοῦ τυραννήσαντος, καὶ ὅπως κατεπολεμήθη, καὶ περὶ Πρόκλου.* *ὅτι προσθεῖναι εἰς τὸ τρισάγιον βουληθέντος τοῦ Ἀναστασίου, τὸ ὀρθόδοξον πλῆθος ἐστασίασε, καὶ ἐφόνευσεν.* *περὶ Ἀλαμουνδάρου, καὶ ὅπως τοὺς Σευήρου ἐπισκόπους ἐνίκησεν.*

τῇ

τῇ σαρκὶ συγκραθεῖσαν καὶ συγχυθεῖσαν, καὶ εἰς μίαν φύσιν ἀποτελεσθεῖσαν; τούτοις οἱ ἐπίσκοποι ἐκεῖνον μὲν ἐθαύμασαν τῆς συνέσεως. αὐτοὶ δὲ ἀπογνόντες, ὡς οὐκ ἄν ποτε μεταπείσωσιν αὐτὸν ἐλθεῖν εἰς τὴν δόξαν αὐτῶν, ὑπεχώρησαν. τῶν δὲ Βουλγάρων αὖθις τὸ Ἰλλυρικὸν καταδραμόντων, ἀντετάξαντο τούτοις τινὲς τῶν Ῥωμαίων ταξιαρχῶν μετὰ τῶν ὑπ' αὐτοὺς ταγμάτων. ἐκείνων δὲ ἐπῳδαῖς χρησαμένων καὶ γοητείαις, ἡττήθησαν αἰσχρῶς οἱ Ῥωμαῖοι, καὶ πλὴν ὀλίγων ἅπαντες διεφθάρησαν. ὧν τὴν φθοράν, κομήτης ἀστὴρ προσημαίνων, καὶ κόρακες προδεομένων αὐτῶν ὑπερπετόμενοί τε καὶ προηγούμενοι, καὶ οἱ σαλπικταὶ αὐτοὶ ἐνυαλίου ἤχους, πένθιμόν τι καὶ θρηνῶδες ἠχήσαντες. τοῦ δὲ ἀνωτέρω ῥηθέντος Τιμοθέου πολλὰ τοῖς ὀρθοδόξοις ἐνδειξαμένου κακά, καὶ τὴν ζωὴν καταλύσαντος, Ἰωάννης ὁ Καππαδόκης τῆς ἐκκλησίας ἐνεχειρίσθη τὴν προστασίαν, ἐπὶ δύο ταύτης προστάς. τέθνηκε δὲ καὶ ἡ βασιλὶς Ἀριάδνη. ἱστόρηται γοῦν μὲν ἐν τοῖς χρόνοις τῆς βασιλείας Ἀναστασίου, ἄγαλμα τῆς τύχης τῆς πόλεως ἐν εἴδει γυναικὸς ἐκ χαλκοῦ πεποιημένον, θάτερον τῶν ποδῶν ἐντὸς νηὸς ἐχούσης, πρὸ αὐτῆς ἑστώσης καὶ ὁμοίας ὕλης ἐξειργασμένης, ἑστάναι που τῆς πόλεως. τούτου δή τε τοῦ τῆς νηὸς ἐκτυπώματος, ἢ τῷ χρόνῳ μογήσαντος, ἢ ἐξ ἐπιβουλῆς, μέρη τινὰ θραυσθέντα ἀφῄρηντο. οὐκέτι γοῦν φορτηγοὶ νῆες προσώρμουν εἰς τὸ Βυζάντιον, ἀλλὰ πλησίον ἰοῦσαι, βίαις πνευμάτων ἀνείργοντο, καὶ εἰ μὴ νῆες μακραί, καὶ πολλοῖς ἐρέταις κινούμεναι τοὺς φόρτους ἐκείνων εἰς τὴν πόλιν εἰσεκόμιζον, τάχα ἂν λιμῷ οἱ ἐν αὐτῇ κατηναλώθησαν. τοῦτο ἐπὶ καιρὸν ἐκράτησεν, τοῖς τῶν κοινῶν φροντισταῖς διαφροντίζουσιν ἐγγὺς ὑπετοπάσθη τίνων παρόντων τὸ αἴτιον, καὶ προσήγγελλε τοῖς οἷς ἡ τῶν τῆς πόλεως αὐτῶν φροντίς. καὶ τὰ θραύσματα τῆς χαλκῆς νηὸς ἐκείνης ἐπιμελῶς ζητηθέντα, εὑρέθησαν, καὶ αὐτῇ ἀποκατέστησαν τε καὶ προσηρμόσθησαν. καὶ ὁ πλοῦς ἦν τοῖς πλοίοις ἀκώλυτος, καὶ μεστὴ τούτων ἀποπλεόντων ἡ θάλασσα. ἵνα δὲ γνοῖεν ἀκριβῶς εἰ τοῦτ' ὡς ἀληθῶς τοῦ τῶν πλοίων εἰς πλοῦν κώλυμα ἦν, ἀφῄρουν αὖθις τὰ μέρη τῆς νηὸς ἐκείνης. καὶ ὅσαι τῶν νηῶν ἔτυχον τότε ἐσπλεῦσαι, πνεύματος αὖθις βίᾳ γεγόνασιν ἀπωσθεῖσαι. ἐντεῦθεν ἐβεβαιώθησαν ἐκ τοῦ θραυσθῆναι τὴν χαλκῆν νῆα ἐκείνην, τὴν κώλυσιν γίνεσθαι τοῦ εἰς τὴν πόλιν ἐσπλεῖν τῶν πλοίων τῶν φορτηγῶν. καὶ τὴν ναῦν ἐκείνην ἐπιμελείας ἀξιώσαντες, ἀνεκαίνισαν. πρὸ μικροῦ δὲ τῆς τελευτῆς αὐτοῦ, ὁ βασιλεὺς Ἀναστάσιος ἐπιβουλὰς αὐτῷ μηνυθείσας, συνέσχε πολλούς, σὺν οἷς καὶ Ἰουστῖνον καὶ Ἰουστινιανόν, τοὺς μετὰ ταῦτα αὐταρχήσαντας, καὶ ἦν γνώμης ἀνελεῖν αὐτούς, ἐκωλύθη δὲ κατ' ὄναρ, φοβεροῦ τινὸς ἀνδρὸς δόξαντος παραστῆναι αὐτῷ, καὶ εἰπεῖν, Ἰουστῖνον καὶ Ἰουστινιανὸν μηδὲν ἐργάσῃ κακόν, μέλλει γὰρ ἕκαστος αὐτῶν ὑπουργῆσαι τῷ θεῷ ἐν καιροῖς ἰδίοις. ὅθεν ἀφῆκεν αὐτοὺς τοῦ τῆς καθοσιώσεως ἐγκλήματος, καὶ αὖθις ὄναρ ἰδεῖν λέγεται ὁ βασιλεὺς ἐκεῖνος, ἄνδρα τινὰ φοβερόν, τόμον κατέχοντα, καὶ λέγοντα πρὸς αὐτόν, ἰδοὺ διὰ τὴν κακοπιστίαν σου, ἐξαλείφω τῆς ζωῆς σου ἔτη τεσσαρεσκαίδεκα. εἶχεν δὲ κεχρησμῳδημένον ὁ Ἀναστάσιος, ὅτι ἐκ κεραυνοῦ βαλεῖται, τὸ λεγόμενον θόλωτον ἐδείματο, καὶ ἐν αὐτῷ διῆγεν. ἀλλ' οὐδέν τι τοῦτο ἀπώνατο. βροντῆς γάρ ποτε ἐξηχουμένης φρικωδεστάτης, καὶ ἀστραπῶν ἐκπεμπομένων ἐκεῖθεν πολλῶν, ἐκεῖνος δειμαίνων ἐκ διαίτης εἰς δίαιταν μετέβαινε, καὶ ἐκ θαλάμου εἰς θάλαμον

περὶ τῶν βουλγάρων ἡ ἥττα ὅτε ἐνίκησαν τοὺς ῥωμαίους.

περὶ καππαδόκου.

περὶ τοῦ τῆς τύχης ἀγάλματος.

περὶ τῶν ἰουστίνων ἐν ὀνείρῳ ὁ ἀναστάσιος.

θάνατος τοῦ βασιλέως ἀναστασίου

cum carne contemperatam & confusam, & in unam naturam conflatam? Ex hoc dicto episcopi, hominis acumen admirati, spe traducendi eius in suam opinionem abiecta, discesserunt. Cum Bulgari denuò in Illyricum impressionem fecissent, quidem ex Romanis tribunis se illis cum suis legionibus opposuerunt, turpiterque uicti sunt, ac paucis exceptis, cæsi omnes, cùm illi quibusdam incantationibus & præstigijs usi essent. Eam cladem stella crinita præsignificauit, & corui, qui & supra & ante illos proficiscentes uolitabant, & tubicines, qui pro bellico nescio quem mœstum & lugubrem sonum ediderunt. Timotheo cuius suprà facta est mentio, post multas clades orthodoxis illatas, defuncto, Ioanni Cappadoci tradita est ecclesiæ gubernatio, quam per biennium tenuit. Obijt & Ariadna imperatrix. Traditum est, sub Anastasio simulacrum æneum Fortunæ urbanæ muliebri specie, quod alterum pedem in naui ante se posita, ænea & ipsa haberet, alicubi in urbe stetisse: cuius nauis uel uetustate corruptæ, uel per insidias contusæ, fragmenta quædam ablata fuerint. Ex eo naues onerarias Byzantium non amplius appulisse, sed cum propè accessissent, uiolentia uentorum repulsas esse, ac nisi longæ naues multis cōcitatæ remigibus sarcinas earum in urbem peruexissent, populum fortasse fame periturum fuisse. Quæ res cum ad tempus durasset, curæ fuit magistratibus, causaq; mali à quodam solerti cōiectura indagata, fragmentis nauis illius æneæ studiosè conquisitis, & in suum locum restitutis, expeditam nauigationem & mare nauigijs repletum fuisse. Vt autem certò scirent, illud appellendis nauibus obstitisse, denuo sublatis fragmentis, quæcunq; naues tum appellerent, iterum ui uentorum reiectas fuisse. Ea re comperta, nauem illam, magno adhibito studio, esse renouatam. Anastasius paulò ante obitum, nunciatis sibi insidijs multos comprehenderat, atque inter alios Iustinum & Iustinianum, qui pòst rerum potiti sunt, atque in animo habebat eos occidere. Sed deterritus est somnio, cum uir terribilis ei astitisse uisus esset, ac dicere: Iustino & Iustiniano ne quid mali feceris. Nam uterque suo tempore Deo inseruiet. Illis igitur crimine læsæ maiestatis absolutis, denuo aliud uidisse somnium memoratur, Virum terribilem, qui librum manu gestans diceret: Ecce ob peruersitatem fidei tuæ, annos XIIII uitæ tuæ deleo. Et quia fatale sibi esse ex oraculo didicerat, ut fulmine interiret: Tholorum ædificium construxit, in eóque degit, sed frustra. Nam quum aliquando tonitrua horrendum in modum resonarēt, & fulgura multa eliucerent, atq; ipse perterritus è cœnaculo in cœnaculum descen-

Bulgarorū in Illyrico uictoria.

Præsagia cladis comete, corui & tubæ.

Ioānes Cappadox patriarcha Cōstantinopolitanus.

Nauis simulacrū nauigatiōn præiudium.

Anastasij somnia de Iustino & Iustiniano, & de obitu suo præsagia.

descenderet, & alios atque alios thalamos subiret: in quodã regio cubiculo mortuus est inuentus. Vixit annos octoginta octo: regnauit uigintiseptem, & tres menses. Huius temporibus terraemotus horrendus fuit, ac Byzantij multis in locis aedificia corruerunt. Antiochia uerò penè tota collapsa est, ciuibus ruina oppressis. Idem Anastasius longum murum cõdidit à magno mari ad Selybriam usque pertinentem, ob Mysorum siue Bulgarorum & Scytharum incursiones, & statuam suam aeneam in Tauri columna collocauit, cùm Theodosij Magni statua, quae ibi erecta fuerat, concidisset. Et hic quidem uita sic acta, hoc modo est defunctus.

Terraemotus Byzantinus et Antiochenus.
Selybrianus murus.
Anastasij statua.

ὑπεδύετο. καὶ οὕτως ἔν τινι τῶν βασιλικῶν κοιτώνων, εὑρέθη κείμενος τεθνεώς. ζήσας μὲν ἔτη ὀγδοήκοντα καὶ ὀκτὼ, βασιλεύσας δ' ἐξ αὐτῶν εἴκοσι καὶ ἑπτὰ ἔτη μετὰ τριῶν. ἐν τοῖς χρόνοις τούτου γέγονε σεισμὸς φοβερώτατος, καὶ ἐν μὲν τῷ Βυζαντίῳ ἐν διαφόροις τόποις συμπτώματα συμβεβήκασιν, ἡ μεγάλη δὲ Ἀντιόχεια σχεδὸν ἅπασα κατεπτώθη, καὶ οἱ ταύτης οἰκήτορες τοῖς συμπτώμασι κατεχώσθησαν. οὗτος ὁ Ἀναστάσιος ἔκτισε τὸ μακρὸν λεγόμενον τεῖχος ἀπὸ τῆς μεγάλης θαλάσσης, διῆκον ἄχρι τῆς Σηλυβρίας, διὰ τὰς ἐφόδους τῶν Μυσῶν ἢ Βουλγάρων καὶ τῶν Σκυθῶν. ἔστησε δὲ καὶ στήλην οἰκείαν ἐν τῷ τοῦ Ταύρου κίονι χαλκῆν, τῆς πρώην ἐν αὐτῷ ἱσταμένης πεσούσης, ἣ τοῦ μεγάλου Θεοδοσίου ἐτύγχανε. καὶ ὁ μὲν ὧδε βασιλεύσας, οὕτω κατέλυσε τὴν ζωήν.

ὅτι ὁ Ἀναστάσιος ἔκτισε τὸ μακρὸν τεῖχος.

IMPERIVM IVSTINI THRACIS.

Imperator autem creatus est Iustinus Thrax, parentibus ortus ignobilibus & obscuris, atque ipse principio operarius fuit aut armentarius & porcarius. Deinde animo ad rem militarem adiecto, tribunus & Comes factus est. Cum autem post Anastasij obitum, de imperatore deligendo deliberaretur: Amantius Eunuchus idemque praepositus, homo potens, Theocritiano, cuidam ex necessarijs suis, imperium tradere cupiens, pecuniam Iustino dedit, militibus distribuendam, ut illum Imperatorem salutarent. At ille pecunia distributa, suum negocium egit, & à populo & militibus ad imperij fastigium est euectus. Quod factum aegrè ferens Amantius, cum alijs clans uiris Iustino insidias struxit, ijsque cognitis unà cũ Andrea cubiculario & Theocritiano occisus est. Is autẽ eodẽ tẽpore, quo Anastasius in somnis aliquot uitae suae annos è libro deleri uidisset, & ipse somniarat, se coram imperatore stantem, à magno quodam porco prostratum deuorari. Idem sancti Thomae apostoli aedem struxit, unde Amantij aedes nominatur. Hic Iustinus quia de religione rectissimè sentiebat, Chalcedonense concilium coli ab omnibus, & sexcẽtos triginta sanctos patres, qui id celebrarant, in sacros omnium Ecclesiarum commentarios referri, edicto iussit. Vxorem Lupiciam, mutato eius nomine in Euphemiam, diademate ornauit, & Augustam appellauit. Vitalianus, qui sub Anastasio seditionem mouerat, huic familiarissimus fuit, & dux ab eo exercitus creatus, & consulatum adeptus est, magna praeditus autoritate. Cũque orthodoxus esset, Seuerum Antiochena sede pelli, & tolli iussit. Sed ille eum quibusdam suis assensoribus fuga in Aegyptum elapsus, illam quoque perturbauit, disputatione de corruptibili & incorruptibili introducta. In huius locũ suffectus est Paulus Eubulij hospitij praefectus. Omnes praeterea, qui sub Anastasio per iniuriam pulsi fuerant, Iustinus reuocauit. Huius temporibus Cometa in oriente uisus, radijs deorsum uergentibus, quem Po-

Iustinus ex humili loco industria ad imperiũ euectus.
Amantij Andreae et Theocritini caedes.
Amantij somnium et aedes.
Lupicia. Euphemia.
Seueri Antiocheni Paulus successor.

ΒΑΣΙΛΕΙΑ ΤΟΥ
Θρᾳκὸς Ἰουστίνου.

Ἀνερρήθη δὲ βασιλεὺς Ἰουστῖνος ὁ Θρᾷξ, γένους μὲν ἐκφὺς ἀσήμου καὶ ἀφανοῦς, αὐτὸς τὸ πρότερον αὐτουργῶν, ἢ βουκόλος τυγχάνων καὶ συφορβός. εἶτα εἰς τύχην μεταταξάμενος στρατιωτικὴν, καὶ μέχρι ταγματαρχίας ἐφθακὼς, καὶ κόμης γενόμενος. μετὰ δέ γε τὴν τελευτὴν Ἀναστασίου, βουλῆς γενομένης περὶ τοῦ χειροτονῆσαι βασιλέα, ὁ εὐνοῦχος Ἀμάντιος, ὃς καὶ πραιπόσιτος ἦν, καὶ μέγα ἐδύνατο, θέλων Θεοκριτιανόν τινα οἰκεῖον ὄντα αὐτῷ βασιλεῦσαι, χρήματα τῷ Ἰουστίνῳ παρέσχε διανεμῆσαι τοῖς στρατιώταις, ἵν' ἐκεῖνον ἕλωνται βασιλέα. ὁ δὲ τὰ χρήματα διανείμας, ἑαυτῷ τὴν βασιλείαν περιεποιήσατο, καὶ παρά τε τοῦ δήμου καὶ τῶν στρατιωτῶν εἰς τὴν τῆς αὐταρχίας ἀνήχθη περιωπήν. Ἀμάντιος δ' ἐν δεινῷ πεποίητο τοῦ Ἰουστίνου τὸ σόφισμα, καὶ αὐτῷ ἐπεβούλευσε σὺν ἑτέροις τῶν ἐπιφανεστέρων, ὃν γνωσθέντα ὁ Ἰουστῖνος ἀνεῖλε σὺν Ἀνδρέᾳ τῷ κουβικουλαρίῳ, καὶ τῷ Θεοκριτιανῷ. οὗτος ὁ Ἀμάντιος, ὅτε Ἀναστάσιος καθ' ὕπνους ἐθεάσατο τὸν ἄνδρα τὸν τόμον φέροντα, καὶ ἀπαλείψαντά τινας τῶν τῆς ζωῆς αὐτοῦ χρόνων, ὄναρ εἶδεν ὅτι ἐνώπιον τοῦ βασιλέως ἱσταμένῳ αὐτῷ χοῖρος ἐπῆλθε μέγας, καὶ ἐς γῆν κατέρραξεν αὐτὸν, καὶ ἀνάλωσεν. οὗτος τὸν ναὸν τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ᾠκοδόμησεν. διὸ καὶ τὴν κλῆσιν ἐκεῖνον σώζει τοῦ Ἀμαντίου καλούμενος. ὀρθοδοξότατος δ' ὢν Ἰουστῖνος, δόγμα ἐξέθετο, τὴν ἐν Χαλκηδόνι πάντας σέβεσθαι σύνοδον, καὶ τοὺς ἐν αὐτῇ συνεληλυθότας ἑξακοσίους τριάκοντα ἁγίους πατέρας, τοῖς ἱεροῖς ἐγγραφῆναι διπτύχοις πασῶν τῶν ἐκκλησιῶν. γαμετὴν δ' ἔχων Λουπικίαν καλουμένην, ἔστεψε αὐτὴν καὶ ἀνηγόρευσεν αὐγοῦσταν, Εὐφημίαν μετονομάσας. τούτῳ Βιταλιανὸς, ὃς ἐστασίασεν ἐπὶ Ἀναστασίου, πάνυ ᾠκείωτο, καὶ στρατηλάτης προεχειρίσθη, ἀλλὰ μὴν καὶ ὑπάτευσε, καὶ μέγα παρὰ τῷ Ἰουστίνῳ ἐδύνατο. ὀρθόδοξος δ' ὤν, τὸν Σευῆρον ἐκδιωχθῆναι τοῦ θρόνου τῆς Ἀντιοχείας καὶ ἀναιρεθῆναι προσέταξεν. ὃ γνοὺς ἐκεῖνος ἀπέδρα εἰς Αἴγυπτον μεθ' ἑτέρων ὁμογνωμόνων, καὶ ταύτην ἐτάραξεν, τὸν περὶ φθαρτοῦ καὶ ἀφθάρτου λόγον εἰσαγαγόντων. Σευήρου δὲ διαδράντος, Παῦλος ὁ ξενοδόχος τῶν Εὐβούλου, Ἀντιοχείας προεχειρίσθη ἐπίσκοπος. καὶ πάντας δὲ τοὺς ἄδικον ἐξορίαν ὑποστάντας ἐπὶ Ἀναστασίου, ὁ Ἰουστῖνος κατήγαγεν. ἐν τοῖς τούτου χρόνοις, ἀστὴρ ἐφάνη κομήτης ἐν τῇ ἀνατολῇ, κάτω τὰς ἀκτῖνας ἀφιεὶς, ὃν πωγωνίαν

ὅτι ὁ Ἰουστῖνος ἐκ τῆς βουκολίας ἐτέχθη.
ὅτι ἀνῃρέθη ὁ εὐνοῦχος Ἀμάντιος.
ὅτι κύρωσις καὶ σύνοδον ἐποίησεν Ἰουστῖνος καὶ τὴν γαμετὴν ἔστεψε καὶ περὶ Βιταλιανοῦ.
περὶ τοῦ Σευήρου, καὶ περὶ τοῦ μετ' αὐτὸν ἀρχιερέως, οὗτος Παῦλος.

πωγωνίαν, οἱ μετεωρολογοῦντές φασι, καὶ ὁ βιταλιανὸς ἐδολοφονήθη παρὰ τῶν βυζαντίων μηνιόντων αὐτῷ, ὡς πολλοὺς ἀνελόντι ἐν τῷ ἐπαναστῆναι κατ᾽ ἀναστασίου. οἱ δὲ προστάξει τοῦ βασιλέως ἰουστίνου καὶ τοῦ ἰουστινιανοῦ φασὶν ἀναιρεθῆναι αὐτὸν ἐν τῷ παλατίῳ, θέλοντα καὶ αὐτοῦ τοῦ κρατοῦντος κατάρχειν. στρατηλάτης δὲ τῶν στρατευμάτων ἰουστινιανὸς προεχειρίσθη. ἰωάννου δὲ τοῦ καππαδόκου θανόντος, ὃς πατριάρχης ἦν κωνσταντινουπόλεως, ἐχειροτονήθη ἐπιφάνιος τῆς ἐκκλησίας ταύτης πρεσβύτερος, καὶ ὁρμίσδα

περὶ πατριαρχῶν.

τοῦ πάπα ῥώμης μεταλλαχότος τὸν βίον, ἰωάννης τοὺς τῆς ἐκκλησίας ῥωμαίων διεδέξατο οἴακας. ἔχθρας δὲ ῥωμαίοις πρὸς πέρσας οὔσης, ὁ βασιλεὺς ἰουστῖνος πρὸς τὸν ῥῆγα τῶν οὔννων ἔστειλε πρέσβεις καὶ δῶρα, συμμαχίαν αἰτῶν κατὰ περσῶν. καὶ ὃς συνετέθη. καὶ τοῦ περσῶν δὲ βασιλέως καβάδου τὸν αὐτὸν ῥῆγα περὶ συμμαχίας ἀξιώσαντος, ἐκεῖνος συμμαχῆσαι αὐτῷ ἐπηγγείλατο. καὶ ἀπῆλθε πρὸς πέρσας μετὰ λαοῦ, κατὰ ῥωμαίων αὐτοτασσόμενος. ὁ μέντοι βασιλεὺς ἰουστῖνος περὶ εἰρήνης πρεσβείαν στείλας πρὸς τὸν περσῶν βασιλέα, μὴ πιστεύειν τοῖς οὔννοις αὐτῷ ἔγραψεν, ὡς ὅρκους μετὰ ῥωμαίων περὶ συμμαχίας ποιησαμένοις, καὶ χρήματα λαβοῦσι πολλὰ, καὶ βουλομένοις προδοῦναι αὐτοὺς ἐν πολέμου καιρῷ. ὁ δὲ καβάδης εἰ χρήματα παρὰ ῥωμαίων εἴληφεν ἤρετο τὸν ῥῆγα. τοῦ δὲ καταθεμένου, ἀληθεύειν τὸν ἰουστῖνον ὑπέλαβε, καὶ αὐτίκα τὸν μὲν ἀνεῖλεν, καὶ τοὺς οὔννους σχεδὸν ἅπαντας, εἰ μή τινες ὀλίγοι

ὅτι ἐσπείσατο τοῖς πέρσαις ἰουστῖνος

διαδράντες ἐσώθησαν. τοῖς δὲ ῥωμαίοις ἐσπείσατο, καὶ τὸν ἰουστῖνον ἐπίτροπον χοσρόου τοῦ νεωτέρου τῶν υἱῶν αὐτοῦ ἐποιήσατο. τούτῳ γὰρ τὴν τῶν περσῶν καταλιμπάνει βασιλείαν, τοὺς πρεσβυτέρους παραβλεπόμενος. ὁ δὲ βασιλεὺς τὴν ἐπιτροπὴν παρῃτήσατο. ὁ μέντοι λαζῶν ἄρ-

ὅτι αὖθις μάχη μέσον ῥωμαίων καὶ περσῶν γέγονεν.

χων ὁ τζάθος, ἀποστατήσας περσῶν προσερρύη τῷ ἰουστίνῳ, καὶ βαπτισθεὶς, υἱὸς τοῦ βασιλέως ὀνομασθεὶς, καὶ βασιλεὺς λαζῶν ἀναγορευθεὶς, γυναικί τε συζυγεὶς ἑνὸς τῶν συγκλητικῶν θυγατρὶ, εἰς τὴν ἑαυτοῦ χώραν ἐπανελήλυθε. τοῦτο αἴτιον αὖθις μάχης ῥωμαίοις καὶ πέρσαις ἐγένετο, ὡς τοῦ βασιλέως ῥωμαίων τοὺς αὐτοῖς ὑπηκόους σφετεριζομένου. τότε καὶ τὰ κατὰ τὸν ἅγιον ἀρέθαν ἐν

περὶ μανιχαίων.

νεγρᾷ τῇ πόλει συμβέβηκε. καβάδης δὲ τοὺς ἐν τῇ αὐτοῦ ἀρχῇ τυγχάνοντας μανιχαίους, ἐφόνευσεν ἅπαντας, καὶ τὸν αὐτῶν ἐπίσκοπον, καὶ τὰς βίβλους κατέκαυσεν, ὅτι ἕνα τῶν υἱῶν αὐτοῦ τὴν μυσαρὰν αὐτῶν διδάξαντες αἵρεσιν, τὰ αὐτῶν φρονεῖν παρεσκευάκασιν. ἡ δὲ

περὶ ἀναβάρζου καὶ ἐδέσσης καὶ πομπηιουπόλεως.

πόλις ἀνάβαρζος ἢ ἀνάβαρζα τῆς δευτέρας κιλικίας οὖσα μητρόπολις, τότε ὑπὸ σεισμοῦ συνεπτώθη. καὶ ἡ ἔδεσσα πόλις οὖσα περιφανὴς τῆς ὀσροηνῶν ἐπαρχίας, κατεκλύσθη, τοῦ μέσον αὐτῆς ῥέοντος ποταμοῦ πλημμυρήσαντος κεκλημένου σκιρτοῦ, καὶ τούς τε τῆς πόλεως οἴκους καταβαλόντος καὶ παρασύραντος, καὶ τοὺς ἐν αὐτοῖς οἰκοῦντας, οὓς μὲν συγχώσαντος τοῖς συμπτώμασιν, οὓς δὲ καταποντίσαντος. μεθ᾽ ἡμέρας δὲ τοῦ ὕδατος ἐλαττωθέντος, εὑρέθη ἐν τῇ ὄχθῃ τοῦ ποταμοῦ πλὰξ λιθίνη ἐν ἱερογλυφικοῖς γράμμασιν αὐτῇ ἐγκεκολαμμένοις λέγουσα ταῦτα. σκιρτὸς ποταμὸς
» σκιρτήσει κακὰ σκιρτήματα πολίταις. καὶ τῆς πομ-
» πηιουπόλεως τὸ ἥμισυ κατεπτώθη, μέσον ῥαγείσης

περὶ γυναικὸς γιγαντώδους.

τῆς πόλεως, καὶ τῶν ἀνθρώπων πολλοὶ ἐν τῷ χάσματι ἔτι ζῶντες ἀπώλοντο, καὶ οὐδεὶς ἠδύνατο ἀναλαβεῖν αὐτούς. καὶ γυνή τις ἐκ κιλικίας τότε ἐγένετο γιγαντώδης, καὶ τὴν ἀναδρομὴν τοῦ σώματος, καὶ τὴν λοιπὴν διαρτίαν. παντὸς γὰρ ἀν-

Pogonias. *Vitaliani cædes.*

goniam, quasi barbatum dicas, Meteorologici uocant, & Vitalianus à Byzantijs dolo cæsus est, iratis ei ob multorum cædem ab eo factam, cum cõtra Anastasium seditionem mouisset. Alij Iustini & Iustiniani iussu in palatio cæsum tradunt, cum ipsi imperatori uellet imperare, & Iustinianus præfectus est legionibus Ioanne Cappadoce patriarcha Constantinopolitano mortuo, surrogatus est Epiphanius, illius ecclesiæ presbyter: Hormisda item Papa Romano defuncto, Ioannes Romanæ ecclesiæ gubernacula suscepit.

Successio episcoporũ

Hunni ob perfidiam à Quado Persarum Rege cæsi.

Cum autem Romanis inimicitiæ cum Persis intercederent, Iustinus missis legatis cum muneribus ad Regem Hunnorum, societatem eius ambiuit. Assensus est Barbarus, sed & Quado Persarum Regi suam operam petenti obtulit, ad eumq́ profectus est Romanos oppugnaturus. Enimuerò Iustinus imperator, missis de pace legatis, per literas Persam monuit,
» ne Hunnis fideret, qui societate cum Roma-
» nis iureiurando sancita, magnaq́ pecunia ac-
» cepta, illos tempore belli prodituri essent.
» Quadus, cum Rex interrogatus se pecuniam à Romanis accepisse confessus esset, Iustinum uera scripsisse ratus, hominẽ sustulit, & Hunnos ferè omnes, paucis fuga elapsis, & cum Romanis pacem, Iustinumq́ Chosroæ filij sui nstu minimi tutorem fecit. Nam illi regnum Persicum destinarat, despectis filijs natu maioribus. Verùm Imperator tutelam recusauit.

Tzathus Lazorum dux.

Lazorũ quoq́ dux Tzathus defecit à Persis, & ad Iustinum se contulit, & pro imperatoris filio baptizatus, & Rex Lazorum salutatus, ducta uxore senatoris cuiusdam filia, in suam prouinciam redijt. Quæ res dissidij inter Persas & Romanos denuò causa extitit, quòd Romanorum Imperator illorum subditos ad se pelliceret. Tunc ea etiam in urbe Negra acciderunt, quæ de S. Aretha narrantur.

Manichæorum cædes.

Quadus uerò Manichæos suæ ditionis omnes occidit, eorumq́ episcopum, & libros combussit, quòd unum ex filijs suis, in detestãdam illam hæresim pellexissent.

Anabarzæ ruina. *Edessæ submersio.*

Tum etiam Anabarzos seu Anabarza, secundę Ciliciæ metropolis terræmotu concidit, & Edessa urbs illustris Osroënæ prouincię submersa est, cũ Scirtus fluuius, qui eã mediã perfluit, exũdasset, & urbis ędificia deiecisset, atq; auxisset, & ciues partim ruina, partim undis oppressisset. Aliquot dieb⁹ elapsis, aqua immiunta, lapidea tabula in ripa fluminis est reperta,
» cui notis hieroglyphicis insculptũ erat: Scirt⁹
» fluuius (habet autẽ à saltando nomen, quasi saltatorem dicas) malè saltabit ciuibus.

Pompeiopolis ruina.

Concidit & semissis Pompeiopolis, urbe media dehiscente, in eoq́ hiatu multi mortales uiuentes adhuc perierunt, cum opem, nemo ferre posset.

Mulier Gigantea in Cilicia nata.

Tum etiam mulier quædam è Cilicia instar gigantis fuit, cùm proceritate corporis, tum aliorum membrorũ proportione. Nam

supra quamuis proceros uiros integrum cubitum eminebat, pectore & humeris supra modum latis, cum & cætera omnia, ut uox & facies, brachiorum & cubitorū firmitas ac magnitudo, & digitorum crassitudo & reliqua longitudini & latitudini responderent. Iustiniano post Vitaliani cædē duce creato, rerum omnium administratio incumbebat. Cum autem principes aliquando Imperatorem orarent, ut illū collegam asciſceret, purpura prehenſa, Vobis, inquit, optandum est, ne hanc iunior aliquis induat. Ac tum quidem preces eorum sic eluſit. Illi uerò paruo tempore interiecto, Nobiliſsimi titulū Iustiniano decreuerunt, & ab imperatore impetrarunt, ut id decretum suis literis comptobaret. Neq; multò pòst in ualetudinem incidit ex uulnere cruris, morboq; in ſpe uitę dubia inualeſcēte, patriarcha Epiphanio & primoribus aduocatis, Iustinianum nepotem Imperatorem decernit, & suis manibus eius capiti diadema imponit. Cumq; populus in equestre theatrū conueniſſet, Iustinianus coronatus ingreditur, & ab omnibus faustis acclamationibus exceptus, in regiam reuertitur, annos XLV natus eo tempore. Statim etiam uxor eius Theodora est Augusta appellata, neq; multò pòst Iustinus in uiuis eſſe deſijt, cùm annos IX & dies XX regnaſſet.

Iustinianus imperator creatur.

IMPERIVM IVSTINIANI.

Iustiniano principatum adepto, non unius, ſed duorum poteſtas fuit, cum uxor eius non minus ipſo, ac potius plus poſſet. Fuit hic imperator aditu facilimus, ad pœnam irrogādam æquè promptus atq; ad crimina audienda: pecuniam & temerè profudit, & per fas ac nefas comparauit, aliam in ædificia, aliam ad exequenda cōſilia ſua, aliam in rem bellicam & contentiones eorum, qui uoluntati ipſius aduerſabantur, inſumendo. Ita factū, ut cum pecunia ſemper egeret, eam rationibus parum honeſtis cōpararet, ac gratiā haberet ijs, qui colligendi argenti uias oſtenderent. Neq; uerò ille ſic affectus erat, imperatrix uerò illi ſiue licentia, ſiue quouis modo faciendę pecuniæ ſolertia cedebat. Sed & maritum longo interuallo potētia ſuperabat, & nouos eosq; uarios quæſtus ingenioſiſsimè reperiebat. Hinc ſubditi gemino onere premebantur, Nam & annua tributa exaggerabantur, & noua excogitabantur. Alij, ut perperàm de religione ſentientes, mulctabantur: alij ut immodeſtè & petulanter uiuentes opibus priuabantur: alij ob contentiones inter ſeſe, alij de niq; alijs de cauſis, quę omnes breuiter recenſeri nequeunt. Quinto anno imperij eius, Cometa eſt conſpectus, qui ob radios ſurſum inſtar facis porrectos Lampadias dicebatur, & per dies XX fulſit. Cū Perſis inducię factę.

Iustiniani rapacitas.

Theodoræ auaricia.

Lāpadias.

μήκους αὐτὸς ἄνδρας, διὰ πῆχυν ὅλον ὑπερανίστατο. εὐρὺς δὲ τοὺς ὤμους καὶ τὰ στέρνα ἐπὶ πολύ. καὶ τἆλλα δ' εἶχε κατὰ μήκει τε καὶ κατὰ πλάτει ἀνάλογα. τὸ εἶδος λέγω καὶ τὴν φωνήν, τῶν τε βραχιόνων καὶ τῶν πήχεων τὴν στεῤῥότητα, καὶ τὸ μέγεθος, καὶ τὸ τῶν δακτύλων ἁδρὸν, καὶ ὅσα τούτοις ἑπόμενα. ἰουστινιανοῦ δὲ στρατηλάτου, ὡς εἴρηται, μετὰ θάνατον βιταλιανοῦ προβληθέντος, ἐκείνῳ ἀνέκειτο ἡ πᾶσα διοίκησις. καί ποτε τῶν τὰς ἡγεμονίας ἐχόντων δεομένων τοῦ βασιλέως κοινωνὸν τῆς βασιλείας ἑλέσθαι τὸν στρατηλάτην, ἐκεῖνος τῆς ἁλουργίδος ἁψάμενος, δι' εὐχῆς ὑμῖν ἤτω φησὶ μὴ νεώτερον ταύτην περιβαλέσθαι. καὶ τότε μὲν οὕτω τὴν ἐκείνων δέησιν διεκρούσατο, οἱ δ' αὖθις μετ' οὐ πολὺ ψήφισμα ἔθεντο, τὴν τοῦ νωβελισσίμου ἀξίαν κατὰ ἰουστινιανοῦ ἐπιψηφιζόμενον, καὶ τὸν βασιλέα ᾔτουν κυρῶσαι τὸ ψήφισμα. καὶ ὃς εἴξας, γράμμασιν οἰκείοις τοῦτο ἐκύρωσε. τραύματος δὲ οἱ γενομένου περὶ τὴν κνήμην, ἐνενόσησεν. ὡς δ' ἡ νόσος ἐκράτει αὐτοῦ, καὶ ἀμφίβολον ἦν αὐτῷ τὸ βιώσιμον, μετακαλεῖται τὸν πατριάρχην ἐπιφάνιον. μεταπέμπεται δὲ καὶ τοὺς ἐν τέλει. καὶ βασιλέα τὸν ἀδελφιδοῦν ἰουστινιανὸν ἀναδείκνυσιν αὐτὸς, τῇ ἐκείνου κεφαλῇ περιθεὶς τὸ διάδημα. καὶ εἰς τὸ τῆς ἱππηλασίας θέατρον τοῦ δήμου τῆς πόλεως ἀθροισθέντος, ἔξεισι πρὸς αὐτοὺς ἐστεμμένος ὁ ἰουστινιανὸς, καὶ παρὰ πάντων εὐφημηθεὶς, ἐπάνεισιν εἰς τὰ βασίλεια, τεσσαράκοντα καὶ πέντε τότε τυγχάνων ἐνιαυτῶν. αὐτίκα δὲ καὶ ἡ γαμετὴ αὐτοῦ θεοδώρα ἀνεῤῥήθη αὐγοῦστα, καὶ μετ' ὀλίγον κατὰ ἰουστῖνος ἐξέλιπε τὸ βιώσιμον, βασιλεύσας ἐννέα ἔτη, ἐφ' ἡμέραις εἴκοσι.

ὅτι στρατηλάτου ... προβληθέντος

ὅτι νοσῶν ὁ ἰουστῖνος ... τὸν ἰουστινιανόν

ΒΑΣΙΛΕΙΑ ΙΟΥΣΤΙΝΙΑΝΟΥ.

Ἄρξαντος δὲ ἰουστινιανοῦ, οὐκ εἰς μοναρχίαν ἡ βασιλεία κατέστη, ἀλλ' εἰς διπλοῦν τὸ κράτος μεμέριστο. οὐδὲν γὰρ ἧττον τοῦ κρατοῦντος ἡ ὁμόζυγος, εἰ μὴ καὶ μᾶλλον ἡ κοινωνὸς αὐτῷ τοῦ βίου ἐδύνατο. ἦν δὲ οὗτος ὁ βασιλεὺς ῥᾷστος μὲν πρὸς ἔντευξιν, καὶ ἀναπεπταμένας εἶχε τὰς ἀκοὰς πρὸς διαβολὰς, ὀξὺς δὲ πρὸς ἄμυναν, ἀφειδὴς πρὸς χρημάτων ἐξάντλησιν, καὶ πρὸς συλλογὴν αὐτῶν ἀφειδέστερος. τὰ μὲν γὰρ ἀνήλισκεν εἰς οἰκοδομὰς, τὰ δὲ εἰς τὸ κατορθοῦν ὅσα οἱ ἐτύγχανε πρὸς βουλῆς, τὰ δὲ εἰς πολέμους, καὶ τὰς πρὸς τοὺς ἀνθισταμένους τοῖς αὐτοῦ κελεύσεσιν ἔριδας. ὅθεν ἀεὶ χρημάτων δεόμενος, ἐξελίγχε ποιῶ τα ἐκ τρόπων οὐκ εὐαγῶν, καὶ χαίρειν τοὺς ὑδὲ τοῖς προφάσεις αὐτῷ τοῦ ἀργυρολογεῖν ἐφευρίσκουσι. καὶ οὐχ ὁ μὲν οὕτως δίκαιος, ἡ δὲ βασιλὶς ἐλάττων κατά τι τοῦ αὐτοκράτορος ἢ πρὸς ἐξουσίαν, ἢ πρὸς χρημάτων κτῆσιν ἐκ τρόπου παντός. ἐδίωκε μὲν γὰρ πολλῷ κατὰ μέσον τοῦ ξυνωρὶ τοῦ ἐπέκεινα. ἦν δὲ καὶ πραγματεύσασθαι πρὸς εὕρεσιν καινοτέρων καὶ πολυτρόπων ἐπινοιῶν. ἐντεῦθεν τοῖς ὑπηκόοις διχόθεν αἱ συμφοραί, οἵ τε γὰρ ἐτήσιοι δασμοὶ ἐπὶ μεῖζον ἐξήροντο, καὶ καινοὶ προσεπινοοῦντο. καὶ οἱ μὲν ὡς μὴ περὶ τὴν θείαν δόξαν ὀρθῶς διακείμενοι, οἱ δὲ ὡς ἀκολάστως βιοῦντες ἢ ἀσελγῶς, ἐκολάζοντο, καὶ τὰς περιουσίας ἀφῃροῦντο. οἱ δὲ διὰ τὰς πρὸς ἀλλήλους διαφορὰς, καὶ ἄλλοι δι' ἄλλων τρόπων, καὶ ἕτεροι δι' ἑτέρων. πάντας γὰρ ἀπαριθμεῖν, μακρᾶς ἂν δέοιτο συγγραφῆς. κατὰ δὲ τὸ πέμπτον ἔτος τῆς βασιλείας αὐτοῦ, ἀστὴρ ὤφθη φαῦσις κομήτης, ὃς λαμπαδίας ὠνόμασται, ὡς ἄνω τὰς ἀκτῖνας ὡς, ὃς ἐφ' ἡμέρας φαίνων διήρκεσεν εἴκοσιν. ἐγένοντο δὲ καὶ πρὸς τοὺς πέρσας σπονδάς

περὶ κομήτου

περὶ δὲ γινομένου στάσεως τῶν δήμων.

σπονδὰς, καὶ τὰ μὲν περὶ τὴν ἕω ἐκ τῶν πολεμίων εἰρήνευον, τὴν δὲ πόλιν κατέσχον ἐμφύλιοι πόλεμοι, καὶ τὸ κάλλος αὐτῆς καὶ τὴν ἀγλαΐαν, ὅσα περιελέλειπτο ἐκ τοῦ ἐν τῇ βασιλείᾳ τοῦ Λέοντος γεγονότος ἐμπρησμοῦ διεφθάρκασι. μίσους γὰρ ἐμφυέντος τοῖς δήμοις κατὰ τοῦ αὐτοκράτορος καὶ τῆς βασιλίσσης, δι' ἅπερ εἴρηται, ὁμονοήσαν ἄμφω τὰ μέρη, τό τε Βένετον καὶ τὸ Πράσινον, καίτοι ἀεὶ ἀλλήλοις ἐναντιούμενα, καὶ στάσεως ἤρξαντο. ὁ δέ γε κρατῶν, μοῖράν τινα βαρβάρων τῶν καλουμένων αἰλούρων, αὐτοῖς ἐπαφεὶς, εἶναι τὴν στάσιν οὕτως ἀπεσχέσθαι. ἡ δ' ηὔξατο μᾶλλον. μάχης γὰρ συρραγείσης μέσον τῶν δήμων καὶ τῶν βαρβάρων κατὰ τὸ λεγόμενον μίλιον, καὶ πεσόντων πολλῶν ἑκατέρωθεν, οἱ τῆς ἐκκλησίας καταπαῦσαι τὴν στάσιν καὶ τὸν πόλεμον σπεύδοντες, τὰς ἱερὰς τῶν θείων εὐαγγελίων βίβλους ἀράμενοι καὶ τοῦ σωτῆρος ἡμῶν σεβάσμια ἐκτυπώματα, εἰς μέσους τοὺς μαχομένους συνώθησαν ἑαυτοὺς οἰόμενοι, αἰδεσθέντας ἐκείνους τὰ ἅγια, καταθέσθαι τὰ ὅπλα, καὶ ἐκεχειρίαν τῆς μάχης, ἀλλ' οἱ βάρβαροι τῶν ἁγίων φροντίσαντες οὐδ' ὁπωσποῦν, τούς τε δήμους συνέκοπτον, καὶ οὐδὲ τῶν ἱερέων ἢ τῶν ταῦτα φερόντων ἐφείδοντο. τοῦτο τοῖς τῆς πόλεως ἐρεθισμὸν τῆς στάσεως γέγονε, καὶ ὥσπερ αὐτῷ τῷ θείῳ ἐμπαροινουμένῳ ἀμύνοντες, ὡς ἀπονοίᾳ ἐξήφθησαν πλέονα, καὶ οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες ἐκ τῶν ὑπερῴων ἐμάχοντο, λίθοις καὶ κεράμοις καὶ παντὶ τῷ προστυχόντι βάλλοντες ἄνωθεν τὴν βαρβαρικὴν ἐκείνην πληθύν. οἱ δὲ μανίᾳ ληφθέντες καὶ ἀμύνασθαι τὰ γύναια θέλοντες, πῦρ ἐνῆκαν τοῖς οἴκοις, ἐξ ὧνπερ ἐβάλλοντο. πνεύματος δὲ σφοδροῦ πνέοντος τηνικαῦτα, ἡ φλὸξ ἤρθη ταχέως εἰς ὕψος, καὶ πολλὰς μεγίστας τε καὶ καλλίστας οἰκοδομὰς κατηθάλωσε, καὶ ἀγάλματα κατέφλεξεν ἀρχαίων ἀνδρῶν ἐπὶ σοφίᾳ καὶ ἐπ' ἀνδρείᾳ, καὶ τοῖς διὰ χειρῶν καὶ συνέσεως εὐδοκιμηκότων ἀνδραγαθήμασι, καὶ ἐπὶ πᾶσιν αὐτὸν τὸν θεῖον τέμενος τοῦ μεγάλου ναοῦ, ὃν ὁ βασιλεὺς Κωνστάντιος ἐδείματο, καὶ τὸν τῆς ἁγίας Εἰρήνης, καὶ τὸν τοῦ Εὐβούλου ξενῶνα, καὶ τὴν τοῦ παλατίου χαλκόστεγον, ἣ τις νῦν καλουμένη χαλκῆ, καὶ εἰς εἱρκτὴν χρηματίζουσα, καὶ τὸ Σευήρου λουτρὸν τὸ λεγόμενον Ζεύξιππον, καὶ ἄλλα πολλὰ κόσμον καὶ θαῦμα τῇ πόλει καὶ τῇ βασιλείᾳ ποιούμενα. τότε τοίνυν ὁ βασιλεὺς ἑτέρως καταστορέσαι τὴν στάσιν διενοεῖτο. καὶ ἀνελθὼν εἰς τὸ θέατρον, διαλεχθῆναι τοῖς δήμοις ἐβουλεύετο, καὶ πέμψας, ἐκεῖ τὸ δημοτικὸν μετεκαλεῖτο. τὸ δ' οὐκ ἠνείχετο προσελθεῖν, ἀλλὰ καὶ ἀλλήλοις παρεκελεύοντο φυλάξασθαι τὸ ἱππήλατον θέατρον, ἵνα μὴ ὡς ἐν εἱρκτῇ συγκλεισθῶσιν αὐτῷ, καὶ τοῦ θυμοῦ τῶν κρατούντων γένωνται παρανάλωμα. ἐν τοσούτῳ εἰς τὴν ἀγορὰν διαθέοντες, ἕτερον βασιλέα ἑαυτοῖς ἐβουλεύσαντο προχειρίσασθαι, καί τινα συγγενῆ τοῦ βασιλέως Ἀναστασίου προχειρίσαντες Ὑπάτιον, τῇ μὲν ἄκοντα, τῇ δὲ καὶ πεπεισμένον, εἰς τὸν τοῦ μεγάλου Κωνσταντίνου φόρον ἀπάγουσι, καὶ ἐπ' ἀσπίδος αὐτὸν μετάρσιον ἄραντες, ἀναγορεύουσι βασιλέα, καὶ τὸ τῶν ἵππων ἐκεῖθεν ἁμιλλητήριον καταλαμβάνουσι θέατρον, εὐφημοῦντες αὐτὸν, καὶ πορφυρίδα ἐζήτουν καὶ στέφος. ἐν τούτοις τῶν δήμων ἀσχολουμένων, ἴσχυσαν οἱ περὶ τὸν βασιλέα πλουσίαις χρημάτων διανομαῖς ὑποσύραι τῶν Βενέτων πολλοὺς, καὶ οὕτως τὴν τῶν δήμων ὁμόνοιαν διασπάσαντες, χωρῆσαι κατ' ἀλλήλων αὐτοὺς πεποιήκασι,

ὅτι Ὑπάτιόν τινα συγγενῆ τοῦ βασιλέως Ἀναστασίου οἱ δῆμοι ἀνηγόρευσαν.

Verum orientalibus prouincijs pacatis, bella intestina urbem uexarunt, eiusque pulchritudinem & elegantiam ex incēdio sub Leone orto reliquam cōsumpserunt. Nam concepto ijs de caussis, quas exposui, tā imperatoris quàm uxoris eius odio, populi inter sese consenserūt, tam Venetæ quàm Prasinæ factionis, quanquam aliàs dissidere soliti, seditionemque moucrūt. Ad quā cōprimendā parte Barbarorū Heruli ab imperatore immissa, q Heluri nominātur, ea magis etiā cōmota est. Pugna etenim inter ciues & Barbaros cōmissa, in loco q Miliū dicit, & multis utrinque cadentib⁹: Ecclesiastici bellū & seditionem sedare cupientes, cum sacratissimis diuinorum Euangeliorum codicibus, & seruatoris nostri uenerādis imaginibus, in medium agmen præliantium penetrarunt, rati, eos uerecundia sacrarum rerum, positis armis pugnam omissuros. Sed Barbari illis planè despectis, populum trucidabāt, neque sacris neque baiules eorum parcentes. Id urbanæ multitudini uelut incentiuum seditionis fuit, ut tanquam numinis ulturi iniuriam, maiori desperatione inflammarentur: neque uiri solum, sed mulieres etiam è cœnaculis pugnarēt, lapides & testas & quicquid obuium erat, in barbaricam illam multitudinem, supernè iaculantes. At illi furore perciti, ulturique mulieres, ignem injiciunt ædibus unde feriebantur: cuius flamma, uehementi tum spirante uento, mox in sublime elata multa maxima pulcherrimaque ędificia in cineres redegit, & simulacra combussit ueterum uirorum, ob sapientiam & fortitudinem, & res manu consilioque bene gestas illustrium: ac præter cætera, insigne & ingens templum, ab Imperatore Constantio structū, & D. Irenæ ædem, ac Eubuli hospitalem domum, & Palatij Chalcostegum, quæ nunc Chalce appellatur (ab æreo tecto nomen id factum est) & carceris usum præbet, & Seueri balneas, quæ Zeuxippi nomen habent, aliaque multa quæ urbi atque imperio ornamenta & admirationē attulerūt. Tūc igitur Imperator aliud consilium cœpit cōprimendæ seditionis, & in theatrum progressus, uerba facere ad populū instituit, eoque populū per nuncios conuocauit. Is uerò adeò non obtemperauit, ut alij alios monerent, cauendum esse equestre theatrū, ne in eo tanquam carcere inclusi, eorū qui rerū potirētur iracundiā suo interitu explerent. Deinde in foro discursantes, de alio Imperatore creādo deliberarūt, & quendā Imperatoris Anastasij cognatū Hypatiū nacti, partim inuitū, partim etiā persuasū, in Magni Cōstantini forū adducūt, atque clypeo in sublime elatū, imperatorē consalutāt, & occupato curriculi equestris theatro, faustis ominib⁹ prosequūtur, purpurā quærētes & coronā populis his reb⁹ occupātes, Imperator magnis largitionibus multos Venetorū in suas partes pellexit direptaque concordia, eos inter sese concitauit,

Cōstantinopolitana seditio, in qua ciuiū ad xx. millia cæsa.

Heruli Barbari.

Sacerdotes seditionem compositu- ri cæsi.

Incendium seditioni cōiunctum.

Hypatij & Pompeij cædes.

Venetis largitionibus corruptis populi motus non sine multo sanguine sedatur.

Quo facto imperatorij satellites subito è Regia erumpentes armati, & ex urbe alij milites, prætereaq; Barbari intromissi, multitudinem quæ & ipsa iã inter se dissidebat, graminis instar ceciderunt, parcentes nemini. Refertum enim erat theatrum hominibus, cùm seditiosis, tum uerò spectandi gratia, ob Hypatij pro clamationẽ congregatis. Is unà cũ fratre Põpeio ad imperatorẽ perductus, occiditur, bonis eorũ cõfiscatis. E populo cæsi putãtur ad XL millia. Neq; uerò illorũ duorũ duntaxat bona publicata fuere, sed multorũ prętereа senatorij ordinis, deq; ipsis non uno modo supplіciũ sumptũ. Pro magna Ecclesia à Cõstantio condita, quæ in hac seditione, ut expositũ est, conflagrarat, Iustinianus aliã nouam lõgè maiorem & illustriorem extruere aggressus est, ædificationẽ auspicatus anno ab orbe cõdito sexiesmillesimo quadragesimo, indictione XV, mense Februario. Neq; uerò hoc duntaxat, sed & alia plura tẽpla extruxit: ad quorũ ædificationem cũ infinitis egeret pecunijs, de consilio præfecti stipendia liberalium artiũ magistris olim constituta, in omnib⁹ urbibus sustulit, quas, uacantibus literarũ ludis, rusticitas inuasit. Anno imperij eius XVII magna columna in uestibulo magni tẽpli collocata, absoluta est: cui equestrem suam statuam imposuit. Eo loco prius steterat columna, Magni Theodosij statuam argenteam sustinens, à filio eius Arcadio factam pondere VII millium & CCCC librarũ: quam ille cũ columna demolitus, argento direpto, eã reposuit quæ adhuc cũ eius imagine uisitur. Destruxit etiã maximos plumbeos canales, quibus aqua in urbem ducebatur, cũ eius materiæ multũ ad structuras ei esset opus. Eo tẽpore maximus quoq; terræmotus accidit, quo Cyzici semissis concidit. Fertur etiã tum quidã canem mirificum in urbem adduxisse, ad quem spectandum cõfluente populo, multi suos anulos in unũ aceruum congestos ante canem posuerunt, quos domini iussu, cuiq; suum citra errorẽ ore attulit. Idẽ rogatus, quis ex ijs qui adessent diues esset, q̃s pauper, quę mulier meretrix, quæ uidua, quæ uxor, & id genus alia: ea quoq; omnia absq; omni errore demõstrauit, ueste cuiusq; ad quæstionẽ ore prehẽsa. Ephiphanio patriarcha decimo anno Iustiniani mortuo, Anthimus Trapezuntius in sede Cõstantinopolitana successit. Fuit hic imperator libidini masculæ infestissimus, plurimosque ea de causa punijt, uirilibus exectis. Id cur faceret rogatus, An non inquit, si sacrilegium commisissent, manus illis amputandæ fuissent? Idem magnum Deiparæ templum in Pega condidit, & sanctorum Martyrum Sergij & Bachi ædem, multásque præterea substructiones, & pontem in Sangari fluuio: cui hoc ab Agathio epigramma est inscriptum,

Iustiniani ædificia.

Præmia literatis adempta.

Canis mirificus.

Anthimus patriarcha.

Impudici castrati.

Sangarij pons.

τότε τοίνυν ἀθρόον ἐκ τῶν βασιλείων οἱ περὶ τὸν αὐτοκράτορα ἐξῆλθον ἔνοπλοι. ἐκ δὲ τῆς πόλεως ἕτεροι στρατιῶται καὶ οἱ βάρβαροι ἐπεισέφρησαν, καὶ τὰ πλήθη ὡς χόρτον ἀφειδῶς ἐξεθέριζον, ἤδη καὶ πρὸς ἄλληλα στασιάσαντα, μεστὸν γὰρ ἦν ἀνθρώπων τὸ θέατρον. τῶν μὲν δὴ τῶν στασιαζόντων μοίρας, τῶν δέ γε πλειόνων διὰ θέαν τῶν γινομένων, καὶ δὴ τοῦ Ὑπατίου ἀναῤῥήσεως ἀθροισμένων. τὸν δὲ Ὑπάτιον συλλαβόντες, καὶ Πομπήϊον τὸν ἀδελφὸν αὐτοῦ, τῷ βασιλεῖ προσήγαγον, οἳ καὶ ἀνῃρέθησαν, καὶ αἱ περιουσίαι αὐτῶν ἐδημεύθησαν. τῶν δὲ ἐκ τοῦ δήμου ἀναιρεθέντων, εἰκάζεται εἶναι ὁ ἀριθμὸς ὡσεὶ τεσσαράκοντα χιλιάδες. οὐχὶ τῶν ἀρημένων δὲ δύο ἀνδρῶν μόνον ἐδημεύθησαν αἱ οὐσίαι, ἀλλὰ καὶ ἑτέρων πλειόνων συγκλητικῶν. κἀκεῖνοι δὲ πολυειδῶς ἐκολάσθησαν. ἐν δὲ τῇ στάσει ταύτῃ, ὡς εἴρηται, τῆς μεγάλης ἐκκλησίας καυθείσης, ἣν ὁ μέγας αὐτοκράτωρ κατεσκεύαστο, ἑτέραν πολλῷ μείζω καὶ περιφανεστέραν ὁ βασιλεὺς Ἰουστινιανὸς ἀπήρξατο καινουργεῖν, τῆς οἰκοδομῆς αὐτῆς ἀρχθείσης, κατὰ τὸ ἑξακισχιλιοστὸν τεσσαρακοστὸν ἔτος, ἰνδικτιῶνος πεντεκαιδεκάτης ἐνισταμένης, ἐν Φεβρουαρίῳ μηνί. οὐ μόνον δὲ τὸν ἱερὸν τοῦτον δόμον ὁ βασιλεὺς ἐκεῖνος ἐδείματο, ἀλλὰ καὶ ἑτέρους πλείονας. ἐν οἷς ἀπείρων χρημάτων δεόμενος, τὰς συνταχθείσας αὐτόθεν ἐν ἑκάστῃ τῶν πόλεων δίδοσθαι σιτήσεις τοῖς ἐν αὐταῖς διδασκάλοις τῶν λογικῶν τεχνῶν, καὶ ἐπιστημῶν ὑποθήκαις τοῦ ἐπάρχου ἐξέκοψε, καὶ ἐκ τούτου τῶν ἐν ταῖς πόλεσι διδασκαλείων σχολασάντων ἀγροικία τῶν ἐν αὐταῖς κατεκράτησε. κατά γε μὴν τὸ ἑπτακαιδέκατον ἔτος τῆς βασιλείας αὐτοῦ, καὶ ὁ κίων ὁ μέγας, ὁ ἐν τῷ προαυλίῳ τοῦ μεγάλου ναοῦ καθιδρυμένος, τετελείωται, ἐφ' ὃν τὴν εἰκόνα ἀνδριάντα ἔφιππον αὐτοῦ ὁ βασιλεὺς ἀνεστήλωσεν. ἔνθαπερ ἵστατο πρὶν ὁ κίων, τοῦ μεγάλου Θεοδοσίου φέρων στήλην, ἐξ ἀργύρου πεποιημένην παρὰ τοῦ ἐκείνου παιδὸς Ἀρκαδίου, ἕλκουσαν σταθμὸν λιτρῶν ἑπτακισχιλίων τετρακοσίων, ἣν καθελὼν ἐκεῖνος μετὰ τοῦ κίονος, καὶ τὸν ἄργυρον ἀφελόμενος, τὸν νῦν ὁρώμενον μετὰ τῆς εἰκόνος στήλης ἀνέστησε κίονα, ἀλλὰ καὶ ὀλκὸν μέγιστον ἐκ μολίβδου ἐξειργασμένον, δι' οὗ τὸ ὕδωρ εἰς τὴν πόλιν εἰσήγετο, καταλέλυκε, πολλῆς ἐν ταῖς οἰκοδομαῖς τῆς ὕλης ταύτης δεόμενος. καὶ σεισμὸς τότε τῆς γῆς συνέβη σφοδρότατος, ἐξ οὗ συμπέπτωκε τῆς Κυζίκου τὸ ἥμισυ. ἱστορεῖται δέ τις τότε εἰς Βυζάντιον ἐπιδημῆσαι, ἕλκων κύνα τερατουργόν. πολλῶν γὰρ εἰς θέαν αὐτοῦ συνηγμένων, ἐδίδουν πλείους ἐκ τούτων τοὺς ἑαυτῶν δακτυλίους, καὶ πάντας ὁμοῦ πρὸ τοῦ κυνὸς κατετίθουν. ὁ δ' ἐκελεύετο πρὸς τοῦ κυρίου αὐτοῦ ἑκάστῳ παρασχεῖν τὸν ἴδιον, καὶ τῷ στόματι λαμβάνων αὐτόν, καθ' ἕνα ἀπλανῶς ἑκάστῳ τὸν οἰκεῖον ἀπένεμε, καὶ αὖθις προσταχθεὶς δεῖξαι, τίς μὲν τῶν παρόντων εὔπορος ἦν, τίς δὲ πένης, ἢ τίς πόρνη τῶν γυναικῶν, ἢ τίς χήρα, τίς δὲ συνεζευγμένη ἀνδρί, καὶ ἕτερα τοιαῦτα, καὶ πάντα ἐδείκνυεν ἀσφαλῶς, ἑκάστου πρὸς τὸ ἐρώτημα τὸ ἱμάτιον κατέχων ἀπὸ στόματος. ἐπὶ μέντοι δεκάτῳ ἔτει τῆς ἀρχῆς Ἰουστινιανοῦ, τοῦ πατριάρχου Ἐπιφανίου θανόντος, ὁ Τραπεζούντιος Ἄνθιμος, εἰς τὸν πατριαρχικὸν θρόνον τῆς Κωνσταντινουπόλεως μετετέθη. οὗτος ὁ βασιλεὺς ὁ περὶ τοὺς ἀνδρομανοῦντας πολὺς ἐνέκειτο, καὶ πλείστους διὰ ταύτην τὴν αἰτίαν ἐκόλασε, τὰ αἰδοῖα τούτων ἐκτέμνων. καὶ πρὸς τὸν ἐρόμενον, διὰ τί ταύτῃ τοὺς ἀρρενοφθόρους κολάζει, ἔφη· εἰ δ' ἄρα ἱεροσυλήκασιν, οὐκ ἂν τὰς χεῖρας τούτων ἀπετεμόμην; οὗτος καὶ τὸν μέγαν ἐν τῇ Πηγῇ ναὸν τῆς Θεοτόκου ἀνήγειρε, καὶ τὸν τῶν ἁγίων μαρτύρων ἱερὸν Σεργίου καὶ Βάκχου, καὶ ἄλλας οἰκοδομὰς πολλὰς ἐπεσκεύασε, καὶ γέφυραν ἔκτισεν ἐπὶ τοῦ Σαγγάρη ποταμοῦ, ἐν ᾗ καὶ ἐπίγραμμα παρὰ Ἀγαθίου ἐγγέγραπται τόδε,

περὶ τῆς ἀναῤῥήσεως ἐν τῷ δήμῳ ἐν τῷ θεάτρῳ.

περὶ τῆς ἀνοικοδομῆς τῆς μεγάλης ἐκκλησίας.

περὶ τοῦ ἀνδριάντος.

περὶ τοῦ τερατουργοῦ κυνός.

περὶ πατριάρχου.

Καὶ

Καὶ σὺ μεθ' Ἑσπερίην ὑψαύχενα καὶ μετὰ Μήδων
ἔθνεα, καὶ πᾶσαν βαρβαρικὴν ἀγέλην,
Σαγγάριε κρατερῇσι ῥοὰς ἀψῖσι πεδηθείς,
οὕτως ἐδουλώθης κοιρανικῇ παλάμῃ,
ὁ πρὶν δὲ σκαφέεσσιν ἀνέμβατος, ὁ πρὶν ἀτειρὴς
κεῖσαι λαϊνέῃ σφιγκτὸς ἀλυκτοπέδῃ.

ἡ δὲ βασιλὶς Θεοδώρα τότε τὸν τῶν ἁγίων ἀποστόλων περιώνυμον ναὸν ἐδομήσατο. ἦν μὲν γὰρ καὶ πρώην τοῖς ἀποστόλοις ἐκεῖσε ναός, παρὰ Κωνσταντίου τοῦ υἱοῦ τοῦ μεγάλου Κωνσταντίνου δεδομημένος. οὐχ οἷος δ' ὁ νῦν ἐστί, πολλῷ δὲ τούτου καὶ πρὸς κάλλος καὶ πρὸς ὄγκον λειπόμενος. Ὀνωρίου δέ ποτε τῆς πρεσβυτέρας βασιλεύοντος Ῥώμης, μεταναστὰν τὸ τῶν Οὐανδήλων ἔθνος, καὶ εἰς Ἱσπανίαν ἐλθόν, κἀκεῖθεν εἰς Λιβύην διαπεραιωθέν, σὺν τῷ οἰκείῳ ῥηγὶ Γονδιγίσγλῳ, κατέσχε ταύτην. ἐφ' υἱοῖς δὲ δυσὶ τούτου θανόντος, ὧν ὁ ἕτερος Γόνδαρις, ὁ δὲ λοιπὸς ἐκαλεῖτο Γιζέριχος, εἰς μόνον τὸν Γιζέριχον ἡ ἀρχὴ περιέστη, τοῦ Γόνδαρις τελευτήσαντος. οὗτος γοῦν ὁ Γιζέριχος, τήν τε Καρχηδόνα παρέλαβε, καὶ τὴν Ῥώμην αὐτήν, καὶ ἤδη τριάκοντα καὶ ἐννέα τῶν Οὐανδήλων ἡγεμονεύσας ἐνιαυτοὺς ἀπέτισε τὸ χρεών. ὃν Ὀνώριχος ὁ υἱὸς διεδέξατο, ὑφ' οὗ πλεῖστα δεινὰ τοῖς ὀρθοδόξοις ἐπήχθησαν, ἀρειανίζειν πάντας καταναγκάζοντος. ὃς ἐπ' ἔτη ἄρξας ὀκτώ, ἤδη διάδοχον Γονδαμοῦνδον τῷ υἱῷ τελευτᾷ. καὶ οὗτος δὲ βαρὺς τοῖς ὀρθοδόξοις γενόμενος, κατέλυσε τὴν ζωὴν ἤδη ἐνιαυτοὺς τὴν ἀρχὴν κατασχὼν δυοκαίδεκα. εἶτα Τρασαμοῦνδος τῶν Οὐανδήλων γέγονεν ἡγεμών, καὶ οὗτος ἀρειανός, οὐ κολάζων τοὺς ὀρθοδόξους, μόνον μέντοι ἀποστρεφόμενος, καὶ τούτου δὲ ἔτη εἴκοσι καὶ ἑπτὰ διαγαγόντος ἐν τῇ ἀρχῇ, καὶ τὸ βιώσιμον ἐκμετρήσαντος, εἰς Ἰλδέριχον ἡ ἡγεμονία μετέπεσεν, ὃς Γιζερίχου ἦν υἱωνός, ἐξ Ὀνωρίχου τοῦ ἐκείνου παιδός. οὔτε δὲ Χριστιανοῖς χαλεπῶς προσεφέρετο, καὶ πᾶσι πρᾶος ἐτύγχανεν, ἅτε καὶ μαλθακοῦ τυχὼν ἤθους ἐκ φύσεως, ὅθεν ἦν καὶ πρὸς πολέμους νωθέστερος. οὗτος δὲ ὁ Ἰλδέριχος συνήθης γέγονε τῷ Ἰουστινιανῷ, ἔτι ἰδιωτεύοντι. Γελίμερ δέ τις ὁμογενὴς Ἰλδερίχου, ἀνὴρ κακοήθης μέν, δραστήριος δὲ καὶ νεωτερίσαι δεινός, ἐπέθετο τυραννίδι. καὶ τὸν οἰκεῖον κατασχὼν δεσπότην, εἱρκτῇ παραδέδωκε, καὶ τοὺς ὅσοι ἐκείνῳ ᾠκείωντο. ἀποτριβόμενος δ' οἷον τὸ τῆς τυραννίδος αἰτίαμα, γράφει πρὸς Ἰουστινιανόν, ὡς οὐ τῆς ἀρχῆς ἐρῶν, ταύτης ἐδράξατο, ἀλλ' ὅτι Ἰλδέριχος ἀπεπεφύκει πρὸς τὴν ταύτης διοίκησιν. ὁ δὲ βασιλεὺς ἀντεπέστειλε τῷ Γελίμερι, ὡς οὐκ ἀνέξεται, εἰ μὴ τὸν τυραννηθέντα μὲν τιμωρήσει, τὸν δὲ τυραννήσαντα τιμωρήσεται. διὸ τὸν πατρίκιον Βελλισάριον ἐκ τῆς ἕω μετακαλεσάμενος (ἐκεῖ γὰρ ἦν ὁ ἀνὴρ τοῖς Πέρσαις μαχόμενος) εἰς Λιβύην μετὰ χειρὸς βαρείας καὶ στόλου πέμπει πολλοῦ, ἐπιστήσας αὐτὸν ταῖς δυνάμεσιν ἐπιστάτης ἀρχιστράτηγον αὐτοκράτορα, ᾧ καὶ ὁ Καισαρεὺς συμπαρωμάρτει Προκόπιος, ὃς τὰ περὶ τῶν ἐκεῖ πολέμων ἱστόρησε πλατυκώτερον. καταπλεύσας οὖν εἰς Λιβύην ὁ Βελλισάριος, χάρακα βάλλεται. ὁ δὲ Γελίμερ τοῦτο μαθών, ἐπιστέλλει τῷ ἀδελφῷ Ἀμματᾷ, τόν τε Ἰλδέριχον καὶ τοὺς αὐτοῦ συγγενεῖς, οὓς ἐμφρουρέους κατεῖχεν, αὐτίκα κτεῖναι. καὶ οἱ μὲν ἀνῄρηντο. Γελίμερ δὲ συμβαλὼν τῷ Βελλισαρίῳ καὶ ἡττηθείς, τῆς τε Καρχηδόνος ἐξέπεσε καὶ τῶν ἄλλων, καὶ πάσης τῆς Λιβύης ἐκράτησεν ὁ Βελλισάριος, καὶ τῇ βασιλείᾳ Ῥωμαίων ὑπέταξεν, ἐνενήκοντα καὶ πέντε ἐνιαυτοὺς τῶν Οὐανδήλων κυριευσάντων αὐτῆς. συνέσχε δὲ ζωὸν καὶ αὐτὸν τὸν Γελίμερα σὺν γαμε-

περὶ τῶν Οὐανδήλων, καὶ ὅπως Λιβύης ἐκράτησαν, καὶ ἐπὶ πόσον καὶ ὅπως ὑπὸ Ἰουστινιανοῦ ἀνελήφθησαν παρὰ τοῦ Βελλισαρίου.

ἧττα τοῦ Γελίμερος, πόλεμος δὲ καὶ ἅλωσις.

Nauibus infestum prius indomitumq; feroci
Flumine, marmoreis te quoq; compedibus
Sangari post Medos domitos, fractosq; sup-
Hesperiæ populos Barbaricęq; ferã [bos
Regia dextra suo cõstrinxit numine, tutũq;
Impete suppresso nunc patefecit iter.

Condidit tunc & Theodora Imperatrix celebrem illam S. Apostolorũ ædem. Fuerat quidem prius quoq; ibi ædes eorundẽ, à Constantio ædificata: non tamen huic similis, sed ea & magnitudine & pulchritudine multò inferior. Honorio quondã Romæ ueteri imperante, gens Vandalica relictis sedibus in Hispaniam se contulerat, atq; inde freto traiecto cum Rege Gondigisglo in Africa consederat. Eo mortuo, duobus filijs Gundari & Gizericho relictis, imperiũ uniuersum, post alterius obitum ad Gizerichum redijt. Is & Carthaginem & ipsam Romã occupauit, cumq; Vandalis annos XXXIX imperasset, naturæ debitum persoluit. Huic successit Honorichus filius, qui cũ VIII annis, quibus regnauit, orthodoxos plurimis malis ut Arianismũ amplecterent, affecisset, Gundamundo filio successore, moritur, qui & ipse orthodoxis infestus, XII regni anno moritur. Post hunc Trasamundus Vandalorum dux est factus, Arianus & ipse, qui tamen orthodoxos tantũ auersatus, est nõ etiã supplicijs insectat⁹. Regnauit annos XXVII, eoq; defuncto principat⁹ ad Hilderichũ Gizerichi ex Honoricho filio nepotẽ recidit. Is neq; Christianos asperè tractauit, & clementẽ se prębuit erga omnes, uir miti ingenio, & ad bella suscipienda cunctantior. Contraxerat autẽ cũ Iustiniano priuato adhuc familiaritatẽ. Cæterũ Gelimerus, cognat⁹ eius, homo improbus ille quidem, sed strenuus & nouatum rerum solertissimus machinator regnum inuadit, domino suo & omnibus eius familiaribus in uincula coniectis: & ut crimen tyrannidis à se amoueret, ad Iustinianum scribit, se non regnandi cupiditate imperium inuasisse, sed quòd Hilderichum ad id administrandum natura minus aptum esse uiderit. At imperator Gelimero rescribit, se non conquieturum, nisi & iniusta ui oppressum uindicarit, & tyrannum ultus fuerit. Itaq; patricium Bellisarium ex oriente, ubi cum Persis bellum gerebat, accersitum, cum manu ualidissima & magna classe, omnibus copijs cum summo imperio præfectum in Libyam mittit, etiam Cæsariensi Procopio comitãte, q bella illic gesta copiosè psecutus est. Bellisari⁹ exercitu in Libya exposito, uallũ obducit. Quo Gelimerus cognito, fratri Amatę mãdat, ut Hilderichũ cũ cognatis, quos in custodia tenebat, statim è medio tollat. Sic illi interfecti sunt. Bellisari⁹ aũt Gelimero pfligato ereptaq; Carthagine, toti⁹ Libyę est potit⁹, eã que Romano imperio subiecit, à Vãdalis p annos XCV occupatã, & Gelimerũ uiuũ cũ uxo-

Vandalorũ regnum in Africa.

Gelimerus ob captum Hilderichũ Vandalorũ regem, à Iustiniano bello petitur.

Hilderichi cædes.

re & liberis cõprehendit. Ferunt, cum dum in regione Maurorum aspera cum suis obsideretur, annona destitutũ, à tribuno, quem Bellisarius obsidioni præfecerat, petijsse panẽ, citharam & spongiã: qui cũ nõ intelligeret, qua de causa ista peteret, nuncium interrogasse. eum uero respondisse: Panem petijsse spectandi desiderio, quod nullum uidisset ex quo Carthagine excidisset. Nam Barbaros apud quos agat, misere uictitare: Spongiam, ut lachrymas extergat: Citharã, ut ea calamitates suas deploret. Facta porrò cum suis deditione, ad Bellisarium uiuus est perductus, interim ridens: ut qui uidebant, eum errore mentis affici crederent, ob calamitatis magnitudinem.

Gelimeri petitio ab hoste et deditio.

Bellisarius Africam recuperat.

Sed res aliter se habebat. Nam dum fortunæ suæ cõmutationem animo reputaret, humana omnia ridicula esse existimabat. Bellisarius uerò & ipsum & duces Vandalorũ in custodia honorificè habuit, ut ad imperatorẽ perducerentur. Cœpit & Siciliam & Sardiniam insulam, de qua suprà à me dictum est, & ad Gades usq;, subactis omnibus: sic demũ Byzantium est reuersus, & ipsum Gelimerũ cũ uxore, liberis, cognatis, & omnibus eius ministerijs adduxit. Ob quæ magnus ei honos est ab Imperatore habitus & triumphus decretus, & ludi equestres in theatro acti, ipso imperatore de more præsidente, & senatu omniq; populo præsente. Procedebat autẽ Bellisarius dux, Gelimeri subsequentis purpuræ manu innitus, comitantibus centurionibus & tribunis, & Gelimeri cognatis. Cum iam ad Imperatorem peruentũ esset, Bellisarius Gelimero persuadet, ut humi procumbat, & Imperatorẽ adoret. Facit ille ut iubebatur, lachrymis oppletus. Procumbit & ipse Bellisarius, ut Gelimero ostenderet, eum id facere iussum, non ut captiuum, sed quia moris sit hoc modo adorari Romanorum imperatores, eiusq; calamitatem subleuaret. Cum eundem honorem & imperatrici habuisset Gelimer, hospitio splẽdido & regijs ministerijs iam antè præparatis excipitur. Post dies aliquot, cum iterum ludi equestres in theatro agitarentur, spolia bellica per mediam urbem ostentata, in stadium inferuntur, iacula, sellæ, muliebres lecticæ, omnia aurea, & preciosis lapillis exornata, & sponda eiusdem generis, auranq; tapetes, & utensilia mensarum partim aurea, partim argentea, pocula item aurea, gemmis interpolata, purpureæ que uestes, & pepla eiusdem generis, regales coronæ, ornamenta mulierum gemmis & margaritis interpuncta, aliaq; plurima & penè innumerabilia. & post hæc omnia, cistæ septem auro plenæ, & libri sacrorum Euangeliorum undique auro refulgentes, & omnis generis lapillis distincti. Ac triumphus huiusmodi fuit: Bellisario autem etiam consulatus est delatus. Bello Vandalico iam confecto, idem Romã

Bellisarij triumphus Africanus.

τῇ καὶ τέκνοις αὐτοῦ. λέγεται δὲ πολιορκούμενον αὐτὸν μετὰ τῶν οἰκείων ἐν χώρᾳ λυπρᾷ τῇ τῶν Μαυρουσίων, ἐπιλεῖψαι τὰ σιταρκῆ, τὸν δὲ ἐπιστεῖλαι τῷ ταγματάρχῃ, ὃν ὁ Βελισάριος τῇ πολιορκίᾳ ἐπέστησεν, αἰτοῦντα στεῖλαί οἱ ἄρτον ἕνα, καὶ κιθάραν καὶ σπόγγον. ὡς δὲ συνιδεῖν οὐκ εἶχον, ὅτου γε χάριν αἰτοίη ταῦτα, παρὰ τοῦ Γελίμερος τὰ αἴτια μαθεῖν. τὸν γὰρ τῆς γραφῆς ἐρώτησιν κομισάντων, ὁ δὲ τὸν μὲν ἄρτον εἶπεν αἰτεῖν, ἐπιθυμοῦντα τοῦ ἰδεῖν, ἐπεὶ μὴ εἶδεν ἐξότου τῆς Καρχηδόνος ἐκπέπτωκε, τῶν βαρβάρων, παρ' οἷς ἐστί, κακοβίων ὄντων. τὸν δὲ σπόγγον, ἵνα τούτῳ τῶν ὀμμάτων ἐκμάξοιτο τὰ δάκρυα. τὴν δὲ κιθάραν, ἵνα ταύτῃ τὰς οἰκείας συμφορὰς ἀνακλαύσηται. ἑαυτὸν δὲ ὅμως ὁ Γελίμερ παραδοὺς τοῖς πολιορκοῦσι μετὰ τῶν συνόντων, ἤχθη πρὸς Βελλισάριον, καὶ ἐγέλα πρὸς αὐτὸν εἰσαγόμενος, ὡς τοῖς ὁρῶσιν ἐξεστηκέναι δοκεῖν αὐτόν, διὰ τὴν τοῦ πάθους ὑπερβολήν. ἦν δ' ἕτερόν τι τὸ γινόμενον. ἀναλογιζόμενος γὰρ ἀφ' οἵαν τύχην εἰς οἵας κατήντησε, καὶ γέλωτος ἄξια κρίνων τὰ ἀνθρώπινα, ἐγέλα τοῦτο. Βελλισάριος δὲ καὶ αὐτὸν καὶ τοὺς τῶν Βανδήλων ἄρχοντας ἐντίμως ἐφύλαττε, κομισθησομένους τῷ βασιλεῖ. παρέλαβε δὲ καὶ Σικελίαν καὶ τὴν Σαρδὼ (νῆσος δὲ καὶ αὐτὴ ὡς ἤδη καὶ προείρηται) καὶ τὰ μέχρι Γαδείρων, ὑφ' ἑαυτὸν ἐποιήσατο, καὶ οὕτως ἐπανῆλθεν εἰς τὸ Βυζάντιον, ἄγων αὐτόν τε τὸν Γελίμερα σὺν γυναικὶ καὶ τέκνοις καὶ συγγενέσι, καὶ πᾶσαν τὴν θεραπείαν αὐτοῦ, ὃ τιμῆς μεγάλης παρὰ τοῦ βασιλέως ἠξίωτο. ὅτε καὶ θρίαμβον ἐπὶ τῇ νίκῃ κατήγαγε, τελουμένης ἁμίλλης ἵππων ἐν τῷ θεάτρῳ, αὐτοῦ τε τοῦ κρατοῦντος (ὡς ἔθος) προκαθημένου, καὶ τῆς γερουσίας παρούσης, καὶ τοῦ δήμου παντὸς καὶ προῄει μὲν ἐκ τῆς τῶν ἵππων ἀφετηρίας ὁ ἀρχιστράτηγος Βελλισάριος τῆς πορφυρίδος τοῦ Γελίμερος περιῃρημένου ἐχόμενος τῇ χειρί, συμπαρομαρτούντων δ' αὐτῷ καὶ οἱ τῶν τάξεων στρατηγοί, καὶ ταγματάρχαι καὶ λοχαγοί, καὶ οἱ τοῦ Γελίμερος συγγενεῖς. ἤδη δ' ἐφθακὼς ἔναντι τοῦ κρατοῦντος ὁ Βελλισάριος, πείθει τὸν Γελίμερα, εἰς τοὔδαφος καταβαλεῖν ἑαυτόν, καὶ οὕτως ἀπονεῖμαι τῷ βασιλεῖ τὴν προσκύνησιν. ὁ δ' ἐποίει τὸ προσταττόμενον, καταχεόμενος δακρύοις, καὶ αὐτὸς δὲ ὁ Βελλισάριος προσέδωκεν ἑαυτόν, ἐνδεικνύμενος τῷ Γελίμερι, ὅτι οὐχ ὡς αἰχμάλωτος ἐκεῖνος τοῦτο ποιῆσαι ἠναγκάσθη, ἀλλ' ὅτι οὕτω νενόμισται προσκυνεῖσθαι τῶν Ῥωμαίων τοὺς βασιλέας, καὶ οἱονεὶ κουφίζων αὐτῷ τὸ δυστύχημα, καὶ τὴν ἴσην δὲ τῇ βασιλίσσῃ προσκύνησιν ἀπονέμοντα τὸν Γελίμερα, καταγωγὴ δέχεται λαμπρὰ καὶ θεραπεία βασιλικὴ προεξηρτυμένα ἐδέξατο αὐτόν. μεθ' ἡμέρας δέ τινας αὖθις ἱππηλασίας ἀγομένης ἐν τῷ θεάτρῳ, τὰ λάφυρα τοῦ πολέμου διὰ μέσης τῆς πόλεως κομιζόμενα καὶ θριαμβευόμενα, εἰσήγοντο εἰς τὸ στάδιον, ἀκόντια καὶ θρόνοι, καὶ φορεῖα καταστεγῆ γυναικεῖα, χρυσοῦ τὰ πάντα πεποιημένα, καὶ λίθοις τιμαλφέσιν ἐγκοσμούμενα, καὶ κλίνη ὁμοία, καὶ χρυσόπαστοι τάπητες, καὶ σκεύη τὰ ταῖς τραπέζαις ὑπηρετούμενα, τὰ μὲν ἐκ χρυσοῦ εἰργασμένα, τὰ δ' ἐξ ἀργύρου πεποιημένα, καὶ ἐκπώματα χρυσοῦ τε καὶ λιθοκόλλητα, καὶ ἁλουργεῖς ἐσθῆτες, καὶ πέπλοι παρόμοιοι, καὶ βασίλειοι στέφανοι, καὶ κόσμοι γυναικῶν διάλιθοί τε καὶ μαργαρώδεις, καὶ ἄλλα πλεῖστα, καὶ ἀριθμὸν χιλίων ὑπερβαίνοντα. καὶ ἐπὶ πᾶσι, λάρνακες ἑπτὰ χρυσίου μεσταί, καὶ βίβλοι τῶν θείων εὐαγγελίων, χρυσῷ περιλαμπόμεναι πάντοθεν, καὶ λίθων παντοίοις γένεσι πεποικιλμέναι. τὰ μὲν οὖν τοῦ θριάμβου ὧδε ἐν τούτοις. Βελλισάριος δὲ καὶ ὑπατείας ἠξίωτο. ἤδη δὲ τοῦ τῶν Βανδήλων πολέμου καταλυθέντος, εἵλετο παρὰ τοῦ

οἷος ὁ θρίαμβος γέγονε.

περὶ δὲ τῶν λαφύρων τῶν [illegible]

ρὰ τοῦ

ὅτι ὁ βελλισάριος ἐπὶ τὴν ἰταλίαν ἐστάλη ταύτην τε καὶ τὴν ῥώμην ὑποτάξαι τῷ βασιλεῖ ὑπὸ γότθων κατεχομένας.

ρὰ τοῦ βασιλέως εἰς ῥώμην, ταύτην τε καὶ πᾶσαν αὐτὴν τὴν ἰταλίαν παρασκευασόμενος, ὑπὸ γότθων κατεχομένην, ὧν θευδάτος ἦν ἡγεμών. τοῦτο μαθὼν ὁ θευδάτος, ἀγαπητὸν τὸν τῆς ῥώμης μέγαν ἀρχιερέα, ἄνδρα θεσπέσιον, πρὸς τὸν βασιλέα πρεσβευσόμενον. ὁ δὲ καταλαβὼν τὸ βυζάντιον, καὶ τῷ ἰουστινιανῷ ἐντυχὼν, πρῶτον περὶ θεοῦ καὶ τῆς εἰς αὐτὸν ὀρθῆς διαλέγεται πίστεως, καὶ τὴν εἰς τὸν θρόνον τῆς νέας ῥώμης ἀναγωγὴν ἀνθίμου ἐπ' αἰτίαν πεποίητο, ὅτι τε μὴ κανονικῶς ἐκ τραπεζοῦντος, ἣ τῶν εἰς τὸν πολεμωνιακὸν πόντον κειμένων πόλεων τυγχάνει μητρόπολις, εἰς τὴν κωνσταντίνου μετήνεκτο, καὶ ὅτι καὶ τῆς σευήρου κακοδοξίας μετέσχηκεν. ὁ δὲ αὐτοκράτωρ ἅτε δὴ τῇ βασιλίδι τὸν ἄνθιμον τῆς ἀρχιερατικῆς ἀξιώσας καθέδρας τῆς κωνσταντινουπόλεως, τὰ οἰκεῖα αὐτάρχου πράξεως. ἐνισταμένου δ' ἔτι τοῦ θείου ἀγαπητοῦ, ἠπείλει αὐτῷ, ἱκανὸς εἶναι λέγων πράττειν ὃ βούλοιτο. ὡς δ' ἐπεγέλα ἀπειλοῦντι τῷ βασιλεῖ ὁ ἀρχιερεὺς, καὶ ἡδέως ἂν δέξασθαι, καὶ τὴν σφαγὴν αὐτίκα πάσχειν, καὶ μακάριος εἶναι, εἰ γὰρ ἀληθῶς τοιούτου τέλους ἀξιωθείη. ᾐδέσθη ὁ αὐτοκράτωρ, καὶ μεταβαλὼν, ὑπὸ ζήτησιν τὴν πρᾶξιν καθίστησι, καὶ αὐτίκα πολλοὶ μὲν τινὲς τῶν ἀρχιερέων τῷ πάπᾳ ῥώμης ἀγαπητῷ, τῇ βασιλίσσῃ χαριζόμενοι, ὡς καὶ χρήμασιν ὑπεφθάρησαν. πάντων δ' ἐκεῖνος τῇ ἀληθείᾳ συνηγορῶν, ὑπερτέρησε, καὶ ὁ ἄνθιμος τοῦ θρόνου τῆς κωνσταντινουπόλεως ἐξεβέβλητο, ἔτος ἓν ἀπολαύσας αὐτοῦ, τοῦ βασιλέως αἰδεσθέντος τὸν ἱερώτατον πάπαν, καὶ τὴν ἀλήθειαν. αὐτίκα ἀνήχθη δὲ μηνᾶς, ἀνὴρ εὐσεβέστατος, αὐχῶν μὲν πατρίδα, τὴν κατ' αἴγυπτον ἀλεξάνδρειαν, ἐκφὺς δ' ἑνὸς τῶν ἐν ταύτῃ ἐπιφανῶν, καὶ λόγων οὐκ ἂν ἀνομίλητος, καὶ μάλιστά γε τῶν θειοτέρων. οὕτω δὲ τῆς ἀρχιερωσύνης μηνᾶς ὁ θεῖος τυχὼν, ἢ μᾶλλον ἐκείνης ἐντυχούσης αὐτὸν, σύνοδον μερικὴν συγκροτεῖ, σὺν τῷ πάπᾳ ἀγαπητῷ, καὶ ἀναθέματι περιβάλλει σευῆρον καὶ εὐτυχῆ, καὶ πέτρον καὶ τὸν ἁλικαρνασέα ἰουλιανὸν καὶ τὸν ἄνθιμον ὡς ἐκείνοις ὁμόφρονα. ἔτι δ' ἐν τῷ βυζαντίῳ διάγων ὁ ἱερώτατος πάπας ἀγαπητὸς, μετήλλαξε τὴν ζωήν. ὁ μέντοι μηνᾶς ἤδη δέκα καὶ ἓξ τὴν ἐκκλησίαν εὐσεβῶς ἰθύνας ἔτη, τὸν βίον κατέλυσε. καὶ ἀνήχθη εἰς τὴν ἀρχιερατικὴν καθέδραν τὴν νέας ῥώμης εὐτύχιος, πρυτανεύσας ὀρθοφρόνως τῆς ἐκκλησίας ἐνιαυτοὺς δυοκαίδεκα. ἐφ' οὗ καὶ ἡ πέμπτη συνήθροιστο σύνοδος τῶν ἑκατὸν ἑξήκοντα καὶ πέντε ἁγίων πατέρων, ὧν ἐξῆρχε βιγίλιος πάπας ῥώμης, καὶ ὁ εἰρημένος εὐτύχιος, καὶ ὁ ἀλεξανδρείας ἀπολλινάριος. συνήθροιστο δὲ κατὰ τοῦ ὠριγένους, καὶ τῶν ἀλλοκότων ἐκείνου δοξῶν, καὶ τῶν τὰ ἐκείνου πρεσβευσάντων διδύμου καὶ εὐαγρίου, οἵ τινα τῶν ψυχῶν προϋπαρξιν ἐδογμάτιζον, καὶ τέλος τῆς κολάσεως ἔλεγον, καὶ τῶν δαιμόνων εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν, καὶ ἕτερα πλείονα, οὓς καὶ ἀναθέματι σὺν τοῖς αὐτῶν ὑπέβαλε δόγμασιν, ἀλλὰ καὶ τὸν μοψουεστίας θεόδωρον τὰ νεστορίου φρονοῦντα, ἢ μᾶλλον ἐκείνου γεγονότα διδάσκαλον, καὶ τοῦ βασιλέως ἰουστινιανοῦ παρόντος ἐν τῇ συνόδῳ, καὶ συνδοκοῦντος οἷς οἱ θεῖοι πατέρες ἐκεῖνοι θεοφιλῶς ἐνομοθέτησαν. ἀλλὰ ταῦτα μὲν ταύτῃ συνήνεκτο. ὁ βελλισάριος δὲ εἰς τὴν ἰταλίαν ἐκπλεύσας, πρῶτον μὲν πολιορκίᾳ λαμβάνει νεάπολιν, εἶτα καὶ εἰς αὐτὴν τὴν ῥώμην ἐπελάσας, ὁμοῦ μὲν δυνάμει, ὁμοῦ δὲ καὶ τῇ τῶν ἀστῶν εὐνοίᾳ, γέγονε καὶ ταύτης ἐντός. ὁ γὰρ τῶν γότθων ἄρχων

περὶ τοῦ πατριάρχου μηνᾶ καὶ περὶ μερικῆς συνόδου ὑπ' αὐτοῦ καὶ πάπα ῥώμης ἀγαπητοῦ γενομένης.

περὶ εὐτυχίου.

περὶ δὲ πέμπτης συνόδου.

ὅπως ὁ βελλισάριος τὴν ῥώμην εἷλε.

ab Imperatore mittitur, ut eam & totam Italiam à Gotthis occupatam subigat, quorum dux erat Theudat⁹. Qui ea re cognita, Agapetum pontificem Romanum uirum admirandum, legatum mittit ad Imperatorem, qui Byzantium ad Iustinianum profectus, primùm de Deo & recta in eum fide disserit, & Anthimi collocationem in nouæ Romæ sede incusat: neq; enim eum Trapezunte, urbium Polemoniaci Ponti Metropoli, Byzantium ritè translatum, prætereaq; peruersa opinione Seueri imbutum esse. Verùm Imperator, qui Anthimum intercessione coniugis Constantinopolitanum patriarcham designarat, acta sua rescindere noluit, & diuo Agapeto acrius instanti, minatus, se suo arbitratu quod uellet, posse agere dixit. Cum autem pontifex ad minas risisset, seq; cædem etiam æquo animo laturum esse respondisset, ac beatum fore, si talis sibi uitæ exitus daretur: uerecundatus imperator, mutataq; sententia, rem examinandam proposuit. Ac nonnulli è primoribus sacerdotibus Agapeto Papæ Romano in Imperatricis gratiā sunt refragati, ab eadē quoq; largitionibus corrupti: quos tamen ille qui ueritatem defenderet, omnes superauit. Itaque Anthimus, throno, quem annum unū occuparat, est eiectus, Imperatore sanctissimum Papam & ueritatē reuerito, & in eius locū suffectus Menas uir summæ pietatis, Alexādrinus patria, & illustri genere ortus, literarū non expers, sacrarū maximè. Diuus igit̃ Menas hoc modo patriarchatu potit⁹, ac ipse potius felici sorte patriarchatui traditus, particulari cōcilio cum Pontifice Agapeto conuocato, Seuerum, Eutychem, Petrum, Halicarnasseum Iulianum, & Anthimum assensorē illorū anathemate notat. Cæterū sanctissimus Papa Agapetus, Cōstantinopoli defunctus est. Menas cū Ecclesiā per annos XVI piè gubernasset, obijt. Ei successit Eutychius, recteq; præfuit per annos duodecimo. Sub hoc, quintum concilium est coactum CLXV sanctorum patrum, quorum princeps fuit Vigilius Papa Romanus, & is, cuius iam facta mentio est, Eutychius, & Alexandrinus Apollinaris. Concilij huius indicti causa fuit Origenes, eiusq; peruersæ opiniones, & sectatores eius Didymus atque Euagrius: quorum dogma fuit, animas ante corpora extitisse, & supplicij finem esse, & dæmones pristinā dignitatem recuperaturos, aliaq; plura. Hos eorūq; dogmata, necnō Theodorū ex Mopsi bestia Nestorij suffragatorē, uel magistrum potius illius, anathemate notarūt, cùm Iustinianus concilio interesset, & pia decreta patrum approbaret. Atque hęc ita gesta sunt. Bellisarius autem cum in Italiam traiecisset, primum Neapolim obsidione capit. Deinde Romæ quoq; ipsi⁹ potitur, partim ui, partim beneuolentia ciuiū. Nam Gothorū dux

Agapeti Papæ Romanæ legatio apud Iustinianum.

Menas Anthimo substituitur.

Agapetus et Menas damnant Seuerianos.

Eutychius. Quintū cōcilium.

Origenica dogmata.

Bellisarius rē bene gerit in Italia contra Gothos.

Theudatus Rauennæ degebat. Mediolanum item Romani cœperunt. Quæ urbs cum à Gothis denuò obsideretur, Imperator Narsetem *Narses Eunuchus.* Bellisario suppetias mittit, eunuchum illum quidem, cæterum uirum strenuum, & rei militaris peritissimũ, & ijs qui rerum potiebantur, familiarem. Verùm inter hos duos parum conueniebat. Nam cum Bellisarius summam rerum bene gestarum sibi uendicaret, Narses autem illius auspicijs militare uideri nollet: se iuncti diuersis in locis bellum administrarũt, eaq́ causa fuit, cur alicubi impegerint. Nam imperatorij milites commeatus inopiam causantes, Gothis Mediolano cesserunt, & maius forsitan ex eorum dissensione malũ esset ortum, nisi Imperator Narsetem per literas reuocasset. Post id Bellisarius solus rem gerens, omnem Italiam & urbes eius subegit, & Barbaris tantum sui & terrorem & amorem incussit, ut & suum imperium illi deferrent, orarentq́ ut Rex suus esse dignaretur, se suaq́ omnia illius fidei permittentes. At ille, ut Cæsariensis Procopius, qui sub illo militauit, refert,
» nunquam se commissurum esse dixit, ut ui-
» uente Iustiniano Rex appellaretur. Hinc inuidia conflata, ab imperatore ob calumniam affectati imperij accersitur, per speciẽ eius in *Theodoræ obitus.* orientem ad bellum Medicum ablegandi. Interea Augusta Theodora obit, cum in imperio uixisset annos XXI & menses III. Ecclesia magna iam absoluta & consecrata, accidit, ut magnus globus uersus Orientem collocatus ex terræmotu caderet, eoq́ casu & ciborium sacræ mensæ, & ipsa sacratissima mensa, & ambulacrũ superius cõtereretur. Qua de causa Trulum etiam iussu imperatoris demoliti, denuò instaurarunt, XXV pedibus altius eductum, & ab Eutychio patriarcha denuò consecratum. Hoc imperatore etiam cœtus ille captus est, qui Byzantijs ultra L. annos molestus *Porphyrius cætus.* fuit, quem Porphyrium appellabant, non ille quidem semper apparens, sed ex interuallis. Cęterum quoties apparebat, cùm multas naues demergebat, tum multis hominibus exitium afferebat. Qui cùm multis machinis peteretur, eæq́ omnes essent irritę, tandẽ in persequendis delphinis captus est: qui cum prope terram confugissent, ille impetum non inhibuit, donec proximè terram prouectus, in uliginem & profundum lutum incidisset, unde emergere nõ potuit. Quo accolę cognito, marinã illã belluã securibus & bipẽnibus cõfecerunt, & funibus, qua crassior erat, alligatis, boũ iugis in terrã pertraxerũt. Eius lõgitudo XXX cubitorũ fuit, latitudo X, ut Procopius Cęsariẽsis refert. Eodẽ etiã autore, Iustini *Serica tela.* ani tẽporib⁹ tela serica à Romanis texi cœpit, quæ prius à Persicis mercatorib⁹ tantũ afferebat, cum ignorarent quomodo fieret, neq́ scirent fila esse uermiũ. Cæterũ duo monachi ex India Byzantiũ profecti, originẽ illius decla-

θευδάτου τοῦ ῥαβέννῃ διάγων ἐτύγχανε. καὶ μεδιόλανα δὲ ἡ πόλις κατεσχέθη παρὰ ῥωμαίων. τῶν δὲ γότθων αὖθις πολιορκούντων αὐτὴν, ὁ βασιλεὺς τὸν ναρσῆν μετὰ δυνάμεως ἐπαρῆξαι τῷ βελισαρίῳ ἀπέστειλεν. ἦν δὲ ὁ ναρσῆς ἐκτομίας, ἀλλ' ὅμως μέντοι γενναῖός τε καὶ στρατηγικώτατος, καὶ τοῖς κρατοῦσιν ᾠκειωμένος. ἀλλήλοιν οὖν μὴ συμφρονούντοιν τοῖν στρατηγοῖν τούτοιν (ὁ μὲν γὰρ βελισάριος ἑαυτῷ τῶν κατορθωμάτων ἤθελε τὴν πᾶσαν ἐπιγράφεσθαι, ὁ δέ γε ναρσῆς οὐκ ἠνέχετο ὑπ' ἐκεῖνον τετάχθαι δοκεῖν) διῃρέθησαν, καὶ ὁ μὲν ἄλλῃ, ὁ δ' ἄλλῃ διεῖπον τὸν πόλεμον, διὸ καὶ ἐσφάλησάν που τισί. τῶν γὰρ μεδιολάνων οἱ τοῦτο φρουροῦντες βασιλικοὶ τῶν ἀναγκαίων ἔνδειαν προβαλλόμενοι, τοῖς γότθοις ἐξέστησαν, καὶ τάχα καὶ εἰς μεῖζόν τι κακὸν ᾔεσαν ἂν ἀμφοῖν ἐπιλελυττηκότοιν, εἰ μὴ ὁ βασιλεὺς τὸν ναρσῆν διὰ γραμμάτων πρὸς ἑαυτὸν μετεστείλατο. ἐντεῦθεν μόνος αὖθις ὁ βελισάριος στρατηγῶν, *ὅτι ὑπέταξε πᾶσαν τὴν ἰταλίαν ὁ βελισάριος.* πᾶσαν τὴν ἰταλίαν, καὶ τὰς πόλεις αὐτῆς ὑφ' ἑαυτὸν ἐποιήσατο, καὶ τοσοῦτον τοῖς βαρβάροις καὶ φοβερὸς καὶ ἐράσμιος γέγονεν, ὡς καὶ τῆς σφῶν ἀρχῆς αὐτὸν ἀξιοῦν, καὶ βασιλέα ἱκετεύειν αὐτὸν γενέσθαι σφῶν, καὶ ἑαυτοὺς καὶ τὰ σφέτερα πάντα ἀνατιθεμένων αὐτῷ. ὁ δ' οὐκ ἄν ποτε
» ζῶντος ἰουστινιανοῦ ἔφη, βασιλεὺς αὐτὸς κληθῆναι ἀν-
» έξομαι, ὡς περὶ τούτων ὁ καισαρεὺς προκόπιος, αὐτῷ τότε συστρατευόμενος, ἔγραψεν. ἐντεῦθεν τοίνυν ἐπίφθονος γεγονὼς, διαβάλλεται πρὸς τὸν βασιλέα, ὡς βασιλείας ἐρῶν, καὶ ὃς αὐτὸν ἐκεῖθεν μετεκαλέσατο, ὡς εἰς τὴν ἑῴαν στρατεύσοντα, καὶ τὸν μηδικὸν ἐπιστρατευθησόμενον πόλεμον. τελευτᾷ μέντοι καὶ ἡ αὐγοῦστα θεοδώρα, ἐμβιώσασα τῇ βασιλείᾳ ἔτη εἴκοσι πρὸς ἑνὶ καὶ μησὶ τρισί. *Τελευτὴ θεοδώρας τῆς βασιλίδος.* τῆς δὲ μεγάλης ἐκκλησίας ἀπαρτισθείσης ἤδη καὶ καθιερωθείσης, συνέβη πεσεῖν ἐκ σεισμοῦ τὴν πρὸς ἀνατολὴν μεγάλην σφαῖραν τοῦ τοιούτου ναοῦ, ἣ πεσοῦσα τότε κιβώριον τῆς ἁγίας τραπέζης, καὶ αὐτὴν ἐκείνην τὴν ἁγίαν τράπεζαν καὶ τὸν ἄμβωνα συνέτριψεν. ὅθεν λέγεται καὶ τὸν τροῦλλον προστάξει τοῦ βασιλέως καθαιρεθῆναι, καὶ αὖθις ἀνεγερθῆναι ὑψηλότερον πόδας εἴκοσι καὶ πέντε μετεωρότερον, καὶ καθιερωθῆναι παρὰ εὐτυχίου τοῦ πατριάρχου τὸ δεύτερον. ἐπὶ τούτου τοῦ βασιλέως καὶ τὸ κῆτος ἑάλω, ὃ ἐς *περὶ τοῦ κήτους.* πεντήκοντα καὶ ἐπέκεινα βυζαντίοις ἠνώχλει ἐνιαυτοὺς, ὃ πορφύριον ἐκάλουν, οὐκ ἀεὶ μὲν φαινόμενον, ἀλλ' ἐκ διαλειμμάτων. ὅτε δ' ἐφαίνετο, πολλὰς μὲν τῶν νηῶν ὑποβρυχίους ἐτίθει, πολλῆς δὲ φθορᾶς αἴτιον ἀνθρώποις ἐγίνετο, καθ' οὗ πολλαῖς μὲν ἐχρήσαντο μηχαναῖς, πᾶσαι δ' ἦσαν ἄπρακτοι, ἑάλω μέντοι δελφῖνας διῶκον. οἱ μὲν γὰρ ἐκεῖνο φεύγοντες, τῇ γῇ προσεπέλαζον, τὸ δὲ τὴν κατ' ἐκείνων ὁρμὴν οὐκ ἀπέσχετο, ἕως ἄγχιστά που τῆς γῆς γεγονὸς, ἰλύϊ βαθείᾳ καὶ τέλματι ἐμπέπτωκεν. ἔνθα δὴ τῷ πηλῷ προσεμπέπλαστο καὶ τῷ τέλματι, οὐχ ὅπως ἔτι ἀνασφῆλαι δυνάμενον, ὃ τοῖς περιοίκοις γνωσθὲν, ὥπλισεν αὐτοὺς ἐπὶ τὸ θαλάττιον τοῦτο θηρίον, καὶ ἀξίναις αὐτὸ συγκόψαντες καὶ πελέκεσιν, ἀνεῖλον. εἶτα σχοίνοις τῶν ἁδροτέρων τούτου ἐξάψαντες ζεύγεσι βοῶν, αὐτὸ τῆς θαλάσσης ἐξείλκυσαν. ἦν δὲ τὸ μὲν μῆκος αὐτοῦ τριάκοντα πηχῶν, τὸ δὲ εὖρος δέκα, ὡς ὁ καισαρεὺς προκόπιος καὶ περὶ τούτου ἱστόρησεν. ἐν τοῖς *ὅτι ἐν τοῖς χρόνοις ἰουστινιανοῦ ἡ μέταξα γίνεσθαι ἤρξατο ἐν τῇ βασιλείᾳ τῶν ῥωμαίων.* χρόνοις τούτου τοῦ βασιλέως κατὰ τὴν αὐτοῦ συγγραφὴν, καὶ τὰ τῶν σηρῶν νήματα ἡ μέταξα δηλαδὴ παρὰ ῥωμαίοις γίνεσθαι ἤρξατο. ἤγετο μὲν γὰρ ἐκ περσῶν ὠνούμενον διὰ ἐμπόρων παρὰ ῥωμαίοις τὸ τῆς μετάξης χρῆμα, οὐκ ᾔδεσαν μέντοι, οὐδ' ὅπως γίνοιτο, οὐδ' ὅτι νήματα σκωλήκων ἐστί. μοναχοὶ δὲ δύο τινὲς πρὸς τὸ βυζάντιον ἐξ ἰνδίας ἀφιγμένοι, τὴν ταύτης γένεσιν

νιον διηγήσωνται. ὑπέσχοντο δὲ καὶ κομίσαι τῶν σκωλήκων ἐκείνων γόνον ὠά, ὄντα τὸν ὄγκον βραχύτατα, καὶ δεῖξαι Ῥωμαίοις ὅπως ἐκεῖνα ζωογονοῦνται θαλπόμενα, καὶ εἰς σκώληκας μεταμείβονται, καὶ ὅπως δημιουργεῖται τὴν μέταξαν, τὴν φύσιν ἔχοντα διδάσκαλον. τούτους τοίνυν τοὺς μοναχοὺς ὁ βασιλεὺς Ἰουστινιανὸς δωρεαῖς τε πρὸς τὸ παρὸν, καὶ πρὸς τὸ μέλλον λαμπροτέραις ὑποσχέσεσι πρὸς τὸ ἔργον ἐπιρρώννυσιν. οἱ δὲ τὰ ὠὰ τῶν σηρῶν ἐκκομίσαντες εἰς τὸ Βυζάντιον, καὶ εἰς σκώληκας ταῦτα μεταμεῖψαι κόπρῳ ἐνθέμενοι, καὶ ταύτῃ θερμήναντες, καὶ συκαμίνων ἐθρέψαν φύλλοις, καὶ μέταξαν εἰργάσαντο δι' αὐτῶν, κἀντεῦθεν ὁ τρόπος τοῖς Ῥωμαίοις ἐγνώσθη, ὅπως ἐργάζοιτο μέταξα. ἐπιβουλὰς δὲ παρὰ πολλῶν μελετωμένας μηνυθείσας τῷ βασιλεῖ, καὶ ὁ πατρίκιος Βελισάριος κατηγορήθη μετέχειν αὐτῶν, καὶ ἀφείλετο μὲν ὁ βασιλεὺς τοὺς δορυφόρους αὐτοῦ ξύμπαντας, ἐκεῖνον δ' ἐν τῷ οἴκῳ αὐτοῦ ἀφῆκε τηρούμενον. τελευτήσαντος δὲ, ἡ τούτου περιουσία τοῖς βασιλικοῖς ἀπενέμητο θησαυροῖς. Ἰουστινιανὸς δὲ πρὸς τὰ τελευταῖα αἱρέσει ἁλώσιμος γεγονὼς τῇ τῶν ἀφθαρτοδοκητῶν, οἳ οὐ φθαρτὴν τῆς σαρκὸς προσλαβεῖν τὸν Κύριον, ἀλλ' ἄφθαρτον ἅμα τῷ προσληφθῆναι εἶναι αὐτὴν δογματίζουσιν, ὅτω πεισθῆναι ἅπαντας ἐπανῆγεν, ἀντιλέγοντα δ' αὐτῷ καὶ ἀντισχηματίζοντα θέμενον τὸν πατριάρχην Εὐτύχιον ὑπερόριον ἔθετο εἰς Ἀμάσειαν, καὶ προεχειρίσθη πατριάρχης ὁ ἐκ σχολαστικῶν Ἰωάννης, Ἀντιοχεὺς ὢν ἀποκρισιάριος, καὶ ἐτελεύτησεν, οὕτω φρονῶν Ἰουστινιανὸς, βασιλεύσας ἔτη τριάκοντα καὶ ὀκτὼ, μῆνας ἑπτὰ, ἡμέρας τρισκαίδεκα, τῷ αὐτανεψιῷ αὐτοῦ Ἰουστίνῳ τὴν βασιλείαν καταλιπών.

rarunt, polliciti, se fœtum illorum neruium, oua nimirum perexigua allaturos, & ostensuros Romanis, quemadmodum illa fouendo animata, in uermes mutentur, & sericum texant, natura magistra usi. Eos monachos Iustinianus in præsentia muneribus, de cætero magnis pollicitationibus ad illud pollicitandum cõfirmauit. Itaque serũ oua Byzantium attulerunt, & in fimo collocata, in uermes transformarunt, & mori folijs alucrũt, indeque sericum confecerunt: Ex eo igitur Romani cognouere, quo pacto sericum conficiatur. Cũ autem Iustiniano multorũ insidiæ nunciarentur, quarum etiã Bellisarius patritius esset particeps: satellites ei omnes ademit, ipsumque domi custodiri iussit, eiusque mortui opes in fiscum omnes sunt relatæ. Sub extremam ætatem in eorum hæresim incidit, qui opinantur Dominũ non mortalem carnem assumpsisse, sed eam simul atque assumpta esset, immortalem extitisse. In quam opinionẽ cum omnes adductos uellet, Eutychium patriarcham refragantem & aduersantem, Amasiam relegauit, designato patriarcha Ioanne Scholastico, Antiocheno Apocrisiario. In eaque opinione decessit Iustinianus, cum regnasset annos XXXVIII, menses VII, dies XIII, imperio consobrino suo Iustino relicto.

Bellisarius in ordinem cogitur.

Iustiniani hæresis.

ΒΑΣΙΛΕΙΑ ΙΟΥΣΤΙΝΟΥ.

Ἰουστῖνος δὲ τὸ γένος τυγχάνων Ἰλλυριός, κουροπαλάτης πρὸ τῆς βασιλείας τετίμητο, καὶ ἦν τὴν φύσιν εἰς ἅπαντα δεξιός, τὴν γνώμην τε μεγαλόψυχος, ὅτι εὐσεβεῖς ὄντας τοὺς παρὰ τοῦ Ἰουστινιανοῦ δομηθέντας ἐπεκόσμησε ναοὺς, καὶ τὰς ἀψῖδας ἀμφω τῷ ναῷ τῷ ἐν Βλαχέρναις προσέθετο ἐκ καινῆς, ὡς εἶναι τὸν σταυροειδῆ, καὶ τὸν ἐν τῷ ὀρφανοτροφείῳ ναὸν τῶν κορυφαίων ἀποστόλων πολυτελῶς ἐδομήσατο, καὶ τὸν τῶν θείων ἀναργύρων ναὸν ἐν τοῖς Βασιλίσκου, καὶ τὸν τῆς ἁγίας πρωτομάρτυρος Θέκλης, καὶ τὸν τοῦ παλατίου χρυσοτρίκλινον, καὶ τὸν μέγαν ἀγωγὸν τοῦ Οὐάλεντος ἀνεκαίνισε, καὶ πλεῖστα δ' ἕτερα. ἦν δὲ τούτῳ γαμετὴ Σοφία, ἧς καὶ αὐγούσης ἐστέφθη, ἧς ὀνόματι καὶ τὸν λιμένα τῶν Σοφιῶν ᾠκοδόμησε, καὶ βασίλεια πρὸ τῆς πόλεως Σοφιανὰ δείμας, καὶ τὸν τόπον καὶ ταῦτα κατωνόμασεν, ἐν οἷς καὶ ἐπίγραμμα παρὰ Ἀγαθίου ἐγγέγραπται,

ὁππόθι τεμνομένης χθονὸς ἔνδιχα πόντιον οἶδμα
πλάζεται ἀγχικλινέων πορθμὸς ἐπ' ἠϊόνων,
χρύσεα συλλέκτρῳ τάδ' ἀνέγερα δῶμα Σοφίῃ
τῷ πολυδινήθεϊ ἄναξ Σοφίῃ.
ἄξιον ὦ ῥώμη μεγαλόκρατες ἀντία σεῖο
κάλλος ἀπ' Εὐρώπης δέρκεται ἐς Ἀσίην.

αὕτη ἡ βασιλὶς Σοφία ἀνακαλεσαμένη πάντας τοὺς δανειστὰς, καὶ ὅσα τινὲς αὐτοῖς ὤφειλον, ἅ τε διὰ ἐγγράφων, ἅ καὶ δι' ἐνεχύρων, κατέβαλε μὲν αὐτοῖς τὰ δάνεια οἴκοθεν, ἔλαβε δὲ τὰ ἐνέχυρα καὶ τὰ ἔγγραφα, καὶ τὰ μὲν ἐνέχυρα τοῖς δεσπόταις ἐπίδωκε, τὰ δ' ἔγγραφα ἐξηφάνισε. νοσηροῦ δὲ τυχὼν

IMPERIVM IVSTINI Curopalatæ.

Iustinus, natione Illyrius, ante imperium Curopalatæ honorẽ gessit, uir ingenio ad omnia habili & magnanimus. Sacras ædes à Iustiniano extructas, pro sua pietate adornauit, & utrũque fornicẽ tẽplo Blachernio addidit, ut formam crucis exprimat, & tẽplum in orphanotropheo (locus est qui ab educatione pupillorum nomẽ habet) principũ Apostolorũ magnis sumptibus extruxit, & D. Anargyrorũ in Basilisco. Itẽ D. Theclæ protomartyris, & ædem Palatij cũ aureo triclinio, & magnũ Valentis aquæ ductum renouauit, atque alia plura. Vxorẽ Sophiam Augustali corona ornauit, eiusque nomine Portum Sophium extruxit & Regiam ante urbem, quam & ipsam uicinaque loca, eius gratia Sophiana nominauit. Et hoc Agathij epigramma est inscriptum:

Quà resonãte freto fluct⁹ caua littora tundũt,
Et duplici Pontus nomine findit humum,
Inclytus uxori celebranda palatia struxit
Rex Sophiæ, multus quã decorauit honos
Quã bĩ Roma potẽs tua gloria cõstitit, unde
Europæ atque Asiæ fertilis arua patent.

Hæc Imperatrix Sophia fœneratoribus omnibus perquisitis, & ære alieno, quod eis siue ex syngraphis, siue pignorib⁹ positis deberetur, debita de suo dissoluit, pignora dominis restituit, & syngraphas aboleuit. Sed Imperator cũ esset

Structura Iustini.

Sophiæ portus.

Sophiæ benignitas.

esset morbido corpore, neque frequenter in publicum prodiret, multos ad inferendam alijs iniuriam, quasi nullus earum uindex esset, audaciores reddidit. Cum autem aliquando progressus à multis uexaretur de iniurijs conquerentibus, deque ijs uindicandis cogitaret: quidam eum accessit, qui pollicebatur, si præfectus crearetur, & potestatem ad certum tempus in omnes acciperet: neminem inuentum iri cui fieret iniuria. Ea pollicitatione delectatus Imperator, hominem præfectum designat. Is cum pro tribunali sederet, & quidam ex illustrioribus senatoribus accusatus à quodam & accersitus, se nō sisteret: ei denuò denūciat. At ille ne tū quidē adest, contēpto apparitore, sed ad imperatoris conuiuiū se cōfert, quo inuitatus erat. Eo præfectus cognito, & ipse Regiā ingressus, quāuis cōuiuio iā inchoato, ad Imperatorē ait: Se illi promisisse, intra tantū tempus relicturū neminē cui fieret iniuria: idque omnino effecturū, si potestatis Imperatoriæ auxiliū atque autoritas sibi suppeteret. Sin ipse Imperator iniurios foueret, eisque amicis & conuiuis uteretur: se nullum facturum operæprecium. Aut igitur illis non dandam esse licentiam, aut sibi magistratum abrogandū. Ad ea imperatore, si uel ipse cuiquam iniuriam fecisset, se abduci iubente: præfectus reum è conuiuio in prætorium adduxit, auditaque utrinque causa, illum cum sontem inuenisset, plagis affecit, & accusatori damnum cum accessione multiplici pensare iussit. Ex eo homines sui emolumenti cum aliorum detrimento studiosi, modestiores facti & ad iniuriam tardiores, cum ijs quos læserant, transegerunt.

Seueritate iudiciorum compressæ iniuriæ.

Persica uictoria.

Persica pax hoc imperatore soluta est. Nam cum Romani Persis annuas quingentas libras penderent, ut sibi uicina Romanæ ditionis castella illæsa tuerentur, Iustinus, qui turpe esse dicebat Romanos Persis uectigales esse, aurū retinuit: missisque legatis ad Arethā Æthiopū Regē, impetrauit, ut Persicas prouincias Æthiopiæ finitimas incursaret ac prædaretur. Quibus de causis cū denuò bellū inter Romanos & Persas exarsisset, Martinū patriciū cū Imperio cōtra eos in orientē misit, & quarto eius anno cōmisso prælio, quāuis utrinque multi cecidissent, tamē uictoria penes Romanos fuit. Cæterū Rex Persarū Hormisdas Ardamanē cū ingentibus copijs misit ad prouincias Romanorū diripiendas, qui lōgè lateque peruagatus, maximaque præda rapta, domū rediјt, Martino patricio ei obuiā ire nō auso. Id Imperator ægerrimè tulit, atque imperiū Martino abrogatū, in Archelaū contulit, & pacē cū Hormisda fecit.

Persicæ pacis renouatio.

Verū ex eo mœrore in phrenitidē incidit, fuit etiā pedibus æger. Et quia liberos nō habebat, iā antea Tiberiū Excubitorū Comitē adoptatū, Cæsarē appellarat. Morbo igitur liberatus, accersito patriarcha Eutychio (nā Ioāne Scholastico mortuo reductus fuerat, & in pōtificiā sedē restitutus) & senatu atque omni clero

Iustini testamentum & obitus.

σώματος ὁ βασιλεὺς ὤν, καὶ διὰ τοῦτο μὴ συνεχῶς προϊών, τοὺς ἀδικεῖν βουλομένους, ὡς μηδενὸς ὄντος τοῦ ἐκδικοῦντος, ἀδεεστέρους ἐποίησε. καί ποτε προελθὼν, ἐνοχλεῖτο παρὰ πολλῶν ὡς ἀδικουμένων. ἐγένετο οὖν ἡ τῶν ἀδικουμένων ἐκδίκησις διὰ φροντίδος αὐτῷ. φροντίζοντι δὲ περὶ τούτου, προσεισί τις ἐπαγγελλόμενος, εἰ ἔπαρχος γένοιτο, καὶ τὴν πάντων αὐτῷ δοθείη ἐξουσία δι' ὡρισμένου καιροῦ, μή τινα εὑρεθῆναι τὸν ἀδικούμενον. ἡσθεὶς οὖν τῇ ὑποσχέσει ταύτῃ ὁ βασιλεὺς, τὸν ἄνδρα ἐκεῖνον προεχειρίσατο ἔπαρχον. ὁ δὲ προκαθίσας, προσελθόντος αὐτῷ τινὸς, καὶ αἰτιωμένου τῶν ἐπισημοτέρων συγκλητικῶν ἕνα, μετεκαλέσατο τὸν αἰτιώμενον, ἀλλ' οὐκ ἀπήντησεν ἐκεῖνος. ὅτε καὶ δεύτερον ἐδέησε μηνῦσαι πρὸς αὐτόν. ὁ δὲ καὶ τότε καταφρονήσας, εἰς τὸ βασιλικὸν ἀπῄει συμπόσιον, ἐτύγχανε γὰρ κεκλημένος πρὸς τοῦτο. ὡς δὲ τοῦτο ἔγνω ὁ ἔπαρχος, ἀπῆλθε κἀκεῖνος εἰς τὰ ἀνάκτορα, καὶ εὗρεν ἤδη συνιστάμενον τὸ συσσίτιον, καί φησι πρὸς τὸν βασιλέα. ὑπεσχόμην σοι βασιλεῦ, διὰ τόσου καιροῦ μηδένα καταλιπεῖν ἀδικούμενον, τοῦτο δὲ πάντως μοι κατορθώσιμον, εἰ καὶ τὴν ἐκ τοῦ κράτους σου βοήθειαν ἔχω καὶ τὴν ῥοπήν. εἰ δὲ μᾶλλον αὐτὸς τῶν ἀδικούντων ἀντιποιῇ, καὶ φιλίως αὐτοῖς διακείμενος, συνεστιωμένους ἔχεις, οὐδέν μοι ἔσται ἀνύσιμον. ἢ τοίνυν μὴ μεταδίδου παρρησίας αὐτοῖς, ἢ παῦσόν με τῆς ἀρχῆς. καὶ ὁ βασιλεὺς, εἰ αὐτὸς ἐγώ εἰμι φησὶν ἀδικῶν, διαστάσησόν με τῷ δικαστηρίῳ. αὐτίκα τοίνυν ὁ ὕπαρχος τὸν αἰτιώμενον ἐκεῖνον ἐκ τῆς πανδαισίας ἐξαναστήσας, καὶ εἰς τὸ δικαστήριον καταστήσας, καὶ τῷ κατ' αὐτοῦ λέγοντι συνδικάσας αὐτὸν, καὶ γνοὺς ἀδικοῦντα, ἐκεῖνον μὲν ἐκόλασε ταῖς εἰς σῶμα πληγαῖς. τῷ δὲ ἀδικουμένῳ ἐκ τῶν ἐκείνου ὑπαρχόντων πολλαπλάσιον ἐξέτισε τὸ ἀδίκημα. ὅθεν δείσαντες, οἷς ἦν προαίρεσις πλεονεκτικὴ, τοῦ ἀδικεῖν ἀπέστησαν, καὶ τοῖς ἠδικημένοις εἰς συμβάσεις ἐχώρησαν. αἱ δὲ πρὸς Πέρσας σπονδαὶ ἐπὶ τούτου τοῦ βασιλέως ἐλύθησαν. δασμὸν γὰρ ἐνιαύσιον λίτρας πεντακοσίας τῶν Ῥωμαίων διδόντων αὐτοῖς, ἵνα τὰ σφίσιν ἀγχίθυρα τῆς Ῥωμαϊκῆς ἡγεμονίας ἀβλαβῆ φυλάσσωσι φρούρια, ὁ Ἰουστῖνος ὄνειδος ὑπονοήσας εἶναι τὸ φορολογεῖσθαι παρὰ Περσῶν Ῥωμαίους λέγων, ἐπέσχε τὸ χρυσίον. διαπρεσβευσάμενος δὲ πρὸς Ἀρέθαν τὸν Αἰθιόπων βασιλέα, ἔπεισεν αὐτὸν, τὰ πλησιάζοντα τοῖς Αἰθίοψι τῶν Περσῶν ὑπηκόων, καταδραμεῖν καὶ λῄσασθαι. διὸ καὶ αὖθις μέσον Περσῶν καὶ Ῥωμαίων ἀνερριπίσθη πόλεμος, στρατηγὸν οὖν τῆς ἀνατολῆς ὁ βασιλεὺς τὸν πατρίκιον Μαρτῖνον προχειρισάμενος, ἔπεμψε κατ' αὐτῶν. καὶ τῷ τετάρτῳ ἔτει τῆς βασιλείας αὐτοῦ συνέστη πόλεμος, καὶ πολλοὶ μὲν ἀμφοτέρωθεν ἔπεσον, νικῶσι δ' ὅμως Ῥωμαῖοι. ὁ δὲ τῶν Περσῶν βασιλεὺς Ὁρμίσδας Ἀρδαμάνην ἔπεμψε μετὰ βαρείας δυνάμεως, τὰ ὑπὸ Ῥωμαίοις λῄσασθαι. ὃς πολλὴν ἐπελθὼν χώραν Ῥωμαϊκὴν, καὶ λείαν πλείστην ἐξ αὐτῆς ἁρπάσας, ἐπανῆλθεν, τοῦ πατρικίου Μαρτίνου μὴ τολμήσαντος αὐτῷ ἀντεπεξελθεῖν, ὃ μαθὼν ὁ βασιλεὺς, ἐν συμφορᾷ ἐποιήσατο. καὶ τὸν μὲν Μαρτῖνον τὴν στρατηγίαν ἀφείλετο, Ἀρχελάῳ δὲ αὐτὴν ἐμπιστεύει, καὶ πρὸς Ὁρμίσδαν σπονδὰς ἔθετο αὖθις. ἐκ δὲ τῆς διὰ ταῦτα λύπης νόσῳ φρενίτιδι περιπέπτωκεν, ἄλγει δὲ καὶ τοὺς πόδας. ἀμοιρῶν μέντοι γονῆς οἰκείας ἤδη τὸν κόμητα τῶν ἐξκουβίτων Τιβέριον υἱοποιησάμενος, καὶ καίσαρα ἀνειπών. ἀνεθεὶς δὲ τῆς νόσου, προσεκαλέσατο τὸν πατριάρχην Εὐτύχιον (θανόντος γὰρ τοῦ ἀπὸ σχολαστικῶν Ἰωάννου, πάλιν οὗτος ἐπανήχθη, καὶ εἰς τὸν θρόνον ἀποκατέστη τὸν ἀρχιερατικὸν,) συναθροίσας δὲ καὶ τὴν σύγκλητον, ἀλλὰ καὶ τὸν κλῆρον τῆς ἐκκλησίας,

περὶ τοῦ ἐκδίκου καὶ τοῦ ἀδικοῦντος καὶ μὴ ἀπαντήσαντος εἰς τὸ δικαστήριον.

ὅτι τὰς πρὸς πέρσας σπονδὰς ἔλυσεν ἰουστῖνος.

ἀνάῤῥησις τιβερίου καὶ τελευτὴ ἰουστίνου.

ἐκκλησίας, βασιλέα τὸν Τιβέριον ἀνηγόρευσεν, ἐπ᾽ ἀκροάσει πάντων αὐτῷ ἐντειλάμενος, τὰ πρὸς θεὸν εὐσεβεῖν, τοὺς ὑπηκόους εὐεργετεῖν, τοὺς ἀδικουμένους δικαιοῦν, τοῖς στρατιώταις μὴ ἐνδιδόναι πλεονεκτεῖν, μὴ μέγα ἐπὶ τῇ ἁλουργίδι φρονεῖν, τοῖς εὐποροῦσιν ἀπολαύειν τῶν οἰκείων ἀνεπιφθόνως παραχωρεῖν, τοῖς μὴ ἔχουσιν, ὡς δύναμις, ἐπαρκεῖν, τὴν βασιλίδα καὶ πρώην κυρίαν αὐτοῦ, προσηκόντως τιμᾶν. ταῦτα παραινέσας καὶ συμβουλεύσας ὁ Ἰουστῖνος τῷ Τιβερίῳ, ἐξέλιπε, βασιλεύσας ἔτη τρισκαίδεκα.

ΒΑΣΙΛΕΙΑ ΤΙΒΕΡΙΟΥ.

Στεφθεὶς δὲ ὁ Τιβέριος ὑπὸ Εὐτυχίου τοῦ πατριάρχου, καὶ τὴν οἰκείαν γαμετὴν Ἀναστασίαν αὐγοῦσταν ἀνηγόρευσεν. ἧς δύο αὐτῷ θυγατέρες ἐγένοντο, Χαριτὼ καὶ Κωνσταντίνα. Σοφία δὲ ἡ πρώην βασίλισσα τῶν ἀνακτόρων ὑπαπελθοῦσα, εἰς τὰ ὁμώνυμα ἑαυτῇ κατῳκίσθη βασίλεια, βασιλικὴν αὐτῇ τοῦ Τιβερίου δόντος ὑπηρεσίαν, ὡς οἰκείᾳ μητρί. οὗτος ὁ αὐτοκράτωρ καὶ πρὸς Ὁρμίσδαν πρεσβείαν ἐποιήσατο, ἀνανεῶν τὰς σπονδάς. ὁ δὲ τὴν ἀνανέωσιν οὐ προσήκατο. διὸ καὶ ὁ Τιβέριος πρὸς τὸν κατὰ Περσῶν πόλεμον ἤθροιζε στρατιάν, καὶ Ἰουστινιανόν τινα τῶν ἐπισήμων τῆς ἀνατολῆς προβάλλεται στρατηγόν, ὃς ἐπὶ Πέρσας χωρήσας, ἐπεὶ πλησίον αὐτῶν ἐστρατοπεδεύσατο, εἰς λόγους ἥκει τοῖς παρατάξεως, καὶ ἔπεισεν αὐτούς, σπείσασθαι Ῥωμαίοις ἐπὶ τρία ἔτη. ἤδη δὲ τοῦ τρίτου παραρρυησομένου ἐνιαυτοῦ, Ὁρμίσδας ὁ τῶν Περσῶν ἀρχηγὸς σὺν ταῖς αὐτοῦ δυνάμεσιν ἐπὶ τὴν Ἀρμενίαν χωρήσας εἰς δειλίαν ἐνέβαλε τὰ ἐκεῖ Ῥωμαίων στρατεύματα. διαλεχθεὶς δὲ τούτοις ὁ σφέτερος ἀρχηγός, θάρσος ἅπασιν ἐνεποίησε, καὶ τὴν πρὸς Ὁρμίσδαν μάχην ὑπέστησαν, καὶ μέχρι μέν τινος τοῖς ἐκ τόξων κεχρημένοι βολαῖς οἱ Πέρσαι, ἐδόκουν ὑπερτερεῖν, τῶν Ῥωμαίων ταῖς ἀσπίσι καταφρασσόντων ἑαυτούς, καὶ μὴ ἀντεπεξιόντων. ἐπεὶ δ᾽ ἔγνωσαν οἱ Ῥωμαῖοι ἤδη κεκενῶσθαι τὰς φαρέτρας τοῖς ἐναντίοις, συνασπίσαντες ἀλλήλοις καὶ ἀλαλάξαντες ἐνυάλιον, ἐπῆλθον τοῖς Πέρσαις μετὰ συστάδην, ἀγχεμάχοις ὅπλοις αὐτοὺς ἀμυνόμενοι. οἱ δὲ πρὸς βραχὺ τὴν ὁρμὴν αὐτῶν ὑπομείναντες, τρέπονται, καὶ ἀναιροῦνται μὲν οἱ πλείους. τὸ δὲ στρατόπεδον αὐτῶν διαρπάζεται. καὶ ἡ μὲν βασιλικὴ τοῦ Ὁρμίσδου σκηνὴ καὶ ἡ ἀποσκευὴ ἐκείνου πᾶσα καὶ οἱ ἐλέφαντες τῷ βασιλεῖ ὑπεξῄρηντο, τὰ δ᾽ ἄλλα τοῖς στρατιώταις ἐδόθησαν. οἱ δὲ Ῥωμαῖοι πρὸς τὰ ἐνδότερα τῆς Περσίδος ἐχώρησαν, καὶ χώραν πολλὴν αὐτῆς ἐληΐσαντο. τότε καὶ τὸ τῶν Βλαχερνῶν λουτρὸν οἰκοδομεῖν ὁ Τιβέριος ἤρξατο, καὶ πολλοὺς ναοὺς καὶ δημοσίους οἴκους, ξενῶνάς φημι καὶ γηροκομεῖα ἀνενεώσατο, καὶ τὸν χρυσοτρίκλινον παρὰ Ἰουστίνου δομηθέντα προσεπεκόσμησεν. Εὐτυχίου δὲ τοῦ πατριάρχου ἐπὶ τέσσαρας ἐνιαυτοὺς τὸ δεύτερον τὸν θρόνον τοῦ Βυζαντίου κοσμήσαντος καὶ ἐκλελοιπότος, χειροτονεῖται πατριάρχης διάκονος τῆς μεγάλης ἐκκλησίας Ἰωάννης ὁ νηστευτὴς ἀνὴρ ἱερώτατος. τοὺς δ᾽ εἰς τὴν βασιλίδα τῶν πόλεων ἀχθέντας δορυαλώτους Πέρσας ἅπαντας μεταμφιάσας ὁ βασιλεὺς μεγαλοπρεπῶς, εἰς τὰ οἰκεῖα ἀφῆκεν ἐπανελθεῖν. οὓς ἀνελπίστως οἱ προσήκοντες θεασάμενοι, ὑπερεθαύμασαν, καὶ δι᾽ ἐπαίνων τὸν βασιλέα ἐποιοῦντο. ἐπὶ τούτου τοῦ βασιλέως ὁ Χαγάνος ὁ τῶν Ἀβάρων ἀρχηγός, ἐντείλας ἀποστεῖλαι αὐτῷ οἰκοδόμους, ἵνα αὐτῷ δομήσωσι λουτρόν. σταλέντων δέ, γέφυραν ἐπὶ τὸν Δανούβιον ᾠκοδόμησε, βιασάμενος πρὸς τοῦτο αὐτούς, ἵνα δι᾽ αὐτῆς ἀπόνως περαιούμενος, τὰ ὑπὸ Ῥωμαίους λῄζηται. ἐξ ἐθνικῶν δὲ πλῆθος εἰς χιλιάδας δώδεκα συνιστάμενον ἀθροίσας ὁ βασιλεὺς

Ὅτι ἐπελθόντες οἱ Πέρσαι τῇ Ἀρμενίᾳ καὶ συμμίξαντες τοῖς Ῥωμαίοις [illegible].

Ὅτι τὸ λουτρὸν τῶν Βλαχερνῶν παρὰ Τιβερίου ᾠκοδομήθη.

Περὶ Χαγάνου. [illegible] τῶν Περσῶν Μαυρίκιος, καὶ συμβαλὼν αὐτοῖς ἐνίκησε καὶ γαμβρὸς τοῦ βασιλέως [illegible].

Ecclesiæ conuocato, Tiberium Imperatorem appellat, eiq; mandat omnibus audientibus, ut Deum pie colat: ut subditis benefaciat: ut oppressis iniuria opē ferat: ne militibus quiduis audendi licentiam tribuat: ne purpura efferatur: ut diuitibus sua re familiari citra inuidiam fruendi det potestatem: ut pauperibus pro uirili succurrat: ut imperatricē, dominā dudū suā cōuenienti honore afficiat. Quę cū Tiberium monuisset, obijt anno Imperij XIII.

IMPERIVM TIBERII.

Tiberius ab Eutychio patriarcha coronatus: uxorem quoq; suam Anastasiam Augustam salutauit: quæ duas ei filias peperit, Charitonem & Constantinā. Sophia uerò Iustini uidua, relicta aula in Regiam sibi cognominem migrauit, regio comitatu ei à Tiberio tanquam matri suæ attributo. Ad Hormisdā Persarum Regem de pace renouanda legatos misit: qui cum renouationem eam recusasset, Tiberius ad bellum Persicum ingentes copias conscribit, & Iustinianum uirum illustrem, Orientis ducem creat. Qui contra Persas profectus, castris prope illos positis, & ad colloquium euocatis persuadet, ut triennij pacem cum Romanis faciant. Tertio anno iam exeunte, Hormisdas Persarum dux cum suis copijs Armeniam inuadit: quæ res terrorem incussit Romanis legionibus, sed Ducis sui cohortationibus animis receptis pugnare cū Hormisda nō recusarunt. Ac quandiu Persæ sagittis utebantur, Romanis superiores esse uidebantur, qui se clypeis obsepiebant, nec contrà ibant. Sed cum animaduerterent Persas iam pharetras exhausisse, densatis clypeis, & clamore bellico sublato, illos inuaserunt, comminus hastis & gladijs rem gerentes. Ibi hostes nec ad exiguum tempus eorum impetu tolerato in fugam uersi pleriq; cadunt, castrisq; direptis regium Hormisdæ tabernaculum & omnis eius supellex & elephātes, Imperatori seligūtur, cętera militib⁹ cōcessa. Romani in Persidis interiora progressi, lōgè lateq; prędas egerūt. Tūc Tiberi⁹ balneas Blachernias ędificare cœpit, multas & sacras & publicas ædes instaurauit, ut hospitia & senum receptacula, & aureū triclinium à Iustino conditū renouauit. Eutychio patriarcha cum Byzantinā sedē per IIII annos secundū ornasset, mortuo: Patriarcha eligitur magnę ecclesiæ Diaconus Ioānes Ieiunator, uir sanctissim⁹. Persas captiuos Cōstantinopolim pductos, imperator omnes magnificè uestitos domū redire siuit. Quos ipsorū cognati prater spē cōspicati, magna cū admiratiōe Imperatorē collaudarūt. Cęterū Chagan⁹ Abarū dux à Tiberio fabros petijt, q sibi balneas ędificarēt. Iis missis, pōtē in Danubio struere coëgit opifices, ut flumē citra periculū traijcere, & Romanas puincias populari posset. Imperator aūt exercitū XII milliū robustorū iuue-

Charito Cōstantina.

Iustinianus Persas profligat.

Ioannes ieiunator patriarcha.

Tiberij clemētia in captiuos.

Chaganus pontem in Danubio extruit.

Mauritius Tiberiani exercitus dux & gener Tiberij.

Mauritius Tiberiani exercitus dux et gener Tiberij.

iuuenum ex gentibus coëgit, quem à se Tiberianum uocauit, & Mauritio Comite Fœderatorum illis præposito, eiq; Narsete cubiculario legato addito, contra Persas ablegauit. Pugna commissa, Romanus prælio uictor, multas urbes & multū agri Barbaris ademit. Mauritiū reuersum Imperator honorificè excipit, & despōsa Cōstantina filia generū ascifcit. Alteram Charitonem Duci Germano in matrimonium dedit, & utrunq; Cæsarem designauit. Cum autē tabe laboraret, lectica in Tribunalium perlatus, Mauricium imperatorem proclamari iussit, Ioanne Patriarcha præsente cum patribus cōscriptis, morbo ita confectus, ut orationem in concilio habere non posset. Quare scripto suam sententiam proposuit. Reuersus in Regiam, naturæ debitum persoluit. Regnauit annos quatuor, menses decem, & dies octo.

IMPERIVM MAVRITII.

Mauricius à Patriarcha Ioanne Ieiunatore coronatus, rerum administrationem suscepit, natus annos tres & quadraginta. In cōtractibus scribebatur Mauricius qui & Tiberius. Chaganus autem Sirmio potitus, postulauit, ut LXXX millibus annui tributi adhuc uiginti millia adderētur: quod additamentum Mauritius imperator, pacis conseruandæ studio nō detrectauit. Postea etiam Elephantem petenti, quod eiusmodi belluam nunquam uidisset: maximum eorum quos habebat, misit. Verùm homo insatiabilis, aut rumpendæ pacis causas quæritans, centenis illis alia uicena millia postulauit adijci. Quod cum Imperator recusaret, ille bello Romanis illato multas urbes Illyrici subegit, minatus, se longum murum etiam euersurum. Itaq; Mauritius missis ad Barbarum legatis, pacem cum eo facit. Sed Chaganus, ut insatiabilis & perfidus, dolo Romanos aggressus, ipse quieuit. Sclauorū uerò gentes quasdam ad populandas prouincias concitauit, quæ usq; ad longum murum sunt progressæ. Quapropter Imperator Commentiolo duce creato, Barbaros improuisò aduentu Romanis finibus expulit, multis cęsis, & prēda omni captiuisq; receptis. Philippicū sorore desponsa cum manu ualidissima contra Persas misit, qui cum proximè Nisibim peruenisset, atq; inde in Persiam irrupisset, multa præda abacta, in reditum impressionem in Mediam fecit, & ibi quoq; præda non minore parta, in Romanas prouincias redijt: inde iterum Persicos fines ingressus, rem æquè prosperè gessit. Sed propter morbum Martyropolim, atq; inde Byzantium redijt. Mauritio natus est filius quem Theodosium nominauit. Philippicus denuò Persas oppugnaturus, milites suos

Chagani Auarum ducis grassationes.

Commētiolus Dux.

Philippicus Mauritij sororius in Persia rem bene gerit.

Theodosius Mauritij filius.

νέων καὶ σφριγώντων ἀνδρῶν, ἐπὶ τῷ ἑαυτοῦ ὀνόματι τοῖς συνειλεγμένοις στράτευμα, καὶ στρατηγὸν αὐτοῖς ἐπιστήσας Μαυρίκιον τὸν κόμητα τῶν φοιδεράτων, καὶ ὑποστράτηγον Ναρσῆν τὸν κουβικουλάριον, ἐκπέπομφεν ἐπὶ τοὺς Πέρσας. πολέμου δὲ συῤῥαγέντος, τὸ ῥωμαϊκὸν ὑπερέσχε στράτευμα, καὶ πόλεις τῶν βαρβάρων καὶ πολλὴν χώραν ἀφείλετο. ὑποστρέψαντα δὲ τὸν Μαυρίκιον μετὰ τιμῆς ὁ βασιλεὺς ὑπεδέξατο, καὶ κηδεστὴν ἐπὶ τῇ θυγατρὶ Κωνσταντίνῃ αὐτὸν ἐποιήσατο. τὴν δ' ἑτέραν τὴν Χαριτὼ τῷ στρατηγῷ συνέζευξε Γερμανῷ, καὶ ἄμφω δὲ τετίμηκε καίσαρας. νόσῳ δὲ φθινάδι περιπεσών, ἐν τῷ τριβουναλίῳ φορείῳ ἐκκομισθείς, ἐκεῖ τὸν Μαυρίκιον ἀναῤῥηθῆναι βασιλέα πεποίηκε, παρόντος τοῦ πατριάρχου Ἰωάννου καὶ τῆς συγκλήτου βουλῆς. οὕτω δὲ ὑπὸ τῆς νόσου κατείργαστο, ὡς μὴ δυνηθῆναι τοῖς συνειλεγμένοις ὁμιλῆσαι, διὸ καὶ διὰ γραφῆς τούτοις τὸ ἑαυτοῦ παρέστησε βούλημα. ὑποστρέψας δ' ἐκεῖθεν εἰς τὰ βασίλεια, τῆς ζωῆς ἐξεμέτρησε, βασιλεύσας ἔτη τρία, μῆνας δέκα, καὶ ἡμέρας ὀκτώ.

ἀνάῤῥησις μαυρικίου ἐν τριβουναλίῳ.

ΒΑΣΙΛΕΙΑ ΜΑΥΡΙΚΙΟΥ.

Μαυρίκιος δὲ τῆς τῶν κοινῶν διοικήσεως ἦρχε, στεφθεὶς ὑπὸ τοῦ πατριάρχου Ἰωάννου τοῦ νηστευτοῦ. ἦν δὲ, ὅτε τῆς αὐταρχίας ἐπέβη, ἔτη τεσσαράκοντα πρὸς τρισίν, ἐγράφετο δ' ἐν τοῖς συμβολαίοις, Μαυρίκιος ὁ καὶ Τιβέριος, Χαγάνος δὲ ὁ τῶν Ἀβάρων ἀρχηγός, τὸ Σίρμιον χειρωσάμενος, ᾔτησε προστεθῆναι ταῖς ὀγδοήκοντα χιλιάσι ταῖς ἐτησίως αὐτῷ παρεχομέναις, καὶ ἑτέρας εἴκοσιν, ὁ δὲ βασιλεὺς εἰρηνεύειν ἐθέλων, τὴν προσθήκην ταύτην ἐποίησε. ὁ δὲ καὶ ἐλέφαντα ᾔτησε μή πω τὸ ζῶον ἰδών, τὸν μείζονα τοίνυν ὧν εἶχεν ὁ βασιλεὺς αὐτῷ πέπομφεν. ὁ δὲ Χαγάνος ἀπληστευόμενος ἢ προφάσεις τοῦ μὴ εἰρηνεύειν ζητῶν, ἑτέρας εἴκοσι χιλιάδας ταῖς ἑκατὸν προστεθῆναι ἀπῄτησε. μὴ καταδεξαμένου δὲ καὶ ταύτην τὴν προσθήκην τοῦ βασιλέως, ἐστράτευσε κατὰ Ῥωμαίων ἐκεῖνος, καὶ πόλεις πολλὰς τοῦ Ἰλλυρικοῦ ἐχειρώσατο, ἠπείλει τε καὶ τὸ μακρὸν καταστρέψαι τεῖχος. στείλας οὖν πρέσβεις πρὸς τὸν βάρβαρον, ὁ Μαυρίκιος, σπονδὰς ἔθετο. ὁ μέντοι Χαγάνος ἄπληστός τε καὶ ἄπιστος ὤν, δόλῳ κατὰ Ῥωμαίων ἐγένετο, αὐτὸς μὲν ἡσυχάζων, ἔθνη δέ τινα τῶν Σκλαβηνῶν παρασκευάσας, τὴν ὑπὸ Ῥωμαίους λεΐζεσθαι, οἳ καὶ μέχρι τοῦ μακροῦ τείχους πεφθάκασιν. ὁ βασιλεὺς δὲ Κομεντίολον στρατηγὸν προβαλλόμενος, καὶ δι' αὐτοῦ τοῖς βαρβάροις ἀθρόον ἐπεξελθών, τῶν ῥωμαϊκῶν αὐτοὺς ὁρίων ἀπήλασεν, ἀναιρεθέντων πολλῶν, καὶ τὴν λείαν ὅσην ἔλαβον, καὶ τοὺς αἰχμαλώτους ἐπανεσώσατο. Φιλιππικῷ δὲ τὴν ἰδίαν συζεύξας ἀδελφήν, κατὰ Περσῶν αὐτὸν σὺν βαρεῖ στρατεύματι ἐξαπέστειλεν. ὁ δὲ ἄγχιστα τῇ Νισίβει γενόμενος, κἀκεῖθεν ἐμβαλὼν τῇ Περσίδι, ἐλάσας ἐκεῖθεν λείαν πολλὴν καὶ ἐπανιὼν τῇ τῶν Μήδων χώρᾳ προσέβαλε, καὶ ταύτης οὐ μείω τινὰ λῃσάμενος, ἐπανῆλθεν εἰς τὰ Ῥωμαίων. καὶ αὖθις δὲ τοῖς περσικοῖς ἐπελθὼν χωρίοις, ὁμοίως εὐτύχησε. νοσήσας μέντοι εἰς Μαρτυρόπολιν παραγίνεται, κἀκεῖθεν ἐπανῆλθεν εἰς τὸ Βυζάντιον. ἐτέχθη δὲ τῷ Μαυρικίῳ υἱός, ὃν ὀνόματι Θεοδόσιον. Φιλιππικὸς δὲ καὶ πάλιν κατὰ Περσῶν ἐξεστράτευσε, καὶ τὸ περὶ αὐτὸν στρατιωτικὸν

ἠρώτησε

περὶ χαγάνου.

περὶ βαράμ τοῦ περσῶν στρατηγοῦ.

ἠρώτησεν, εἰ πρόθυμοι τοῖς Πέρσαις εἶεν μαχέσασθαι· οἱ δὲ καὶ ὅρκοις τὸ πρόθυμον αὐτῶν ἐβεβαίουν. ὡς οὖν συνέβαλον τοῖς ἐναντίοις, μέχρι μέν τινος ἀντεῖχον οἱ βάρβαροι. ἐπεὶ δὲ τοὺς ἵππους πλήττειν αὐτῶν ὁ στρατηγὸς τοῖς οἰκείοις παρεκελεύσατο, καὶ πολλοὶ τῶν ἵππων πληγέντες ἔπεσον, ἐτράπη τὸ περσικόν, καὶ τὸ μὲν ἄλλο ἐκράτουν, καὶ πολὺ τούτου μέρος διέφθαρτο. οἱ δὲ Ῥωμαῖοι λαμπρῶς νενικήκασι, καὶ ζῶντας τῶν πολεμίων περὶ δισχιλίους συνέλαβον. Ὁρμίσδας δὲ ὁ τῶν Περσῶν ἀρχηγὸς, Βαρὰμ τὸν χειροτονηθέντα στρατηγὸν, συμβαλεῖν Ῥωμαίοις ἐκέλευσεν. ὁ δὲ συμβαλὼν ἡττήθη. ὃ γνοὺς Ὁρμίσδας, γυναικείαν ἐσθῆτα στέλλει αὐτῷ, καὶ τὴν στρατηγίαν ἀφείλετο, καὶ διὰ τοῦ ὑποστρατήγου αὐτοῦ διὰ γραφῆς ἐνετείλατο τὸν Βαρὰμ ἀνελεῖν. ὁ δὲ οἷ κακοῦ γέγονε συνεὶς, γράμματα ὡς ἐξ Ὁρμίσδου αὐτῷ σταλέντα ἐπλάσατο, ὀργὴν ἐμφαίνοντα κατὰ παντὸς τοῦ στρατεύματος, καὶ συναθροίσας αὐτὸ, τά τε γράμματα εἰς ἐπήκοον ἀναγνωσθῆναι πεποίηκε, καὶ αὐτοὺς ἀνεμίμνησκε τῆς ἀπανθρωπίας Ὁρμίσδου καὶ τῆς ὠμότητος, καὶ διὰ τούτων αὐτῶν ἤγειρε χεῖρας ἐγείρειν κατὰ τοῦ σφῶν ἀρχηγοῦ. ἐπελθόντες οὖν ἀθρόον αὐτῷ, κατέσχον καὶ ἐνέβαλον εἰς εἱρκτήν. ὁ δὲ ὑποθέσθαι αὐτοῖς περὶ τῆς τῶν Περσῶν ἀρχῆς ἠξίου, ἅττα τῷ ἔθνει γινώσκει συμφέροντα, καὶ συνεβούλευε μὴ τὸν Χοσρόην υἱὸν αὐτοῦ ὄντα προχειρισθῆναι εἰς τὴν ἀρχήν, ἄπληστον ὄντα καὶ ἄδικον, ὑβριστήν τε καὶ ἀλαζονικώτατον, ἀλλ' ἕτερον υἱὸν αὐτοῦ προχειρισθῆναι τοῦ ἔθνους ἄρχειν. ἀντιπιπτόντων δὲ τοῖς λόγοις τούτοις ἐνίων τῶν ἐν ὑπεροχαῖς, καὶ κατ' αὐτοῦ τῶν Περσῶν ἐκμηνάντων, ὁ μὲν υἱὸς αὐτοῦ, ὃν εἰς τὴν ἀρχὴν ἐκεῖνος προῄρει, καὶ ἡ μήτηρ ἐκείνου ἐνώπιον αὐτοῦ εὐθὺς ἀνῃρέθησαν παρὰ τοῦ πλήθους, καὶ αὐτὸς δὲ ἐξεκόπη τὰ ὄμματα καὶ οὕτω καθείρχθη. ὁ δέ γε Χοσρόης εἰς τὴν ἀρχὴν ᾑρέθη παρὰ τοῦ ἔθνους παντός. καὶ μέχρι μέν τινος πρὸς τὸν πατέρα φιλοφρόνως διέκειτο, τῆς μὲν φρουρᾶς οὐ λύσας αὐτόν, πᾶσαν δὲ θεραπείαν αὐτοῦ ἐκεῖσε ποιούμενος. ὁ δὲ οὐδὲν τῶν παρὰ τοῦ υἱοῦ αὐτῷ στελλομένων προσίετο, ἀλλὰ καὶ ὕβριν μᾶλλον τῆς φιλοφροσύνης ἠμείβετο. θυμωθεὶς διὰ ταῦτα λαφθεὶς ὁ Χοσρόης, ῥοπάλοις ἐκέλευσε κατὰ τῶν λαγόνων τυπτόμενον τὸν πατέρα θανεῖν. τοῦτο μῖσος ἐγγενέσθαι τοῖς Πέρσαις κατὰ τοῦ Χοσρόου πεποίηκεν. ὁ δὲ κατὰ Βαρὰμ ἐξεστράτευσε, καὶ τινὰς τῶν παρ' αὐτῷ μεγιστάνων, τῷ Βαρὰμ προσκεῖσθαι ὑπονοῶν ἀνεῖλεν αὐτούς. τοῦ δὲ στρατεύματος κατ' αὐτοῦ στασιάσαντος, δείσας ἐκεῖνος, μετά τινων ὀλίγων ἀποδιδράσκει, καὶ πρὸς Ῥωμαίους ἀφίκετο. ὃ μαθὼν ὁ Μαυρίκιος, κελεύει τῷ στρατηγοῦντι τῆς χώρας, ὑποδέξασθαι τὸν Χοσρόην βασιλικῆς θεραπείας καὶ ἀξιώσεως. στέλλει δὲ Ναρσῆν μετὰ στρατευμάτων, συμμαχῆσαι Χοσρόῃ, καὶ ἀποκαταστῆσαι αὐτὸν εἰς τὴν οἰκείαν ἀρχήν. συμβαλὼν τοίνυν ὁ Ναρσῆς τῷ Βαρὰμ, νίκην ἤρατο περιφανῆ, πολλοὺς μὲν τῶν Περσῶν ἀνελὼν, ζωγρήσας δὲ περὶ ἑξακισχιλίους, οὓς τῷ Χοσρόῃ προσήγαγεν. ὁ δὲ κατηκόντισεν ἅπαντας. ὅσοι δ' ἐν τοῖς ζωγρηθεῖσιν ἦσαν τοῦ Τούρκων γένους τῷ Βαρὰμ συμμαχοῦντες, τούτους ἀνέπεμψεν εἰς Μαυρίκιον, ὧν πολλοὶ ἐπὶ τῶν μετώπων σταυροὺς ἔφερον, καταστιχθέντων αὐτοῖς τῶν ἐπισκυνίων, καὶ μέλανος ἐγχυθέντος τοῖς στίγμασιν εἰς τύπον σταυροῦ. οἱ περὶ τούτου ἐρωτώμενοι, ἔλεγον πρὸ καιροῦ ἱκανοῦ λιμῷ τὸ γένος αὐτῶν διαφθείρεσθαι, τινὰς δὲ τῶν παρ' αὐτοῖς Χριστιανῶν ὑποθέσθαι τοῦτο αὐτοῖς, καὶ μηδένα τῶν τοῦτο πεποιηκότων κινδυνεῦσαι ἐκ τοῦ λιμοῦ. ὁ μὲν οὖν Βαρὰμ ἡττηθεὶς, φυγῇ τὴν σωτηρίαν ἐπραγματεύσατο.

περὶ Βαρὰμ τοῦ Περσῶν στρατηγοῦ.

καθαίρεσις Ὁρμίσδου ἐκ τῆς ἀρχῆς.

ἀνάρρησις Χοσρόου.

ἀναίρεσις Ὁρμίσδου.

ἐπανάστασις κατὰ τοῦ Χοσρόου καὶ φυγὴ αὐτοῦ πρὸς Ῥωμαίους.

περὶ τῶν ἐσταυρωμένων Τούρκων.

percōtatur an alacres essent ad pugnandum cum Persis: ijs uerò etiam iureiurando alacritatem suam testatis, hostes aggreditur: qui etsi ad tempus restiterunt, tamen cum Dux equos illorum cædi iussisset, & multi equi uulnerati cecidissent: Persæ fugam cœperunt, potenter uicti, magnaq; clade accepta: Romani uerò illustrem uictoriam consecuti, hostium ad duo millia uiua cœperunt. Hormisdas Persarum Rex Baram ducem congredi cum Romanis iussit. Quem ut uictum esse cognouit, abrogato illi imperio uestem muliebrem mittit, ac legato eius per literas mandat, ut eū occidat. Cæterum Bara quantis in malis esset reputans, literas ab Hormisda ad se missas esse comminiscitur, quibus iracundiam suam aduersus omnem exercitum declaret, easq; militibus conuocatis, palam omnibus recitari iubet, ac Hormisdę sęuitia & immanitate cōmemoranda, eos concitat ad bellum ei inferendum. Subitò igitur eum aggressi, captum in carcerem coniecerunt. At ille professus, se consilium eis de Persarum imperio daturum, quòd toti nationi sciat bono futurum, monet, ne filium suum Chosroem, Regem creent, hominem inexplebilem, iniustum, insolentem, atque intolerandi supercilij, sed alium è suis filijs. Sed ei sententiæ procerum nonnullis refragatis, populares contra eum concitati, filium cui regnum decreuerat & matrem illius, in conspectu eius statim occiderūt: ipse oculis erutis, in carcerē compactus: Chosroes à tota gente Rex electus. Is ad tempus patrem bene tractauit, & quanquam è custodia non eduxit, in ea tamen omnem ei cultum & obsequium præstitit. Qui cum nihil quodá filio proficisceretur, gratum haberet, imò contumelias pro beneficijs reponeret: iratus Chosroes cum latera fustibus tundēdo occidi iussit. Id facinus odium Persarum ei peperit. Suscepta contra Baram expeditione, quosdam ex proceribus suis illi studere suspicatus occidit, ac militari seditione perterritus, cum paucis ad Romanos confugit. Eo Mauritius cognito, prætori prouinciæ mandat, ut Chosroen regio cultu & honore suscipiat, & Narsetem cum legionibus auxilio mittit, ad regnum recuperandum. Is igitur cum Bara congressus, illustri uictoria potitur, Persarum multis occisis, & ad sex millia captis, quos Chosroes ad se adductos iaculis omnes confecit. Qui uerò ex Baræ fœderatis Turcicæ nationis erant, eos ad Mauritium misit, quorum multi cruces in frontibus gerebant, compunctis supercilijs in crucis modum, infusoque atramento. Cuius rei quæsita causa, responderunt, superiori tempore cum sua gens fame periclitaretur, se à Christiano quodam monitos hoc fecisse nec ullum ex eis qui paruerit, fame perijsse. Bara superatus, fuga salutem quæsiuit,

Bara dux ab Hormisda Persa deficit.

Chosroes Persarum regnum adiuuāte Mauritio recuperat.

Turcæ cruces in frontibus gestantes.

Chosroes in suum regnum est reuersus. Fertur autem, quum ante uictoriam Dux Romanorum certam belli administrandi rationem sequuturus esset, institisse Chosroes, ne id consilium exequeretur, & alium instruendæ aciei modum proposuisse: quem quum Dux inutilem esse affirmaret, neque tamen Chosroes de sententia sua decederet: etiam salibus incessit Regem, ut rei militaris & instruendæ aciei imperitum. Iis Chosroen irritatum, qui motus astrorum peritus esset, atque futurarum rerum præscientia gloriaretur, dixisse: Nisi tempori seruiendum esset, non auderes Dux magnum Regem salibus incessere. Quia uerò successibus præsentibus insolescis, audito, quid in futurum Dij constituerint. Scito res aduersas ad uos Romanos esse redituras, & gētem Babylonicam triplici annorum septenario circuitu Romanam ditionem obtenturam. Post illud autem uos Romani quintum septenarium annorum Persas seruitute premetis. his peractis dies sine uespere hominibus illucescet. Hæc ille. Mauritius autem filium Theodosium Imperatorem appellat, cum'que Patriarcha Ioannes in paschate coronat, atque ædem quadraginta martyrum, inchoatam pridem à Tiberio, nec dum perfectam, absoluit. Pace cum Persis facta, legiones ex Oriente in Thraciam reuocauit, & ipse Byzantina terra egressus, loca à Barbaris euersa, contemplari uoluit. Quo tempore & Sol defecit & mulier quædam in Thracia puerum peperit, sine oculis, sine palpebris, sine manibus & brachijs, cauda piscina usque ad coxendices sursum porrecta. Verum Chagano cum infinita multitudine Thraciam ingresso, Romanorum Dux territus, in castello quodam Tzuruli se conclusit. Mauritius autem Barbarum obsidionem parantem, tali solertia circumuenit. Literas ad Priscum scribit, monens, ut obsidionem toleret. Nam Barbarum intra exiguum tempus cum ignominia recessurum. Missis enim in regionem eius triremibus, domibus eorum direptis, uxores & liberos captiuos abduci. Eas literas cuidam tradit, ac mandat, ut in itinere ad Priscum, de industria se Barbaris offerat: quo facto, cum Chaganus lectis literis, suis timeret, pacē cum Prisco facit, paucisq; muneribus acceptis, domum redit. Philippicus monasteriū nomine Deiparæ condidit, atq; ædes splendidissimas, quibus Mauritiū exciperet. Interea Ioānes Ieiunator Patriarcha Constantinopolitanus, uita relicta in æternas mansiones discessit, cū se dē Pontificiū ultra XIII annos ornasset. Ei successit Cyriac⁹ sacerdos & œconomus magnę ecclesię, à quo sacrosanctæ Deiparæ ædes quę Diaconissæ dicit, extructa est. Petrus itē Mauritij frater, edē Areobindi deiparę cōdidit. Sophia uerò Imperatrix & Augusta Cōstantina

Chosroæ prognostico.

Mauritius Theodosiū imperatorē appellat.

Portenta.

Chaganus stratagemate domum repulsus.

Cyriacus patriarcha.

ὁ δὲ χοσρόης εἰς τὴν ἰδίαν ἀρχὴν καὶ χώραν ἐπανελήλυθε. λέγεται δὲ πρὸ τῆς νίκης, τοῦ στρατηγοῦ τῶν ῥωμαίων ἄλλως διαθέσθαι σκεπτομένου τὸν πόλεμον, τὸν χοσρόην ἐνστῆναι μὴ κατὰ τὸν δοκοῦν ἐκείνῳ συγκροτῆσαι τὴν μάχην, ἀλλ' ἄλλον ὑποτίθεσθαι τρόπον. τὸν δὲ στρατηγὸν ἀσύμφορον εἶναι λέγειν, τὸ οὕτω μαχέσασθαι, καὶ τὸν χοσρόην τοῦ σκοποῦ μὴ μεθίεσθαι, ὡς τὸ παροξυνθέντα τὸν στρατηγὸν, ἀποσκῶψαι πρὸς τὸν χοσρόην, ἀστρατήγητον αὐτὸν εἰπόντα καὶ ἀδαῆ πολεμικῶν παρατάξεων. τὸν δὲ ἀλγηθέντα ἐπὶ τοῖς σκώμμασιν, ὄντα δὲ καὶ γνώστην τῆς κατὰ τοὺς ἀστέρας κινήσεως, κἀντεῦθεν αὐχοῦντα γινώσκειν τὰ μέλλοντα, φάναι, εἰ μὴ ὑπὸ τῶν πραγμάτων ἐτυραννεύμεθα, οὐκ ἂν ἐθάρσησας στρατηγὲ τὸν μέγαν βασιλέα βάλλειν τοῖς σκώμμασιν. ὅτι δὲ τοῖς παροῦσι μέγα φρονεῖς, ἄκουσον τί δῆτα τοῖς θεοῖς ἐς ὕστερον μεμελέτηται. ἀντιπεριελεύσεται δὲ ἤδη εἰς τοὺς ῥωμαίους ὑμᾶς τὰ δεινά. ἕξεται δὲ τὸ Βαβυλώνιον φῦλον τῆς ῥωμαϊκῆς χώρας τριπλῆν κυκλοφορικὴν ἑβδομάδα ἐτῶν. μετὰ δὲ τοῦτο πεμπταίαν ἑβδομάδα ἐτῶν ῥωμαῖοι πέρσας δουλαγωγήσουσι. τούτων δὲ διανυσμένων, ἡ ἀνέσπερος ἀνθρώποις ἐνδημήσει ἡμέρα, ἀλλὰ ταῦτα μὲν ταύτῃ. ὁ δὲ αὐτοκράτωρ μαυρίκιος τὸν υἱὸν θεοδόσιον ἀνηγόρευσε βασιλέα, κατὰ τὸ πάσχα στεφθέντα ὑπὸ τοῦ πατριάρχου ἰωάννου. καὶ τὸν ναὸν τῶν ἁγίων τεσσαράκοντα μαρτύρων, πρώην ἀρχθέντα κτίζεσθαι παρὰ τιβερίου, ἀτελῆ δὲ καταλειφθέντα, αὐτὸς ἀνεπλήρωσεν. εἰρήνης δὲ γεγονυίας πρὸς πέρσας, τὰς δυνάμεις ἐξ ἕω ἐπὶ τὴν θρᾴκην μετήνεγκε, καὶ αὐτὸς ἐξῆλθε τοῦ Βυζαντίου, τὰ ὑπὸ τῶν βαρβάρων κατεστραμμένα θεάσασθαι. ὅτε καὶ ὁ ἥλιος ἐξελείφθη, καὶ γυνή τις ἐν θρᾴκῃ παιδίον ἔτεκεν, οὔτε ὀφθαλμοὺς, οὔτε βλέφαρα ἔχον, οὔτε χεῖρας, οὔτε βραχίονας, ἰχθύος δὲ οὐραῖον πρὸς τὸ ἰσχίον ἄνω προσειλημμένον. τοῦ μέντοι χαγάνου τῇ θρᾴκῃ ἐπελθόντος μετὰ πλήθους ἀπείρου, ὁ τῶν ῥωμαίων στρατηγὸς πρίσκος δείσας εἰς τὸ φρούριον τζουρουλοῦ συνέκλεισεν ἑαυτόν. ὁ δὲ βάρβαρος πολιορκεῖν αὐτὸ ἡτοιμάζετο. τοῦτον κατεστρατήγησεν ἐκεῖνον μαυρίκιος τρόπῳ τοιούτῳ. γράμματα πρὸς πρίσκον συντίθησιν, ἀντέχειν αὐτὸν παραινῶν. μικρὸν γὰρ ὅσον τοὺς βαρβάρους μετ' αἰσχύνης ἀναχωρῆσαι. ἐστάλθαι γὰρ τριήρεις εἰς τὴν χώραν αὐτῶν, σὺν στρατεύματι ληΐσασθαι τὰς οἰκίας αὐτῶν, καὶ τὰς γυναῖκας, καὶ τοὺς παῖδας αὐτῶν δορυαλώτους ἑλεῖν. τοῦτο τὸ γράμμα δέδωκέ τινι, ἐπισκήψας αὐτῷ προδιαπεσεῖν τοῖς βαρβάροις ἐν τῷ πρὸς πρίσκον δῆθεν πορεύεσθαι. οὗ γενομένου, τὴν ἐπιστολὴν ὁ βάρβαρος ἀναγνοὺς, καὶ δείσας περὶ τῶν οἰκείων, σπένδεται πρὸς πρίσκον ἐπὶ δώροις ὀλίγοις, καὶ ἄπεισιν οἴκαδε. ὁ δὲ φιλιππικὸς ἐν χρυσοπόλει μονὴν ἐπ' ὀνόματι τῆς θεοτόκου, καὶ οἶκον ἐν ταύτῃ λαμπρότατον, ἵν' ἐν αὐτῷ τὸν μαυρίκιον ὑποδέχοιτο. ὁ δέ γε κωνσταντινουπόλεως ἰωάννης ὁ νηστευτὴς, καὶ πατριάρχης τὸν βίον λιπὼν, πρὸς τὰς ἀϊδίους μετέστη μονὰς, κοσμήσας τὸν ἀρχιερατικὸν θρόνον ἐπὶ ἔτη τρισκαίδεκα καὶ ἐπέκεινα. προεχειρίσθη γοῦν πατριάρχης κυριακὸς, ἱερεὺς καὶ οἰκονόμος τῆς μεγάλης ἐκκλησίας. ὑφ' οὗ ὁ τῆς ὑπεραγίας θεοτόκου ναὸς, ὃς τῆς διακονίσσης λέγεται, ᾠκοδόμηται. καὶ πέτρος ὁ τοῦ μαυρικίου ὅμαιμος τὸν ναὸν, ὃς τοῦ ἀρεοβίνδου καλεῖται, τῇ θεοτόκῳ ἀνήγειρε. σοφία δὲ ἡ βασιλὶς καὶ ἡ αὐγοῦστα κωνσταντῖνα

ὅτι ὁ χοσρόης περὶ τὸ μέλλον ἀπεφήνατο διὰ τὴν ἐξ ἀστρονομίας.

ὅτι τὸν υἱὸν ὁ μαυρίκιος ἔστεψε.

περὶ τοῦ ναοῦ τῶν ἁγίων μ.

ὅπως ὁ μαυρίκιος πολιορκοῦντα τὸν χαγάνον τὴν τζουρουλὸν ἀναχωρῆσαι ἐποίησε.

περὶ κυριακοῦ.

σύμμα

στέμμα προσήνεγκαν τῷ βασιλεῖ, λίθοις ὑπερτίμοις καὶ μαργάροις ὑπερφυέσι κεκοσμημένον. ὁ δὲ τοῦτο λαβὼν αὐτὸ τῷ θεῷ, τῇ ἐκκλησίᾳ προσαγαγών. ὁ χαγάνος μέντοι καὶ αὖθις πρὸς τὰ ῥωμαίων ἐχώρησε. καὶ τούτῳ τῶν ῥωμαϊκῶν στρατευμάτων ἀντιταττομένων, ποτὲ μὲν ἐκράτει, ἐνίοτε δὲ ἡττᾶτο. ἐν μιᾷ δὲ ἡμέρᾳ υἱοὶ αὐτοῦ ἑπτὰ ἐκ νόσου λοιμικῆς καὶ πυρετοῦ ἐτελεύτησαν. Κομεντίολον δὲ στείλας ὁ βασιλεὺς κατὰ τοῦ χαγάνου μετὰ πολυπληθοῦς στρατιᾶς, λέγεται ἐντείλασθαι αὐτῷ, προδοῦναι τοῖς ἐναντίοις τὸ στρατιωτικὸν διά τινας στάσεις καὶ ἀταξίας, τούτοις μνησικακῶν. καὶ συμβαλὼν τοῖς βαρβάροις ἀσυντάκτως ὁ Κομεντίολος, αὐτὸς μὲν μετὰ τῶν περὶ αὐτόν, εἰς φυγὴν ἐτράπη, πρὸς τοῦτο προπαρεσκευασμένος. τῶν δὲ λοιπῶν οἱ μὲν ἔπεσον, οἱ δὲ ἐζωγρήθησαν. εἶναι δὲ τοὺς ζωγρηθέντας φασὶ περὶ δώδεκα χιλιάδας. καὶ ὁ χαγάνος τῇ νίκῃ ταύτῃ ἐξογκωθείς, ἄχρι τοῦ μακροῦ τείχους ἀφίκετο. συλλέξας δὲ ὁ βασιλεὺς λαόν, εἰς φυλακὴν τοῦ τείχους τούτους ἐξέπεμψεν. ἐκ δὲ τῆς λοιμικῆς νόσου οὐ μόνον οἱ τοῦ χαγάνου υἱοὶ ὡς εἴρηται ἔθανον, ἀλλὰ καὶ πλῆθος τῶν ἀβάρων πολύ. ὅθεν ἀθυμήσας ὁ βάρβαρος, ἐσπούδαζεν εἰς τὰ οἰκεῖα ἐπαναζεῦξαι. δηλοῖ γοῦν τῷ Μαυρικίῳ ἐξωνήσασθαι τοὺς αἰχμαλώτους, ἐφ' ἑκάστῳ διδόντι νόμισμα, ὁ δὲ βασιλεὺς οὐ κατένευσε. καὶ ὁ χαγάνος ᾔτησε λαβεῖν εἰς ἕκαστον τῶν αἰχμαλώτων ἀνὰ ἡμίσου τοῦ νομίσματος. ὁ δὲ οὐδὲ τοσούτου τοὺς ἁλόντας ἠθέλησε πρίασθαι τῇ μικροπρεπείᾳ φειδωλίας (ἥττων γὰρ χρημάτων) τὸ δὲ καὶ τοῖς στρατιώταις μνησικακῶν, ἐκμανεὶς οὖν ὁ βάρβαρος, πάντας ξίφεσιν διεχειρίσατο καὶ ἀνέζευξεν. ἐντεῦθεν πρὸς μῖσος κατὰ τοῦ βασιλέως ἐφύη, καὶ πρὸς ταύτην ἐλοιδόρουν. ὁ δὲ στρατὸς τοῦ Κομεντιόλου ἀναφορὰν ἐποιήσατο, ὡς προδόντος ἐν τῷ πολέμῳ τὸ στρατιωτικόν. τοῖς δὲ τὴν ἀναφορὰν ταύτην ποιουμένοις συνῆν καὶ ὁ στρατιώτης Φωκᾶς, καὶ ἀναιδῶς τῷ βασιλεῖ διαλεγόμενος ὡς διὰ τοῦτο καὶ τυπτηθῆναι παρά τινων. ὁ δὲ βασιλεὺς μὴ προσχὼν τοῖς τοῦ Κομεντιόλου αἰτιάμασιν, ἀπράκτους οὖν αὐτὸν αἰτιωμένους ἀπέπεμψεν. λιτανεύοντος οὖν τοῦ βασιλέως, στάσις ἠγέρθη παρὰ τοῦ δήμου, καὶ λίθοι κατ' αὐτοῦ παρά τινων ἠκοντίσθησαν. ὧν ζήτησιν ὁ βασιλεὺς ποιησάμενος, καί τινας εὑρηκώς, ἐκόλασε. τῷ γὰρ μὲν υἱῷ αὐτοῦ Θεοδοσίῳ κατηγγύησε τὴν θυγατέρα Γερμανοῦ πατρικίου, τοῦ πατριάρχου Κυριακοῦ τὴν ἱερουργίαν τοῦ γάμου πληρώσαντος τελεστήν. μοναχὸς δέ τις ξίφος κατέχων γυμνόν, ἀπὸ τοῦ φόρου μέχρι τῆς Χαλκῆς προελήλυθεν, ἐν φόνῳ μαχαίρας λέγων τεθνήξεσθαι τὸν Μαυρίκιον. ὁ δὲ βασιλεὺς τὸ εἰς τοὺς αἰχμαλώτους ἀδίκημα ἀναλογισάμενος, ἱκέτευε τῷ θεῷ ἐν τῇ παρούσῃ ζωῇ τὴν ὑπὲρ τούτου δίκην ἐκτῖσαι, καὶ πανταχοῦ διεπέμψατο, ἀξιῶν πάντας τοῦτο αἰτεῖν τὸν θεόν. φήμης δὲ κρατούσης ὅτι τοῦ μέλλοντος αὐτὸν διαδέξασθαι ἐκ τοῦ φ στοιχείου τὸ ὄνομα ἄρχεται, τὸν γαμβρὸν αὐτοῦ Φιλιππικὸν ᾤετο εἶναι τοῦτον. καὶ ἦν αὐτῷ δι' ὑποψίας ὁ ἄνθρωπος, καὶ διομνύμενος μή ποτέ τι κατὰ νοῦ τοιοῦτον βαλέσθαι, οὐκ ἔπειθεν. ὄναρ δέ ποτε τῷ βασιλεῖ θεαθέν, τὴν κατὰ τοῦ Φιλιππικοῦ ἔλυσεν ὑποψίαν. τὸ δ' ὄναρ ἐδόκει πλῆθος παρεστάναι πολύ, ἐπὶ ἄνωθεν τῆς Χαλκῆς πύλης, τῷ σωτῆρος Χριστοῦ ἐκτυπώματι, καὶ τοῦ βασιλέως καταβοᾶν, φωνὴν δ' ἐκ τῆς εἰκόνος γενέσθαι, παραστῆναι καὶ τὸν Μαυρίκιον, καὶ τὸν αὐτίκα ἀχθῆναι καὶ ἐρωτᾶσθαι,

περὶ τῶν ταγμάτων τοῦ χαγάνου τοὺς ῥωμαίους ἀναιρεθέντων, ὡς ὁ βασιλεὺς ἐνετείλατο.

ὅτι μὴ ὠνησαμένου τοῦ βασιλέως τοὺς αἰχμαλώτους ὁ χαγάνος πάντας ἀνεῖλεν.

ὅτι διὰ τὴν τῶν αἰχμαλώτων ἀναίρεσιν ὑπωπτεύθη ὁ βασιλεὺς ὑπὸ τοῦ δήμου καὶ ἐλιθάσθη.

ὅτι τοῦ φ στοιχείου ὁ βασιλεὺς συνῆκεν.

περὶ τοῦ ὀνείρου.

coronam Imperatori gemmis preciosissimis & margaritis insignibus ornatam, obtulerunt: eam ille in Ecclesiam perlatam, Deo consecrauit. Chaganus Romanas prouincias rursus aggressus, missas contra se legiones, aliàs uincebat, aliàs uincebatur. Eius filij septem, uno die partim febri, partim peste sunt mortui. Imperator, misso Commentiolo cum numerosissimo exercitu mandasse fertur, ut legiones, quibus ob seditiones quasdam & tumultus infensus erat, proderet hostibus. Itaque temerè cum Barbaris congressus Commentiolus, ipse cum suis fugam, cui se antè pararat, capessit: cæteris partim cæsis, partim captis, ad numerum duodecim millium. Ea uictoria Chaganus elatus, usque ad longum murum processit. Verum Imperator delectu habito, milites ad eius defensionem misit. Neque uerò Chagani duntaxat filij peste, ut dictum est, obierunt, sed & Barbarorum ingens multitudo. Qua de causa Barbarus animo æger domum properans, Mauritio significat, si captiuos redimere uelit, ut in singulos nummum unum pendat. Recusante Mauritio, medium nummum postulat. Cum uerò ille nec tanti milites redimere uellet, partim ex tenacitate (sordidus enim erat) partim militum odio. Barbarus furore correptus, ijs omnibus obtruncatis, domum redijt. Hinc omnium odia in Imperatorem nata, ut nec à conuicijs temperarent. Exercitus uerò Commentiolum proditionis reum fecit, atque ex accusatoribus miles quidem Phocas, adeò impudenter cum Imperatore disseruit, ut ea de causa à quibusdam uapularet. Verùm Mauritius repudiata Commentioli delatione, accusatores infecta re dimisit. Postea quum supplicaret, seditione populi coorta etiam lapides à nonnullis contra eum iacti, quorum aliquot indagatos supplicio affecit. Theodosio filio Germani Patricij filiam despondit, nuptiarum cerimonias Patriarcha Cyriaco peragente. Cæterum Monachus quidam strictum gladium tenens, à foro usque ad Chalcen progressus, Mauritium breui periturum esse gladio exclamauit. Mauritius igitur iniuriam captiuorum reputans, Deũ orauit, ut in hac uita pœnas de se sumat, & quoquo uersum misit, petens ab omnibus, ut id à Deo precib⁹ impetrarẽt. Cũ autẽ fama teneret, successurũ ei cuius nomen à φ inciperet: Philippicum generũ eum esse credens, hominẽ suspectũ habere cœpit: ac illi ne deieranti quidem nihil tale sibi unquã in mentẽ uenisse fidẽ habuit prius, quã huiusmodi somnium uidisset. Putabat magnam turbam insistere effigiei seruatoris nostri, quæ supra æream portam est, & contra Imperatorem uociferari, audiriq; uocem ex imagine, quę Mauritiũ adesse iuberet, eũq; statim adductũ interrogari,

Mauritius Chagano legiones trucidandas obijcit.

Præsagia interitus Mauritij.

Somnium Mauritij.

utro in loco facinoris in captiuos admissi pœnas dare mallet, in hac uita, an in futura? Eum dixisse, In hac, humane domine: & audisse uocem quæ diceret, Tradite eum ergo cum omni familia Phocæ militi. Experrectus ab eo angore Imperator, accersito Philippico, primum ueniam petit inanis de eo suspicionis. Deinde rogat, an inter Romanas legiones militem nouerit Phocam nomine. Ille respondet, se nosse: atque eum esse, qui dudum insolentius cum ipso collocutus esset. Post hoc rogat Imperator, qua sit ætate, quoque ingenio? Respondente Philippico, esse iuuenẽ, & ingenio partim audaci, partim timido: Si, inquit, timidus est, homicida est: eique somnium narrat. Eo quoque tempore Cometa apparuit, qui ab ensis specie Xiphias dicitur. Deinde fratri Petro exercitum ducenti scribit, ut Istro cum copijs traiecto, inde commeatum peteret: id consilium ab auaritia est profectum, ut legionibus latrocinio se sustentantibus, militaria stipendia lucraretur. Ea res seditionem inter milites concitauit, qui statim Phocam centurionem Imperatorem creauerunt. Quo cognito Dux fuga arrepta, ipse quid accidisset, Imperatori nunciat. Qui orto etiam in urbe tumultu, ex Regia se subducit, & dromone cum uxore & liberis conscenso, aufugit, filium uerò Theodosium ad Chosroem ablegat, ut commemorato suo in illum beneficio, par sibi gratia referatur. Fuga imperatoris populo cognita, & seditio aucta est, & Mauritius per forum conuicijs proscissus.

Mauritij auaritia militibus defectionis occasionem prębet.

ὅτι βούλεται τὴν ἐκτίσιν ἀπολῦσαι τοῦ ἁμαρτήματος, ὃ εἰς τοὺς αἰχμαλώτους εἰργάσατο. ἐν τῷδε τῷ αἰῶνι, ἢ ἐν τῷ μέλλοντι; τὸν δὲ ἐν τούτῳ φάναι, φιλανθρωπότατε δέσποτα, καὶ ἀκοῦσαι φωνῆς λεγούσης, παραδοθῆναι γοῦν αὐτὸν πανοικὶ φωκᾷ τῷ στρατιώτῃ. διυπνισθεὶς τοίνυν ἐκ τῆς ἀγωνίας ὁ βασιλεὺς, καὶ τὸν φιλιππικὸν μετακαλεσάμενος, πρῶτον μὲν συγγνώμην ᾔτει, ὡς μάτην ὑπονοήσας κατ' αὐτοῦ. εἶτα ἤρετο, εἰ ἐν τοῖς ῥωμαίων τάγμασιν οἶδε φωκᾶν στρατιώτην; ὁ δὲ εἰδέναι αὐτὸν ἀπεκρίνατο, καὶ τοῦτον εἶναι τὸν πρὸ μικροῦ ἐλθόντα παρὰ τοὺς στρατιώτας, ὅς σοι καὶ ἰταμώτερον διελέχθη. καὶ ὁ βασιλεὺς, οἷος εἴη ὁ ἀνὴρ τὴν ἡλικίαν, καὶ τὸ ἦθος ἐπήρετο; καὶ ὁ φιλιππικὸς, νέον εἶναι τὸν φωκᾶν εἶπε, τὸν δὲ τρόπον θρασὺν καὶ δειλόν. πρὸς ὃ αὖθις ὁ βασιλεὺς ἀντεφθέγξατο, εἰ δειλὸς, καὶ φονεὺς, καὶ διηγεῖτο τὸ ὄναρ αὐτῷ. ἐφάνη δὲ τότε καὶ κομήτης ἀστὴρ, ὁ λεγόμενος ξιφίας. τῷ γοῦν ἀδελφῷ αὐτοῦ πέτρῳ στρατηγοῦντι τότε ἐπέστελλεν ὁ βασιλεὺς, διαβάντι τὸν ἴστρον μετὰ τῆς στρατιᾶς, ἐκεῖθεν αὐτῇ τὰ πρὸς τὴν χρείαν πορίζεσθαι. ἦν δὲ τοῦτο διὰ φιλαργυρίαν οἰκονομούμενον, ἵνα λαϊζόμενον τὸ ὁπλιτικὸν ἐκτρέφοιτο, καὶ αὐτὸς κερδαίνῃ τὸ στρατιωτικὸν σιτηρέσιον. τοῦτο στάσιν τῇ στρατιᾷ ἐνεποίησε, καὶ αὐτίκα βασιλεὺς παρ' αὐτῶν ὁ φωκᾶς ἀνηγόρευτο, ἐτύγχανε δὲ ὢν ἑκατόνταρχος. ὁ δὲ στρατηγὸς πέτρος τοῦτο μαθὼν, ἔφυγε, καὶ τῷ βασιλεῖ αὐτάγγελος τοῦ γεγονότος ἐγένετο. ὁ δὲ καὶ τῶν ἐν τῇ πόλει στασιαζόντων, ὑπεξῆλθε τῶν ἀνακτόρων, καὶ δρόμωνι ἐμβιβασθεὶς, μετὰ τῆς γυναικὸς καὶ τῶν τέκνων ἀπέδρα, τὸν δὲ υἱὸν αὐτοῦ θεοδόσιον πρὸς χοσρόην ἀπέσταλκεν, ἵνα ὑπομνημονεύσας ἐκεῖνος τῆς ὑπὸ μαυρικίου γενομένης αὐτῷ, κἀκεῖνος εἰς αὐτὸν τὰ ἴσα ἐνδείξηται. ὡς δὲ ἐγνώσθη τῷ πλήθει ἡ τοῦ βασιλεύοντος ὑποχώρησις, καὶ ἡ στάσις ἤδη μείζων ἦρε, καὶ τὸν μαυρίκιον δυσφημεῖσθαι διὰ τῆς ἀγορᾶς παρεσκεύασεν.

ὅτι ᾔτει ὁ βασιλεὺς τῷ θεῷ ἐνταῦθα δίκας ἐκτῖσαι.

ὅτι στασιάσαν τὸ στρατιωτικὸν τὸν φωκᾶν ἀνηγόρευσε βασιλέα.

IMPERIUM PHOCÆ TYRANNI.

Qvum Phocas iam propè ab agro Byzantio abesset, populus Prasinæ factionis ad eum salutandum egreditur: qui cum eis Hebdomũ ingressus, ibi à Patriarcha diademate ornatur, inde in Regiam se contulit, & statim Leontiam uxorem Augustam salutat, præsentibus populis: ubi inter Prasinos & Venetos de stationibus ortam controuersiam Phocas componere uolens, satellites quosdam misit: quorum unus cum tribunum Venetum per contumeliam pepulisset, populus id nõ ferens exclamat, Abi, cognosce statum rerum: Mauritius uiuit. Ea uoce Tyrannus ad cædem illius incitatus est, eoque in Eutropij portum Chalcedonẽ perducto, in conspectu eius liberi sunt occisi. Tum ille: Iustus es, inquit, Domine, & recta sunt iudicia tua: calamitatem fortiter ferens. Ac animum eius generosum illud in primis declarat, quòd cum ultimum eius filiolum adhuc lactantem nutrix suffurata, ne Mauritij familia funditus interiret, suum filiolum ad cædem obtulisset: id ille non passus est, sed suum offerri iussit, deinde & ipse magno animo iugulum carnifici prębuit.

Mauritij cũ suis cædes.

ΒΑΣΙΛΕΙΑ ΦΩΚΑ τοῦ τυράννου.

Ἤδη δὲ τοῦ φωκᾶ μὴ πόῤῥω τοῦ βυζαντίου τυγχάνοντος, οἱ τοῦ δήμου τῶν πρασίνων ἐξῄεσαν εὐφημοῦντες αὐτόν. ὃς σὺν αὐτοῖς ἐν τῷ ἑβδόμῳ παραγενόμενος, ἐκεῖ παρὰ τοῦ πατριάρχου ταινιοῦται τὴν κεφαλὴν, καὶ εἰσελθὼν εἰς τὰ βασίλεια, καὶ τὴν γυναῖκα λεοντίαν αὐγοῦσταν εὐθὺς ἀνηγόρευσε, τῶν δήμων παρόντων. περὶ δὲ τόπους ἐν οἷς ἵσταντο ἀμφιβολίας γενομένης τοῖς πρασίνοις καὶ τοῖς βενέτοις, στασιάζειν ἤρξαντο κατ' ἀλλήλων. πέμψας δέ τινας ὁ φωκᾶς, κατευνάζειν αὐτοῖς τὴν στάσιν ἐπεχείρει. ἑνὸς δὲ τῶν σταλέντων τὸν τῶν βενέτων ὑβρίσαντος δήμαρχον, καὶ τοῦτον ῥαβδίσαντος, μὴ ἐνεγκόντες οἱ τοῦ δήμου ἐκείνου ἔκραζον ἄπιθι, μάθε κατάστασιν, ὁ μαυρίκιος ζῇ. ἐντεῦθεν ὁ τύραννος εἰς τὸν τοῦ μαυρικίου φόνον ἠρέθιστο, καὶ ἀχθέντος εἰς τὸν ἐν χαλκηδόνι τοῦ εὐτροπίου λιμένα, προανῃρέθησαν ἐπ' ὄψεσιν αὐτοῦ οἱ παῖδες αὐτοῦ. ὁ δὲ δίκαιος εἶ κύριε, καὶ εὐθεῖαι αἱ κρίσεις σου, ἐφ' ἑκάστῳ ἐφθέγγετο, γενναίως φέρων τὴν συμφοράν, ἔδειξε δὲ μᾶλλον τὴν τοῦ ἀνδρὸς γενναιότητα, καὶ τὸ φέρειν εὐγενῶς τὸν πειρασμόν. ἕτερον αὐτοῦ παιδίον καὶ ὑπομάζιον τῆς γὰρ αὐτὸ τιθηνούσης, ἵνα μὴ πᾶν τὸ γένος μαυρικίου ἀπόληται, ὑποκλεψάσης τὸ τιθηνούμενον, ἀντιδούσης δὲ τὸ οἰκεῖον πρὸς τὴν σφαγὴν, ὁ μαυρίκιος τὸ ἑαυτοῦ ἐνεχθῆναι ἐζήτησεν, εἶτα καὶ αὐτὸς μεγαλοψύχως ἐδέξατο τὴν σφαγήν.

ὅτι ὁ φωκᾶς ἐστέφθη παρὰ τοῦ πατριάρχου.

ἀναίρεσις μαυρικίου καὶ τῶν παίδων αὐτοῦ.

λέγεται

λέγεται δὲ καὶ τὸν υἱὸν αὐτοῦ Θεοδόσιον, ἀπιόντα πρὸς Χοσρόην καταληφθέντα, καὶ ἀχθέντα πρὸς φωκᾶν, ἀναιρεθῆναι, καὶ τὴν Βασίλισσαν κωνσταντίναν καὶ τὰς τρεῖς θυγατέρας αὐτῆς, καὶ ταφῆναι ἐν τῷ ναῷ τοῦ ἁγίου μάμαντος, τῷ πλησίον τοῦ τείχους, ὃν ἔκτισε φαρασμάνης ἐκτομίας ὢν τοῦ κοιτῶνος γεγονὼς ἰουστινιανοῦ. ἐπιγράφησαν δὲ τῷ τάφῳ αὐτῶν τὰ ἐλεγεῖα ταῦτα.

ἀλλ' ἐγὼ ἡ τρισάλαινα καὶ ἀμφοτέρων Βασιλήων
τιβερίου θυγάτηρ, μαυρικίου δὲ δάμαρ.
ἡ πολύπαις βασίλεια, καὶ ἡ δείξασα λοχείῃ,
ὡς ἀγαθὸν πολλῶν καὶ πολυκοιρανίη,
κεῖμαι σὺν τεκέεσσι καὶ ἡμετέρῳ παρακοίτῃ
δήμου ἀτασθαλίῃ καὶ μανίῃ στρατιῆς.
ἢ νιόβης ἔτλην πολὺ χείρονα ἢ τ' ἰοκάστης
αἰαῖ ἢ νιόβης ἔμπνοος εἰμὶ νέκυς,
ναὶ ναὶ τὸν γρείτην, τί μαθὼν τὰ νήπια ἔκτανεν
ἀνθρώπων κακίης μηδὲν ἐπιστάμενα,
ἡμετέροις πετάλοισι κατάσκιος οὐκέτι ῥώμη
ῥίζα γὰρ ἐκλάσθη θρηικίοις ἀνέμοις.

ἔθανε δὲ μαυρίκιος ἐτῶν ἑξήκοντα καὶ τριῶν, εἴκοσι βασιλεύσας ἐνιαυτούς. φωκᾶ δὲ κρατήσαντος, ὁ ναρσῆς ἀπεστάτησε, καὶ κατέσχε τὴν ἔδεσσαν. πρὸς τὰ ξένη φωκᾶ γερμανὸς τῷ ναρσῇ ἀντιπαρατασσόμενος συμμαχησάντων παρὰ χοσρόου ἡττήθη. καὶ πληγεὶς μεθ' ἡμέρας τέθνηκε. μετὰ δὲ τοῦτο καταφυγὼν εἰς τὴν ἱερὰν πόλιν ναρσῆς, καὶ παρὰ τοῦ ἀδελφοῦ τοῦ φωκᾶ τοῦ μαγίστρου δομεντζιόλου πίστεις ἐνόρκους λαβὼν, πρὸς φωκᾶν ἀπεστάλη. ὁ δὲ μηδὲν τοὺς ὅρκους ὑποστειλάμενος, πυρὶ αὐτὸν παραδέδωκεν. οὗτος ὁ ναρσῆς τὸν τοῦ ἁγίου παντελεήμονος ναὸν ἐδομήσατο, καὶ τὸν τῶν ἁγίων μαρτύρων πρόβου, ταράχου, καὶ ἀνδρονίκου, καὶ τὸν ἐκεῖ ξενῶνα, οὐ τοῦτον δὲ μόνον, ἀλλὰ καὶ τὸν ἀδελφὸν μαυρικίου πέτρον ἀνεῖλε, καὶ γερμανὸν τὸν πενθερὸν θεοδοσίου τοῦ υἱοῦ μαυρικίου καὶ τὴν θυγατέρα τοῦ γερμανοῦ, καὶ πᾶσαν τὴν τοῦ μαυρικίου συγγένειαν. φιλιππικὸς δὲ κέκαρται κληρικὸς, καὶ εἰς τὴν αὐτοῦ μονὴν ἐν χρυσοπόλει διέτριβε. καὶ ἄλλους δὲ πολλοὺς ἔκτεινεν ὁ φωκᾶς, καὶ ποιναῖς ἀπανθρώποις ἐκόλασε. κυριακοῦ δὲ τοῦ πατριάρχου ἐκλιπόντος μετὰ χρόνους ἕνδεκα ἐξ ὅτου προεχειρίσθη, πατριάρχης ἐχειροτονήθη θωμᾶς σακελλάριος, καὶ τῆς μεγάλης ἐκκλησίας διάκονος. πολυειδῆ μὲν τότε κακὰ τοὺς ῥωμαίους κατέλαβεν. ἐν μὲν γὰρ τῇ ἕῳ πέρσαι τὴν συρίαν καὶ παλαιστίνην καὶ φοινίκην ὑφ' ἑαυτοὺς ἐποιήσαντο. τὴν ἀρμενίαν δὲ καὶ καππαδοκίαν καὶ τὴν παφλαγονίαν καὶ γαλατίαν κατέδραμον, καὶ μέχρι χαλκηδόνος προῆλθοσαν, ἅπαντα ληϊζόμενοι. ἐν δὲ τῇ εὐρώπῃ ἄβαρες τὴν θρᾴκην ἐλῄσαντο, καὶ τὰ ῥωμαϊκὰ στρατόπεδα, τὰ ἐν ἀμφοτέροις ὥσπερ τοῖς τμήμασι, διεφθάρησαν, καὶ λοιμὸς ἡ πολλὴ τῶν ἀνθρώπων θνῆσις ἐγίνετο, καὶ ἀφορία καρπῶν, καὶ ζώων φθορὰ ἐκ βαρυτάτων χειμώνων. ἐπὶ πᾶσι δὲ ὁ ἀλάστωρ φωκᾶς ἐν ἵππων ἁμίλλῃ τῶν δήμων πρὸς αὐτόν τι ἀποσκωψάντων ἐκμανεὶς, πολλοὺς μὲν ἀνεῖλε. πολλοὺς δὲ ἐκρατηρίασεν, ἐνίους μέντοι καὶ κατεπόντωσε, πλείους δὲ καὶ τῷ ἐπάρχῳ παρέδωκεν, ἵνα κολάσῃ αὐτούς. οἱ ἐν τῷ πραιτωρίῳ καθείρχθησαν. οἱ δὲ ὄχλοι ὁμοῦ γενόμενοι, ἐνέπρησαν τὸ πραιτώριον, καὶ οἱ καθειργμένοι διέφυγον. ἑβραῖοι δὲ στασιάσαντες κατὰ χριστιανῶν ἐν ἀντιοχείᾳ, ἀνῃ-

ἀπόστασις ναρσοῦ ἅμα πρὸς μῶνος αὖ ἡ κατάληψις.

περὶ τῶν ἀναιρεθέντων ὑπὸ φωκᾶ.

περὶ πατριαρχῶν.

ἰουδαίων ἀνταρσία ἐπανέστησαν κατὰ τῶν χριστιανῶν.

Fertur etiam filius, dum ad Chosroem iret, exceptus, atque ad Phocam perductus, occisus esse, nec non Constantina Imperatrix cum tribus filiabus, qui in aede Diui Mamantis uicina moenibus sepulti sint, à Pharasmane eunucho Iustiniani cubiculario condita. Sepulchro haec Elegia est inscripta:

Hic sita sum Regũ dolor, seu miserãda, duorũ:
Mauritij coniux, filia Tiberij,
Quae partu monstrante meo foecunda probaui
Multorũ esse etiam posse bonũ imperium.
Militis huc furor & populi leuis, ira maritum
Me sobolemq; meam sanguinolenta tulit.
Hei mihi qd gemitis Niobẽ? ego mortua spiro
Aspera continuis saxa rigo lachrymis.
Cladibus haud Hecube certent Iocastaq; nostris,
Nã leuior dolor est cęsus uterq; parẽs:
Saeue quid infantes perimis, uitq; dolíq;
Ignaros? aetas quid dedit illa mali?
Nõ tibi Roma meis iã prębeo frõdib⁹ umbras
Turbine Threicio stirpitus interij.

Mortuus est Mauritius anno aetatis sexagesimotertio, regni uigesimo. Phoca rerum potito, Narses ab eo defecit, Edessa occupata, & acceptis à Chosroe auxilijs: contra quem iussu Phoca profectus Germanus, uictus est, & post aliquot dies ex uulnere mortuus. Narses uerò cum Hierapolim confugisset, iureiurando firmata fide, á fratre imperatoris Domentiolo Magistro, ad Phocam missus est, nulláque datae fidei ratione habita, crematus. Hic Narses Diui Panteleemonis & sanctorum Martyrum Probi, Tarachi & Andronici aedem, atque uicinum hospitium condidit. Neque uerò hunc solum, sed & Petrum fratrem, omnésque Mauritij cognatos, & Germanum Theodosij filij illius socerum unà cum filia occidit. Philippicus autem clericus factus, Chrysopoli in Monasterio à se condito uitam egit. Multos praeterea sustulit Phocas, & diris supplicijs affecit. Cyriaco Patriarcha, undecimo à designatione anno mortuo, Patriarcha factus est Thomas Sacellarius, magnae Ecclesiae diaconus. Eo tempore, uarijs malis Romani sunt oppressi. Nam in Oriente Persae, Syriam, Palaestinam & Phoeniciam subegerunt: in Armeniam, Cappadociã, Paphlagoniam & Galatiam incursiones fecerunt, populabundi Chalcedonem usq; progressi. In Europa, Abares Thraciam uastarunt, Romanaeq; legiones in ambabus partibus perierunt. Absumpsit & pestilentia multos mortales, grauissimaeq; tẽpestates & frugum & animalium interitum attulerunt. Super haec omnia pestis humani generis Phocas, cũ nescio qd populi in eũ cauillati essent, furore percit⁹ multos occidit, multos trũcauit, nõnullos in mari demersit, sed plurimos pręfecto ad suppliciũ in prętorio custodiẽdos tradidit, quo à multitudine incẽso, illi diffugerũt. Iudęi quoq; mota Antiochiae cõtra Chri-

Narsetis defectio et caedes.

Thomas Sacellarius Patriarcha.

Persarũ & Abarum in Romanorũ prouincijs grassationes.

Iudaeorum grassationes.

stianos seditione, multos occiderunt, atque ipsum Patriarcham Anastasium, eiusque cadauer in foro combusserunt. Eos Phocas partim occidit, partim mutilatos urbe excegit. Thomas Patriarcha cum Ecclesiæ triennium præfuisset, obijt: in cuius locum suffectus est Sergius, magnæ Ecclesiæ diaconus. Filiam Domnentiam Prisco duci copiarum despondit, cùmque post nuptias ludis equestribus, Prisci uxorisque Domnentiæ imagines iuxta suas astare uidisset, furore percitus, tribunos plebis obtruncari iussit, eósque ægrè à populo exoratus missos fecit. Ea de causa Priscus uitæ suæ metuens, consilia tollendi tyranni inijt, qui cum & in mulierum stupris uolutaretur, & ebriosus & sæuus atque sanguinarius esset, in publico erat omnium ordinum odio. Itaque Senatus & ipse Dux Priscus legatos ad Heraclium mittunt, eius Heraclij patrem, qui post imperio potitus est, Africæ & Libyæ præfectum, orantes, ut se à tyrannide Phocæ uindicet. Erat Heraclio legatus Gregoras uir illustris, qui duo inita conspiratione suos filios contra Tyrannum mittunt, Heraclius cum classe & magnis copijs militum Heraclium, Gregoras Patricius Nicetam pedestri itinere, cum multis equitibus & magno exercitu: ea conditione, ut, uter prior urbem occupasset, tyrannúmque sustulisset, is imperio potiretur. His cognitis Phocas Heraclij matrem, & sponsam Eudociam, principis cuiusdam Africani filiam, comprehensas monasterio inclusit. Cæterum Heraclius anteuertit, & in Sophiano portu appulit, commissáque pugna euasit superior, adiutante Prisco, qui præfecti honore fungebatur. Photius quoque unus ex illustribus, cuius uxorem Tyrannus ui constuprarat: Regia cum multis militibus occupata, tyrannum solio deturbauit. (Nam eius satellites desperata salute Regia cesserant) direptáque purpura, pullam ei uestem induxit, & captiuum Heraclio exhibuit. Qui cum ei dixisset: Itáne miser Rempublicam administrasti? Phocas ex desperatione respondit, Tu uerò melius eam administrabis. Ob quod dictum iratus Heraclius, calcibus in eum insiluit, & castrari iussit. Alij eum statim occisum esse tradunt, alij manibus prius & pedibus amputatis, uirilibus denique, ob lasciuiam & multorum coniuges adulteratas, exectis, postremò obtruncatum, & infelix cadauer in Boue crematum esse. Vbi caminus fuisse perhibetur æreus, forma Bouis, Pergamo translatus, unde & loco nomen factum. Sunt & fratres eius alijs que necessarij interfecti. Phocæ igitur pessimi tyrannidis hic fuit exitus, cùm imperio per annos octo insultasset.

Sergius patriarcha.

Priscus generi de tollendo Phoca cogitat.

Heraclij & Gregoræ conspiratio contra Phocam.

Phocæ captiuitas et cædes.

Boi loci nomen.

λον τῶν αὐτοχθόνων πολλοὺς, καὶ αὐτὸν δὲ τὸν πατριάρχην τῆς πόλεως ἀναστάσιον, καὶ τὸν νεκρὸν αὐτοῦ κατέκαυσαν ἐν τῇ ἀγορᾷ. οὓς ἑλὼν ὁ φωκᾶς, οὓς μὲν ἀνεῖλεν, οὓς δὲ ἠκρωτηρίασεν, ἐκδιώξας τῆς πόλεως. ὁ μέντοι πατριάρχης θωμᾶς ἐπὶ τρία ἔτη καὶ μῆνας δύο τῆς ἐκκλησίας προστὰς, ἐτελεύτησε. καὶ ἀντικατέστη σέργιος, τῆς μεγάλης ἐκκλησίας διάκονος. τὴν δὲ θυγατέρα ὁ φωκᾶς δομνεντίαν πρίσκῳ τῷ στρατηλάτῃ συνέζευξε, καὶ μετὰ τοὺς γάμους ἱππικὸν ἀγῶνα ἄγων, ἐθεάσατο σὺν ταῖς αὐτοῦ εἰκόσι καὶ τοῦ πρίσκου καὶ τῆς αὐτοῦ γυναικὸς τῆς δομνεντίας ἱσταμένας εἰκόνας, καὶ ἐκμανὴς γεγονὼς, ἀποτμηθῆναι τοὺς δημάρχους ἐκέλευσε. δεηθέντων δὲ τῶν δήμων, μόλις ἀφῆκεν αὐτούς. ἐκ ταύτης οὖν τῆς αἰτίας ὁ πρίσκος δεδοικὼς περὶ τῇ ζωῇ, ἅμα δὲ καὶ τὴν κατὰ πάντων τοῦ φωκᾶ τυραννίδα μισῶν, ἐζήτει καταλῦσαι τὸν τύραννον. ὢν δὲ ὁ φωκᾶς γυναικομανής τε καὶ μέθυσος καὶ ὠμὸς καὶ αἱμοχαρὴς, ἐμισήθη παρὰ πάντων, καὶ στρατηγοῦντος ἐν ἀφρικῇ καὶ λιβύῃ ἡρακλείου τοῦ πατρὸς τοῦ βασιλεύσαντος μετέπειτα ἡρακλείου, οἱ τῆς συγκλήτου καὶ αὐτὸς ὁ πρίσκος ὁ στρατηλάτης διεπέμποντο πρὸς αὐτὸν, δεόμενοι ἀπαλλαγῆναι τῆς τυραννίδος φωκᾶ. ἦν δὲ τῷ εἰρημένῳ στρατηγῷ ἡρακλείῳ ὑποστράτηγος γρηγορᾶς τις τῶν ἐπισήμων. οὗτοι γοῦν ἄμφω συμπνεύσαντες, στέλλουσι κατὰ τοῦ τυράννου τοὺς ἰδίους υἱούς. ὁ μὲν ἡράκλειος τὸν ἡράκλειον πολλαῖς ναυσὶ καὶ πλήθει στρατιωτῶν πλωϊζόμενον. ὁ δὲ πατρίκιος γρηγορᾶς τὸν νικήταν πεζοποροῦντα σὺν ἱππόταις πολλοῖς, καὶ πολλῇ στρατιᾷ, ἐπὶ συνθήκαις τοῦ τὸν προκαταλαβόντα τῇ ὑποδοχῇ τὴν πόλιν, καὶ καθελόντα τὸν τύραννον, τῆς βασιλείας ἀξιωθήσεσθαι. ταῦτα μαθὼν ὁ φωκᾶς, τὴν τοῦ ἡρακλείου μητέρα καὶ τὴν μνηστὴν εὐδοκίαν, ἥν ἐξ ἀφρικῆς ἐμνηστεύσατο, θυγατέρα οὖσαν τοῦ τῆς χώρας ἐκείνης πρωτεύοντος, κατασχὼν κατέκλεισεν ἐν μονῇ. προκατέλαβε μέντοι ἡράκλειος, καὶ προσορμίσας τῷ λιμένι τῶν σοφιῶν, καὶ μάχης συγκροτηθείσης, ὑπερίσχυσε τῶν τοῦ φωκᾶ. συνήργησε γὰρ καὶ ὑπὸ τοῦ πρίσκου τὴν τοῦ ἐπάρχου τότε μετιόντος ἀρχήν. φώτιος δὲ τῶν ἐπιφανῶν ὑπάρχων, οὗ τὴν γυναῖκα ὁ τύραννος βίᾳ ἐμοίχευσε, σὺν πλήθει στρατιωτῶν καταλαβὼν τὰ βασίλεια, κατήνεγκε τοῦ θρόνου τὸν τύραννον. οἱ γὰρ περὶ αὐτὸν ἀπογνόντες, τῶν βασιλείων ὑπεχώρησαν. καὶ ἀποδύσας τὴν πορφυρίδα, φαιὰν ἐσθῆτα ἐνέδυσε, καὶ δέσμιον τῷ ἡρακλείῳ παρέστησεν. ὁ δὲ ἰδὼν αὐτὸν ἔφη, οὕτως ἄθλιε τὰ τῆς πόλεως διῴκησας πράγματα; καὶ ὁ φωκᾶς ἀπονοίᾳ κάτοχος ὢν, ἀπεκρίνατο· σὺ δὲ κρεῖττον ὡς μᾶλλον διοικήσεις αὐτά; ὀργισθεὶς δὲ ὁ ἡράκλειος, λὰξ ἐκείνῳ ἐνέθορε, καὶ ἐκτμηθῆναι προσέταξεν. οἱ μὲν οὖν αὐτίκα αὐτὸν ἀναιρεθῆναι ἱστόρησαν, οἱ δὲ πρότερον αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας ἐκκοπῆναι φασὶν, εἶτα καὶ τὰ αἰδοῖα διὰ τὴν ἐκείνου ἀσέλγειαν, καὶ ὅτι πολλῶν κατῄσχυνε γαμετὰς, καὶ οὕτω δὲ αὐτοῦ τὴν κεφαλὴν ἐκκοπῆναι, τὸ δὲ δύστηνον σῶμα καυθῆναι κατὰ τὸν βοῦν, ἔνθα ἦν κάμινος ὡς λέγεται ἐκ χαλκοῦ κατεσκευασμένη, σχῆμα βοὸς ἔχουσα, ἥνπερ ἐκ περγάμου κεκόμισο, ἐξ ἧς καὶ ὁ τόπος ὠνόμασο, καὶ οἱ ἀδελφοὶ δὲ αὐτοῦ καὶ οἱ ἄλλοι τῶν ᾠκειωμένων αὐτῷ ἀνῃρέθησαν. τῷ μὲν οὖν κακίστῳ φωκᾷ τοιοῦτον τέλος τῆς τυραννίδος ἐγένετο, ἔτη κατοχήσαντι τῆς βασιλείας ὀκτώ.

περὶ πατριαρχῶν.

διὰ τὴν θυγατέρα αὐτοῦ ὁ φωκᾶς καθαιρεθεὶς τῷ στρατηλάτῃ πρίσκῳ καὶ ἵππους καὶ εἰκόνας παρὰ πάντων ἐμισήθη.

ἐπανάστασις τοῦ ἡρακλείου στρατευομένου κατὰ τοῦ φωκᾶ.

ὄλεθρος τοῦ φωκᾶ.

ἀναίρεσις φωκᾶ.

βασιλεία

ΒΑΣΙΛΕΙΑ ΗΡΑΚΛΕΙΟΥ.

Ἡράκλειος δὲ ὑπὸ σεργίου τοῦ πατριάρχου στεφθεὶς, αὐτίκα καὶ τὴν εὐδοκίαν τὴν μνηστὴν ταινιοῖ, καὶ ἅμα τά, τε βασίλεια στέφη καὶ τοὺς γαμηλίους στεφάνους ἐδέξαντο, ὥς τε κατὰ τὴν αὐτὴν ἡμέραν καὶ βασιλεῖς ἄμφω χρηματίσαι αὐτοὺς καὶ νυμφίους. οἱ δέ γε πέρσαι τὴν ἑώαν κατέτρεχον, καὶ τὰς μὲν τῶν χωρῶν ὑφ' ἑαυτοὺς ἐποιοῦντο, τὰς δὲ ἐλήϊζοντο, καὶ ἡ ῥωμαϊκὴ στρατιὰ προσβάλλουσα τούτοις ἡττᾶτο καὶ διώλλυτο βραχέων τινῶν περισωθέντων φυγῇ. καὶ τὴν εὐρώπην οἱ ἄβαρεις καὶ οἱ σκύθαι ἠρήμωσαν. διὸ καὶ ἠπόρει ὁ βασιλεὺς ἡράκλειος, ὅ,τι καὶ δράσει. ἐπισκεψάμενος γὰρ τοὺς στρατιωτικοὺς καταλόγους, πάνυ τούτους εὗρε βραχεῖς, ἁπάντων σχεδὸν ἐν τοῖς πολέμοις ἀναλωθέντων. ἐκ γὰρ τῶν ἐπὶ μαυρικίου τὸν φωκᾶν ἀναῤῥησάντων εἰς πολλὰς χιλιάδας ἀριθμουμένων, δύο μόνοι στρατιῶται περιλειφθέντες εὑρέθησαν. στρατολογήσας οὖν, κρίσπον στρατηγὸν καππαδοκίας προβάλλεται, καὶ στέλλει τοῦτον ἐκεῖ. γίνεται δὲ αὐτῷ ἐκ τῆς αὐγούστης εὐδοκίας, ἣν καὶ φαβίαν ὀνομάζουσι, θυγάτηρ ἐπιφανία. εἶτα καὶ υἱὸς ἐτέχθη ὁ μικρὸς ἡράκλειος καὶ νέος κωνσταντῖνος κληθεὶς, καὶ ἄμφω δὲ τὼ παῖδε τούτω βασιλικῷ διαδήματι ταινιοῖ. καὶ μετ' ὀλίγον ἡ γαμετὴ αὐτοῦ ἡ αὐγοῦστα εὐδοκία τὸν βίον ἀπέλιπεν. ἐκφερομένου δὲ τοῦ ταύτης νεκροῦ βασιλικῶς διὰ τῆς ἀγορᾶς, κόρη τις προκύπτουσα βάρβαρος, τυχαίως ἀπέπτυσε, καὶ τὸ πτύσμα εἰς τὴν κλίνην, δι' ἧς ἐξεφέρετο ἡ αὐγοῦστα, κατήνεκτο, καὶ συλληφθεῖσα ἡ κόρη, ἐκαύθη, προσενεχθεῖσα τῇ θανούσῃ λίαν οἰκτρὸν ἐπιτάφιον. ὁ δέ γε ἡράκλειος ἔγημε μαρτίναν τὴν ἀδελφόπαιδα, καὶ αὐγοῦσταν αὐτὴν ἀνηγόρευσε. τοῦ μέντοι χοσρόου καὶ τῶν περσῶν ἀκρατῶς φερομένων, καὶ πάντα ληϊζομένων, πρέσβεις ὁ βασιλεὺς πρὸς αὐτὸν ἔστειλε, κόρον λαβεῖν ποτὲ τῆς τῶν ἀνθρώπων φθορᾶς ἀξιῶν, καὶ ἀσπάσασθαι τὰς συνθήκας ἐτησίων δασμῶν. ὁ δὲ τὴν πρεσβείαν οὐ προσήκατο. πάλιν οὖν ἑτέρα στέλλεται πρεσβεία πρὸς αὐτὸν εἰρήνην ἐξαιτουμένη. ὁ δὲ πέρσης ὑπερηφανῶς, καὶ βλασφήμους τὰς ἀποκρίσεις πεποίηκε, λέγων μὴ ἄν ποτε φείσασθαι τῶν χριστιανῶν, εἰ μὴ τὸν ἐσταυρωμένον ἀρνήσαιντο, καὶ σεβασθῶσι τὸν ἥλιον. ἀπεγνωκὼς οὖν τὴν εἰρήνην ὁ βασιλεὺς, ἐπιστρατεῦσαι διενοεῖτο κατὰ περσῶν· διὸ καὶ ἐσπούδαζε θέσθαι πρὸς τὸν χαγάνον σπονδὰς, μὴ ἀφιστάμενον τοῦ τὴν θράκην λῄζεσθαι. στείλας τοίνυν πρὸς αὐτὸν, εἰρήνην ᾔτει, καὶ ὁ βάρβαρος οὐκ ἀνένευσεν. ἡσθεὶς οὖν ὁ βασιλεὺς ἐξῆλθε τῆς πόλεως, καὶ ἔξω τοῦ μακροῦ τείχους ηὐλίσατο μετὰ τῆς βασιλικῆς πολυτελείας καὶ δορυφορίας, καὶ χρημάτων πολλῶν, ἃ τῷ χαγάνῳ δῶρα ἐκόμιζεν. ὁ δὲ βάρβαρος ἀλογήσας τῶν ὅρκων τε καὶ τῶν συνθηκῶν, ὥρμησε τὸν βασιλέα συλλαβεῖν. ἀλλὰ τούτου μὲν οὐκ ἐπέτυχεν (ἔφθη γὰρ ὁ αὐτοκράτωρ διαδρὰς) τὴν μέντοι βασιλικὴν ἅπασαν ἀποσκευὴν, καὶ τὴν δορυφορίαν, ἀλλὰ μὴν καὶ τὰ χρήματα, καὶ αἰχμαλώτων χιλιάδας πολλὰς, κατὰ πᾶσαν ἄδειαν ἀφελὼν, ὑπέστρεψεν. αὖθις οὖν ὁ ἡράκλειος πρεσβείαν ἔθετο πρὸς αὐτὸν, ἐπεγκαλῶν αὐτῷ ἀπιστίαν, καὶ πρὸς εἰρήνην αὐτὸν ἐφελκόμενος. ὁ δὲ συνέθετο, καὶ ὁ βασιλεὺς τῆς βασιλευούσης ἀπάρας τῶν πόλεων, ἀφίκετο εἰς καισάρειαν, ἔνθα καὶ ὁ κρίσπος ἦν στρατηγῶν, οὗ νοσοῦντος, ἢ τοῦτο προσποιουμένου, πρὸς αὐτὸν ἀπῄει ὁ βασιλεὺς ἐπισκεψόμενός τε καὶ βουλευσόμενος

Ὅτι πάντων τῶν ῥωμαίων ἀρχῇ ἐγένοντο δυστυχήματα.

Περὶ δύο παίδων τοῦ ἡρακλείου ἐκ τῆς αὐγούστης εὐδοκίας τεχθέντων.

Τελευτὴ τῆς αὐγούστης εὐδοκίας.

Ὅτι τὴν ἰδίαν ἀνεψιὰν ὁ ἡράκλειος ἐγάμησεν.

Ὅτι διαπρεσβευσαμένου πρὸς χοσρόην ἡρακλείου περὶ εἰρήνης, ὁ δὲ τὴν πρεσβείαν ἀπώσατο.

Ὅτι ἐπιορκία τοῦ χαγάνου.

Περὶ κρίσπου καὶ ὕβρεως αὐτοῦ περὶ τὸν ἡράκλειον.

IMPERIVM Heraclij.

Heraclius autem à Sergio Patriarcha coronatus, statim etiam Eudociam sponsam diademate ornat. Ita simul & imperatorias & nuptiales coronas acceperunt: eodem die & imperatores & sponsi appellati. At Persæ, Orientales prouincias incursantes alias subegerant, alias prædabantur, Romanæ'que legiones ab eis uictæ cæsæq; erant, paucis fuga elapsis. Europam Scythæ & Abares uastarant. Quæ res imperatorem animi dubium reddebant. Nam in militaribus catalogis paucos omnino reperiebat, penè omnibus bello absumptis. Ex multis enim eorum millibus, qui sub Mauritio Phocam Imperatorem consalutarant, duo tantum milites reliqui suntinuenti. Verum delectu acto Crispum cum Imperio in Cappadociam mittit. Ex Eudocia Augusta, quam & Fabiam nominauit, filiolam suscepit Epiphaniam. Deinde filium quoque Heraclium iuniorem, qui & minor Constantinus dictus est, ambosq; pueros diademate ornauit. Neque multo post coniunx eius moritur. Cuius funus cùm ornatu regio per forum efferretur, puella quædam barbara prospectans, sputum imprudens in feretrum deiecit, ob quod factum comprehensa & cremata Imperatrici defunctę infeliciter parētauit. Heraclius post eā, fratris sui filiā Martinā ducit, atq; Augustā salutat. Cū autē Chosroes & Persæ impotenter grassantes, omnia popularentur, Imperator per legatos ab eo petijt, ut tandem interitu hominum satiatus pacem faceret, annuáque tributa acciperet. Ea legatione repudiata, mititit aliam, & pacem petit. Cui Persa superbè contumeliosèq; respondit, Se nunquam parsurum Christianis, nisi crucifixum inficiati, Solem adorarēt. Imperator igitur pace desperata bello Persas inuadere constituit, & cum Chagano, qui Thraciam cōtinenter infestabat, pacem properè facere: qua per legatos petita, Barbarus non abnuit. Ea re delectatus Imperator, Vrbem egressus, extra longum murum, cum regia magnificentia & comitatu, statiua habuit, multáque munera Chagano attulit. At Barbarus spreto iureiurando, & fœdere, Heraclium comprehendere studuit. Sed eo conatu frustratus, (nam ille iam aufugerat) omne regium instrumentum & comitatum, pecuniam quoque & multa captiuorum millia diripuit, ocioséque domum est reuersus. Heraclius igitur denuò per Legatos, de perfidia eius conquestus, pacem ab illo impetrat, & Regia urbe digressus, Cæsaream, ubi Crispus dux agebat, peruenit, eumq; uel ægrotantem, uel morbum simulantē inuisit, de rebus gerendis

Crispus cū exercitu in Cappadociam cōtra Persas mittitur.

Heraclij liberi.

Eudociæ obitus & inferiæ.

Martina secunda Heraclij.

Heraclius pace desperata Chosroem inuadit.

Chagani perfidia.

Crispi erga Heraclium fastus uindicatus.

cum eo deliberaturus. Sed negligenter ab eo excipitur. Nam neque obuiam progressus est, neque è lectulo surrexit, in colloquijs etiam arrogantioribus uerbis usus. Heraclius etsi quid ille ageret, intelligebat, & sui contemptum iniquo ferebat animo: tamen utrunque dissimulat. Interea ei nunciatur, Augusta peperisse filium. Relictis igitur Crispo legionibus, ipse Byzantium redit, & Nicetam Gregoræ Patricij filium, urbem ingressum, honorificè exceptum, fratrem appellat. Est & Crispus ab expeditione reuersus. Quum baptizandus esset Imperatoris filius, Senatu conuocato, & Patriarcha præsente, Imperator eos qui aderant rogat, qua pœna dignus sit is, qui Imperatori contumeliam fecerit: Respondent illi, Vita indignum esse, qui omnem clementiæ spem ultrò ipse sibi præciderit. Tum Imperator, quid Crispus egisset, illo etiam præsente, commemorat. Inde ad eum conuersus, Quæ socero, inquit, non fecisti, ea nequeamico unquam præstabis. Clericum igitur eum fieri iussit. E Martina uerò fratris filia duos suscepit filios, Fabium quem & Heraclonam uocauit, & Dauidem. Quum autem Chosroes omnia præclaretur & deleret, & Palæstina subacta, Hierosolyma quoque expugnasset: fertur infinita Christianorum multitudo esse interfecta. Nam Iudæi, eos uili precio commercati peremerunt, quorum summa fuisse memoratur ad nonaginta millia. Patriarcham autem sanctæ Vrbis, & preciosa Crucis ligna, Persæ domum secum asportarunt. Imperator igitur quum exercitum hostibus parem non haberet, ac pecuniæ inopia laboraret: argentum & aurum ex magna Ecclesia & alijs sacris ædibus mutuatus, nummos inde cudit, collectum' que ex prouincijs populum militari disciplina exercet, ac socios accersit. Et post festum Paschatis, Sarbarum Chosroæ Archisatrapam, cum magnis copijs contra Romanos missum, profligat, eiúsque exercitum trucidat. Interea Chaganus, rupto fœdere, Byzantium agrum' inuadit, castris ante mœnia positis, & quicquid extra Vrbem erat, incendit. Vnde ciues, & Patriarcha, & Bonus Patricius (Eos enim ambos Heraclius discedens, filij sui Constantini curatores, & publicarum rerum administratores reliquerat) multos uiros fortes, in Barbaros, ut absente exercitu, securos, ex improuiso immiserunt, eorúmque multa millia occiderunt. Qui superfuere, turpi fuga se in suas sedes receperunt. Heraclius denuò alium quendam Satrapam cum triginta hominum milibus contra se missum à Chosroe, profligauit, & milites eius penè omnes Orco demisit.

Chosroe in Christianos sæuitia.

Sarbarus satrapa ab Heraclio profligatus.

Chaganus Byzantij obsidione repellitur.

Heraclius alio Satrapa uicto in Persia ferro & igni grassatur.

πρὸς τῶν πρακτέων. ὁ δὲ αὐτὸν ὀλιγώρως ἐδέχετο, μήτε προϋπαντήσας, μήτε μὴν τῆς κλίνης ἐξανιστάμενος, κἀν ταῖς ὁμιλίαις ἀλαζονικώτερόν πως χρώμενος. Ἡράκλειος δὲ συνεώρα μὲν τὸ γινόμενον καὶ καταφρονούμενος ἤχθετο, ὑπεκρίνετο δὲ μήτ᾽ ἄχθεσθαι, μήτε συνιέναι τῆς ὀλιγωρίας τοῦ Κρίσπου τῆς κατ᾽ αὐτοῦ. ἐν τούτῳ ἀγγέλλεται αὐτῷ ἡ αὐγοῦστα τεκοῦσα υἱόν. καὶ τὰ μὲν στρατεύματα τῷ Κρίσπῳ καταλέλοιπεν, αὐτὸς δὲ ἐπανῆλθεν εἰς τὸ Βυζάντιον. τοῦ Νικήτα μέντοι τοῦ υἱοῦ τοῦ Γρηγορᾶ πατρικίου εἰσεληλυθότος εἰς τὴν τῶν πόλεων βασιλεύουσαν, ὁ βασιλεὺς αὐτὸν σὺν τιμῇ μεγάλῃ προσήκατο, ἀδελφὸν αὐτὸν ὀνομάζων. ἐπανῆλθε δὲ καὶ ὁ Κρίσπος ἐκ τῆς στρατείας. συλλόγου τοίνυν τῆς συγκλήτου γινομένου, καὶ τοῦ πατριάρχου παρόντος, ὡς μέλλοντος βαπτίσαι τὸν τοῦ βασιλέως υἱόν, φησὶ πρὸς τοὺς παρόντας ὁ βασιλεύς· ὁ ὑβρίζων τὸν βασιλέα, τίνος ἐστὶν ἄξιος; οἱ δὲ ἀπεκρίναντο, οὐ ζῆν ἐστὶν ἄξιος, πάσης γὰρ φιλανθρωπίας ἑαυτὸν ἀνάξιον ἔθετο. καὶ ὁ βασιλεὺς τὰ παρὰ τοῦ Κρίσπου, κἀκείνου παρόντος, κατέλεγεν, εἶτα πρὸς ἐκεῖνον ἐπιστραφεὶς ἔφη, ὅστις γαμβρὸν οὐκ ἐποίησας, οὐδὲ φίλον ἂν ποιήσεις ποτέ. ἐκέλευσεν οὖν αὐτὸν κληρικὸν γενέσθαι. ἐκ δὲ Μαρτίνης τῆς ἀνεψιᾶς αὐτοῦ ἔσχε δύο υἱούς, Φάβιον ὃν καὶ Ἡρακλωνᾶν ὠνόμασε, καὶ Δαβὶδ τὸν λοιπόν. τοῦ δὲ Χοσρόου πάντα λυμαινομένου καὶ ἀφανίζοντος, ὑφ᾽ ἑαυτὸν δὲ καὶ τὴν Παλαιστίνην πεποιηκότος, καὶ τὴν Ἱερουσαλὴμ πολιορκίᾳ ἑλόντος, λέγεται ἄπειρόν τι πλῆθος ἀναιρεθῆναι χριστιανῶν· ἐξωνούμενοι γὰρ αὐτοὺς δῆθεν οἱ Ἰουδαῖοι, ἐφόνευον, ὧν περὶ μυριάδας ἐννέα φασὶ συγκορυφοῦσθαι τὸν ἀριθμόν. τὸν δέ γε πατριάρχην τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ τὰ τίμια τοῦ σταυροῦ ξύλα, οἱ Πέρσαι λαβόντες εἰς Περσίδα ἀπήγαγον. ἀπορῶν οὖν ὁ βασιλεὺς ἀναλόγου τοῖς ἐναντίοις στρατεύματος, πρὸς δὲ καὶ χρημάτων, ἄργυρον μὲν καὶ χρυσὸν ἐδανείσατο ἔκ τε τῆς μεγάλης ἐκκλησίας καὶ τῶν λοιπῶν θείων οἴκων, καὶ διὰ τούτων ἔκοψε νόμισμα. λαὸν δ᾽ ἐκ τῶν θεμάτων συνέλεγε, καὶ τούτους πρὸς πολεμικὴν ἐμπειρίαν ἐγύμναζε, καὶ συμμάχους προσεκαλέσατο. ἐξελθὼν οὖν μετὰ τὴν ἑορτὴν τοῦ πάσχα τῆς πόλεως, καὶ προσβαλὼν Σαρβάρῳ τῷ τοῦ Χοσρόου ἀρχισατράπῃ, μετὰ βαρείας δυνάμεως κατὰ Ῥωμαίων σταλέντι, τρέπεται τοῦτον, καὶ τὰ στρατεύματα αὐτοῦ συγκόπτει, καὶ μαχαίρας ἔργον ποιεῖ. ἐν τούτοις παρασπονδήσας ὁ Χαγάνος, ἐπῆλθε τῷ Βυζαντίῳ, καὶ πρὸ τοῦ τείχους αἱ δυνάμεις αὐτοῦ ἐστρατοπεδεύσαντο, ἀνοῦσαι σύμπαντα τὰ ἐκτός. ὅθεν οἵ τε τῆς πόλεως καὶ ὁ πατριάρχης καὶ ὁ πατρίκιος ὁ Βῶνος (τούτους γὰρ ἄμφω κηδεμόνας τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου καταλελοίπει, καὶ τῶν κοινῶν πραγμάτων διοικητὰς ἐκδημῶν ὁ Ἡράκλειος) ἑτοιμασάμενοι πλῆθος ἀνδρῶν γενναίων, κατὰ τῶν βαρβάρων ἀφροντιστούντων, ὡς μὴ παρόντος στρατεύματος, ἀπροσδοκήτως ἐξέπεμψαν, καὶ πολλὰς αὐτῶν χιλιάδας διέφθειραν. οἱ δέ γε περιλειφθέντες αἰσχρῶς φεύγοντες, ὅθεν ἦλθον τὰ ἑαυτῶν ὑπενόστησαν. Ἡράκλειος δὲ πάλιν ἑτέρῳ σατράπῃ μετὰ τριάκοντα χιλιάδων κατ᾽ αὐτοῦ πεμφθέντι παρὰ Χοσρόου συμμίξας, καὶ τοῦτον ἐτρέψατο, καὶ τοὺς μετ᾽ αὐτοῦ σχεδόν τι πάντας ᾅδῃ προΐαψεν.

ὅτι τὸν Κρίσπον κληρικὸν γενέσθαι προσέταξε.

περὶ τῶν ὑπὸ Ἰουδαίων φονευθέντων χριστιανῶν, καὶ περὶ τῶν τιμίων ξύλων καὶ τοῦ πατριάρχου.

ὅτι τὸν Σαρβάρον ἀρχισατράπην ὁ Ἡράκλειος ἐνίκησεν.

ὅτι παρασπονδήσας ὁ Χαγάνος ἐπῆλθε τῷ Βυζαντίῳ καὶ ἡττηθεὶς ἔφυγεν.

ὅτι ὁ Ἡράκλειος ἑτέρῳ σατράπῃ μαχεσάμενος κατετρόπωσεν.

οἱ δὲ

οἱ δέ γε περιλειφθέντες ὑποστρέψαντες, καὶ τὰ συμβεβηκότα τοῖς ὁμογενέσιν ἀπαγγείλαντες, εἰς πλείονα δὲ μῖσος ἤγαγον τὸν χοσρόην, μᾶλλον αὐτὸν μισεῖν αὐτῷ ἐξώρισαν. ἡράκλειος δὲ καὶ εἰς τὴν ἐνδοτέραν περσίδα εἰσέβαλε, καὶ τάς τε πόλεις καθῄρει, καὶ τὰ τεμένη τοῦ πυρός, ἐκείνῳ γὰρ τιμώμενα παρ' αὐτοῖς συνδιέφθειρε. μαθὼν δὲ ἀνῃρημένους οὓς ἐστάλη πρεσβεύοντας, ὀργίσθη καὶ σὺν ἰσφάλματι αἰχμῇ τε καὶ πυρὶ πολλὴν καὶ κατεστρέφετο τὰ ἐν ποσίν. ὁ μέντοι χοσρόης τοῦ βασιλέως τὴν περσίδα ληϊζομένου καὶ κατατρέχοντος, εἰς κτησιφῶντα κατέφυγε. διαβληθέντος δὲ πρὸς αὐτὸν τοῦ ἀρχισατράπου σαρβάρου, ὡς τὰ τῶν ῥωμαίων φρονοῦντος, αὐτῷ δὲ λοιδορουμένου, ἐπέστειλε τῷ ὑποστρατήγῳ αὐτοῦ, τὸν σαρβάρον ἀνελεῖν. τοῦ δὲ τὴν ἐπιστολὴν ταύτην κομίζοντος ἐν τῷ ἀπιέναι συλληφθέντος παρὰ ῥωμαίων, καὶ ἀπαχθέντος εἰς τὸ βυζάντιον, γνόντες τὰ ἐν αὐτῇ γεγραμμένα οἱ τῶν κοινῶν πραγμάτων διοικηταί, στέλλουσι ταύτην καὶ τὸν αὐτῆς κομιστὴν πρὸς τὸν σαρβάρον, καὶ ὃς τὰ γεγραμμένα ἀναγνοὺς, καὶ τοῦ γραμματοφόρου πυθόμενος, καὶ μαθὼν τὴν γνώμην χοσρόου, ἑτέραν πλάττει ἐπιστολὴν, κελεύουσαν αὐτόν τε καὶ πολλοὺς ἑτέρους σατράπας καὶ χιλιάρχους ἀναιρεθῆναι, καὶ τοὺς τοῦ στρατεύματος προύχοντας. πείθει δὲ καὶ τὸν τὴν ἐπιστολὴν τοῦ χοσρόου κομίσαντα λέγειν, ὅτι παρὰ χοσρόου ταύτην ἔλαβε τὴν ἐπιστολήν. συναγαγὼν οὖν τοὺς τῶν ταγμάτων ἡγεμονεύοντας, ἐν ἐπηκόῳ πάντων τὴν ἐπιστολὴν ἀναγνωσθῆναι πεποίηκε. θυμοῦ τοίνυν πλησθέντες οἱ τῶν ταγμάτων ἐξάρχοντες, κοινῇ συνέθεντο τῷ βασιλεῖ προσελθεῖν, ἔνθα τούτοις καὶ ἕτερόν τι συμβέβηκεν, ὃ τὸν χοσρόην διώλεσε. παῖδας γὰρ ἔχων πολλοὺς, τὸν ἁπάντων πρεσβύτερον σιρόην παραγκωνιζόμενος, ἐβουλήθη διάδοχον τῆς ἀρχῆς ἕτερον ποιήσασθαι, καλούμενον μερδασάν. ὅπερ γνοὺς ὁ σιρόης, καί τινας τῶν σατραπῶν ὑποποιησάμενος, ἐπιτίθεται τῷ πατρί, δεσμεῖ τε τοῦτον, καὶ χρυσὸν αὐτῷ πολὺν παρατίθησι, καὶ λίθων τῶν πολυτίμων σωρούς. διὰ ταῦτα λέγων ῥωμαίοις σὺ πέρσας ἐξεπολέμωσας καὶ ἀλλήλοις μάχεσθαι, καὶ διαφθείρεσθαι κατηνάγκασας. ἀπόλαυε τοίνυν τῶν ἐφετῶν σου. εἶτα τὸν υἱὸν αὐτοῦ μερδασάν, ᾧ τὴν τῶν περσῶν κατετίθει ἀρχὴν, ἀνεῖλε πρὸ ὀφθαλμῶν αὐτοῦ, ἀλλὰ μὴν καὶ τοὺς ἄλλους παῖδας αὐτοῦ, καὶ ἐπὶ πᾶσι κἀκεῖνον, ἐγκρατὴς οὖν τῆς τῶν περσῶν ἀρχῆς γεγονώς, διαπέμπεται πρὸς ἡράκλειον, τὸν τοῦ χοσρόου ὄλεθρον αὐτῷ εὐαγγελιζόμενος, καὶ σπενδόμενος αὐτῷ, πάντας τοὺς ἐν περσίδι αἰχμαλώτους ῥωμαίους, ἐλευθέρους ἀφῆκε, καὶ τὰ τίμια ξύλα τοῦ σωτηρίου σταυροῦ αὐτῷ ἀποδίδωσι, καὶ τὸν πατριάρχην τῆς ἱερουσαλὴμ ζαχαρίαν. καὶ ὁ βασιλεὺς αὖθις πάντας τοὺς παρὰ ῥωμαίων κατεχομένους πέρσας ἀπελθεῖν ἀφῆκε πρὸς τοὺς οἰκείους. ταῦτα ἐν ἓξ ἔτεσιν ἀνύσας ἡράκλειος, καὶ ἀποκαταστήσας τῇ ἱερουσαλὴμ τὰ τίμια ξύλα, καὶ τὸν πατριάρχην αὐτῆς, τῷ ἑβδόμῳ ἐπανῆλθεν εἰς τὰ βασίλεια, μετ' εὐφημίας καὶ κρότων δεχθεὶς καὶ λαμπρότατα, παρά τε τῆς γερουσίας καὶ τοῦ πλήθους τῆς πόλεως. γενομένου δὲ τοῦ βασιλέως ἡρακλείου κατὰ τὴν ἱερουσαλὴμ, ὁ τῶν ἰακωβιτῶν καθολικὸς προσελήλυθεν, ὃν ἐκεῖνοι πατριάρχην ὀνόμαζον. τούτῳ τοίνυν ὁ βασιλεὺς αἰτίαν προσῆπτεν, ὅτι τὴν ἐν χαλκηδόνι μὴ δέχοιτο σύνοδον, μηδὲ δύο φύσεις ἐν χριστῷ ἡνωμένας ὁμολογεῖ, λέγων, ὡς εἴ γε τὴν σύνοδον δέξοιτο, καὶ

Πῶς ὁ ἀρχισατράπης σαρβάρος [illegible] — *Πῶς παρὰ τοῦ υἱοῦ αὐτοῦ [illegible] ἀνῃρέθη [illegible]* — *Πῶς ὁ σιρόης [illegible] ἐσπείσατο ῥωμαίοις.*

Eius exercitus reliquiæ reuersæ domum, nunciata clade, suos populares iam antè Chosroæ infensos, ad maius etiam tyranni odium concitarunt. Heraclius uerò etiam in Persiam interiorem penetrauit, Vrbes euertit, Lucos unà cum igni, qui ab illis colitur, deleuit: cognitáque Legatorum suorum cæde iratus, ferro, atque incendio, in obuia omnia grassatus est. Quæ dum Imperator agitaret, Chosroes Ctesiphontem confugit, delatóque Sarbaro Archisatrapa, quasi cum Romanis colluderet, & ipsi conuiciaretur: legato illius scribit, ut Sarbarum tollat. Sed tabellario, in itinere à Romanis excepto, ac Byzantium perducto: Magistratus lectas literas, unà cum tabellario ad Sarbarum mittunt. Is lecta epistola, & Chosroæ sententia è tabellario cognita: aliam epistolam confingit, eámque conuocatis tribunis & centurionibus, recitandam curat. Vnde illi iracundia inflammati, communi consilio se ad Romanorum Imperatorem conferre statuerunt. Post hæc etiam aliud quiddam accidit ad Chosroæ interitum maturandum. Nam cùm multos haberet liberos, reiecto natu maximo Siroe, alij tradere uoluit Regnum, nomine Merdasæ. Quo Siroes cognito, conciliatis sibi quibusdam Satrapis, patrem inuadit, eique in uincula coniecto, quum multum auri & preciosarum gemmarum aceruos proposuisset, Ob hæc, inquit, Romanos contra Persas concitasti, & mutuis cædibus & cladibus grassari coegisti. Fruere igitur desiderijs tuis. Deinde filium quoque illius Merdasam, cui regnum destinarat, cæterósque liberos in conspectu illius, ac tum demum ipsum quoque sustulit. Ita regno Persarum potitus, Legatos ad Heraclium mittit, Chosroæ interitum illi nuncians, paceque facta, omnes Romanos captiuos dimittit, & uenerabilia ligna Salutaris crucis, & Patriarcham Hierosolymitanum Zachariam, illi restituit. Imperator uicissim Persis, qui à Romanis tenebantur, domum redeundi potestatem dedit. His sexennio peractis, & preciosis lignis ipsoque Patriarcha Hierosolyma restitutis, Heraclius anno septimo in Regiam regressus, à senatu populóque Byzantino lætis acclamationibus, & cum plausu, splendidissimè excipitur. Cæterum, in reditu Iacobitarum Catholicum, quem illi Patriarcham nominant, Hierosolymis incusauit, ut qui Chalcedonense Concilium improbaret, neque duas naturas in Christo citra confusionem unitas confiteretur. Quòd si faceret, ac sententiam eandem amplecteretur, se illum Antiochenæ Ecclesiæ Patriarcham designaturum. At ille homo callidus, & dolis plenus; & concilium se approbare simulat, & duas

Sarbarus ad Romanos deficit.

Siroes filius Chosroæ interfecto patre, pacem cũ Heraclio facit.

Heraclius Byzantium redit.

Iacobitarũ Catholicus Monothelitã facit Heraclium.

duas naturas in Christo unitas se profiteri ait. Sed de uoluntatibus & actionibus perconatur, utrum eas duplices an uerò unas & singulas dici fas sit: Eam quæstionem Imperator ad Sergium Patriarcham Constantinopolitanum scribit. Qui cum pridem Monothelitarum hæresim probaret: unam naturalem uoluntatem, & unam actionem in Christo statuendā esse Imperatori rescribit. Rogato Cyro Phasiano eum, quoq; idem sentire cum Sergio intelligit. Quorum autoritate motus Heraclius, & ipse eandem opinionem amplectitur, & turbidam aquam bibit ab illis non pastoribus, sed mercenarijs exhibitam.

Sophronij decretum. Verùm cum Sanctus Sophronius tum summo sacerdotio fungens Hierosolymis, subiectis sibi sacerdotibus conuocatis, per cōcilij modū demōstrasset: Qui unā in duobus Christi naturis uoluntatem, atq; actionem affirmarent, eos palàm unam quoq; naturam statuere: eiq; Ioannes Papa Romanus assensus esset. *Heraclij edictum.* Imperator edictum proponit: Neque singularem, neq; binariam in Christo actionem, esse asserendam. Id edictum non Orthodoxis tantum, sed Seueri etiam sectatoribus, ridiculum uisum. Sergio Patriarchę Cōstantinopolitano defuncto, Pyrrhus eiusdē opinionis succedit, *Pyrrhus patriarcha.* sentētiæ Cyri & Seueri & admirator & approbator. In eodē triūphali ex Persia reditu *Moameti origo.* Moametus Saracenorum princeps Imperatorem conuenit. Ei principatus non ex nobilitate generis contigerat. Nam quum pauper esset, locupleti cuidam uiduæ mercede seruierat, quàm præstigijs quibusdam in amorem sui pellectam, uxorem duxerat. Sed quia comitiali morbo laborabat, & ex interuallis impetu illius mali prostratus, mente alienābatur: dominæ suæ uxorique & mœrori & pudori fuit. *Epilepsiæ dissimulatio callida.* Cæterum homo improbus, Monachum se nequiorem nactus, ob peruersam religionem Byzantio exactum: illius instinctu, uxori ait Archangelum Gabrielem de cœlo ad se descendentem, diuina quædam arcanáque sibi reuelare; cuius conspectum quia ferre non possit, se oborta ex metu uertigine, humi procumbere. Ea uerba testimonio dolosi monachi confirmabantur, qui mulieri dicebat, Omnino Gabrielem ad omnes Prophetas mitti solere. Ex eo mulier, abolito dedecore, ac potius Prophetæ coniugio glorians, fabulam istam inter cæteras mulieres spargit. Sic impurus ille apud suos populares, Prophetæ nomen consequutus, & Vxoris mortuæ hæreditate locupletatus, Ismaeliticæ gentis princeps, doctor & Legislator est habitus, quum alios uerbis seduxisset, alios imperium detrectantes stricto gladio sibi cedere coëgisset. Iam enim manum non contemnendam fecerat. Is igitur ex Æthribo progressus Imperatorem conuenit, & regionē ad habitandū petitam accepit.

δύο φύσεις ἡνωμένας ἀσυγχύτως ὑπὲρ τοῦ σωτῆρος χριστοῦ ὁμολογοῦσι, ὁμόδοξον αὐτὸν ἡγήσοιτο, καὶ τῆς αὐτοῦ ἐκκλησίας πατριάρχην προβάλλοιτο. ὁ δὲ δεινὸς ὢν καὶ πονηρίας μεστὸς, ἵνα μὴ ἀποτύχοι τῆς βασιλικῆς ὑποσχέσεως, τήν τε σύνοδον ὑποκρινόμενος ἐδέξατο, καὶ δύο φύσεις ἐπὶ χριστοῦ λέγειν ἡνωμένας κατέθετο. περὶ δέ γε τῶν θελημάτων καὶ τῶν ἐνεργειῶν ἐπυνθάνετο, ἀλλὰ ταῦτα λέγειν χρεὼν, ἢ ἑνικά τε καὶ μοναδικά. ὁ δὲ αὐτοκράτωρ γράφει περὶ τούτου διὰ τοῦ ζητήματος πρὸς τὸν κωνσταντινουπόλεως σέργιον. ἐκεῖνος πάλαι τῆς τῶν μονοθελητῶν προσθέμενος αἱρέσεως, μίαν φυσικὴν θέλησιν καὶ μίαν ἐνέργειαν δεῖν δογματίζειν ἐπὶ χριστοῦ, τῷ βασιλεῖ ἀντεπέστειλεν. ἀλλὰ καὶ κῦρον ἐρωτήσας τὸν φασιανὸν, τῷ σεργίῳ εὕρηκεν ὁμογνώμονα. τούτοις καὶ αὐτὸς ὑπαχθεὶς ὁ ἡράκλειος, τῆς δόξης γίνεται ταύτης, καὶ ἀνατροπὴν ποτίζεται θολερὰν παρὰ τῶν μὴ ποιμένων, ἀλλ' ὡς μισθωτῶν ἐκείνων. τοῦ σωφρονίου μὲν τότε τοῦ ἱεροῦ τοῦ ἐν ἱεροσολύμοις ἀρχιερατεύοντος, τούς τε ὑφ' ἑαυτὸν ἀρχιερεῖς συναθροίσαντος, καὶ συνοδικῶς ἀποδείξαντος, τοὺς μίαν λέγοντας θέλησιν καὶ ἐνέργειαν ἐπὶ τῶν δύο φύσεων τοῦ χριστοῦ, μίαν ἄντικρυς καὶ φύσιν κηρύττειν. σύμψηφον δὲ σχόντος ἐπὶ τούτῳ, καὶ τὸν τὸν θρόνον τῆς πρεσβυτέρας ῥώμης διέποντα ἰωάννην, ὁ βασιλεὺς προτίθεται πρόγραμμα, μήτε ἑνικὴν ἐνέργειαν, μήτε διττὴν ἐν χριστῷ δογματίζεσθαι. ὃ καταγέλαστον οὐ τοῖς ὀρθοδόξοις ἔδοξε μόνον, ἀλλὰ καὶ τοῖς σευήρου ὁμόφροσι. σεργίου δὲ τοῦ, τὸν θρόνον ἔχοντος κωνσταντινουπόλεως τὴν ζωὴν καταστρέψαντος, πύρρος αὐτὸν διαδέξατο, τὰ αὐτὰ ἐκείνῳ δοξάζων, καὶ τὰ σευήρου καὶ κύρου σέβων τε καὶ κυρῶν. ὑποστρέφοντι δὲ τῷ βασιλεῖ τότε ἐκ περσίδος τροπαιοφόρῳ, πρόσεισι μουαμεθ ὁ τῶν σαρακηνῶν φύλαρχος, οὐκ ἐκ γένους τὸ φυλαρχεῖν κληρωσάμενος (τῶν γὰρ ἀσήμων ἐτύγχανεν ὢν) ἀλλὰ πονηρίᾳ τοῦτο κτησάμενος. πένης γὰρ ὢν παρά τινι γυναικὶ ὁμοφύλῳ πλουσίᾳ χήρᾳ ἐθήτευεν, ἣν ἔγημε, γοητείαις ὑπαγαγὼν εἰς ἔρωτα ἑαυτοῦ. ἐπιληψίας δὲ νοσήματι συνεχόμενος, καὶ κατὰ καιροὺς αὐτῷ τοῦ πάθους προσβάλλοντος, πίπτων καὶ τῶν φρενῶν ἐξιστάμενος, ἀθυμίας αἴτιος τῇ ἑαυτοῦ κυρίᾳ καὶ γαμετῇ καὶ αἰσχύνης ἐγίνετο. ὁ δὲ αὐτός τε πονηρὸς ὢν, καί τινι δὲ μοναχῷ πονηροτέρῳ ἑαυτοῦ ἐντετυχηκὼς, διὰ κακοπιστίαν φυγαδευθέντι τῆς βυζαντίδος, καὶ παρ' αὐτοῦ διδαχθεὶς ἔλεγε τῇ γυναικὶ τὸν γαβριὴλ τὸν ἀρχάγγελον οὐρανόθεν αὐτῷ φοιτῶντα, θεῖα τινὰ μυεῖν καὶ ἀπόρρητα, μὴ φέρειν δὲ τὴν τούτου θέαν, καὶ διὰ τοῦτ' ἰλιγγιᾶν, καὶ φόβῳ συνέχεσθαι, καὶ πρὸς γῆν κατακλίνεσθαι. ταῦτα δ' εἶχε αὐτῷ συμμαρτυροῦντα καὶ τὸν μοναχὸν ἐκεῖνον τὸν δόλιον, καὶ τῇ γυναικὶ λέγοντα, ὅτι ὡς ἀληθῶς πᾶσι τοῖς προφήταις οὗτος ὁ γαβριὴλ ἀποστέλλεται. ἐντεῦθεν ἡ γυνὴ ἀποσκεδαζομένη τὸ ὄνειδος, ἐγκαυχωμένη δὲ μᾶλλον ὡς συνοικοῦσα προφήτῃ, τὸν λόγον τοῦτον εἰς τὰς λοιπὰς γυναῖκας προήνεγκε, καὶ οὕτως ὄνομα προφήτου παρὰ τοῖς ὁμοφύλοις ὁ μιαρὸς ἐκεῖνος ἐκτήσατο. θανούσης δὲ τῆς γυναικὸς ἐκείνης, τῶν ἐκείνης κληρονόμος γενόμενος, καὶ φύλαρχος καὶ διδάσκαλος καὶ νομοθέτης τοῦ ἔθνους τῶν ἰσμαηλιτῶν ἐχρημάτισε, τοὺς μὲν λόγοις ἀπατῶν, τοῖς δὲ μὴ εὐχερῶς αὐτῷ πειθομένοις τὸ ξίφος ἀνατεινόμενος, καὶ ὑποκλίνεσθαι οἱ ἐκβιαζόμενος. ἤδη γὰρ καὶ χεῖρα περὶ αὐτὸν συνήγαγεν ἱκανήν. οὗτος οὖν ἐκ τῆς αἰθρίβου προελθὼν, προσῆλθε τῷ βασιλεῖ, χώραν αἰτῶν εἰς κατοίκησιν, καὶ ἔλαβεν.

ὅπως ὁ ἡράκλειος εἰς τὴν τῶν μονοθελητῶν αἵρεσιν ἐξωκείλεν.

περὶ τοῦ ἱεροῦ σωφρονίου, καὶ τῆς παρ' αὐτοῦ γενομένης συνόδου.

περὶ πύρρου πατριάρχου.

περὶ μουάμεθ [illegible]

ἣν δὲ

ὃν δὲ ἄρχεται τρόπον τὸ ἔθνος ἅπαν κατασοφισάμενος, καὶ ὑφ' ἑαυτὸν ποιησάμενος, τήν τε συρίαν κατέδραμε καὶ ἐλῄσατο, καὶ τῶν ῥωμαϊκῶν χώρας πολλὰς ἐξεπόρθησε, καὶ ἐκ τότε οὐκ ἐπαύσατο τὸ τῶν ἰσμαηλιτῶν γένος τὴν ῥωμαίων ἅπασαν γῆν κατατρέχον καὶ λῃζόμενον. ἡράκλειος δὲ, ὡς εἴρηται, εἰς τὴν τῶν μονοθελητῶν ἐκκυλισθεὶς αἵρεσιν, νόσῳ περιέπεσεν ὑδερικῇ. λέγεται δὲ καὶ τὸ αἰδοῖον αὐτοῦ στρεφόμενον, ἄνω τὸ οὖρον πέμπειν, καὶ εἰ μὴ σανὶς ἐπὶ τῷ ἤτρῳ αὐτοῦ ἐτίθετο, κατὰ τοῦ προσώπου αὐτοῦ τὸ ἐκκρινόμενον κινδυνεύειν. ὃ συμβαίνειν ἐδόκει διὰ τὴν ἐκθεσμον μῖξιν τῆς ἀδελφόπαιδος. θνήσκει γοῦν ὁ βασιλεὺς οὗτος τριακοστὸν ἐφ' ἑνὶ χρόνον ἀνύσας ἤδη ἐν βασιλείᾳ ῥωμαίων.

ἡρακλείου τελευτή.

Cumque omnes populares suos ad hunc modum deceptos subegisset, Syriam direptionibus uexauit, & multas Romanorum prouincias euastauit. Ex eo tempore gens Ismaëlitarum Romanorum terram incursare & praedari nunquam destitit. Heraclius autem ita ut exposui, in sectam Monothelitarum deuolutus, aqua intercute laborare coepit. Fertur etiam inguine sursum conuerso faciem suam perminxisse, nisi urina, tabella imo uentri opposita, auerteretur. Id ei accidisse creditum ob incaestum cum fratris filia coitum. Mortuus est, cùm annos triginta unum Romano imperio praefuisset.

Heraclij ex morbo obitus.

ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ τοῦ υἱοῦ ἡρακλείου.

Μετέβαινε δὲ ἡ αὐταρχία πρὸς τὸν υἱὸν αὐτοῦ κωνσταντῖνον, ἧς βραχύ τι ἀπώνατο. ἕνα γὰρ μοναρχήσας ἐνιαυτὸν, φαρμάκῳ διώλετο, παρὰ μαρτίνης αὐτῷ κερασθὲν τῆς μητρυιᾶς τε ὁμοῦ καὶ ἐξαδέλφης αὐτοῦ. ἡ γυνὴ συνῴκισε γρηγορίαν, θυγατέρα τοῦ πατρικίου νικήτα, ἐξ ἧς υἱὸς αὐτῷ κώνστας ἐγένετο. ἦν δὲ ὁ κωνσταντῖνος περὶ τὴν πίστιν ὀρθὸς, τὴν βασιλείαν πατρόθεν διαδεξάμενος, οὐ μέντοι καὶ τὸ κακόδοξον. διὸ λέγεται τῆς κατ' ἐκείνου ἐπιβουλῆς, καὶ τὸν πύῤῥον συμμετέχειν τὸν τῆς κωνσταντινουπόλεως πρόεδρον. τούτου δ' οὕτω τὸν βίον καταλύσαντος, μαρτῖνα σὺν τῷ ἡρακλωνᾷ τῷ παιδὶ τῆς βασιλείας ἀντείχοντο, ἀλλὰ τὸ οὕτω ταχέως τῆς ἀρχῆς ἐκπεπτώκασι. μισηθεῖσα γὰρ ἡ μαρτῖνα παρὰ τῆς γερουσίας διὰ τὸν φόνον τοῦ κωνσταντίνου, κατασπᾶται μὲν τῶν βασιλείων, ἐπαναστάσης αὐτῇ τῆς συγκλήτου. ἐκτέμνεται δὲ τὴν γλῶτταν αὐτή, τὴν ῥῖνα δὲ ὁ ἡρακλωνᾶς ἔτι δεκέτης ὢν, καὶ ἄμφω ὑπερορίᾳ κατεψηφίζονται ἀρξάντων. καὶ ὁ πύῤῥος τῆς ἐκκλησίας ἐκβάλλεται, καὶ φυγὴν κατακρίνεται.

IMPERIVM CONSTANTINI filij Heraclij.

IMperium autem & summa potestas ad eius filium Constantinum successione deuenit: quo non diu est laetatus. Nam cùm unum regnasset annum, ueneno perijt, à Martina nouerca eademque sorore patrueli temperato. Vxorem habuit Gregoriam, Nicetae Patricij filiam, è qua Constantem suscepit. De religione rectè sensit, paterni Imperij duntaxat, non item peruersae opinionis haeres. Qua de causa, Pyrrhus etiam Patriarcha, conscius fuisse insidiarum putatur. Constantino ita defuncto, Martina cum filio Heraclona imperium sibi uendicabat, quo & ipsi citò exciderunt. Nam ob Constantini parricidium senatui inuisa, per seditionem regio solio auulsa est, ipsaque lingua execta: Heraclonas decennis adhuc, naso praeciso à senatu relegantur, Pyrrhus item Ecclesia eiectus, exulare iubetur.

Constantini interitus.

Martina relegatur.

ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΟΣ τοῦ ἐγγόνου ἡρακλείου.

Καὶ εἰς μὲν τὸν βασίλειον θρόνον κώνστας ὁ ἔγγονος ἡρακλείου, υἱὸς δὲ τοῦ κωνσταντίνου παρὰ τῆς συγκλήτου καθίσταται. εἰς δὲ τὸν ἀρχιερατικὸν παῦλος ἀντικαθίσταται. καὶ οὗτος δὲ περὶ τὴν πίστιν ὁμογνωμονῶν τοῖς πρὸ αὐτοῦ σεργίῳ καὶ πύῤῥῳ διεγνώσθη. ὁ γοῦν αὐτοκράτωρ κώνστας, τἄλλα μὲν οὐκ ἀχρεῖος γέγονε βασιλεὺς, περὶ δὲ τὸ σέβας τὸ πάππῳ ὁμοιωθείς. καὶ οὗτος γὰρ τὴν τῶν μονοθελητῶν ἐπρέσβευεν αἵρεσιν. διὸ τόν τε σοφώτατον ἄνδρα καὶ θειότατον τὸν μέγιστον μάξιμον, καὶ τοὺς αὐτοῦ φοιτητὰς ἄμφω ἐκόλασε ἀπηνέστατα, καὶ μαρτῖνον τὸν ἁγιώτατον πάπαν τῆς ῥώμης ὑπερορίᾳ κατέκρινεν, ἐν ᾗ καὶ ἀπέθανεν. ὃς σὺν τῷ ἀοιδίμῳ πατρὶ μαξίμῳ παραγενομένῳ ἐν ῥώμῃ, σύνοδον ἀθροίσας ἀρχιερέων, ἀναθέματι τοὺς τὰ τῶν μονοθελητῶν φρονοῦντας ὑπέβαλε, καὶ ἄλλους δὲ πολλοὺς τῶν ὀρθοδόξων ὁ κώνστας ἐτιμωρήσατο, μὴ θελήσαντας ὑποκύψαι τῷ αὐτοῦ μονοθελήτῳ θελήματι,

IMPERIVM CONSTANTIS nepotis Heraclij.

DEinde Constans Heraclij nepos, Constantini filius in regnum, Paulus in pontificium solium collocatur. Qui Paulus & ipse eiusdem cum Sergio & Pyrrho opinionis fuit. Ipse quoque Constans, alijs quidem in rebus, non inutiliter administrauit imperium, sed in religione auum imitatus, Monothelitarum sectam est sectatus. Qua de causa Maximum, uerè suo nomini respondentem, uirum doctissimum & sanctissimum, & ambos eius discipulos, crudelissimo supplicio affecit, ac Martinum sanctissimum Papam Romanum in exilium egit, in quo & mortuus est. Nam is cum Sancto Maximo Romam profecto, coacto primorum sacerdotum concilio, anathemate notarat Monothelitarum assensores. Alios quoque complures, Constans unicae uoluntati suae refragantes, poenis affecit.

S. Maximi martyrium

Cum

Cum autem iam Saraceni magnam adepti potentiam, multas prouincias Romanis tributarias & insulas occupassent, Dux eorum Mabias bellicis nauibus ædificatis, Romanum Imperium inuadere cogitabat. Quo Constans intellecto, & ipse classe comparata in Phœnice Lyciæ portu appulit. Quo cum & Agareni uenissent, ac pugna postridie committenda esset: ea nocte Imperator in somnis se Thessalonicæ esse uidet. Eo somnio coniector cladem illi portendi dixit, quod θὲς ἄλλῳ νίκην significaret, alteri uictoriam tribuendam: idq; accidit. Commisso enim prælio, hostes superiores euasere, tanta Romanorum cæde edita, ut mare illorum sanguine purpurasceret, & Constans uili ueste indutus, fortuito nauigio conscenso cum paucis, Byzãtium euaderet. Agareni uerò iam obsistente nemine, inuadebant omnia. Tunc etiam Rhodo insula subacta, celebratum in ea Colossum demoliti sunt, cujus æs Iudæus quidam mercatus, DCCCC camelis fertur asportasse. Cæterum Agarenorum audacia, qua Romanos lacessebant, aliquantisper nonnihil est repressa, orta inter eos de duce exercitus controuersia, alijs Mabiam, alijs Alimum Muchumeti generum præferentibus, ac biennij inducias cum Romanis tributa pollicitis fecerunt. Sub Constante multæ Romanorum prouinciæ terræ motu uentorumq; procellis, quæ multa ædificia deiecere, afflictæ sunt. Patriarcha Paulo cùm XII annos ecclesiæ nefariè præfuisset, mortuo: Pyrrhus duodecimo anno Imperij Constantis in sedem urbis pastoralem reuocatur. Nam cum, ut dictum est, Ecclesia excidisset, Romam profectus, atq; Diuo Maximo prauæ opinionis conuictus: se deseruisse Monothelitarum opinionem simulat, libellumq; de fide sua Papæ petenti offert, à quo approbatus est. Inde clam Rauennam digressus, hæresim cælare non potuit. Quo Papa comperto, conuocatis suis Episcopis, eum penitus condemnat. Is igitur denuò sede Constantinopolitana per menses quatuor potitus, moritur. Ei succedit Petrus, & ipse à prioribus non dissentiens, quo post annos XII mortuo, Thomas ueræ sententiæ defensor Orthodoxis præfuit, qui post annos duos & menses septem mortuus, Ioannem habuit successorem. Verum Constans ob cæsum fratrem Theodosium, & admissa in Papam Martinum & Diuum Maximum facinora, ciuibus se inuisum esse cernens, in Siciliam profectus, circa Syracusas uitam agit, atque Imperium etiam Romam ueterẽ transferre uoluit. Dicebat enim, plus honoris deberi matribus quàm filiabus. Eaq; de causa, Imperatricem & tres filios suos Constantinum, Heraclium, & Tiberium ad se accersiuit. Sed quò minus abirent, uel à cognatis retenti, uel ab urbana multitudine prohibiti fuerunt. Cum autem sex annos in

Constans à Mabia Saracenorũ duce profligatur.
Rhodius colossus.
Induciæ biennij cum Agarenis.
Episcoporũ successores.
Petrus patriarcha. Thomas. Ioannes.
Constans in Sicilia interficitur.

an

Ἤδη δὲ τῶν σαρακηνῶν μέγα δυναμένων, καὶ πολλὰς τῶν ῥωμαίοις ὑποφόρων χώρας καὶ νήσους σφετερισαμένων, ὁ τούτων ἀρχηγὸς μαβίας πολεμιστηρίας πλεύσας ναῦς ἐξαρτυσάμενος, ἐπιθέσθαι διεμελέτα τῇ ῥωμαίων ἡγεμονίᾳ. ὅπερ ὁ κώνστας μαθὼν, καὶ αὐτὸς στόλον ἐπισκευάσας, εἰς τὸν τῆς λυκίας κατῆρε λιμένα, ὀνομαζόμενον φοίνικα. ἐκεῖ γενομένων καὶ τῶν ἀγαρηνῶν, ναυμαχία τῇ ἑξῆς γενέσθαι ἔμελλεν. ὁρᾷ γοῦν ὁ βασιλεὺς περὶ τὴν νύκτα ἐκείνην ἐνύπνιον, ὅτι ἐν θεσσαλονίκῃ ἦν. ὃ τῶν λογίων τινὶ κοινωσάμενος, ἤκουσεν ἥττης εἶναι τὸ ὄναρ δηλωτικὸν, ἄλλῳ δὲ τὴν νίκην δηλοῦν. ὃ καὶ γέγονε. ναυμαχίας γὰρ γενομένης, ὑπερέσχον οἱ ἀντιπόλεμοι, καὶ τοσοῦτος γέγονε φόνος ῥωμαίων, ὡς ἐκ τοῦ αἵματος πορφυρωθῆναι τὴν θάλασσαν. ὁ δὲ βασιλεὺς ἐνδὺς στολὴν φαύλην, καὶ εἰς πλοῖον ἐμβεβηκὼς τὸ παρατυχὸν, μετά τινων ὀλίγων διέδρα, καὶ εἰς τὸ βυζάντιον διεσώσατο. οἱ ἀγαρηνοὶ δὲ μηδενὸς ἔτι αὐτοῖς ἀντιπίπτοντος, ἀδεῶς κατὰ πάντων ἐχώρουν. τότε καὶ τὴν νῆσον ῥόδον ὑφ' ἑαυτοὺς ποιησάμενοι, τὸν ἐν αὐτῇ περίπυστον κολοσσὸν καθῃρήκασιν, οὗ τὸν χαλκὸν ἰουδαῖος πριάμενος ἔμπορος, ἐννακοσίαις καμήλοις λέγεται τοῦτον μετενεγκεῖν. ἀλλ' ἐπέσχε τινα καιρὸν ἡ τῶν ἀγαρηνῶν κατὰ ῥωμαίων θρασύτης ἀνασταλεῖσα πόνοις. γεγόνασι γὰρ κατ' ἀλλήλων διαφερόμενοι περὶ ἀρχηγοῦ. οἱ μὲν γὰρ τὸν μαβίαν ᾑροῦντο, οἱ δὲ τὸν ἀλὴμ γαμβρὸν τοῦ μουχάμετ γενόμενον. ὅτε καὶ σπονδὰς ἔθεντο ἐπὶ δύο ἐνιαυτοὺς πρὸς ῥωμαίους, καταδεξάμενοι φόρους τελεῖν. γέγονε δὲ αὐταρχοῦντος τοῦ κώνσταντος κλόνος τῆς γῆς, καὶ πολλαὶ χῶραι τῆς ῥωμαίων ἡγεμονίας κακῶς ἔπαθον, καὶ πνεῦμα βίαιον ἐπνεύσεν ἄλλοτε, καὶ πολλὰ τῶν οἰκοδομημάτων κατέβαλε. τοῦ πατριάρχου δὲ παύλου δώδεκα ἐνιαυτοὺς ἀνοσίως προστάντος τῆς ἐκκλησίας, εἶτα θανόντος, εἰσάγεται πάλιν ὁ πύρρος εἰς τὴν ποιμαντικὴν τῆς κωνσταντινουπόλεως, ἐν δωδεκάτῳ τῆς βασιλείας τοῦ κώνσταντος ἔτει. ὅτε γὰρ ὁ πύρρος ἐξεώσθη, ὡς ἱστόρηται, τῆς ἐκκλησίας, εἰς ῥώμην ἀφίκετο, καὶ ἐλεγχθεὶς παρὰ τοῦ ἁγίου μαξίμου κακῶς δοξάζων, ὑπεκρίθη μετατεθεῖσθαι τῆς δόξης τῶν μονοθελητῶν, καὶ ἀπαιτηθεὶς παρὰ τοῦ τότε πάπα, λίβελλον περὶ πίστεως δέδωκε καὶ ἐδέχθη. εἶτα τῆς ῥώμης ὑποχωρήσας, καὶ εἰς ῥάβενναν ἀπελθὼν, ἐγνώσθη τῆς αἱρέσεως μὴ ἐκστάς. ὅθεν ὁ πάπας τοῦτο μαθὼν, καὶ τοὺς ὑπ' αὐτὸν ἐπισκόπους ἀθροίσας, καθαίρεσιν αὐτοῦ τελείαν κατεψηφίσατο. οὗτος οὖν τὸ δεύτερον μῆνας τέσσαρας τὸν θρόνον τῆς κωνσταντινουπόλεως κατασχὼν, τέθνηκε, καὶ προχειρίζεται πατριάρχης πέτρος, ὁμόδοξος καὶ οὗτος τοῖς πρὸ αὐτοῦ, καὶ ἔτη δώδεκα τῆς ἐκκλησίας ἄρξας δυστρόπως, θνήσκει. μεθ' ὃν προΐσταται τῶν ὀρθοδόξων θωμᾶς, τῆς ὀρθῆς ἐχόμενος δόξης, ὃς μετὰ δύο ἔτη καὶ μῆνας ἑπτὰ, τὸν βίον μεταλλάξας, ἰωάννην ἔσχε διάδοχον. οὗτος ὁ βασιλεὺς κώνστας τὸν ἴδιον ἀδελφὸν ὁμαίμονα θεοδόσιον, καὶ ἐμισήθη ὑπὸ τῶν τῆς πόλεως διά τε τοῦτο, καὶ διὰ τὰ εἰς τὸν πάπαν μαρτῖνον, καὶ τὸν μέγαν γενόμενα μάξιμον. ἀπῆρεν οὖν τοῦ βυζαντίου, καὶ εἰς σικελίαν κατῆρε, διάγων περὶ συράκουσαν, βουλόμενος καὶ τὴν βασιλείαν εἰς τὴν πρεσβυτέραν ῥώμην μετενεγκεῖν. ἔλεγε γὰρ δεῖν μᾶλλον τὰς μητέρας ἢ τὰς θυγατέρας τιμᾶν. διὸ καὶ τὴν βασίλισσαν καὶ τοὺς υἱοὺς αὐτοῦ (τρεῖς δὲ ἦσαν κωνσταντῖνος, ἡράκλειος, καὶ τιβέριος) μετεκαλεῖτο πρὸς ἑαυτόν. ἀλλὰ τοῦτο μέν τινες τῶν ὁμαιμόνων αὐτοῦ διεκώλυσαν, ἄλλοι δέ φασι τὸ πλῆθος, τῆς πόλεως μὴ παραχωρῆσαι αὐτοῖς τὴν πρὸς ἐκεῖνον ἄφιξιν. ὁ δ' ἐν κώνστας ἓξ ἐν

Ἐπὶ δ' τῶν σαρακηνῶν ἀρχηγὸν κατὰ ῥωμαίων ἐχώρησε, καὶ ἀντιπαραταξάμενος αὐτοῖς ἡττήθη.
Ἐπὶ τινα καιρὸν εἰρήνευσαν οἱ ἀγαρηνοί.
Περὶ πατριαρχῶν πύρρου.
Ὅπως ἐμισήθη ὁ κώνστας παρὰ τῶν πολιτῶν καὶ εἰς σικελίαν ἀπῆρε καὶ ἐσφάγη.

σικελίᾳ

σικελίᾳ διαγαγὼν ἔτη, ἐκεῖθεν οὐκ ἐπανῆλθεν. ἐπιβουλευθεὶς γὰρ παρὰ τῶν περὶ αὐτὸν λουόμενος, ἐπλήγη καιρίως τὴν κεφαλὴν κατὰ τοῦ ἀντλήματος, ᾧ αὐτῷ κατεχεῖτο τὸ ζεστὸν ὕδωρ, καὶ ἀπέθανεν, ἄρξας ῥωμαίων ἐνιαυτοὺς ἑπτά τε καὶ εἴκοσι.

Sicilia uixisset, inde non rediit, sed inter lauandum per insidias est occisus, capiti situla grauiter impacta, qua calida aqua perfundi solebat, anno imperij septimo & uigesimo extinctus.

ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΟΥ τοῦ πωγωνάτου.

Ἀναιρεῖ ὁ κωνσταντῖνος τὸν μιζίζιον, καὶ τοὺς φονεῖς τοῦ πατρὸς ἐκδικῶν, καὶ εὐνουχίζει γερμανόν.

Τούτου δὲ θανόντος, τὸ στρατιωτικὸν τὸ μετ' αὐτοῦ εὐθὺς ἀρμένιόν τινα μιζίζιον ὄνομα, ἀγαλματίαν ὄντα καὶ ὡραιότατον, βασιλέα προεχειρίσαντο. ὅπερ ἀκούσας ὁ τοῦ κώνσταντος υἱὸς ὁ πρεσβύτερος, ὁ πωγωνάτος κληθείς, ὃς καὶ τῷ τῆς βασιλείας κεκόσμητο διαδήματι, στεφθεὶς παρὰ τοῦ πατρός, μετὰ στόλου μεγάλου τὴν σικελίαν κατέλαβε, καὶ τόν τε μιζίζιον χειρωσάμενος ἀνεῖλε, καὶ σὺν τὸν φόνον κατεργασαμένους αὐτὸν αὐτῷ τοῦ πατρός, καὶ πρὸς τοῖς ἄλλοις καὶ τὸν πατρίκιον ἰουστινιανὸν τὸν πατέρα γερμανοῦ τοῦ πατριάρχου, αὐτὸν δὲ τὸν γερμανὸν ἐκτομίαν ἐποίησεν, ἤδη πεφυκότα καὶ ὑπερβεβηκότα τὴν ἡλικίαν, καθ' ἣν εὐνουχίζεσθαι δεδοκίμασται. λειπογένειος δὲ ὢν ὅτ' ἀπεδήμησεν ὁ βασιλεύς, ἐκδικήσων τὸν φόνον τὸν τοῦ πατρός, κατατεθαμμένον ἔσχεν ἐπανήκων τὸν πώγωνα, διὸ δὴ ἐκεῖνον πωγωνάτον παρὰ τῶν πολιτῶν ἐπεκέκλητο. οἱ δὲ τοῦ θέματος τῶν ἀνατολικῶν εἰς χρυσόπολιν ἀφικόμενοι, ἐβόων,

" δεῖν καὶ τοὺς λοιποὺς δύο συγγόνους τοῦ κωνσταντίνου στεφ-
" θῆναι, λέγοντες ὅτι ὥσπερ εἰς τριάδα πιστεύομεν, οὕτω καὶ
" παρὰ τῶν τριῶν χρεὼν ἡμᾶς βασιλεύεσθαι.

ὁ γοῦν κωνσταντῖνος στείλας πρὸς αὐτούς, πληρώσειν τὴν αἴτησιν αὐτῶν ἐπηγγείλατο, καὶ τοὺς τοῦ λαοῦ προεξάρχοντας μετεκαλεῖτο, ἵν' αὐτῶν ἔμπροσθεν ἡ τῶν αὐτοῦ ἀδελφῶν ἀνάρρησις γένηται. ἐλθόντας δὲ εἰς τὸ βυζάντιον, ἀνεῖλεν ὡς στασιώδεις αὐτούς. ὃ γνόντες οἱ ἄλλοι, μετὰ δέους εἰς τὰ ἑαυτῶν ὑπενόστησαν. καὶ ἀμφοῖν δὲ τῶν ἀδελφῶν αὐτοῦ τὰς ῥῖνας ἀπέτεμεν. οἱ δὲ τῆς ἄγαρ ἀπόγονοι ἀδιάλειπτον τὴν ὑπὸ ῥωμαίους ἅπασαν καὶ πεζοὶ καὶ πλωϊζόμενοι δῃοῦντες καὶ ληϊζόμενοι. εἶτα στόλον βαρὺν κατ' αὐτῆς ἐπῆλθον τῆς βασιλίδος τῶν πόλεων, καὶ ναύσταθμον τοῦ σφετέρου στόλου πεποίηντο, ἀπὸ τοῦ πρὸς δύσιν ἀκρωτηρίου τοῦ κατὰ τὸ ἕβδομον μέχρι τοῦ κυκλοβίου. στόλον δὲ καὶ ὁ κωνσταντῖνος ὁ βασιλεὺς ἀνθοπλισάμενος, καθ' ἑκάστην αὐτοῖς ἀντετάττετο, καὶ ναυμαχίαι ἐγίνοντο ἐξ ὥρας ἐαρινῆς μέχρι δὴ φθινοπωρινῆς. ὡς δ' οὐδὲν οἱ βάρβαροι ἤνυον, ἀπάραντες τὴν κύζικον κατειλήφασι, καὶ ταύτην ἑλόντες, ἐν αὐτῇ τὸν χειμῶνα διήγαγον. ἅμα δ' ἦρι αὖθις τὴν κωνσταντίνου κατέλαβον, καὶ αὖθις ναυμαχίαι συχναί. τριβομένου δὲ τοῦ καιροῦ, ἐπεὶ κατέλαβε τὸ μετόπωρον, τῇ κυζίκῳ καὶ αὖθις τὸν οἰκεῖον στόλον οἱ τῆς ἄγαρ ὥρμισαν. καὶ τοῦτο ἐπ' ἔτος εἰς ἕβδομον ἐποίουν ἐνιαυτόν. ἀπογνόντες οὖν, μᾶλλον μέντοι καὶ πλῆθος ἀποβαλόντες πολύ, καὶ τῶν νηῶν ζημιωθέντες τὰς πλείονας (τότε γὰρ καὶ τὸ ὑγρὸν ἐπινενόηται πῦρ, καλλινίκου τινὸς ἀρχιτέκτονος ἀπὸ συρίας ἐλθόντος πρὸς τὸ βασίλειον ἄστυ, καὶ τοῦτο κατασκευάσαντος) μετ' αἰσχύνης καὶ λύπης πολλῆς αὖθις ὑπέστρεφον. ἤδη δὲ τοῦ περιλειφθέντος βαρβαρικοῦ στόλου γενομένου κατὰ τὸ σύλαιον, καταιγὶς πνευμάτων σκληρὰ τούτῳ προσεπιπεσοῦσα, τὸν μὲν κατέλυσε, τὸν δὲ συνέτριψεν, ἀκταῖς προσαράξασα. ἐπιθεμένου δὲ τοῖς ἐκ τούτων διασωθεῖσι, καὶ τοῦ τῆς

Ὅτι οἱ ἀγαρηνοὶ ἐπολιόρκησαν τὴν κωνσταντινούπολιν, καὶ ἀπῆλθον ἀπρακτήσαντες.

Ὅτι ἐπὶ τούτου τοῦ βασιλέως τὸ ὑγρὸν πῦρ εὑρέθη.

IMPERIVM CONSTANTINI Pogonati, siue Barbati.

Constantinus uicto Mizizio, patris necem ulciscitur.

Eo defuncto, legiones quæ cum illo fuerant, statim Armenium quendam Mizizium hominem adeò formosum, ut nec pictæ fictæ ue imagini cederet, Imperatorem designarunt. Quo natu maximus Constantis filius Pogonatus audito, quem ipse pater insignibus Imperij ornarat, Sicilia cum magna classe occupata, Mizizium uictum occidit, necemque patris ulciscitur, cùm alijs, tum Iustiniano Patricio Germani Patriarchæ patre interfecto, ipsumque Germanũ iam pubertatis annos, & eam ętatem qua castrari solent, egressum, eunuchum facit. Quia uerò Byzantio soluens tenera adhuc lanugine fuerat, è Sicilia uerò promissam barbam retulerat, Pogonati cognomen accepit à ciuibus. Cæterum Orientalium partium proceres Chrysopolim profecti, uociferabãtur, etiam reliquos duos Cõstantini fratres coronãdos esse, quòd sicut in trinitatem credamus, ita etiam tribus Imperatoribus nos parere æquum esset. Constantinus uerò missis legatis, se postulatis eorum annuere pollicitus, populi principes accersit, ut coram illis fratrum proclamatio fiat. Eos cum Byzantium uenissent, pro seditiosis interfecit, quo cęteri cognito, trepidi ad sua se receperunt: utrique etiam fratri nasum præcidit. Agareni autem omnes Romanorum prouincias terra marique & incendijs & direptionibus uastare non desistentes, tandem magna classe ipsum etiam Byzantium sunt aggressi, nauibus suis ab Hebdomi occidentali promontorio usque ad Cyclobium collocatis. Sed & Constantinus classe exornata, indies cum eis decertabat, naualesque pugnæ à uere usque in autumnum committebantur. Igitur Barbari cum nihil proficerent, soluta obsidione, Cyzicum occuparunt, ibique hyemarunt: sub ueris initium, rursus Byzantium inuasere, ubi cum denuò crebris prælijs naualibus committendis tempus tereretur, autumno classem Cyzicum reduxerunt, idque per annos septem factum. Desperata igitur expugnatione, atque etiam multis militibus & pluribus nauibus amissis (nã tũ quoque Græcũ ignem à Callinico quodã architecto è Syria in regiam urbem profecto excogitatum ferunt) cum dedecore magnoque mœrore retro abierunt. Cum autem Barbaricæ classis reliquiæ iam ad Sylæũ peruenissent, turbo uehemens exortus, naues partim demersit, partim scopulis illisas contriuit. Vnde si qui euaserant, eos etiam Ci-

Seditio arte compressa.

Naualia prælia cum Agarenis.

Græci ignis inuentio.

byrræotarum dux deleuit. Quin terra etiam alius Arabum exercitus à Romanis legionibus uictus est. Vnde Saraceni spe deiecti, ac potius metuentes, ne à Romanis ipsi inuaderentur, pacis faciendæ consilium cœperunt. Mauiæ igitur pacem per legatos petenti, annuit Imperator, misso Ioanne Patritio, cui Pizigaudæ nomen erat, uiro prudente ac in dicendi facultate exercitato, qui pacis interpres esset. Qui in Arabiam profectus, & honorificentissimè exceptus, cum Sarracenis transegit, pace, scriptis tabulis, in annos XXX firmata, ut Arabes, se Romanorum Imperio quot annis auri terna millia, octonos seruos, totidemque æquos apud se præstantes tributi nomine pensitaturos pollicerentur. Ea pace cognita, occidentales Romanorum hostes, & ipsi legatis cum muneribus ad Imperatorem missis, pacem impetrarunt. Ita & oriente & occidente pacato, Theodorus in sedem pontificiam introducitur, cui post biennium eiecto Georgius succedit. Cum autem Constantinus orthodoxus esset, unire studuit Ecclesias ob Monothelitarum hæresim iam inde à proauo suo Heraclio ortam dissidentes. Itaque Concilium Constantinopoli indicit, cuius fuere principes Agathonis Papæ Romani legati, Georgius Constantinopolitanus, & Theophanes Antiochenus. Neque Alexādria, neque Hierosolyma Patriarcham habebant, à Sarracenis occupatæ. Eo concilio, quod numero sextum fuit, est decretum, duas uoluntates & duas actiones in Christo & prædicandas & credendas esse, etiam Imperatore præsente. Qui autem unicam uoluntatem & actionem asserebant, Theodorus Pharanius episcopus, Cyrus Alexandrinus, Sergius, Pyrrhus, Paulus & Petrus Constantinopolitani, Macarius Antiochenus, & Stephanus discipulus eius, & Geron inueteratæ improbitatis, & puerilis uæcordiæ senex, anathemate sunt notati. Interea Bulgaris Romanas ultra Danubium prouincias effusè uastantibus, Imperator Constantinus terra mariq; occurrere parat, magna classe è mari in Danubium traducta. Quo apparatu territi Barbari, munitione quadam occupata quæ fluminibus & limo cingebatur, quiescunt. Sed nec Romani eos inuasere. Quum autem utrinque dies aliquot per ociū transegissent, Barbari Romanos ignauos esse rati, etiā tali euētu cōfirmati, parē priori timiditati fiduciā recepcrūt. Nā Imperator ingēti pedū cruciatu affectus, cū v. nauib⁹ expeditis & suo comitatu in Mesembriā Romanā puinciā traijcit, balneis usurus, exercitu & ducib⁹ illic relictis, qbus mandarat, ut uelitatiōib⁹ hostes ad pugnā elicerēt. Verū rumore in castris orto Imperatorē metu hostiū cępisse fugā: omnes turpiter fugiūt, persequēte nemine. Quod præter spē factū, Bulgarorū animos auxit, & audaciā acuit, ut tergis fu-

Sarraceni fiunt Romanis tributarij.

Theodorus Georgius.

VI. Constantinopolitana Synodus contra Monothelitas.

Bulgari Romanas prouincias uastant.

κιβυρραιωτῶν στρατηγοῦ, ἅπαντας διώλεσε. κατὰ γῆν δ' αὖθις ἑτέρα στρατιὰ τῶν Ἀράβων Ῥωμαϊκοῖς προσβαλοῦσα στρατεύμασιν, ἡττήθη, ὥστε πεσεῖν, ὡς λέγεται, τριάκοντα χιλιάδας ἢ μείονας. ἐντεῦθεν οἱ Σαρακηνοὶ γνόντες ὡς οὐδέν σφισι τῶν ἐν ἐλπίσιν ἀνύσιμον, μᾶλλον μὲν οὖν καὶ δείσαντες, μὴ αὐτοῖς οἱ Ῥωμαῖοι ἐπέλθωσιν, ἀσπάσασθαι ἐβουλεύθησαν, καὶ πέμψας πρέσβεις ὁ Μαυΐας πρὸς βασιλέα, εἰρήνην αἰτούμενος· καὶ ὁ βασιλεὺς πρὸς ταύτην κατένευσε, καὶ τὸν πατρίκιον Ἰωάννην τὸν Πιτζιγαυδὴν καλούμενον ἐκπέμψας ὡς συνετὸν ἄνδρα, καὶ γλῶτταν πρὸς τὸ λέγειν ἔχοντα εὔστροφον, τὰς τῶν σπονδῶν συνθήκας ἁρμόσοντα. ὃς ἀπελθὼν πρὸς τοὺς Ἄραβας, δεχθείς τε φιλοτιμότατα, τὰ τῆς εἰρήνης ἔθετο σύμφωνα, καὶ δι' ἐγγράφων αὐτὴν ἐπὶ τριάκοντα ἐνιαυτοὺς ἐβεβαίωσε, τῶν Ἀράβων καταθεμένων διδόναι τῇ βασιλείᾳ Ῥωμαίων δασμὸν ἐνιαύσιον χρυσίου χιλιάδας τρεῖς, καὶ δούλους ὀκτώ, καὶ ἵππους τῶν παρ' αὐτοῖς δοκίμων τοσούτους. οἱ μὲν οὖν τῆς Ἄγαρ οὕτω τῆς εἰρήνης ἔτυχον. οἱ δὲ κατὰ τὴν ἑσπέραν τῶν Ῥωμαίων πολέμιοι ταῦτα μαθόντες, κἀκεῖνοι καταλύσασθαι τοὺς πολέμους σπουδὴν ἔθεντο, καὶ πρέσβεις πρὸς τὸν βασιλέα μετὰ δώρων ἐστάλκασι, καὶ πρὸς αὐτοὺς ἀσμένως ἐσπείσατο, καὶ ἠρεμία πολέμων ἐγένετο. ἐπὶ τούτων λῆξιν καὶ ἐπὶ τῆς ἑσπέρας. θανόντος δὲ τοῦ πατριάρχου Ἰωάννου προεχειρίσθη Κωνσταντῖνος, καὶ μετὰ δύο ἔτη ἐξέλιπε, καὶ ἀνάγεται εἰς τὸν ἀρχιερατικὸν αὐτὸς θρόνον Θεόδωρος. ὃς μετὰ δύο ἐνιαυτοὺς ἐκβληθείς, διάδοχον ἔσχε Γεώργιον. ὀρθόδοξος δὲ ὢν ὁ βασιλεὺς Κωνσταντῖνος, ἐσπούδασεν ἑνῶσαι τὰς ἐκκλησίας διεσχισμένας διὰ τὴν τῶν μονοθελητῶν αἵρεσιν, ἐκ τῶν χρόνων τῆς βασιλείας Ἡρακλείου τοῦ προπάππου αὐτοῦ. διὸ καὶ σύνοδον οἰκουμενικὴν ἀθροισθῆναι ἐκέλευσεν ἐν Κωνσταντινουπόλει. ἧς ἡγοῦντο τοῦ μὲν πάπα Ῥώμης Ἀγάθωνος τοποτηρηταί. Γεώργιος δὲ Κωνσταντινουπόλεως καὶ Θεοφάνης Ἀντιοχείας. Ἀλεξανδρείας δὲ οὐκ ἦν πατριάρχης οὐδὲ Ἱεροσολύμων, ὅτι ὑπὸ τοὺς Σαρακηνοὺς αἱ πόλεις αὗται ἐτύγχανον. ἕκτη δ' ἦν ἡ σύνοδος. αὕτη ἐκύρωσε δύο θελήσεις καὶ δύο ἐνεργείας ἐπὶ τοῦ σωτῆρος Χριστοῦ, ἐν ᾗ λέγεται, παρουσιάζοντος καὶ τοῦ αὐτοκράτορος. ἀναθεματίσθη δὲ τῶν μίαν φρονούντων θέλησιν καὶ ἐνέργειαν Θεόδωρος ὁ τῆς Φαρὰν ἐπίσκοπος, Κῦρος Ἀλεξανδρείας, Σέργιος, Πύρρος, Παῦλος καὶ Πέτρος Κωνσταντινουπόλεως, Μακάριος Ἀντιοχείας, καὶ Στέφανος ὁ φοιτητὴς αὐτοῦ, ὁ τοῦ πολυχρονίου τῆς κακίας, καὶ νηπιόφρονος γέροντος. τὸ δὲ τῶν Βουλγάρων ἔθνος εἰς τὰς Ῥωμαϊκὰς χώρας τὰς πέραν τοῦ Ἴστρου γενόμενον ταύτας ἀκρατῶς ἐλυμαίνετο. ἐκστρατεύει τοίνυν κατ' αὐτοῦ ὁ βασιλεὺς Κωνσταντῖνος διά τε γῆς καὶ διὰ θαλάσσης, στόλον πολὺν ἐκ τῆς θαλάσσης εἰσαγαγὼν εἰς τὸν Δανούβιν. οἱ δὲ βάρβαροι τὴν τῶν Ῥωμαίων ἰδόντες παρασκευήν, ἐδειλίασαν, καὶ εἰς ὀχύρωμα ποταμοῖς στεφανούμενον καὶ τενάγεσι κατακλείσαντες ἑαυτούς, ἠρέμουν, ἀλλ' οὐδ' ὁ Ῥωμαϊκὸς στρατὸς τούτοις προσέβαλλεν. ἐφ' ἡμέρας οὖν τινὰς ἦσαν διαμελλόντων τῶν ἐναντίων ἀμφοῖν. μαλακίαν οἱ βάρβαροι τῶν Ῥωμαίων κατέγνωσαν. ἐπισυμβέβηκε δὲ καί τι ὃ θάρσος ἐκείνοις ἐνῆκε τῆς προτέρας δειλίας ἀντίθετον. ὁ γὰρ βασιλεὺς ἐκ ποδαλγίας νοσήσας, καὶ δριμυτέραις ἀλγηδόσι βαλλόμενος, λουτροῖς χρησόμενος σὺν τοῖς πέντε δρόμωσι μετὰ τῶν θεραπόντων εἰς Μεσημβρίαν (χώρα δ' ὑπὸ Ῥωμαίοις τελοῦσα αὕτη ἦν) τὸν ἔκπλουν πεποίηται, τὴν στρατιὰν καὶ τοὺς στρατάρχας ἐκεῖσε καταλιπών, καὶ ἐπισκήψας, πρὸς τοὺς βαρβάρους ἀκροβολίζεσθαι, ἵν' οὕτως αὐτοὺς εἰς πόλεμον ὑπεκκαλέσωνται. φήμης δὲ γενομένης εἰς τὸ στρατόπεδον, φόβῳ τῶν πολεμίων διαδεδρακέναι τὸν αὐτοκράτορα, αἰσχρῶς ἅπαντες μηδενὸς διώκοντος ἔφυγον. τοῦτο τοὺς Βουλγάρους ἐπεθάρρυνε γενόμενον παρ' ἐλπίδα, καὶ παρώθησεν εἰς ἀλκήν, καὶ ὄπισθεν διώκοντες, πολλοὺς

ὅτι ἐσπείσαντο οἱ Ἄραβες ἐτήσιον ὑποσχόμενοι, καὶ δασμὸν φέρειν ἐτήσιον τῷ βασιλεῖ Ῥωμαίων συνέθεντο.

ὅτι καὶ οἱ ἑσπέριοι τῶν Ῥωμαίων πολέμιοι ἐσπείσαντο.

περὶ πατριαρχῶν καὶ ἕκτης συνόδου.

ὅτι ἐστράτευσε κατὰ Βουλγάρων ὁ βασιλεύς, ὅτε τῶν Ῥωμαίων στρατευμάτων ἀποδράντων φόρος δέδοται.

μὲν αὐτῶν οὐ μείους δ' ἐξώγρησαν, καὶ τὸν Ἴστρον περαιωθέντες, ἐν γῇ Ῥωμαίων ἐπήξαντο τὰς σκηνάς, καὶ οὐδὲ ἔληξαν ἐξ ἐκείνου τὴν ὑπὸ Ῥωμαίους ἅπασαν ληϊζόμενοι, ἕως βιασθεὶς ὁ κρατῶν, σπονδὰς ἔθετο πρὸς αὐτοὺς ἐπὶ συνθήκαις τοῦ δασμὸν αὐτοῖς καταβάλλειν ἐτήσιον, εἰς αἰσχύνην τῆς τῶν Ῥωμαίων ἀρχῆς. καὶ ἦν οὕτω πανταχόθεν εἰρηνεύοντα τοῖς Ῥωμαίοις τὰ πράγματα, ἕως τῆς τελευτῆς τοῦδε τοῦ αὐτοκράτορος. ἐτελεύτησε δ' ἐπὶ διαδόχῳ τῷ υἱῷ Ἰουστινιανῷ βασιλεύσας ἐνιαυτοὺς ἑπτακαίδεκα.

θάνατος τοῦ κωνσταντίνου τοῦ πωγωνάτου.

gentium inhærentes, multos cæderent, nec pauciores caperent, & Istro traiecto tentoria in Romanorum terra figerent. Nec ab eo tempore destiterunt omnes Romanas prouincias uastare. Vnde coactus Imperator, pacē cum eis facit, pacto annuo tributo cum dedecore Romani Imperij. Post illa, res Romana ubique quieta fuit, usq; ad obitum Constantini. Est autē mortuus, relicto successore Iustiniano filio, cum annos XVII imperasset.

Romani Bulgaris tributarij.

ΒΑΣΙΛΕΙΑ ΙΟΥΣΤΙΝΙΑΝΟΥ τοῦ ῥινοτμήτου.

Ἦν δὲ ὁ Ἰουστινιανός, ὅτε τῆς ἀρχῆς ἐπέβη, μειράκιον ἐξ ἐπὶ δέκα ἐνιαυτούς, αὐτοβούλως οὖν τῇ διοικήσει κεχρημένος τῆς βασιλείας, πολλοῖς τὴν Ῥωμαίων ἡγεμονίαν κακοῖς περιέβαλεν. οἱ γὰρ Μαρδαΐται καλούμενοι τὰς τοῦ Λιβάνου καταλαβόντες περιωπάς, τοῦ Πωγωνάτου κρατοῦντος, φοβεροὶ τοῖς Ἄραψιν ἦσαν. διὸ καὶ σπονδὰς ἐκεῖνοι πρὸς Ῥωμαίους ἐζήτησαν, καὶ τούτων ὡς εἴρηται, τετυχήκασι. τούτου δὲ τοῦ αὐτοκράτορος ἄρτι τῶν σκήπτρων ἐπειλημμένου, ὁ τότε τῶν Ἀράβων ἡγεμονεύων Ἀβιμέλεχ (ὁ γὰρ Μαβίας ἐτεθνήκει) πέμψας πρὸς Ἰουστινιανόν, κυρωθῆναι τὴν εἰρήνην ἐζήτησεν, ἀξιῶν τοὺς Μαρδαΐτας μεταστῆναι ἐκ τοῦ Λιβάνου, καὶ ὑπισχνούμενος τούτου γενομένου διδόναι Ῥωμαίοις ἡμερήσιον φόρον, χρυσᾶ νομίσματα χίλια, καὶ δοῦλον, καὶ ἵππον τῶν παρ' αὐτοῖς ἐκκρίτων. ἐπὶ τούτοις οὖν ἀνανεωθεισῶν τῶν σπονδῶν, καὶ τῶν Μαρδαϊτῶν εἰς δώδεκα χιλιάδας ἀνδρῶν μαχίμων ἀριθμουμένων, μεταστάντων ἐκ τοῦ Λιβάνου, τὸ τῶν Ἀράβων ἔθνος τοῦ ἐξ ἐκείνων δέους ἀπαλλαγὲν, πολλῶν τὴν τῶν Ῥωμαίων ἡγεμονίαν ἐνέπλησε συμφορῶν. στείλας δὲ τὸν στρατηγὸν Λεόντιον ὁ Ἰουστινιανός, ὑπέταξε δι' αὐτοῦ τὴν Ἰβηρίαν, καὶ τὴν Ἀλβανίαν καὶ χώρας ἑτέρας. οὗτος ὁ βασιλεὺς ἔλυσε καὶ τὰς πρὸς τοὺς Βουλγάρους σπονδάς, μὴ ἀνεχόμενος δασμοὺς παρέχειν αὐτοῖς. ἐκστρατεύσας δὲ κατὰ τὰ ἑσπέρια, πολλὰ τῶν Σκλαβινῶν ἐθνῶν ὑπηγάγετο, τὰ μὲν ἑκόντα, ἔνια δὲ πολέμου νόμῳ. ἐξ ὧν καὶ νέον συνέστησε σύνταγμα, κατ' ἐκλογὴν γὰρ ἀναλαβὼν ἐκ τούτων ἄνδρας γενναίους τε καὶ ἀκμάζοντας εἰς χιλιάδας τριάκοντα, λαὸν αὐτὸν ἐκάλεσε περιούσιον. οἷς γεγηθώς τε καὶ πεποιθώς, καὶ τὰς πρὸς τοὺς Ἄραβας συνθήκας διέλυσεν, αἰτίαν ἀλλ' ὑφεὶς, ὅτι στέλλοιτο τοῦ ἐτησίου φόρου χάραγμα, οὐ Ῥωμαϊκὸν ἔχον σφράγισμα, ἀλλὰ νέον Ἀράβιον. οὐδὲ γὰρ ἐξῆν ἐν χρυσῷ νομίσματι χαρακτῆρα ἐντυπωθῆναι ἢ τὸν τοῦ βασιλέως Ῥωμαίων. ἐστράτευσεν οὖν κατ' αὐτῶν, οὐ τοσοῦτον ταῖς Ῥωμαϊκαῖς συντάξεσι τεθαρρηκώς, ὅσον τῷ νέῳ τούτῳ καὶ περιουσίῳ λαῷ, τῶν δὲ Ἀράβων τὰς σπονδὰς αἰτουμένων μὴ ἀθετῆσαι, μηδὲ τὰς ἐγγράφους παραβῆναι συνθήκας, καὶ τὸν θεὸν ἐπιμαρτυρουμένων, ὃς μέσος παραληφθεὶς, αὐτὰς ἐμπεπέδωκε, καὶ ἐκδικητὴν καλούντων αὐτὸν κατὰ τῶν τῆς μάχης αἰτίων. ὁ βασιλεὺς τὰ ὦτα πρὸς ταῦτα βύσας, πρὸς μάχην ἡτοίμαστο. οἱ γοῦν Ἄραβες δόρατι τὸ τῶν σπονδῶν προσδήσαντες ἔγγραφον, καὶ ὥσπερ σημαίαν ἄραντες τοῦτο, τοῦ σφῶν στρατεύματος προερχόμενον, συρρήγνυνται τοῖς Ῥωμαίοις. καὶ αὐτίκα ἐκ τοῦ περιουσίου ἐκείνου λαοῦ αἱ εἴκοσι χιλιάδες πρὸς τοὺς Ἄραβας ἀνα-

περὶ τῶν μαρδαϊτῶν οὓς ἐκ τοῦ λιβάνου μετῴκισεν ὁ βασιλεὺς ἀσπόνδους παρὰ τῶν ἀράβων.

ὅτι ὑπέταξε τὴν ἰβηρίαν καὶ τὴν ἀλβανίαν.

ὅτι ἔλυσε τὰς πρὸς τοὺς βουλγάρους σπονδὰς καὶ τὰ σκλαβινικὰ ὑπηγάγετο.

IMPERIVM IVSTINIANI, CVI pòst nasus est præcisus.

Is suscepto imperio adolescens natus annos XVI. cū suo arbitratu administraret omnia, in multas clades rēpub. cōiecit. Nā populi qdā Mardaitæ, speculis montis Libani sub Pogonato occupatis, formidabiles erant Arabibus, quæ etiā causa illis fuerat petendę pacis à Romanis, quam (ut dictum est) impetrarūt. Cum autem is Imperator sceptris recens potitus esset, Abimelechus, Mauia defuncto, Arabū princeps, per legatos à Iustiniano pacis cōfirmationem petijt, rogās ut Mardaitæ Libano amouerētur. Quòd si fieret, se Romanis quotidianum tributum pensurū, millenos aureos nummos, seruum & equum eximiū pollicebatur. Iis conditionibus fœdere renouato, & Mardaitis, qui XII millia bellicosorum uirorum habebant, è Libano digressis: gens Arabica metu illorū liberata, Romanū imperium multis malis affecit. Cæterum Iustinianus misso duce Leontio, Iberiam, Albaniam, & alias regiones subegit. Idem etiā ictum cū Bulgaris fœdus rupit, neq; eis tributa pendere sustinuit, sed expeditiōe in plagas occidētales suscepta, multas Sclauicas gētes partim in deditionē accepit, partim bello domuit. Vnde nouas legiōes cōscripsit, delectis iuuenū fortissimorum circiter XXX millibus: quos Populū acquisitū appellauit. Iis gaudens & fretus, etiā Arabicū fœdus rupit, causa ex eo sumpta, q̄d annui tributi moneta, non Romanū signum, sed nouum Arabicum haberet. Neque uerò aureo nummo aliam imaginem, nisi Romani Imperatoris, insculpi fas erat. Bellū igitur eis intulit, non tam Romanis legionibus fretus, quàm nouo isto & acquisito populo. Quamuis enim Arabes orarent, ne inducias rumperet, ne'ue pactorum tabulas uiolaret, Deum obtestati, cuius illæ numine interposito confirmatæ essent, eum'que uindicem inuocarent contra eos qui pugnæ causam præberent: Imperator obturatis auribus ad pugnam ferebatur. Arabes igitur induciarum tabulis hasta suspensis, ac uexilli instar ante suum exercitum elatis, cum Romanis congrediuntur. Statim autem uiginti millia Sclauorum acquisiti populi ad hostes de-

Mardaitæ è Libano deducti.

Res contra Barbaros gestæ.

Iustiniani populus acquisitus.

Arabicum bellum. Sclauorum defectio.

fecerunt, quæ res animos Romanis minuit, cladeḿque attulit, illis auxit, ac uictoriæ causa fuit. Romanos igitur persecuti, quoscunque adipisci potuere, sustulerũt, ac ferè innumeri ex legionibus ceciderunt.

Romanorũ clades.

Ipse Imperator turpi fuga cum paucis conseruatus, cum ad Leucaten peruenisset, reliquias Selauicæ illius & acquisitæ gentis omnes occidi, cadauera in mare abijci iussit. Byzantium reuersus, substructionibus uacauit, & maximũ triclinium Regiæ Orienti obuersæ condidit, quod etiãnum ab eo Iustinianeũ appellatur.

Iustinianeũ triclinium.

Agareni porrò ab eo tempore impunè Romanas prouincias inuaserunt, & Sabbatius Patricius, Armeniæ prætor, cognita clade Imperatoris, ad Arabes se contulit, eisque Armeniam tradidit. Neque illi Orientẽ uniuersum uastare incendijs & Christianos in seruitutem abducere destiterunt.

Sabbatius Armeniam tradit Agarenis.

Fuit apud Iustinianum eunuchus quidã gratiosissimus, qui & Sacellarius est designatus, nomine Stephanus, genere Barbarus, crudelitate & immanitate plus quàm Barbarus, grauis omnibus, non tantum in rebus gerendis, sed in pœnis etiam infligẽdis: neque is plebeios duntaxat, sed potentissimos etiã inuasit, adeò ut & Imperatoris matrem uerberarit. Idem Imperator monachum quoque Theodosium, pridem inclusum, generalem designauit, qui nec ipse improbitate Eunucho Stephano cedebat.

Stephani Eunuchi et Theodosij monachi potentia.

Cum autẽ ab his respublica multis malis afficeretur, Imperator omnium odia suscepit. Leontium uerò ducem de cupiditate imperij suspectum, biennium in uinculis habuit, pòst, eiectum, Græciæ ducem fecit. Is Paulo cuidam monacho astrologiã tractanti, & imperium ei uaticinanti ait, se iam abire in Græciam, ac scire, Imperatorem sibi percussores à tergo immissurum: ea uerò quæ ille diceret, nihil fore. Cui Monachus: Ne, inquit, effœminato sis animo, sed rem strenuè administrato: neque enim impos uoti fies. Leontius igitur fidissimis quibusque assumptis, & publicis carceribus ruptis, magnam captiuorum multitudinem eduxit, qui in magnum Dei templũ progressi, multis etiam alijs cõfluentibus, Iustinianum maledictis insectati, Leontiũ faustis ominibus psecuti sunt, Callinico Patriarcha quoque adiuuante. Inde in theatrum equestre digressi, eadem factitarunt, & Iustinianũ è Regia eductũ naso in Funda præciso Chersonẽ relegarunt, cũ annos XVI imperasset. Stephanum uerò Eunuchũ & Sacellarium, & Theodosium monachũ generalẽ cõprehensos, funibus ad pedes alligatis, per forũ in Boue pertractos cõbusserũt.

Leõtius astrologi hortatu regnum inuadit.

Iustinianus præciso naso relegatur.

Stephani & Theodosij interitus.

IMPERIVM LEONTII.

His actis Leõtius imperiũ tenuit, sub quo Arabes romanas pͥuincias incursantes, multos captiuos abduxerũt, tãdẽ Africã quoque subegerũt. Quo cognito Imperator, Ioannẽ Patriciũ, uirũ strenuum cũ tota classe mittit, ad Africã Romano

Ioannes Patricius Arabes Africa pellit.

τὸ μόλυσμα, ὃ τοῖς Ῥωμαίοις δειλίας γέγονεν αἴτιον, τοῖς δ᾽ ἐναντίοις φιλικὰ θάρσος, καὶ ἥττηντο δὲ οἱ Ῥωμαῖοι, ἡ νίκη δ᾽ ἐπιμελεία τοῖς Ἄραψι, οἳ τοῖς φεύγουσιν ἐφεπόμενοι, ἀνῄρουν οὓς κατελάμβανον, ὡς καὶ ἀριθμοῦ κρείττονας χιλιάδας ἐκ τῶν Ῥωμαϊκῶν στρατευμάτων πεσεῖν. αἰσχρῶς δὲ διαφυγὼν ὁ βασιλεὺς μετ᾽ ὀλίγων τὸν ὄλεθρον, ἐπεὶ κατὰ τὴν Λευκάτην ἐγένετο, τοὺς περιλειφθέντας ἐκ τοῦ πρώην λαοῦ τῶν Σκλαβινῶν, ἀναιρεθῆναι πάντας προσέταξε, καὶ πάντας ἐκεῖ ξίφεσι συγκοπέντας, ἐρρίφησαν εἰς τὴν θάλασσαν. καὶ ὁ μὲν εἰς τὸ Βυζάντιον παραγεγονὼς οἰκοδομαῖς προσεσχόλαζε. οὗτος γὰρ τὸ μέγιστον τῶν πρὸς ἀνίσχοντα ἥλιον βασιλείων ᾠκοδόμησε τρίκλινον. ὃς καὶ τῇ αὐτοῦ καλεῖται κλήσει, μέχρι τοῦ νῦν καλούμενος Ἰουστινιανός. οἱ δ᾽ Ἄγαρ(ηνοὶ) ἀδεῶς ἐξ ἐκείνου ταῖς τῶν Ῥωμαίων χώραις ἐπέβαινον, καὶ ὁ τῆς Ἀρμενίας στρατηγὸς Σαββάτιος ὁ πατρίκιος, τὴν ἧτταν τοῦ βασιλέως μαθὼν, τοῖς Ἄραψι προσεχώρησε, καὶ τὴν Ἀρμενίαν αὐτοῖς παραδέδωκε. καὶ οὐκ ἐπαύοντο ἅπασαν τὴν ἑῴαν δῃοῦντες, καὶ τοὺς χριστωνύμους αἰχμαλωτίζοντες. ἦν δὲ τῷ βασιλεῖ τις ἐκτομίας Στέφανος, τὸ μὲν γένος ἐκ βαρβάρων ἕλκων, ἀπηνὴς δὲ καὶ ὑπὲρ βαρβάρους, καὶ λίαν ὠμότατος. οὗτος παρ᾽ αὐτῷ πλεῖστα δυνάμενος, καὶ σακελλάριος προβληθεὶς, καὶ βαρὺς ἅπασιν, οὐκ ἐν ταῖς πράξεσι μόνον, ἀλλὰ μὴν καὶ ἐν κολάσεσι. καὶ οὐ τοὺς τυχόντας μόνον ἐκόλαζεν, ἀλλὰ καὶ τῶν ἐπιφανῶν ἥπτετο, ὡς καὶ αὐτὴν τυπτῆσαι(?) τὴν μητέρα τοῦ βασιλεύοντος. καί τινα δὲ μοναχὸν Θεοδότον, ἔγκλειστον πρὶν ὄντα, γενικὸν ὁ βασιλεὺς προεβάλετο, καὶ ἦν οὐδ᾽ οὗτος ἥττων εἰς κακίαν τοῦ ἐκτομίου Στεφάνου. πολλῶν οὖν παρ᾽ αὐτῶν δεινῶν ἐπινοουμένων τῷ πολιτεύματι, μισητὸς ἅπασιν ὁ Ἰουστινιανὸς ἐδόκει. τὸν γοῦν στρατηγὸν Λεόντιον ἐξ ὑπονοίας τοῦ τῆς βασιλείας ἐφίεσθαι, καθείρξας ἐπὶ δύο ἐνιαυτοὺς, ὕστερον ἐκβαλὼν, στρατηγὸν Ἑλλάδος ἐποίησεν. ὁ δὲ Παύλῳ τινὶ μοναχῷ ἀστρολογίαν μετιόντι, καὶ τῆς βασιλείας χρησμῳδοῦντι αὐτῷ φησὶν, ὡς ἐγὼ ἤδη ἄπειμι πρὸς Ἑλλάδα, οἶδα δ᾽ ὅτι ὁ βασιλεὺς στελεῖ τοὺς ἀναιρήσοντάς με ὄπισθέν μου. ἃ δὲ σύ μοι προὔλεγες, οἴχεται. ὁ δὲ, μὴ δειλανδρήσῃς ἔφη, ἀλλ᾽ ἐγχείρησον τῇ πράξει, καὶ οὐκ ἀποτεύξῃ τοῦ ἐφετοῦ. παραλαβὼν οὖν ὁ Λεόντιος τοὺς οἱ ἐπιτηδείους, καὶ τὰς δημοσίας διαρρήξας εἱρκτὰς, τοὺς καθειργμένους ἐξήγαγεν, εἰς πλῆθος συνειλεγμένους πολὺ, οἳ καὶ εἰς τὸ μέγα παρελθόντες τέμενος τοῦ Θεοῦ, πολλῶν καὶ ἄλλων συναθροισθέντων, ὕβριζον μὲν τὸν Ἰουστινιανὸν, εὐφήμουν δὲ τὸν Λεόντιον, συνεφορμοῦντος καὶ Καλλινίκου τοῦ πατριάρχου. ἐκεῖθεν δ᾽ εἰς τὸ ἱππικὸν μεταχωρήσαντες θέατρον, τὰ ὅμοια διεπράττοντο, καὶ τὸν Ἰουστινιανὸν τῶν ἀνακτόρων ἐξαγαγόντες, τὴν ῥῖνα τῇ σφενδόνῃ ἐκτετμηκότες(?), καὶ εἰς Χερσῶνα ἔπεμψαν ὑπερόριον, φυλάττοντες(?) ἐπὶ δέκα τῇ βασιλείᾳ κρατήσαντα. τὸν δ᾽ ἐκτομίαν Στέφανον τὸν σακελλάριον δειλαιον(?), καὶ τὸν μοναχὸν Θεόδοτον τὸν γενικὸν συλλαβόμενοι, καὶ σχοίνοις ἐξάψαντες τῶν ποδῶν αὐτῶν, σύροντες διὰ τῆς ἀγορᾶς εἰς τὸν Βοῦν ἀπήγαγον καὶ κατέκαυσαν.

περὶ τῆς ἀγαρηνῶν ἐπιδρομῆς(?) ... ὁ Σαββάτιος ... δι ... ἀρμενίαν παραδίδωσιν.

ὅτι κατεσχέθη δ᾽ ὁ ἄναξ(?) ὁ Ἰουστινιανὸς καὶ τὴν ῥῖνα ἐτμήθη.

ΒΑΣΙΛΕΙΑ ΛΕΟΝΤΙΟΥ.

Τούτων δὲ γενομένων ὁ Λεόντιος τῆς βασιλείας ἐκράτησεν, ἐφ᾽ οὗ οἱ Ἄραβες τὰς Ῥωμαϊκὰς κατατρέχοντες χώρας, πολλοὺς αἰχμαλώτους ἐλάμβανον, ἔπειτα καὶ τὴν Ἀφρικὴν ὑφ᾽ ἑαυτοὺς ἐποιήσαντο. τοῦτο δὲ μαθὼν ὁ βασιλεὺς Λεόντιος, ἕνα τῶν πατρικίων Ἰωάννην, ἄνδρα δραστήριον μετὰ τοῦ στόλου παντὸς, τῇ Ῥωμαίων ἀρχῇ(?) τὴν Ἀφρικὴν ἀνασώσασθαι, ὃς

ὅπως τὴν Ἀφρικὴν ἔλαβον οἱ Ἄραβες, καὶ ὅπως αὖθις ἀφῄρηντο.

ὅμα, ὅς καὶ πόλεμον τοῖς ἐκεῖ συγκροτήσας ἄραβας, τὴν ἀφρικὴν αὐτὴν ἠλευθέρωσε, κἀκεῖ παρεχείμασε, γράψας τὰ πεπραγμένα τῷ βασιλεῖ, καὶ τὸ ποιητέον ἀναμένων ἀπαγγελῆναι αὐτῷ. ὁ δὲ τῶν ἀγαρηνῶν πρωτοσύμβουλος (οὕτω γὰρ ἐκάλουν τὸν σφῶν πρῶτον ἄρχοντα) τὰ περὶ τῆς ἀφρικὴν συμβεβηκότα μαθὼν, καὶ ἐν δεινῷ τὴν ἐκ ταύτης ποιούμενος ἔκπτωσιν, στόλον ἑτοιμάζει βαρύτατον, καὶ ἐξελαύνει αὖθις τὴν ἀφρικὴν ἀνακαλεσόμενος. πρὸς ὃν ὁ ῥηθεὶς πατρίκιος ἰωάννης ναυμαχῆσαι μὴ ἐξαρκῶν, τοῦ λιμένος ἐξίσταται, καὶ ἐπανήρχετο πρὸς τὸν βασιλέα, αἰτήσων πλείονα δύναμιν. γενομένου δὲ κατὰ τὴν κρήτην τοῦ ῥωμαϊκοῦ στόλου, οἱ τοῦ λαοῦ προεστάμενοι, τῇ μὲν δι' αἰσχύνης ποιούμενοι τὸ ὑποχωρῆσαι τῆς ἀφρικῆς, τοῖς πολεμίοις ταύτης παραχωρήσαντες, τῇ δὲ καὶ δεδοικότες τὴν τοῦ βασιλέως ὀργὴν. πείθουσι τὸ ναυτικὸν εἰς ἀποστασίαν ἐκκλῖναι, καὶ δυσφημῆσαι μὲν τὸν λεόντιον, εὐφημῆσαι δὲ βασιλικῶς τὸν ἀψίμαρον τῶν κιβυρραιωτῶν ὄντα δρουγγάριον, ὃν αὐτίκα καὶ τιβέριον μετωνόμασαν. οὗτος οὖν ἅμα τῷ στόλῳ καταλαβὼν τὸ βυζάντιον, ἐν συκαῖς τὰ σκάφη προσώρμισεν. ὁ δέ γε λεόντιος τὴν τῆς πόλεως φυλακὴν διὰ φροντίδος πεποίητο. ἀλλά τινες τῶν ἐπαρχιωτῶν ἀρχόντων τὸ τῶν Βλαχερνῶν τεῖχος φυλάσσειν λαχόντες, εἰσήγαγον τὸν ἀψίμαρον, καὶ τοῦτο μεθ' ὅρκων φρικτῶν τὰς κλεῖς ἐμπιστευθέντες τῶν τοῦ τείχους ἐκείνου πυλῶν. εἰσελθόντες οὖν οἱ τοῦ στόλου, τοὺς οἴκους τῶν πολιτῶν ἐληΐσαντο, ὁ δὲ ἀψίμαρος τὸν μὲν λεόντιον ἀφελὼν τῆς ῥινὸς, καὶ ὑπὸ φυλακὴν ἐποιήσατο βασιλεύσαντα ἔτη τρία. τοὺς δὲ αὐτῷ συναιρομένους ἐκ τῶν ἀρχόντων, τύψας, καὶ τῶν ὑπαρχόντων στερήσας, ὑπερορίους ἐποίησεν.

ΒΑΣΙΛΕΙΑ ΑΨΙΜΑΡΟΥ
τοῦ καὶ τιβερίου.

Καὶ ὁ μὲν ἀψίμαρος ἢ τιβέριος οὕτω τῆς βασιλείας ἐκράτησεν, αὐτίκα δὲ τὸν ἴδιον ἀδελφὸν ἡράκλειον πάντων τῶν ἱππικῶν καὶ πεζῶν στρατευμάτων στρατηγὸν μονότατον προβαλλόμενος, στέλλει πρὸς ἕω τοῖς ἀγαρηνοῖς ἀντιπαλαίσοντα. κατέδραμον οὖν τὴν συρίαν ῥωμαῖοι, καὶ μέχρι σαμοσάτων ἀφίκοντο, τὰ πέριξ ἅπαντα προνομεύσαντες, καὶ σφόδρα πολλοὺς τῶν ἀγαρηνῶν διεχειρίσαντο, καὶ αἰχμαλώτους ἑλόντες πλείστους, καὶ λείαν ἄλλην ἀμύθητον, φόβον μέγαν τοῖς ἄραψιν ἐνεποίησαν. βαάνης δὲ ὁ ἑπταδαίμων ἐπίκλησιν, τὴν τετάρτην ἀρμενίαν τοῖς ἄραψι προὔδωκεν. ὅτε οἱ ἄρχοντες ἀρμενίας κατὰ τῶν ἀγαρηνῶν στασιάσαντες, ἐκείνους μὲν ἔκτειναν, πρὸς δὲ τὸν ἀψίμαρον διαπέμψαντο, καὶ ῥωμαίους αὖθις εἰς τὴν χώραν ἐδέξαντο. ἀλλ' ὁ τῶν ἀγαρηνῶν ἡγεμονεύων τότε μωάμεθ κατ' αὐτῶν ἐπελθὼν, ὑπὸ τοὺς ἀγαρηνοὺς καὶ πάλιν τὴν ἀρμενίαν πεποίηκε, καὶ τοὺς τῶν ἀρμενίων προύχοντας, ζῶντας κατέκαυσε. τότε καὶ κατὰ τῆς κιλικίας ἀγαρηνοὶ ἐπεστράτευσαν, οἷς συμβαλὼν ὁ τοῦ βασιλέως ὁμαίμων ἡράκλειος, τοὺς μὲν πλείονας μαχαίρας ἔργον εἰργάσατο, τοὺς δὲ λοιποὺς ζωγρήσας, δεσμίους τῷ βασιλεῖ ἐξέπεμψε. φιλιππικὸν δὲ τὸν υἱὸν τοῦ πατρικίου νικηφόρου βασιλεῦσαι ἐλπίσαντα ὅτι κατ' ὄναρ ἔδοξε τὴν αὐτοῦ κεφαλὴν σκιάζεσθαι ὑπὸ ἀετοῦ, εἰς κεφαληνίαν ἐξώρισεν ὁ ἀψίμαρος. ἰουστινιανὸς δὲ ἐν χερσῶνι, ὡς εἴρηται, περιορισθεὶς, ἠδυνήθη διαδρᾶναι ἐκεῖθεν, καὶ τῷ χαζάρων ἀρχηγῷ χαγάνῳ προσελθὼν, καὶ δεχθεὶς παρ' ἐκείνου φιλοτιμότατα, τὴν ἀδελφὴν αὐτοῦ ἔγημε θεοδώραν, καὶ μετ' ὀλίγον ἐκεῖθεν ἀπελθὼν, εἰς ἄλλην χώραν μετὰ τῆς αὐτοῦ διέτριβε γυναικός, καὶ ὁ ἀψίμαρος διεπέμψατο πρὸς τὸν χαγάνον. χρήματα δώσειν αὐτῷ πολ

imperio recuperandã. Is Arabes qui ibi erant bello superatos expulit, atq; illic hyemauit, rebus suis gestis ad Imperatorem perscriptis, expectans quid porrò de illius sententia faciendum esset. Cæterũ Agarenorũ summus consul (sic enim suos principes appellabant) statu Africano cognito, iacturamq; iniquo ferens animo, classem ingentem exornat ad prouinciam recipiendam: cui cum Patricius Ioannes impar esset, portu relicto ad Imperatorem se conferebat, ut maiores copias postularet. Sed cũ Romana classis Cretã peruenisset, populi principes partim turpe rati Africa omissa & hostibus concessa reuerti, partim iracundiã Imperatoris ueriti: classiarijs defectionis autores fiunt, ac Leontij insectandi, & Apsimari Cibyrrhæotarum Drungarij, quem statim etiam Tiberiũ nominarunt, Imperatoris salutãdi. Is igitur cum classe Byzantium peruectus, in Sycis appulit. Etsi autem Leontius urbis custodiam diligenter curarat, tamẽ quidam prouinciales magistratus, per murũ Blachernium, cuius custodiam sortiti erant, clauibus portæ cum sanctissimo iureiurando acceptis, Apsimarum introduxerũt. Ita classiarij ingressi, ciuiũ ædes diripuerunt, Apsimarus Leontium naso præciso, custodiæ tradidit. Principes qui ab illo stabant, uerberibus affectos & bonis spoliatos relegauit. Imperauit Leontius triennium.

Classiarij Apsimarũ Imperatorem creant.

Leõtius naso mutilatus custodia traditur.

IMPERIVM APSIMARI QVI ET TIBERIVS.

Apsimarus siue Tiberius, ita imperio potitus, statim fratrẽ suũ Heracliũ omnibus & pedestribus & equestribus copijs solũ cum summo imperio præfectum, in Orienrem cõtra Agarenos misit. Romani igitur Syriam incursarunt & Samosata usque progressi, finitimaq; loca omnia populati, Agarenorum plurimos confecerunt, captisq; plurimis & ingenti præda parta, magnum Arabibus terrorem incusserunt. Baanes uerò cognomẽto Heptadæmon, quartã Armeniã Arabibus prodidit. Sed Armeniorũ principes Agarenos p seditionẽ occiderũt, & legatis ad Apsimarũ missis, Romanos denuo in prouinciã receperũt. Moamet⁹ aũt q tũ Agarenis imperabat, Armeniã iterũ sibi parere coẽgit, ac principes populi uiuos cremauit. Tũc Ciliciæ quoq; arma intulerũt Agareni, cũ qb⁹ Heracli⁹ cõgressus, maiorẽ partẽ ferro cõfecit, cæteris captis quos ad Imperatorẽ uinctos misit. Philippicũ Nicephori patricij filiũ q in somnis aquilã sibi umbrã facere uidisset, regnũ animo agitãtẽ, in Cephaleniã relegauit Apsimar⁹. Iustinianus aũt, qui, ut dictũ est, Chersone exulabat, fuga elapsus, ad Chaganũ Chazarorũ principẽ se cõtulit, à quo honorificẽtissimè except⁹, ei⁹ sororẽ Theodorã uxorẽ duxit, ac paulò pòst inde digressus, in alis puincia cũ sua cõiuge cõsedit. Verũ Apsimarus Chagano magnã pecuniã p nũcios pol

Heraclij res contra Agarenos gestæ.

Armenia.

Philippici relegatio.

Iustiniani fuga & nuptiæ, chagani insidiæ.

licitus, si Iustiniani caput ad se misisset: impetrat à Barbaro ut duos è suis familiaribus ablegeget, cũ mandatis, ut Iustinianũ secretò tollãt. Eo consilio Theodora per seruum cognito, maritũ præmonet. Iustinianus igitur duos illos seorsim accersitos, utrunq; loqueo præfocat, & Theodora in Chazaniã ablegata, ipse nauiculam cõscendit ad Terbelin Bulgarorum principem profecturus. In ea nauigatione magna tẽpestate orta, nauicula in periculo submersionis uersata est. Monit⁹ igitur ab ijs qui unà nauigabant, ut uotum faceret Deo, se, si euasisset incolumis & regnum recepisset, ueniam omnibus suis aduersarijs daturũ: respondit, Si cui illorũ pepercero, statim hic submergar. Cum autẽ ad Bulgarorũ principem peruenisset, multaq; ei dedisset, daturũq; promisisset, si ab eo in auitũ regnũ reduceretur, nuptias etiã filiæ suæ illi pollicitus: cũ illo, ingentibus copijs subnixus, Byzãtium aggreditur, & castris ante mœnia positis, ciuium animos pertentat, cũ eis de pinnaculis prospectantibus colloquens. Illi uerò eum non modo non inuitabant, sed & atrocibus maledictis incessebant. Verũ noctu per aquæductũ ingressus atq; urbe potitus est. Apsimarus autẽ, qui Apolloniã cõfugerat, captus est, cum VII. annos imperasset.

Terbelis Bulgarorũ princeps Iustinianũ Cõstantinopolim reducit.

IUSTINIANI PRÆSECTO NASO recuperatum imperium.

Sic Iustinianus imperiũ recuperauit, idq; secundũ suscepit præsecto naso. Bulgarorum principẽ cũ donis multis, icto pacis fœdere dimisit. Deinde Apsimaro, & fratre eius Heraclio, atque etiã Leontio ad se adductis: Heracliũ cũ alijs pluribus de lignis iuxta mœnia suspendit. Apsimarũ & Leontiũ in uinculis per forũ circumductos, ludis Circensibus spectaculo exhibuit, cumq; collis eorũ ante se proiectorũ, pedibus insultasset, sic demũ capita in uenatione illis præcidi iussit. Callinicũ Patriarchã, oculis prius erutis, Romam relegauit, Cyrum monachũ quendã inclusum, qui ei regni recuperationẽ prædixerat, Patriarcham designauit. Maximã turbam & plebeiã & militarem occidit, partim apertè, partim clàm. Vxorẽ Theodorã è Chazaria reuocauit, quæ iam filium pepererat, quem Tiberium uocauit, ipsumq; & matrẽ imperatorio nomine dignatus, diademate ornauit. Fœd⁹ cũ Bulgaris ictũ rupit, eisq; bellũ intulit, pedestrib⁹, equestrib⁹ & naualibus copijs Anchialũ ꝓfectus. Ac primũ territi Bulgari, in mõtes cõfugerũt. Inde cum Romanorũ exercitũ castra nullo ordine posuisse, & temerè pabulatũ dispergi uiderẽt, animos receperũt, & cõgressi multos occiderunt, neq; pauciores cœperũt, equis enĩ multis potiti. Cæterũ Imperator cũ reliquijs exercitus in castellũ quoddã se cõclusit. Deinde incisis equorũ neruis, ne hostib⁹ usui essent, con

Grassationes tyranni ce post reditum.

Bulgarica expeditio.

λὰ ὑποσχόμενος, εἰ στείλοι αὐτῷ τὴν τοῦ ἰουστινιανοῦ κεφαλήν, κἀκεῖνος συνθέμενος, καὶ δύο τινὰς τῶν οἰκειουμένων αὐτῷ στέλλει, ἐν ἀπορρήτοις ἐντειλάμενος τὸν ἰουστινιανὸν ἀνελεῖν. ὃ διὰ δούλου μαθοῦσα ἡ θεοδώρα, τῷ ἀνδρὶ κατήγγειλε. ὁ δὲ τοὺς ἐνταλθέντας αὐτὸν ἀνελεῖν ἰδίᾳ προσκαλεσάμενος, ἑκάτερον ἀγχόνῃ στερίσκει τοῦ ζῆν, καὶ τὴν μὲν θεοδώραν εἰς χαζαρίαν ἐξέπεμψεν, αὐτὸς δὲ εἰς ἁλιάδα ἐμβὰς ἀπέπλευσε, πρὸς τέρβελιν ἀπιὼν τὸν τῶν βουλγάρων ἐξάρχοντα. κλύδωνος δὲ μεγάλου καταλαβόντος αὐτοὺς ἐν τῷ πλεῖν, καταδῦναι τὸ πλοιάριον ἐκινδύνευσε. τῶν δὲ συμπλεόντων ἐπαγγείλασθαι παρὰ θεῷ συμβουλευόντων αὐτῷ, εἰ περισωθείη καὶ τὴν ἀρχὴν ἀναλήψοιτο, μή τινα τῶν τοῖς κατ' αὐτοῦ γενομένοις ἐπιγεγηθότων, ἐκεῖνος εἰ φείσομαι τούτων, ἔφη, τινός, αὐτίκα καταποντισθείην ὧδε. περισωθεὶς οὖν καὶ παρὰ τῷ Βουλγάρων ἄρχοντι προσελθών, καὶ πλεῖστα παρασχών, ἀλλὰ μέντοι καὶ παρέχειν ἐπαγγειλάμενος, εἰ παρ' αὐτοῦ καταχθείη πρὸς τὴν προγονικὴν βασιλείαν, καὶ τὴν θυγατέρα αὐτοῦ συζεῦξαι καθυποσχόμενος. σὺν ἐκείνῳ μετὰ βαρβαρικῆς βαρείας δυνάμεως τὴν ὑποβεβλημένην καταλαμβάνει τῶν πόλεων, καὶ πρὸ τῶν τειχῶν στρατοπεδευσάμενος, ἀπεπειρᾶτο τῶν πολιτῶν, αὐτοῖς ἐκ τοῦ τείχους προκύπτουσιν ὁμιλῶν. οἱ δὲ οὐ μόνον αὐτὸν οὐ προσίεντο, ἀλλὰ καὶ ὕβρεις αὐτοῦ κατέχεον πλημμελεῖς. νυκτὸς οὖν διὰ τοῦ ἀγωγοῦ εἰσδύς, ἐντὸς ἀνεδύη τῆς πόλεως, καὶ ταύτης ἐγένετο ἐγκρατής. ὁ δὲ ἀψίμαρος εἰς ἀπολλωνιάδα φυγὼν κατελήφθη, ἑπτὰ βασιλεύσας ἐνιαυτούς.

ὅτι μετὰ τῶν βουλγάρων τῇ νυκτὶ εἰσελθὼν τὴν πόλιν ἀνέλαβε διὰ τοῦ ἀγωγοῦ.

ΒΑΣΙΛΕΙΑ ΤΟ ΔΕΥΤΕΡΟΝ ΙΟΥΣΤΙΝΙΑΝΟΥ ΤΟΥ ῥινοτμήτου.

Οὕτω μὲν ὁ ἰουστινιανὸς ἑαυτῷ τὴν βασιλείαν ἐπανεσώσατο, ταύτης τὸ δεύτερον ῥινότμητος ἐπιβάς. τῷ δὲ τῶν βουλγάρων ἄρχοντι δῶρα πολλὰ παρασχών, καὶ συνθήκας εἰρήνης μετ' αὐτοῦ ποιησάμενος, ἀπελθεῖν αὐτὸν παρεσκεύασε. τοῦ δὲ ἀψιμάρου, καὶ ἡρακλείου τοῦ ἀδελφοῦ αὐτοῦ πρὸς αὐτὸν ἀχθέντων, ἀλλὰ μὴν καὶ τοῦ λεοντίου, τὸν μὲν ἡράκλειον σὺν ἄλλοις πλείοσιν, ἐν ξύλοις παρὰ τοῖς τείχεσιν ἀπῃώρησε. τὸν ἀψίμαρον δέ γε καὶ τὸν λεόντιον δεσμίους διὰ τῆς ἀγορᾶς περιαγαγών, καὶ θεατρίοις ἱππικοῖς ἀγομένοις, ῥιφθέντας ὑπὸ τοὺς πόδας αὐτοῦ κατὰ τῶν τραχήλων πεπάτηκε, καὶ οὕτως ἐκτμηθῆναι τὰς αὐτῶν κεφαλὰς ἐπὶ τοῦ κυνηγεσίου προσέταξε, τὸν δὲ πατριάρχην καλλίνικον, πρότερον αὐτοῦ πηρώσας τὰ ὄμματα, εἰς ῥώμην ἔθετο ὑπερόριον, κῦρον δέ τινα μοναχὸν ἔγκλειστον, πατριάρχην προὐβάλλετο, ὡς αὐτῷ τὴν βασιλείαν ἀποκατάστασιν προφοιβάσαντα. πολὺ δὲ πλῆθος ἔκ τε τοῦ δημοτικοῦ καὶ τοῦ στρατιωτικοῦ διέφθειρεν ὁ βασιλεύς, τοὺς μὲν φανερῶς, ἐνίους μέντοι καὶ ἀφανῶς. στείλας δὲ εἰς χαζαρίαν, ἤγαγε τὴν γυναῖκα αὐτοῦ θεοδώραν, ἤδη αὐτῷ τεκοῦσαν υἱόν, ὃν τιβέριον κατωνόμασε, κἀκείνην δὲ καὶ τὸ παιδίον τῷ τῆς βασιλείας ἀξιώσας ὀνόματι, καὶ ἄμφω ἔστεψε. λύσας δὲ τὰς πρὸς τοὺς βουλγάρους σπονδάς, κατ' αὐτῶν ἐξεστράτευσε σὺν ἱππικαῖς τε καὶ πεζικαῖς δυνάμεσι, καὶ σὺν στόλῳ πολλῷ, καὶ ἀπῆλθε πρὸς τὴν ἀγχίαλον. τὸ μὲν οὖν πρῶτον δείσαντες οἱ βούλγαροι, εἰς τὰ ὄρη ἀνέδραμον. ἐπεὶ δὲ ἀσυντάκτως ὁρῶντες τὴν τῶν ῥωμαίων στρατιὰν σκηνουμένην, καὶ ἀπροσέκτως εἰς χορτασμάτων συλλογὴν σκεδαννυμένην, ἀνεθάρρησαν, καὶ ἐπελθόντες αὐτοῖς, πολλοὺς μὲν ἀνεῖλον, οὐ μείους δὲ ᾐχμαλώτευσαν, καὶ ἵππων συχνῶν ἐκράτησαν. ὁ μέντοι βασιλεὺς σὺν τοῖς περιλειφθεῖσιν εἰς τὸ ἐκεῖ συνεκλείσθησαν φρούριον. εἶτα τοὺς ἵππους πάντας νευροκοπήσαντες, ἵνα μὴ τούτους λάβοιεν οἱ πολέμιοι, τοῖς τοῦ στόλου σκάφεσιν

ἐμβιβασθέ-

ὅτι ἐφόνευσε τὸν λεόντιον καὶ τὸν ἀψίμαρον καὶ ἐτύφλωσε καὶ τὸν πατριάρχην.

ὅτι ἐκάλεσε τὴν γυναῖκα αὐτοῦ καὶ τὸν υἱόν.

ὅτι ἡττήθη ὑπὸ τῶν βουλγάρων καὶ ἐνίκησαν.

ἐμβιβασθέντων, ἐπανῆλθον εἰς τὸ Βυζάντιον σὺν αἰσχύνῃ πολλῇ. μηνίων δὲ τοῖς ἐν Χερσῶνι, ὅτι ἐκεῖ περιοικοῦντα μέλλον αὐτὸν ἐνόντα νεωτερίζοντα, ἐβουλεύθησαν ἀνελεῖν, στέλλει τριήρεις καὶ δρόμωνας καὶ νῆας ἑτέρας τῶν φορτηγῶν σὺν στρατεύματι πλείστῳ καὶ δυσὶ στρατηγοῖς, ἐντειλάμενος αὐτοῖς μὴ φείσασθαι τινὸς τῶν ἐκεῖ, ἀλλὰ πάντας συγκόψαι τοῖς ξίφεσιν. οἱ σὺν οὐδενὶ πόνῳ (οὐ γὰρ ἀντέστησαν οἱ τῶν ἐν Χερσῶνι πόλεων οἰκήτορες) παραλαβόντες αὐτὰς, ἅπαντας σχεδὸν ἀνῃρήκασι, μόνους τοὺς νεάζοντας ἡλικίας μέχρι μειρακίων φεισάμενοι. ὃ μαθὼν Ἰουστινιανὸς, ὅτι μὴ καὶ τούτους ἀνεῖλον, ὠργίζετο καὶ πρὸς αὐτὸν τοὺς περισωθέντας ἐκέλευσε παραπεμφθῆναι. ἐκπλεύσαντας δὲ καταποντωθῆναι ἐν τῇ θαλάσσῃ συνέβη τοὺς πλείονας, καὶ ἐπὶ τούτῳ τῷ βασιλεῖ καταθύμιον, καὶ οὐδ' οὕτω τῆς κατ' ἐκείνων μανίας ἐμπέπληστο, ἀλλ' ἠπείλει καὶ αὖθις στέλλειν, ὥστε τὴν χώραν ἐξερημῶσαι, ὡς καὶ τὰς πόλεις καθελεῖν καὶ ἀροτριάσαι. διὰ ταῦτα οἱ ἐπιλειφθέντες ἐν Χερσῶνι, καὶ οἱ τούτων περίοικοι ἀπεστάτησαν, Φιλιππικὸν τὸν τοῦ Βαρδάνου, ὃν ὁ λόγος ἱστόρησε παρὰ τοῦ Ἀψιμάρου εἰς Κεφαλληνίαν περιορισθῆναι, ἄρτι ἀνακληθέντα ἐκ τῆς ὑπερορίας, καὶ ἐπανιόντα πρὸς τὴν Κωνσταντινούπολιν, ἐκεῖ γενόμενον, βασιλέα ἀναγορεύουσι, καὶ τοῦ σφῶν ἄρχοντος Ἠλία συμπράττοντος. ἃ μαθὼν Ἰουστινιανὸς, τὰ μὲν τοῦ Ἠλία παιδία ἐν τῷ κόλπῳ κατέσφαξε τῆς μητρός. ἐκείνην δὲ δούλῳ αὐτοῦ Ἰνδῷ μαγείρῳ συνέζευξεν. εἶτα στόλον εὐτρεπισάμενος, στέλλει κατὰ Χερσῶνος. ἐντειλάμενος τῷ τοῦ στόλου κατάρχοντι, ἄρδην ξύμπαντας ἀνελεῖν. ἤδη δὲ καταλαβόντος τὴν Χερσῶνα τοῦ ναυτικοῦ, καὶ πολιορκοῦντος αὐτὴν, οἱ Χάζαροι τοῖς Χερσωνίταις ἐπικουρήσοντες. ἐντεῦθεν ἡ μὲν πολιορκία ἐλέλυτο, οἱ δὲ τοῦ στόλου μὴ τολμῶντες πρὸς τὸν βασιλέα ἐπανελθεῖν, τὸν μὲν βλασφημίαις κατέχεον, τὸν δὲ Βαρδάνην ὡς βασιλέα εὐφήμησαν. χρόνου δὲ παρερρυηκότος συχνοῦ, ὅτι μηδὲν αὐτῷ ἐκ τοῦ στόλου μεμήνυτο, ὁ βασιλεὺς ὑποτοπήσας συμβῆναί τι φερόμενον κατ' αὐτοῦ, ἐξάρας ἐκ τοῦ Βυζαντίου, καὶ ἕως Σινώπης ἐλθὼν, ὁρᾷ τὸν στόλον εὐθὺ τῆς πόλεως πλωϊζόμενον, αὐτίκα τοίνυν γέγονε καὶ αὐτὸς ὀπισθόρμητος. τοῦ δὲ Φιλιππικοῦ εὐπλοήσαντος, καὶ προκαταλαβόντος τὴν μεγαλόπολιν, ἐκεῖνος ἐν τῷ Δαματρῦ ἐσκήνωσε, πρὸς ὃν ὁ εἰρημένος Ἠλίας στέλλεται, καὶ πείθει τὸ μετὰ τοῦ Ἰουστινιανοῦ στρατιωτικὸν ἀποστῆναι αὐτοῦ, καὶ προσρυῆναι Φιλιππικῷ. καταλειφθεὶς τοίνυν παρὰ τῶν στρατιωτῶν Ἰουστινιανὸς, χειροῦται, καὶ χερσὶν οἰκείαις εὐθὺς ὁ Ἠλίας ἀφαιρεῖ τὴν αὐτοῦ κεφαλήν. ὁ δὲ τούτου παῖς ὁ Τιβέριος, μετὰ τῆς πρὸς μητρὸς μάμμης Ἀναστασίας (ἡ γὰρ μήτηρ αὐτοῦ Θεοδώρα ἔφθη θανεῖν) τῷ ἐν Βλαχέρναις ναῷ προσφυγὼν, εἰσέδυ τὸ θεῖον θυσιαστήριον, καὶ ὑπὸ τὴν πανάγνην γενόμενος τράπεζαν, ἑνὸς τῶν ταύτην ἀνεχόντων στυλίσκων δεδραγμένος, ἱκέτευε μὴ θανεῖν. ἀλλ' οἱ σταλέντες εἰς ζήτησιν αὐτοῦ, ἐξελκύσαντες τοῦ θυσιαστηρίου τὸν παῖδα, μαχαίρᾳ τοῦτον τὸν λαιμὸν ὡς βοσκήματος ἀπέτεμον ἀπηνῶς.

Ἀποστασία Χερσωνιτῶν καὶ ἀνάρρησις Φιλιππικοῦ τοῦ Βαρδάνου.

ὅτι καὶ οἱ τοῦ στόλου τὸν Φιλιππικὸν ἀνηγόρευσαν.

ἀναίρεσις Ἰουστινιανοῦ καὶ τοῦ παιδὸς αὐτοῦ.

ΑΝΑΡΡΗΣΙΣ ΦΙΛΙΠΠΙΚΟΥ τοῦ Βαρδάνη.

Ἤδη δὲ τῆς βασιλείας τυχὼν ὁ Φιλιππικὸς, τὴν τῆς ἕκτης οἰκουμενικῆς συνόδου ἀπήλεγξε, καὶ σύνοδον ἀθροίσας ὁ μάταιος, ἠκύρωσεν ὅσον τὸ κατ' αὐτὸν δι' αὐτῆς τὴν ἁγίαν ἐκείνην σύνοδον, λέγεται γὰρ ἄρτι, τοῦ Λεοντίου τῶν σκήπτρων ἐπειλημμένου, χρησμῳδῆσαι τοῦτο τῷ Φιλιππικῷ τὴν εἰς τὸν βασίλειον θρόνον ἀναγωγὴν μοναχόν τινα ἔγκλειστον ὄντα ἐν τῇ τοῦ

[illegible]

scensis nauibus cū magno dedecore Byzantium rediȷt. Chersonȷs porrò iratus, quòd de se res nouas moliente tollēdo cogitassent, triremes, dromones & naues onerarias cū maximo exercitu & duob⁹ ducibus mittit, eisq; mādat, ne cuiquam illorū parcant, sed omnes gladȷs cōficiant. Qui eos nullo cū labore cœperūt. Neque enim urbium Chersoniarum habitatores resistebant, ac penè omnibus sublatis, pueris duntaxat & adolescentulis pepercerunt. Quo Iustinianus cognito, iratus, eos quoq; ad se mitti iussit qui conseruati essent, qui cū missi essent, maxima ex parte in mari perierūt. Ea res Imperatoris uoluptati fuit, sed ne sic quidē furore in illos suo expleto, minatus est, se alȷs copȷs missis ita regionē illam euastaturū, ut qbus in locis urbes fuissent, arua colerentur. Ob hæc Chersoniorū reliquię, eorumq; finitimi ad defectionē impulsi, Philippicū Bardanis filiū, quē suprà ab Apsimaro in Cephaleniā relegatū fuisse memorauimus, reuocatum modò, & dum Cōstantinopolim iret, illuc profectum, imperatorē salutant, etiā Elia principe suo adiutante. Quibus Iustinianus cognitis, Elię liberos in sinu matris ingulauit, & ipsam seruo eius Indo coquo copulauit. Deinde instructā classem contra Chersonem mittit, classisq; præfecto mandat, ut funditus uniuersos deleat. Quæ cū iam illic appulisset, ac prouinciā obsideret, Chazari Chersonitis suppetias uenerūt. Vnde obsidio soluta est, & classiarȷ cū ad Imperatorem redire nō auderent, maledicta in eum iecerunt, & Bardanē pro Imperatore celebrarunt. Iam longo tēpore elapso, cū nihil ei de classe significaret, suspicat⁹ accidisse aliquid quod in suā fraudē tenderet, Byzantio profectus cū Sinopen usq; peruenisset, uidet classem uersus urbem proficisci: statim igitur & ipse naues cōuertit. Sed Philippic⁹ prospera nauigatione usus magnam urbem præoccupat. Iustinianus uerò in Damatry statiua habet, ad quem Elias missus, militibus persuasit ut deserto illo se ad Philippicū conferrent. Quo facto, suis manibus caput illi resecat. Filius autem eius Tiberius, cum auia materna Anastasia (nam Theodora mater iam obierat) in tēplum Blachernium confugit: cumq; sacrosanctum sacellū ingressus, mensam sanctissimam subȷsset, prehensa una eius columella, mortē est deprecatus. Sed qui ad eum quærēdū missi erāt, pueri è sacrario abstracti collum tanq; pecudis crudeliter resecuerunt.

Crudelitas in Chersonios.

Chersonij Philippicū Bardanis filium imperatorem salutant.

Iustiniani et Tiberij filij interitus.

IMPERIVM PHILIPPICI QVI & Bardanes.

Iam potit⁹ imperio Philippicus, cōtra sextā œcumenicā synodū se armauit, indictoq; cōcilio homo uanus, quātū in ipso fuit, sacrā illā synodū abrogauit. Nā Leontio recēs sceptrum adepto, fertur inclusus quidam monachus in

Sexta Synodi abrogatio.

Monachi predictio.

Disertus magis quā strenuus imperator.

Callistrati monasterio, qui Monothelitarū sectam probaret, huic Philippico regni adeptionem prædixisse, eiusq; prædictionis mercedē sextæ synodi abrogationem stipulatus, & hic pollicitus esse. Ac sextā œcumenicam Synodum abrogauit, ut putabat, cum uerò aceruos pecuniarū à ueteribus Imperatoribus cumulatos in Regia reperisset: maiorē partē in nullos usus necessarios collatā dissipauit exiguo tēpore: ac omnē forsan absumpsisset, si diutius imperiū tenuisset. Nam in dicendo quidē
" disertissimus habebatur, nec prudentiæ ex-
" pers: ad res autē gerendas erat omniū ineptis-
" simus & ingenio planè sinistro. Cyrum Patriarcham Ecclesia, quam per sex annos tenuerat, exegit, & Ioanē assensorem suum in ea collocauit. Sub eo Bulgari Thraciā uniuersam populati, ad ipsam usq; urbem incursarūt omnia, magnaq; præda, & captiuis ferè innumeris abductis, domum se receperūt. Sed & Agareni Orientē eodē modo tractarunt. Duobus annis & mensibus aliquot, ex quo Imperium susceperat, elapsis, cum ludos equestres celebrasset, & post certamen in Zeuxippi balneo lauisset, quosdā senatores cœnę adhibuit: uel, ut alij dicunt, eos qui ludis Circensibus uicerant. In eo conuiuio à quibusdam senatoribus oppressus cæcatur. Id actū est pridie Pentecostes. Postridie, hoc est, in ipsa Pentecoste, & senatus & populus Artemium principem secretarium, imperatorem designant, indito ei nomine Anastasij.

Bulgarorū & Agarenorum latrocinia.

Philippicus cæcatur.

IMPERIVM ARTEMII, QVI & Anastasius.

Hic omni doctrinæ genere eruditus, & reb⁹ gerēdis uersutissimus fuit. Patriarcha Ioanne, ut nō orthodoxo, à sede quam trienniū tenuerat, auulso: Germanum Cyzico reuocatū, in eius locum substituit, quem à Cōstantino Pogonato uirilibus priuatum fuisse suprà memorauimus. Cum Alexandrinos in Phœniciam appulisse, ut inde ligna fabricandas naues peterēt, didicisset: classem instructā cōtra illos misit, & prouincialiū quoq; naues Rhodū appellere, atq; ubi cōuenissent, cōtra hostes ire iussit, totius classis duce delecto Ioanne magnæ ecclesiæ Dei diacono, & generali Logotheta. Postquàm omnes Rhodi conuenerant, & Ioānes nauigationem adornabat: classiarij, ac potius Opsiciani, infensi Imperatori, quòd nauales copias parum cōmodè tractasset, imperiū detrectabant: & Ioannem eorum contumaciam seuerius castigantem, maledicta in Imperatorem coggerentes, statim per seditionem occiderunt, omissoq; ulteriore progressu, partim domū redierunt, partim Byzantium petierūt, cumq; Adramyttium peruenissent, Theodosium quendam publicorum uectigalium exactorem, hominem in Republica non uersatum, Imperatorem inuitum salutarunt.

Naualis seditio.

Theodosius Adramyttenus creatur Imperator.

His

καλλιστράτου μονῇ, καὶ τὴν προῤῥήσεως αἰτῆσαι μισθὸν, τὴν τῆς ἕκτης συνόδου ἀθέτησιν (ἦν γὰρ τῆς τῶν μονοθελητῶν ὁ μοναχὸς ἐκεῖνος αἱρέσεως) καὶ τὸν ὑποσχέσθαι. τὴν μὲν οὖν οἰκουμενικὴν ἕκτην σύνοδον ἠκύρωσεν, ὡς ἐδόκει, αὐτὸς δὲ σωροὺς χρημάτων ἐκ παλαιοτέρων θησαυρισθέντας αὐτοκρατόρων ἐν τοῖς βασιλείοις εὑρὼν, εἰς οὐδὲν δέον τούτοις χρώμενος, τὰ πλείω διεσκόρπισε διὰ βραχέος καιροῦ καὶ τάχα καὶ ἅπαντα κατηνάλωσεν ἄν, εἰ ἐπὶ πλεῖον τῇ βασιλείᾳ προσέμεινεν. ἐν μὲν γὰρ τῷ λέγειν ἐδόκει φιλοτεχνότατος, μὴ ἀμοιρεῖν τι συνέσεως. ἐν δὲ τῷ πράττειν ἦν ξυμπάντων ἀσυνετώτατος καὶ παμπόνηρος δεξιός. κῦρον δὲ τὸν πατριάρχην ἐξωθήσας τῆς ἐκκλησίας, ἣν ἐξ ἔτη ἐν ταύτῃ διατελοῦντα, ἰωάννην ὁμόδοξον αὐτῷ προεβάλετο. οἱ μέντοι βούλγαροι τὴν θρᾴκην ἅπασαν λῃσάμενοι, τὰ μέχρι τῆς πόλεως κατέδραμον ἅπαντα, καὶ λείαν πολλὴν καὶ αἰχμαλώτους λαβόντες σχεδὸν ὑπὲρ ἀριθμὸν, ἀπενόστησαν. ἀλλὰ μὴν καὶ τὰ πρὸς ἀνίσχοντα ἥλιον ὁμοίως οἱ τῆς ἄγαρ διέθεντο. δύο δὲ παρελθόντων ἐνιαυτῶν καὶ μηνῶν τινων, ἐξότου τῆς βασιλείας ἐκράτησεν, ἱππηλάτην ἐπιτελέσας ἀγῶνα, καὶ ἐν τῷ τοῦ ζευξίππου μετὰ τὸν ἀγῶνα λουσάμενος λουτρῷ, συνεσίτους τινὰς τῶν τῆς συγκλήτου πεποίητο, ὡς δ' ἔνιοι λέγουσι, τοὺς ἐν τῇ τῶν ἵππων ἁμίλλῃ νικήσαντας. κατακείμενος δ' ὕπνῳ τοῦ συμποσίου, παρά τινων τῶν τῆς γερουσίας κατασχεθεὶς, τυφλοῦται. ταῦτα δ' ἐπράχθη πρὸ τοῦ σαββάτου τῆς πεντηκοστῆς. τῇ δ' ἑξῆς κατ' αὐτὴν δηλαδὴ τὴν πεντηκοστὴν, ἀθροισθέντες οἵ τε τῆς συγκλήτου βουλῆς καὶ ὁ δημώδης ὄχλος, ἀρτέμιον τὸν πρωτοασηκρῆτις, προχειρίζονται αὐτοκράτορα, μετονομάσαντες ἀναστάσιον.

οἷος ἦν περὶ πράξεις ὁ φιλιππικός.

περὶ παύσεως κύρου.

περὶ βουλγάρων καὶ τῶν ἀγαρηνῶν.

καθαίρεσις ἐκ τῆς βασιλείας τοῦ φιλιππικοῦ.

ΒΑΣΙΛΕΙΑ ΑΡΤΕΜΙΟΥ τοῦ καὶ ἀναστασίου.

Ην δὲ οὗτος ὁ βασιλεὺς καὶ λόγοις παντοίοις ὡμιληκὼς, καὶ πραγμάτων διοικήσεσιν ἐντριβέστατος. οὗτος τὸν πατριάρχην ἰωάννην τοῦ ἀρχιερατικοῦ καταπαύσας θρόνου, ὡς μὴ ὀρθόδοξον, ἔτη τρία τῆς ἐκκλησίας κρατήσαντα, μετατίθησιν ἐκ κυζίκου εἰς τὴν ἱερὰν καθέδραν τῆς βασιλίδος τῶν πόλεων γερμανὸν, ὃν ἀνωτέρω που ὁ λόγος ἱστόρησε παρὰ κωνσταντίνου τοῦ πωγωνάτου τῶν παιδογόνων ἀφαιρεθῆναι μορίων. μαθὼν δὲ ὅτι ἐξ ἀλεξανδρείας εἰς φοινίκην πλοῖα προσώρμησαν, ἵνα ξύλα ἐκεῖθεν κομίσωσι ναυπηγήσιμα, στόλον ἐξοπλίσας ἀπέστειλε κατ' αὐτῶν, κελεύσας καὶ τοὺς τῶν θεμάτων στόλους, εἰς τὴν νῆσον ῥόδον καταίρειν, κἀκεῖ ἑνωθῆναι, καὶ οὕτως ἐκπλεῦσαι κατὰ τῶν ἐναντίων, προβαλόμενος ἄρχοντα τοῦ στόλου παντὸς ἰωάννην τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας διάκονον, καὶ γενικὸν λογοθέτην. πάντων οὖν εἰς τὴν ῥόδον συναθροισθέντων, ὁ διάκονος ἰωάννης πρὸς ἔκπλουν ἡτοίμαστο, οἱ δὲ τοῦ στόλου, καὶ μᾶλλον οἱ τοῦ θέματος τοῦ ὀψικίου, οὐκ ἦσαν εὔνοι· οὐ γὰρ καλῶς περὶ τὸν κρατοῦντα διέκειντο, ἐπεὶ μὴ δ' ἐκεῖνος τῇ πλωϊστικῇ στρατιᾷ κεχρημένος ἦν δεξιῶς. ὡς δὲ πρὸς τὴν ἐκείνων ἀπείθειαν ὁ διάκονος αὐστηρότερον διετέθη, καὶ δριμύτερον αὐτοῖς προσεφέρετο, εἰς στάσιν τούτους ἠρέθισε, καὶ τὸν βασιλέα δυσφημήσαντες, αὐτὸν ἀνεῖλον εὐθὺς, καὶ τοῦ πρόσω χωρεῖν ἀφέμενοι, οἱ μὲν ἀπένευσαν οἴκαδε, οἱ δὲ πρὸς τὸ βυζάντιον ὥρμησαν, καὶ ἐν τῷ ἀδραμυττίῳ γενόμενοι, θεοδόσιόν τινα πράκτορα τῶν δημοσίων τελῶν ἰδιώτην ἄκοντα λαβόντες, ἀνηγόρευσαν αὐτοκράτορα.

περὶ πατριαρχῶν.

ὅτι στόλον ὁ βασιλεὺς ἐπὶ κατὰ τῶν ἀγαρηνῶν ἔπεμψε, καὶ οἱ τοῦ στόλου τὸν ἄρχοντα ἀνελόντες, καὶ τινα θεοδόσιον ἀναγόρευσαν αὐτοκράτορα.

ταῦτα

τοῦτο μαθὼν ὁ ἀρτέμιος, στόλον ἐπέμψατο καὶ τῇ πόλει ἐπέστησε φυλακὴν, αὐτὸς δὲ ἐν νικαίᾳ διάγων τῇ μητροπόλει τῶν Βυθινῶν. οἱ δὲ στασιασταὶ διά τε γῆς καὶ διὰ θαλάσσης ἀφίκοντο εἰς χρυσόπολιν, καὶ μέχρι μηνῶν τινῶν ναυμαχίαι ἐγίνοντο. εἶτα περαιωθεὶς εἰς θρᾴκην ὁ θεοδόσιος, διὰ τοῦ τείχους τῶν Βλαχερνῶν ἐκ προδοσίας εἰς τὴν μεγαλόπολιν εἰσελήλυθε, καὶ τὸ σὺν αὐτῷ ναυτικόν τε καὶ στρατιωτικὸν εἰσρυέντος ἐν ταύτῃ, πολλὰ τῶν ἐν ταῖς οἰκίαις χρημάτων ἥρπασαν. τοὺς δὲ ὑπὲρ ἀρτεμίου ἀντεχομένους τῶν ἀρχόντων συλλαβόμενοι, καὶ τὸν πατριάρχην γερμανὸν παραλαβόντες, ἐπῆλθον εἰς νικαίαν, δεικνύντες τῷ ἀρτεμίῳ, ὅτι ἡ πόλις ἤδη παρελήφθη καὶ τὰ βασίλεια. καὶ ὃς τὸ μοναχικὸν ἀμφιασάμενος σχῆμα, καὶ πίστεις λαβὼν, μή τι περαιτέρω παθεῖν, παρέδωκεν αὐτοῖς ἑαυτὸν, καὶ ἐν θεσσαλονίκῃ περιωρίσθη, βασιλεύσας ἕνα ἐνιαυτὸν καὶ μησὶ τρισίν.

ὅτι τοῦ ἀρτεμίου ἐν νικαίᾳ διάγοντος ὁ θεοδόσιος ἐκ προδοσίας τὴν πόλιν εἷλε, καὶ ὁ ἀρτέμιος μοναχὸς ἐν θεσσαλονίκῃ περιωρίσθη.

His Artemius cognitis, classem parat, urbemque custodia munit, ipse Niceæ degens, quæ est Bithyniæ Metropolis. Seditiosi uerò, terra mariq; Chrysopolim peruenerunt, ac nauales pugnæ aliquandiu sunt commissæ. Deinde in Thraciam peruectus Theodosius, per murum Blachernium, opera proditorũ, magnam urbem intrauit, unaq; cum eo classiarij & milites, qui magnam pecuniam ex ædibus rapuerunt, & principibus, qui Artemium defendebant, ac Germano Patriarcha comprehensis, Nicæam discesserunt, Artemio urbem & Regiam iam esse occupatas ostendentes. Is igitur habitu monachi sumpto, acceptaq; fide, nihil sibi pręterea mali timendum, eis sese tradidit, ac Thessalonicam est relegatus, cum unum annum & tres menses regnasset.

Artemius fit monachus.

ΒΑΣΙΛΕΙΑ ΘΕΟΔΟΣΙΟΥ τοῦ ἀτραμυτηνοῦ.

Βασιλεύει δὲ θεοδόσιος, ὃς ἀτραμυτηνὸς ἐπωνόμαστο, ἀνὴρ ἦθος μὲν χρηστοῦ, καὶ βίου σεμνοῦ, ἀπράγμων δ' ἄλλως, καὶ πρὸς πραγμάτων διοίκησίν τε καὶ μεταχείρισιν, καὶ τὰ τῆς βασιλείας, σφόδρα γε ἀποπεφυκώς. λέων δὲ ὁ καὶ κόνων παρὰ τοῦ ἀρτεμίου στρατηγὸς τῶν ἀνατολικῶν προβληθεὶς, ὑπὲρ τοῦ ἀρτεμίου δῆθεν φρονῶν, οὐχ ὑπεῖξε θεοδοσίῳ, σύμπνουν ἔχων καὶ τὸν τῶν ἀρμενιακῶν στρατηγὸν ἀρτάβασδον τὸν ἀρμένιον. ἄρας οὖν ἐκεῖθεν μετὰ τῶν ὑπ' αὐτὸν ταγμάτων εἰς νικομήδειαν ἔρχεται, ἔνθα τὸν τοῦ βασιλέως θεοδοσίου υἱὸν εὑρηκὼς, καὶ αὐτὸν μετὰ τῆς βασιλικῆς ἀποσκευῆς χειρωσάμενος, ἀφίκετο εἰς χρυσόπολιν. ὁ δὲ θεοδόσιος ἀπραγμόνως τῆς βασιλείας ἐξίσταται αὐτῷ, εἰς κληρικὸν καρεὶς μετὰ τοῦ υἱοῦ, καὶ πληροφορίαν λαβὼν, μή τι ἕτερον ὑποστῆναι, καὶ ὁ μὲν ἡσύχως ἐβίω τὸ λοιπὸν τῆς ζωῆς, βασιλεύσας δύο ἐνιαυτούς.

ὅτι ὁ ἴσαυρος λέων [illegible] κατὰ τοῦ θεοδοσίου.

καθαίρεσις τοῦ βασιλέως θεοδοσίου.

IMPERIVM THEODOSII Adramytteni.

Imperio autem potitus est Theodosius Adramytten⁹, uir bonus ille quidẽ, honestæq; uitę, sed ignauus & ad rerũ administrationẽ & tractationẽ, regni præsertim minimè idone⁹. Cęterũ Leo qui & Conon, ab Artemio, cuius tum quoq; studijs prę se ferebat, dux Oriẽtis designatus, Theodosio non cessit, cum etiam Artabasdum Armenium, Armeniacorum ducem suffragatorem haberet. Inde igitur cum suis legionibus Nicomediam digressus est, ubi Theodosij filium cum Regio instrumento deprehensum, Chrysopolim perduxit. Ei Theodosius citra dimicationem regno cessit, unaq; cum filio rasus in clericum, accepta fide nihil in se consultum iri grauius, uitæ reliquum tranquillè exegit, quum biennium imperasset.

Leo Theodosiũ in ordinẽ cogit.

ΒΑΣΙΛΕΙΑ ΛΕΟΝΤΟΣ ΤΟΥ ἰσαύρου τοῦ καὶ κόνωνος.

Ἐντεῦθεν ὁ λέων τοῦ τῆς βασιλείας ὀνόματος ἀναξίως ἠξίωτο. ᾧ πατρὶς μὲν ἦν ἰσαυρία, ἐκεῖθεν δὲ μετοικισθεὶς μετὰ τῶν τεκόντων παρὰ τοῦ βασιλέως ἰουστινιανοῦ, μήπω τῆς ἀρχῆς ἐξωσθέντος, ἐν μεσημβρίᾳ τῇ θρᾳκικῇ ἐποιεῖτο τὰς διατριβάς. καθαιρεθέντος δὲ τοῦ ἰουστινιανοῦ τῆς ἀρχῆς. εἶτα ἐπανερχομένου μετὰ Βουλγάρων εἰς τὸ τὴν βασιλείαν αὖθις ἀναλαβεῖν. ὁ λέων ὑπαντήσας αὐτῷ, δῶρα προσήνεγκεν. καὶ ὁ ἰουστινιανὸς σπαθάριον αὐτὸν αὐτίκα ἐτίμησεν, καὶ βασιλεύσας τὸ δεύτερον, αὐτὸν ᾠκειώσατο. εἶτα ἐστάλη παρ' αὐτοῦ πρὸς τοὺς ἀλανοὺς ἢ ἀλβανοὺς (οὕτω γὰρ τοῖς παλαιοῖς ὀνομάζονται) ἐστέλλετο δὲ συγκινήσων αὐτοὺς κατὰ τῶν ἀβασγῶν, ἀποστάντων τῆς ῥωμαίων ἀρχῆς. οἱ γὰρ ἀβασγοὶ, ὡς ὁ καισαρεὺς προκόπιος ἱστορεῖ, δυσὶν ὁμοφύλοιν ἦσαν ὑπήκοοι, ὧν ὁ μὲν ἐπὶ τὴν πρὸς ἀνίσχοντα ἥλιον μοῖραν αὐτῶν, τῷ δὲ τῇ τετραμμένῃ πρὸς δύοντα. καὶ ἄμφω δὲ τούτω τὼ ἄρχοντε ὑπὸ φιλοχρηματίας κακῶς ἐχρῶντο τῷ ἔθνει. ὅσους γὰρ ἂν παῖδας εὕροιεν ὡραίους, καὶ τὸ εἶδος καλοὺς, καὶ τὴν ἄλλην τοῦ σώματος φύσιν δεξιοὺς, βίᾳ τῶν τεκόντων ἀφέλκοντες καὶ τῶν παιδογόνων μορίων σιδήρῳ στερίσκοντες, ἐκείνους μὲν πολλῶν χρημάτων ῥωμαίοις ἀπεπράσκον,

[illegible]

Dehinc Imperij dignitatẽ Leo præter dignitatem est cõsecutus, qui patriam habuit Isauriam, atq; inde unà cum parentibus ab Imperatore Iustiniano, antequàm Imperio eiectus esset, trãslatus, Mesembriæ Thraciæ urbe uitam egit. Pulso autem Iustiniano, & à Bulgaris in regnum reducẽdo, progressus obuium, ei munera obtulit: eaq; de causa Spatharij dignitatem statim est consecutus, &, recuperato ab illo Imperio, eius familiaritate usus. Deinde ad Alanos, siue Albanos (sic enim uocantur à ueteribus) missus est, ut eos contra Abasgos, qui à Romanis defecerant, concitaret. Parebant autem, ut Cęsariensis Procopius refert, duobus suis popularibus, quorum alter partem Orientalem, Occidentalem alter gubernabat. Vterque porrò gentem ex auaritia malè tractabat. Nam quoscunque pueros formosos & corporibus elegantibus inueniebant, eos ui parẽtibus ereptos castratosq;, Romanis Eunuchorũ amore semp. attonitis, magna

Occasiones incrementorum Leonis

Abasgorũ historia.

magna pecunia uendebant, eorumque patres occidebant, ne quando propter filios irati, seditionem mouerent. Erat igitur apud Abasgos filiolū pulchrū genuisse maximū infortunium, eam elegantiā morte luentes. Ac Abasgi sic à suis magistratibus tractabātur. Iustinianus autē primus, misso ad eos imperatorio eunucho quodam, eorū populari (multi enim tales in Romana curia uersabantur) magistratibus eorum interdixit, ne quem in posterū inuitum castrarent: capturos enim laborem inanem, nemine Romanorū castratos eorū empturo. Hoc Abasgi cupidissimè acceperunt, edictoque imperatoris Romanorū freti, deinceps magistratibus suis in ea re nō cesserunt, qui & ipsi iam segniores ad id facinus erant redditi. Pòst etiam, utroque magistratu abrogato, suis uiuere legibus uoluerunt, cum ad id usque tēpus Christianæ religionis rudes essent, & lucos ac syluas uenerarētur, & arbores Barbarica simplicitate pro Dijs haberent. Sed Iustiniano studio fuit, eos ad pietatē traducere, missisque sacris uiris Dei cognitione barbaros imbuit: extructaque præclara æde Deiparæ, & sacerdotibus in ea collocatis, eas à uita planè Barbarica ad mores Christianorum traduxit. Ex eo nemini parentibus Abasgis, Imperatores Romani magistratus miserunt, à quibus res administrabantur. Qui cum iniurij essent, ac populum crudelius tractarent, ueriti ne prorsus in seruitutem à Romanis redigerentur, defecerūt, neque amplius magistratum Romanū admiserūt. Ea de causa Iustinianus is, qui naso mutilatus fuit, eos ulturus, Leonem Spatharium ad Alanos mittit cū maxima pecunia, ut eos contra finitimos Abasgos armaret. Eò profectus Leo, & multos ibi annos cōmoratus, serò ægreque redijt, nec Iustiniano inuento (nam occisus erat) neque Philippico (pulsus enim erat, ut dictū est, oculis etiam erutis) Artemiū igitur tum imperantē conuenit, à quo benignè acceptus est, & Orienti præpositus. Pro eo igitur, ut dictum est, propugnans scilicet, Theodosio se opposuit, sceptrisque potitus est. O iudiciorum Dei abyssum incomprehensibilē. Sic adeptus Imperiū, statim Artabasdo filiā despondit, & Curopalatæ honorem decreuit. Masalmas autē Arabum dux Abydo cum magnis copijs in Thraciam transuectus magnā eius prouinciæ partē populatus est, impetuque in urbē Regiā facto, uallum iuxta terrestria mœnia posuit, atque ab ea parte ipse urbē oppugnauit, Solymas autem Archisatrapes eius, è mari cum maxima classe. Verùm naues eius tam bellicas quàm onerarias Romani Græco igni repulerunt, ut multi nauarchi, quorū naues is nondū attigerat, per desperationem se ad Imperatorem cōferrēt. Et hoc modo pars maxima classis Arabicæ perijt. Romanæque legiones eos aggressæ, qui in Bithynia prædabant, multos occiderūt,

Masalmas & Solymas Arabes Byzantium obsident.

περὶ τοὺς ἐκτομίας ἐσπουδακόσιν ἀεί. διὸ δὲ τούτων πατέρας εὐθὺς ἔκτεινον, ἵνα μή ποτε μηνιῶντες διὰ τοὺς παῖδας, βουλεύσωνται κατ' αὐτῶν ἐπανάστασιν. καὶ ἦν παρὰ τοῖς Ἀβασγοῖς τὸ παῖδα τεκεῖν ἀγαθὴν τὴν ὄψιν δυστύχημα μέγιστον, δίκην τῆς τῶν παίδων εὐπρεπείας ἀλλαττομένοις τὸν θάνατον. καὶ οὕτω μὲν τοῖς Ἀβασγοῖς οἱ σφῶν προσεφέροντο ἄρχοντες. Ἰουστινιανὸς δὲ ὁ πρῶτος στείλας παρ' αὐτοὺς τινὰ τῶν ἐν τοῖς βασιλείοις εὐνούχων, σφίσιν ὁμογενῆ (πολλοὶ γὰρ περὶ τὰ Ῥωμαίων ἀρχεῖα τοιοῦτοι ἐστρέφοντο) ἀπεῖπε τοῖς ἡγεμόσι τῶν Ἀβασγῶν, μηκέτι μηδένα τὴν ἀρρενωπίαν ἐκτέμνεσθαι βιαζόμενον. τελευτήσειν γὰρ τὴν πρᾶξιν αὐτοῖς εἰς κενὸν, μηδενὸς Ῥωμαίων πρίασθαι βουλησομένου τοὺς ἐκτομίας αὐτῶν. ὅπερ τοῖς Ἀβασγοῖς ἀσμενέστατα προσδέδεκτο, καὶ τῇ ἐπιταγῇ τοῦ βασιλέως Ῥωμαίων θαρρήσαντες, τὸ λοιπὸν περὶ τὸ ἔργον τοῖς ἄρχουσιν αὐτῶν οὐχ ὑπεῖκον ἔτι, κἀκεῖνοι δὲ πρὸς τὴν πρᾶξιν νωθέστεροι. εἶτα καὶ ἄμφω τοὺς αὐτῶν ἀρχηγοὺς καθελόντες, ἤθελον βιοτεύειν αὐτόνομοι. μέχρι μέντοι τότε καὶ τῆς τῶν Χριστιανῶν θρησκείας ἦσαν ἀμύητοι, ἄλση δὲ καὶ ὕλας ἐσέβοντο, καὶ τὰ δένδρα τούτοις ἐξ ἀφελείας βαρβαρικῆς ὡς θεοὺς ἐνομίζοντο. Ἰουστινιανὸς δὲ μεταθεῖναι σφᾶς πρὸς εὐσέβειαν ἐσπούδασε, καὶ στείλας παρ' αὐτοῖς ἱεροὺς ἄνδρας, δι' αὐτῶν εἰς ἐπίγνωσιν αὐτοὺς μετήνεγκε τοῦ θεοῦ, ἔν τε καὶ θεῖον ἐν Ἀβασγοῖς τῇ θεοτόκῳ ἐδείματο τέμενος, καὶ ἱερεῖς ἐγκατέστησε, καὶ οὕτως εἰς ἤθη τὰ τῶν Χριστιανῶν αὐτοὺς μετήγαγεν ἐκ τῶν πάνυ βαρβαρικῶν. ἐκ τοῦδε δὲ ὑπ' οὐδενὸς ἀρχομένων τῶν Ἀβασγῶν, οἱ βασιλεῖς Ῥωμαίων ἔστελλον ἄρχοντας, καὶ ὑπ' ἐκείνων αὐτοῖς διῳκεῖτο τὰ πράγματα. χωρησάντων δὲ τῶν στελλομένων εἰς ἀδικίας, καὶ τυραννικώτερον χρωμένων αὐτοῖς, δείσαντες μὴ παντάπασι δουλωθῶσι Ῥωμαίοις, ἀφίστανται, καὶ οὐκέτι δέχεσθαι ἄρχοντα Ῥωμαίων ἐβούλοντο. διὰ τοῦτο τίσασθαι θέλων αὐτοὺς ὁ ῥινότμητος Ἰουστινιανὸς, στέλλει τὸν σπαθάριον Λέοντα πρὸς τοὺς Ἀλανοὺς χρήμασι πλείστοις κατὰ τῶν Ἀβασγῶν ὁμόρων ὄντων αὐτοῖς, ὁπλίσαι τούτους βουλόμενος. ἐκεῖ τοίνυν ὁ Λέων γενόμενος, καὶ συχνοὺς διατρίψας ἐνιαυτοὺς, ὀψὲ καὶ μόλις ἐπανελήλυθε, μήτε τὸν Ἰουστινιανὸν εὑρηκὼς (ἀνῄρητο γὰρ) μήτε μὴν τὸν Φιλιππικὸν (καθῄρητο γὰρ πηρωθεὶς, ὡς εἴρηται, καὶ τὰ ὄμματα) πρόσεισιν οὖν Ἀρτεμίῳ βασιλεύοντι τότε. ὁ δὲ καὶ προσήκατο αὐτὸν εὐμενῶς, καὶ στρατηγὸν τοῦ τῶν ἀνατολικῶν προεχειρίσατο θέματος. τούτῳ γοῦν ὡς εἴρηται, δῆθεν ἀμύνων, αὐτῷ ἦρε χεῖρα κατὰ τοῦ Θεοδοσίου, καὶ τῶν σκήπτρων γέγονεν ἐγκρατής. ὢ θεοῦ κριμάτων ἄβυσσος ἀκατάληπτος. βασιλεύσας δὲ οὕτω αὐτίκα τὴν θυγατέρα τῷ Ἀρταβάσδῳ συνῴκισε, κουροπαλάτην αὐτὸν τιμήσας. Μασαλμᾶς δὲ ὁ τῶν Ἀράβων ἀρχηγὸς ἐξ Ἀβύδου σὺν μεγάλῳ στρατεύματι πρὸς Θρᾴκην περαιωθεὶς, πολὺ μὲν τῆς Θρᾳκῴας ἐλῄσατο χώρας, τῇ δὲ βασιλευούσῃ τῶν πόλεων προσβαλὼν, χάρακα παρὰ τοῖς κατὰ χέρσον αὐτῆς ὑπέξετο τείχεσι, καὶ ἦν μὲν αὐτὸς ἐντεῦθεν ταύτην πολιορκῶν, ἐκ δὲ θαλάσσης σὺν στόλῳ μεγάλῳ ὁ ἀρχισατράπης Σολυμᾶς. ἀλλὰ τὰς μὲν νῆας αὐτῶν τάς τε πολεμιστηρίους τάς τε μὴν φορτηγοὺς τῷ ὑγρῷ πυρὶ Ῥωμαῖοι κατετροπώσαντο. ὥστε πολλοὺς τῶν ναυάρχων, ὧν οὔπω ταῖς ναυσὶ τὸ ὑγρὸν τοῦτο προσήγγισε πῦρ, ἀπογνόντας προσρυῆναι τῷ βασιλεῖ. τὸ μὲν οὖν πλεῖον τοῦ ναυτικοῦ τῶν Ἀράβων οὕτω διώλετο. τοῖς δὲ κατὰ Βιθυνίαν αὐτῶν λῃζομένοις ἐντυχόντα στρατεύματα Ῥωμαίων πεζὰ, πολλοὺς διεφθάρκασιν, ὥς τε

Ὅτι τοὺς ἄρχοντας αὐτῶν οἱ Ἀβασγοὶ καθελόντες, ἐκ τοῦ βασιλέως Ῥωμαίων ἐδέχοντο ἄρχοντας.

Ὅτι Ἄραβες ἐξ Ἀβύδου περάσαντες, τὴν πόλιν ἐπολιόρκησαν κατὰ γῆν τε καὶ θάλασσαν, καὶ πάνυ ἀπηλλάγησαν ἀπρακτήσαντες.

ὥς τι καὶ ἐκείνους δείσαντας, ἀποδρᾶναι. τοὺς δὲ κατὰ θρᾴκην τυγχάνοντας ἄραβας, λιμὸς ἐπίεζε κραταιὸς, ὅθεν οὐδενὸς τῶν θνησκόντων ζώων ἀπείχοντο. λέγονται δὲ καὶ σαρκῶν ἀνθρωπείων αὐτοὺς ἅψασθαι, ἀλλὰ νόσος αὐτοῖς ἐνέσκηψε λοιμικὴ, καὶ διέφθειρε παμπληθεῖς. καὶ βούλγαροι δὲ τούτοις ἐπελθόντες, πολλὰς χιλιοστύας αὐτῶν, ὥς τινες ἀναγράφουσι, μαχαίρας ἔθεντο παρανάλωμα. ὁ δὲ τῆς σικελίας στρατηγὸς σέργιος, τὴν τῶν ἀράβων κατὰ τῆς πόλεως ἐπέλευσιν γνοὺς, καὶ ὡς ἐν ἀκαταστασίᾳ τὰ ῥωμαίων τυγχάνουσι, τυραννίδι καὶ αὐτὸς ἐπιχείρησε, καὶ οὐχ ἑαυτὸν τῆς βασιλείας ἠξίωσε κλήσεως, ἀλλά τινα γρηγόριον τῶν ὑπηρετουμένων αὐτῷ ἀναῤῥηθῆναι παρὰ τοῦ λαοῦ βασιλέα πεποίηκε, μετονομάσας τὸν ἄνδρα τιβέριον, ὃς καὶ τινας εἰς ἀρχὰς γνώμῃ τοῦ σεργίου προεβίβασε. ταῦτ' ἀγγελθέντα τῷ λέοντι, διανίστησιν αὐτὸν τῷ τυραννήσαντι ἀντιτάξασθαι, καὶ παῦλον τὸν τῶν βασιλικῶν ἱπποκόμων ἐπιστατοῦντα, χαρτουλάριον ἡ ῥωμαίων οἶδε τοῦτον λέγειν φωνὴ, πατρίκιον τιμήσας, καὶ στρατηγὸν σικελίας ὀνομάσας, εἶτα κατὰ τοῦ ἀποστάτου, πρόσταγμα πρὸς τοὺς τῶν χωρῶν ἄρχοντας ἐγχειρίσας αὐτῷ, συναίρεσθαι τῷ παύλῳ κελεῦον, καὶ πρὸς τὴν ἐν σικελίᾳ δὲ στρατιὰν γραφὴν ἐγχειρίσας, δηλοῦσαν καλῶς ἔχειν ῥωμαίοις τὰ πράγματα, ἤδη τῶν ἀράβων ἡττημένων καὶ καταπροπαθέντων, διὰ τοῦ παύλου. καὶ ταύτην τοῖς στρατιώταις ἐξαπέπομψε. καταλαβόντα δὲ τοῦτον τὴν σικελίαν τοῦτον αἰφνιδίως, καὶ εἰσελθόντα εἰς τὴν συρακούσαν μαθὼν ὁ σέργιος, εὐθὺς ἀπέδρα, καὶ πρὸς λογγιβαρδίαν ἐφοίτησε. τοῦ δὲ παύλου προσομιλήσαντος τῷ στρατιωτικῷ, καὶ τὸ γράμμα τὸ βασίλειον ἀναγνόντος αὐτῶν εἰς ἐπήκοον, εὐθὺς ἐκεῖνοι τὸν μὲν βασιλέα ἐτίμησαν, καὶ εὐφήμησαν, τὸν δὲ γρηγόριον καὶ τοὺς περὶ αὐτὸν, δεσμίους τῷ παύλῳ παρέδωκαν. καὶ ὃς τὸν μὲν γρηγόριον ἀνεῖλε, τοὺς δ' ἐκείνου ὑπασπιστὰς μάστιξι, καὶ τὴν κόμην ἀποθρίξας αὐτοὺς, ἐξορίᾳ κατέκρινεν. ὁ δὲ σέργιος πληροφορίαν λαβὼν, μή τινος πειραθῆναι κακοῦ, πρὸς τὸν παῦλον ἐκ καλαβρίας ἀφίκετο. καὶ τὰ μὲν κατὰ τὴν σικελίαν οὕτως ἠρέμησαν. οἱ δὲ τὴν πόλιν πολιορκοῦντες ἄραβες, παθόντες μᾶλλον ἢ δράσαντες, ἐπανελθεῖν εἰς τὰ οἰκεῖα ὡρμήκασιν, καὶ εἰς τὰς περιλειφθείσας ἐμβάντες νῆας, ἀπῆσαν. λαίλαπι δὲ περιπεσόντες σφοδρᾷ, πάντες ἀπώλοντο σὺν ταῖς οἰκείαις τριήρεσι, δέκα μόνον νηῶν περιλειφθεισῶν, ὧν αἱ μὲν πέντε παρὰ ῥωμαίων ἑάλωσαν, αἱ δὲ λοιπαὶ διαφυγοῦσαι, τῆς συμφορᾶς ἀπήλθοσαν ἄγγελοι. ἐτέχθη δὲ τῷ λέοντι σκύμνος ὠμότερος τοῦ πατρὸς, καὶ τὴν τούτου μητέρα κεκλημένην μαρίαν ἔστεψεν ὁ λέων, καὶ τὸν υἱὸν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐβάπτισε, κωνσταντῖνον ὀνομάσας αὐτόν. ὃν λέγεται κόπρον αὐτὸν ἐκκρῖναι τῇ θείᾳ κολυμβήθρᾳ καταδυόμενον, κἀντεῦθεν ἐπονομασθῆναι κοπρώνυμον, καὶ τὸν ἁγιώτατον πατριάρχην γερμανὸν εἰπεῖν, ὅτι σημεῖον τοῦτο δεῖ τῇ ἐκκλησίᾳ καὶ τοῖς εὐσεβεῖν ᾑρημένοις μέγα τὸ παιδίον τοῦτο χρηματίσαι κακόν. ὁ δὲ μάγιστρος νικήτας ὁ ξυλινίτης τῶν [illegible] τυγχάνων, ἀναπείθει τὸν ἀρτέμιον ἐν θεσσαλονίκῃ ὄντα, τοῖς βουλγάροις προσελθεῖν, καὶ συμμαχίᾳ τούτων ἀπολήψεσθαι πάλιν τὴν βασιλείαν. καὶ ὃς πείθεται, καὶ μετὰ πλήθους βουλγάρων ἧκεν εἰς τὸ βυζάντιον, οἰόμενος παρὰ τοῦ λαοῦ προσδεχθήσεσθαι. τῶν δὲ τῆς πόλεως μὴ ἐπιστρεφομένων αὐτοῦ, οἱ βούλγαροι τοῦτον πολλῶν χρημάτων τῷ λέοντι προὔδωκαν, καὶ οἱ μὲν ἀπῆλθον, ὁ δὲ σὺν τῷ ξυλινίτῃ ἀνῄρετο,

[margin:] ὁ δὲ στρατηγὸς σικελίας τυραννίδι ἐγχειρεῖ.

[margin:] [illegible]

[margin:] ἐν ἄλλοις, ὅτι αἱ ἄλλαι τῶν ἀράβων ἀπώλοντο σὺν αὐτοῖς.

[margin:] περὶ τοῦ κοπρωνύμου.

ut & illi territi aufugerent. Qui autẽ in Thracia erant Arabes, tanta fame premebantur, ut nullius animantis cadaueribus abstinerent, quin & humanis carnibus admouisse manus perhibentur. Preterea pestilentia eos inuasit, eorumq́ turbas cõfertim absumpsit. Ad hæc Bulgari, ut quidam autores sunt, eos aggressi, multa millia ferro trucidarũt. Interea Sergius Siciliæ prætor, cognita urbis obsidione Arabica, & imperij perturbatione, tyrannidem et ipse affectauit, non sibi ipsi usurpato imperij titulo, sed ministrorum suorum quendã Gregorium curauit à populo Imperatorẽ salutandum, nomine eius in Tiberium commutato, qui de Sergij sententia quosdã ad Magistratus euexit. Hoc nuncio Leo commotus, de opprimendo tyranno cogitans, Paulum Imperatorijs equisonibus prefectum, qui lingua Romana Chartularius dicitur, patricij dignitate ornatum, & Siciliæ prætorem designatũ, contra seditiosum misit, tradito edicto ad prouinciarum præsides, quibus eum adiutare iubebantur, scriptisq́ ad Siciliensem exercitum literis, quibus Romanam rem bene se habere significabat, Arabibus iam uictis & profligatis. Eas quoq; litteras Paulo tradidit, militibus reddendas. Quem cum ex insperato Siciliam tenuisse, ac Syracusas ingressum esse cognouisset Sergius: statim arrepta fuga uersus Longobardiam proficiscitur. Paulus uerò oratione apud milites habita, & literis imperatorijs recitatis, effecit, ut statim Imperatorẽ celebrarent, & Gregoriũ cum suis uinctos traderent. Gregorium itaq; sustulit, satellites eius flagris cæsos rasaq́ coma relegauit. Sergius promissa impunitate ad eum è Calabria uenit. Ita motus Siciliæ pacatus est. Arabes autẽ qui urbẽ obsidebant, pluribus malis acceptis quàm datis, reditũ adornarunt, & reliquis nauibus conscensis discesserũt, sed uehementi turbine exorto perierũt omnes cũ suis triremibus, x tantum nauibus exceptis, quarũ v à Romanis captæ sunt, Reliquæ elapsæ, cladis nunciæ domum redierunt. Natus autẽ est Leoni catulus patre crudelior, cuius matrem Mariam diademate ornauit, & puerũ in magna Ecclesia baptizauit, Cõstantini nomine indito: q cũ in sacrosancta illa aqua mergeretur, fertur excreuisse stercus, unde Copronymus est cognominatus. Sed & sanctissimũ Patriarchã Germanũ dixisse aiũt, Id signũ esse, q̃ is puer sacra cõtaminaturus esset, & pietatis studiosis magno malo futurus. Artemio Thessalonicæ degẽti Nicetes Xylinites magister, uir summæ autoritatis persuasit, ut ad Bulgaros cõfugeret, eorũq́ opera imperiũ recuperare conaretur. Quod cũ fecisset, & cũ magna eorũ multitudine Byzãtiũ uenisset, se à populo receptũ iri existimãs, nemo autẽ eũ curaret: Bulgari eo magna pecunia Leoni prodito domũ redierũt. Ille cũ Xylinite interfectus est, & Xylinitæ opes omnes

[margin:] Sergiana seditio in Sicilia opprimitur per Paulum quendam.

[margin:] Arabum in mari clades

[margin:] Constantinus Copronymus.

[margin:] Artemij & Xylinitæ interitus.

quæ

quæ magnæ erant, publicatæ. Sunt & alij ex Artemij coniuratis occisi, & præter cæteros summus Thessalonicensium sacerdos. Post hæc Leo filium suum imperatorem creat, festo coronationis à sancto Germano celebrato. Exinde cum Deo pugnare incipit, & contra uenerandas imagines insanire. Accersitoque Germano Patriarcha, negat colendas esse imagines, eatumque adorationem idololatriam uocat. At Diuus ille pater: Bona uerba, inquit, imperator: ita sentire noli. Nã ista cogitatio planè impia est. Scio equidem cantari, fore ut ista hæresis agitetur. Tu uerò illius autor esse noli. Nam Conon quidam eam auspicaturus esse dicitur. Tum ille statim: Ego, inquit, is sum, & non alius. Conon enim infans à parentibus meis sum appellatus: & inclytum Germanum assentiri nolentem, ac potius magno animo refragantem, & peruersam illam opinionem arguentem, Ecclesia eiecit, cum eam XV annos gubernasset, & Anastasium quendam sibi assentientem, Patriarchã designauit. Nunc unde Leo in istam opinionem adductus, & huc impietatis progressus fuerit, exponam.

Leonis pugna cũ imaginibus.

QVÆ LEONI IMPIETATIS occasio fuerit.

Hebræi duo prædicti imperij mercedem, abolitionem imaginum impetrant.

IZitho Arabum principatum modò adepto, Hebræi duo arte præstigiatores, etsi futurarum rerum ex astrologia prædictionem profiterentur: imperium & diuturnam uitam pollicebantur, si Christi & matris eius imagines è Christianis Ecclesiis eiecisset. Paret haud segniter Barbarus, omnesque uenerandas imagines in templis omnibus suæ ditionis abolet: nec multò pôst miserum diuina uindicta consequitur, anno nondum elapso mortuum. Cuius filius regni successor, cum falsos illos uates ob deceptum parentem ad supplicium quæritaret: illi iam in Isauriam transfugerant. Ibi cum in hunc Leonem tum adolescentem opificem incidissent, imperium ei Romanum prædicũt. Qui cum suam fortunam intuens, infinito intetuallo à tãto imperio seiunctam, illorum oraculis fidem abrogaret: illi euenturum id quod prædixissent, constanter asseuerabant, eumque iureiurando obstringebant, ut se, imperio potitus, uoti compotes redderet. Iurat ille se facturum. Potitum igitur, ut dictum est, Romano imperio, idque nouum iam annum tenentem, qui id ei uaticinati fuerant, conuenere, prædictionis mercedem flagitantes. Non recusat Leo, ac dicere iubet quid petant? At profani illi duo Iudæi, neque diuitias, inquiunt, postulamus, neque dignitatis alicuius fastigium ambimus, neque ullum Imperij splendorem, sed illud duntaxat, ut Nazareni & genitricis eius imagines ubique tollantur. Tum

καὶ ἡ τοῦ ξυλινίτου λεγομένου οὐσία πολλὴ δεδημευμένη ξύμπασα, καὶ ἄλλοι δὲ τῶν συνωμοτῶν τοῦ Ἀρτεμίου ἐκτεθνήκασι, πρὸς οἷς καὶ ὁ τῶν Θεσσαλονικέων ἀρχιερεύς. εἶτα τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον ὁ Λέων βασιλέα πεποίηκε, παρὰ τοῦ ὁσιωτάτου Γερμανοῦ τῶν ἐπὶ τῇ ταινιώσει τελεσθέντων. ἐντεῦθεν ὁ Λέων ἄρχεται τῆς θεομαχίας, καὶ περὶ τὸ σέβας τῶν ἁγίων εἰκόνων ἐλύττησε. καὶ τὸν πατριάρχην μεταπεμψάμενος Γερμανόν, μὴ δεῖν ἔλεγε τὰς εἰκόνας τιμᾶσθαι, εἰδωλολατρείαν γὰρ τὴν τούτων ἀπεκάλει προσκύνησιν. ὁ δὲ θεῖος ἀνὴρ ἐκεῖνος· εὐφήμει βασιλεῦ ἔφη, καὶ μὴ οὕτω φρόνει. ἀσεβὲς γὰρ ἀτεχνῶς τὸ φρόνημα. καὶ οἶδα μέν, ἀκηκοὼς τὸ μέλλειν κινηθῆναι ταύτην τὴν αἵρεσιν. ἀλλὰ μὴ σύγε ἴσθι ὁ ταύτης εἰσηγητής. Κόνων γάρ τις ὀνομαζόμενος ταύτης μέλλειν κατάρχεσθαι λέγεται. καὶ ὃς ὑπολαβὼν αὐτίκα φησίν, ἐκεῖνος ἐγώ εἰμι, καὶ οὐχ ἕτερος. Κόνων γὰρ παρὰ τῶν γονέων νηπιόθεν ὠνόμασμαι. τὸν μὲν οὖν ἀοίδιμον Γερμανὸν μὴ πεισθέντα συνθέσθαι τῇ γνώμῃ αὐτοῦ, μᾶλλον μὲν οὖν καὶ γενναιότατα ἀντιλέγοντα, καὶ τὴν αὐτοῦ κακοδοξίαν ἐλέγχοντα, τῆς ἐκκλησίας ἐξώθησεν, ἔτη ταύτην ἰθύναντα πεντεκαίδεκα, Ἀναστάσιον δέ τινα εἰς πατριάρχην ἑαυτῷ ὁμόφρονα προχειρίζεται. τοῦ δ᾽ οὖν οὕτω φρονῆσαι τὸν Λέοντα καὶ εἰς τοῦτο προελθεῖν ἀσεβείας, ἥκω τὴν αἰτίαν ἐρῶν.

ὅτι ἐστέφθη Κωνσταντῖνος ὁ Λέων.

ὅτι κατὰ τῶν ἁγίων εἰκόνων ὁ Λέων εἰς τὸ μανίας ἐξώκειλεν.

περὶ πατριαρχῶν.

ΟΘΕΝ Ο ΛΕΩΝ ΕΙΣ ΤΗΝ ἀσέβειαν προήχθη.

Ἰζὶδ τῶν Ἀράβων ἀρχὴν ἄρτι γεγονότος, καὶ τούτῳ προσίασιν Ἑβραῖοι δύο τὸ ἐπιτήδευμα γόητες, οἱ δὲ ἀστρολογίαν ἔλεγον μετιέναι, κἀντεῦθεν εἰδέναι τὰ μέλλοντα· καὶ τῷ Ἄραβι τὴν ἀρχὴν ἐπηγγέλλοντο καὶ τὴν ζωὴν πολυχρόνιον, εἰ τῶν ἐκκλησιῶν τῶν χριστωνύμων τὰ τοῦ Χριστοῦ καὶ τῆς αὐτὸν τεκούσης ἐκβαλεῖ ἐκτυπώματα. καὶ ὁ βάρβαρος οὐκ ἐμέλλησεν, ἀλλ᾽ ἐκ πάντων τῶν ἐν τῇ ὑπ᾽ αὐτὸν τελούσῃ χώρᾳ ναῶν τὰς σεπτὰς εἰκόνας ἠφάνισε· καὶ ἡ θεία δίκη τοῦτον μετῆλθεν οὐκ εἰς μακράν. οὔπω γὰρ παρῆλθεν ἐνιαυτός, καὶ ὁ δείλαιος τῆς ζωῆς ἐζημίωτο. ὁ δὲ τούτου παῖς τῆς ἀρχῆς διάδοχος γεγονώς, τοὺς ψευδομάντεις ἐκείνους ἐζήτει τῶν ὡς τὸν τεκόντα ἀπατήσαντας τίσασθαι προθυμούμενος. ἀλλ᾽ ἔφθησαν ἐκεῖνοι φυγὴν ἐντεῦθεν, καὶ εἰς Ἰσαυρίαν κατήντησαν. ἐνθάδε περιτυχόντες τούτῳ τῷ Λέοντι νεανίᾳ τυγχάνοντι βαναύσῳ τὸ ἐπιτήδευμα, τὴν τῶν Ῥωμαίων προμαντεύονται βασιλείαν. τοῦ δὲ πρὸς τὴν οἰκείαν ἀφορῶντος τύχην, ἀφεστηκυῖαν πάνυ που πόρρω τοιαύτης ἀρχῆς, καὶ τοῖς ἐκείνων διαπιστοῦντος χρησμοῖς, ἐκεῖνοι συμβήσεσθαι τὴν πρόρρησιν ἀπισχυρίζοντο κραταιῶς, καὶ ἀπῄτουν αὐτὸν δι᾽ ὅρκων πληροφορῆσαι αὐτούς, ὅτι τυχὼν τῆς βασιλείας, δώσει σφίσιν ὃ ἂν αἰτήσωνται. καὶ ὃς ὄμνυσιν, ἢ μὴν τῆς βασιλείας τυχὼν ἐντελῆ αὐτῶν ποιῆσαι τὴν αἴτησιν. ὁ μὲν οὖν ὃν εἴρηται τρόπον τῆς τῶν Ῥωμαίων ἡγεμονίας ἐκράτησεν. οἱ δὲ τούτῳ ταύτην προμαντευσάμενοι, δεύτερον ἤδη ἔτος τῆς αὐταρχίας ἄγοντι προσῆλθον αὐτῷ, καὶ ὅπως ἀποδῶναι αὐτοῖς τὸν τῆς προρρήσεως μισθόν. καὶ ὁ Λέων ἕτοιμος ἦν πρὸς τοῦτο, καὶ λέγειν ἠξίου, τί τὸ αἰτούμενον; καὶ ἡ βέβηλος ἐκείνη τῶν Ἰουδαίων δυάς, ὅτι πλοῦτον, εἶπε, δοθῆναι ἡμῖν ἐξαιτούμεθα, οὔτε πρὸς δόξης ἀναχθῆναι περιωπὴν οὔθ᾽ ἕτερόν τι τῆς βασιλείας λαμπρόν, ἀλλ᾽ ἢ μόνον τὰ τοῦ Ναζωραίου καὶ τῆς αὐτὸν τεκούσης περιαιρεθῆναι πανταχόθεν ἐκτυπώματα. καὶ ὡς ἀβέβαιος

ὢν πάλαι

ὅτι οἱ τὴν βασιλείαν προμαντευσάμενοι Ἑβραῖοι τῷ Λέοντι, τὴν τῶν ἁγίων εἰκόνων καθαίρεσιν ᾔτησαν.

ὧν περὶ τὴν πίστιν, ὥσπερ τι τῶν εὐκόλων καὶ ῥᾴστων τοῦτο ποιῆσαι συνέθετο· καὶ τοῦ δεκάτου ἄρτι γενομένου τῆς αὐτοῦ τυραννίδος ἀρξάμενος, καὶ τοῦ θεομαχεῖν ἤρξατο, καὶ μετὰ φρικώδους βρυχήματος κατὰ τῶν σεπτῶν εἰκόνων ἐχώρησε, καὶ διωγμὸν βαρύτατον ἤγειρε, πολλούς τε ἀνθισταμένους τῇ ἐξαγίστῳ γνώμῃ αὐτοῦ ἐκόλασε, καὶ μάρτυρας ἀπειργάσατο, πρὸς δὲ τοῖς ἄλλοις, οἷς κατὰ τῶν εὐσεβούντων ἐτόλμησε, καὶ τοῦτο πεποίηκεν. οἶκος ἦν ἐν τῇ καλουμένῃ βασιλικῇ ἐγγίστα τῶν χαλκοπρατείων βασίλειος, ἐν ᾧ καὶ βίβλοι τῆς τε θύραθεν σοφίας, καὶ τῆς εὐγενεστέρας καὶ θειοτέρας πολλαὶ ἀπέκειντο. ἦν δ' οὗτος ἀνέκαθεν τῷ προύχοντι ἐν λόγοις κατοικητήριον, ὃν οἰκουμενικὸν ἐκάλουν διδάσκαλον. ὃς καὶ δώδεκα ἄχρι ἑτέρους συνοικοῦντας αὐτῷ, ἐκ πάντων τῆς λογικῆς παιδείας μετέχοντας κατὰ τὸ ἀκρότατον. τούτους καὶ σιτήσεις ἀνέκειτο δημόσιαι. καὶ παρ' αὐτοὺς ἐφοίτων οἷς ἔμελε λογικῆς παιδείας καὶ γνώσεως. οὓς καὶ οἱ βασιλεύοντες συμβούλους ἐν τοῖς πρακτέοις ἐποιοῦντο. τούτους οὖν εἰ ἕλοι, ᾤετο τῆς ἑαυτοῦ πειθομένους γνώμης, ἅπαν τὸ πᾶν κατεργάσασθαι. καὶ τοὺς ἄνδρας μετακαλεσάμενος, τὴν περὶ τῶν σεβαστῶν γνώμην αὐτοῦ τὴν πονηρὰν αὐτοῖς ἐκοινώσατο. οἱ δὲ οὐχ ὅπως οὐχ ὡμολόγησαν αὐτῷ, ἀλλὰ καὶ αὐτὸν μεταστῆσαι τῆς γνώμης ταύτης ἐπεχείρουν ὁλοσχερῶς, τῇ μὲν καταψῶντες τὸν θῆρα τὸν λεοντώνυμον, καὶ κατεπᾴδοντες αὐτοῦ τὰ σωτήρια, τῇ δὲ γενναιότερον ἀντιβαίνοντες, καὶ διελέγχοντες αὐτοῦ τὴν ἀσέβειαν. ὁ δὲ ὡσεὶ ἀσπὶς ἔβυε τὰ ὦτα, καὶ φωνῆς ἐπαδόντων οὐκ ἤκουεν, οὐδ' ἐφαρμακεύετο παρὰ τῶν σοφῶν. πολλάκις οὖν αὐτοῖς προσομιλήσας, καὶ τὴν αὐτῶν μετάθεσιν ἀπογνούς, τοὺς μὲν ἀφῆκεν εἰς τὴν σφετέραν πορευθῆναι διατριβὴν τὸν οἶκον ἐκεῖνον δηλαδὴ τὸν βασίλειον. αὐτὸς δὲ κελεύσας ἐν κύκλῳ ὕλην συναχθῆναι πολλήν, καὶ περὶ τὸν οἶκον τεθεῖσαν ἀναφθῆναι νύκτωρ, οὕτω τόν τε οἶκον σὺν ταῖς βίβλοις καὶ τοὺς σοφοὺς ἐκείνους ἄνδρας καὶ σεβασμίους κατέκαυσε. διὰ ταῦτα ὁ τῆς πρεσβυτέρας τότε ῥώμης τὴν ἐκκλησίαν ἰθύνων γρηγόριος, τῆς πρὸς τὸν τῆς νέας ῥώμης προεδρεύοντα, καὶ τοὺς ἐκείνῳ ὁμόφρονας ἀποστὰς κοινωνίας, ἐκείνους μὲν σὺν τῷ βασιλεῖ, συνοδικῷ καθυπέβαλεν ἀναθέματι, τοὺς δὲ μέχρι τότε τῇ βασιλείᾳ κομιζομένους ἐκεῖθεν φόρους, ἐπέσχε, τοῖς φράγγοις σπεισάμενος, ὅθεν αὐτοῖς ἀφορμὴ γέγονε τοῦ κυριεῦσαι τῆς ῥώμης. οὐ γὰρ τοῦ τῶν ῥωμαίων γένους οἱ φράγγοι, ἀλλὰ γερμανικὸν ἔθνος τούτους εἶναί φησι, τὴν ποικίλην ἱστορίαν ὁ καισαρεὺς προκόπιος συγγραψάμενος, περὶ τὸν ῥῆνον ποταμὸν ᾠκηκότας καὶ τὸν ῥοδανὸν καὶ τὰς ἐκεῖσε λίμνας πάλαι κατῳκημένον. τοῦ δὲ βελισαρίου στρατηγοῦντος ῥωμαίων ἐπὶ τοῦ προτέρου ἰουστινιανοῦ, καὶ γότθοις ἀντιπολεμοῦντος περὶ ἰταλίας καὶ τῶν ἐν ταύτῃ πόλεων καὶ τῆς ῥώμης αὐτῆς (παρὰ γὰρ τῶν γότθων κατείχοντο) τότε καὶ τοὺς φράγγους ἱστορεῖ τῇ ἰταλίᾳ ἐπιβαλεῖν. τοὺς μέντοι γότθους μὴ οἵους τε ὄντας ῥωμαίοις καὶ τοῖς φράγγοις ἀντικαθίστασθαι, πρὸς τοὺς φράγγους θέσθαι σπονδάς, καὶ τὸν πρὸς ἐκείνους διαλύσασθαι πόλεμον, παρακεχωρηκότας αὐτοῖς τῶν γαλλιῶν, ὅσαι περ αὐτοῖς προσεγίνοντο. καὶ τὴν πρᾶξιν ταύτην, καὶ αὐτὸν ἐπιρρῶσαι τὸν ἰουστινιανὸν βασιλέα γραφῇ, τοῦτο δεηθέντων τῶν φράγγων, πραγματευόμενον τὸ μὴ ῥωμαίοις πολεμοῦσι πρὸς γότθους ἐναντιοῦσθαι τοὺς φράγγους, ἀλλ'

ille parũ firma fide præditus, quasi res leuis ac facilima esset, se ita facturum pollicetur, & decimum suæ tyrannidis annum auspicans, unà etiam bellum contra Deum auspicatur, & cum terribili rugitu uenerandas imagines inuadit, grauissimam'que persequutionem excitat, multos detestandæ suæ uoluntati aduersantes punit, ac martyres facit. Ac præter cætera, quæ in pios ausus est, illud etiam designauit. Domus erat in Basilica proximè forum ærarium regia, in qua multi codices & humanæ, & generosioris ac diuinæ sapientiæ asseruabantur, ab antiquis temporibus ei ad habitandum attributa, qui eruditione excelleret, quem œcumenicum doctorẽ appellabãt. Is XII contubernales habebat excellenter eruditos. His publicus uictus præbebatur: hos eruditionis & cognitionis auidi accedebãt: hos, Imperatores ad rerũ gerendarũ cõsilia adhibebãt. Eos Leo si cepisset, & in suã sententiam pertraxisset, omnia sibi confecta fore putabat. Accersit igitur uiros, improbam'que suam de uenerandis imaginibus opinionem cum eis communicat. Qui adeò non sunt assensi, ut & ipsum ab ea opinione prorsus abducere conarentur, partim demulcendo feram illam, & salutaribus carminibus incantando, partim confidentius aduersando, & eius impietatem coarguendo. Sed ille instar aspidis obturabat aures, & uocem incantantis non admittebat, neque medicinam accipiebat à sapientibus. Quum igitur sæpe cum eis egisset, persuadendi spe abiecta: eos domum dimisit in ædes illas regias, multam'que materiam aridam circum eos collocatam noctu incendi iussit, atque ita ædes cum libris, & doctos illos ac uenerabiles uiros combussit. Qua de causa Gregorius, qui tum Romæ ueteris Ecclesiam gubernabat, repudiata societate præsidis nouæ Romæ, necnon eorum qui illum sequerentur, illos unà cum imperatore synodico anathemate obstrinxit, & uectigalia quæ ad id usque tempus imperio inde pendebantur, inhibuit, icto cum Francis fœdere. Vnde illi occupandæ Romæ occasionem habuerunt. Neque enim Romani generis sunt Franci, sed (ut in Varia historia tradit Cæsariensis Procopius) gens Germanica, quæ olim circa Rhenum flumen & Rhodanum & paludes illorum locorum habitauit. Cum autem Bellisarius sub priore Iustiniano ductaret exercitum, & cum Gothis de Italia & urbibus Italicis, ipsaq; Roma, quæ tum à Gothis tenebantur, decertaret: tum Francos etiam narrat Italiã inuasisse: & Gotthos qui simul & Romanis & Francis resistere non possent, cum his, omisso bello, pacem fecisse, concessis Gallijs quæ eis accesserant: atque id factum, ipsum etiam Iustinianum, Francis petentibus, imperatorijs literis confirmasse, eo consilio, ne Romanis Gotthos oppugnantibus impedi-

Oecumenicus magister cũ duodecim collegis exustus.

Gregorius Papa Romanus ab imperatore deficit, & pacem cũ Frãcis facit.

Galliæ à frãcis occupatæ.

mento essent, sed eius confirmationis gratia, pacem agerent. Vnde Germani Massiliam Phocæensium coloniã & loca maritima omnia occuparint, & illo mari sint potiti, & magnam etiam Venetiarum partem obtinuerint. Ita Francos cum in Italorum uicinia consedissent, ab eo tempore non destitisse finitimos Romanos bellis lacessere, eorumq́ prouincias populari. Igitur Papa Gregorius deserta imperatoris obedientia, ut dictum est, ob peruersam illius opinionem, pacem cum Francis fecit, quum prius sæpe dedisset operam, ut Leonem per literas ab odio Dei reuocaret, atque ad cultum sacrarum imaginum reduceret. Sed id planè erat Æthiopem lauare. Tantum enim aberat ut resipisceret, ut etiam furore contra Orthodoxos percitus, multos supplicio afficeret, & confessionis coronis ornaret. Calabros & Siculos nouis tributis onerauit, ac more Iudaicô tributum capitum pendere, & mares qui apud illos nascebantur, describi iussit. Filio iam adulto filiam Chagani Scytharum ducis despondit, eamq́ baptizatam Irenem uocauit, quæ mariti errorem non amplexa est, sed pium dogma quo imbuta fuerat, constanter tenuit. Terræmotu uehementi multa templa & domus Byzantij corruerũt, magna hominum multitudine ruinis oppressa. Tunc & Arcadij statua in Xerolophi columna posita concidit, & Theodosij statua in aurea porta & obuersa continenti urbis mœnia. Corruerunt & Nicomedia & Nicæa, Bithyniæ metropoles. Ruinam murorum tyrannus Leo ad lucri occasionem detorsit. Nam urbano populo per præconem edixit, cum mœnia celeriter instaurare nõ posse, neque uerò expedire ciuitati, ut diu mœnibus careat, itaq́ se iussisse publicis tributis accessionem adiungi, uicenos quaternos denariolos in singula nomismata: quibus in fiscum relatis, mœnia sumptibus imperatorijs instaurentur. Ea exactio ab illo tempore etiam nunc durat. Sic infelix Leo, quum in Reipublicæ perniciem annos uigintiquatuor imperasset, ex morbo intestinorum animam infeliciter eructauit.

Constantini nuptiæ.

Terræmotus.

Tributum nouum.

Obitus Leonis.

IMPERIVM CONSTANTINI Copronymi.

Elogia Copronymi.

Romanum imperium unà cum paterna impietate ignominiosus eius filius suscepit, qui patris improbitatem longo interuallo superare studuit. Neq; enim contra uenerabiles imagines duntaxat insanijt, sed & præstigijs fuit deditus, & uictimarum dissectionibus, & euocationibus manium, alijsq; infandis rebus. Denique nullo scelere abstinuit, non uniformi, sed multiplici improbitate præditus, non Christianus, non paganus, non Iudæus, sed colluuio quædam impietatis, instar Africa-

ἄναι τὰ πρὸς ῥωμαίους τούτοις διὰ τὴν ἐπικουρίαν φίλια. καὶ τότε δὴ οἱ γερμανοὶ μασσαλίαν τὴν φωκαίων ἀποικίαν, καὶ τὰ ἐπὶ θαλάσσῃ χωρία χειρώσαντο, καὶ ἔτι ἐκεῖ κρατῆσαι θαλάσσης, πολλὰ δὲ καὶ τῶν βενετιῶν κατασχεῖν. οὕτως οὖν οἱ φράγγοι ἐπικλυσθέντες τοῖς ἰταλοῖς, τὸ λοιπὸν ἔκτοτε ἀπέχοντες τοῖς ἐκείνων ῥωμαίοις, καὶ τὰ ὑπ' αὐτοὺς ληΐζονται. ἀποστατήσας οὖν, ὡς εἴρηται, τῆς τοῦ βασιλέως ὑπακοῆς ὁ πάπας γρηγόριος, διὰ τὴν ἐκείνου κακοδοξίαν, τοῖς φράγγοις ἐσπείσατο, πρότερον πολλάκις διὰ γραμμάτων ἐκβιάσας λέοντα τῆς μισοθείας μετανοῆσαι, καὶ μεταπεῖσαι τὰς ἱερὰς εἰκόνας σεβάζεσθαι. ἀλλ' ἐῴκει σμήχειν αἰθίοπα. οὐ μόνον γὰρ ὀρθὸν οὐδέποτε ἐφρόνησεν, ἀλλὰ καὶ ἐκμανεὶς κατὰ τῶν ὀρθοδόξων, πολλοὺς ἐκόλασε, καὶ ὁμολογίας στεφάνων ἠξίωσε. ἔτι τε καλαβροὺς καὶ τοὺς σικελοὺς φόροις νέοις ἐβάρυνε, καὶ κεφαλητίωνα τελεῖν κατὰ τοὺς ἰουδαίους δογματίσας αὐτοὺς, καὶ τὰ παρ' αὐτοῖς τικτόμενα ἄρρενα ἀπογράφεσθαι. ἤδη δὲ τοῦ υἱοῦ αὐτοῦ κωνσταντίνου τελοῦντος εἰς μείρακας, ζεύγνυσιν αὐτῷ γαμετὴν τὴν θυγατέρα χαγάνου τοῦ τῶν σκυθῶν ἡγεμονεύοντος, βαπτίσας αὐτὴν, καὶ ὀνομάσας εἰρήνην, ἥτις οὐ συναπήχθη τῇ τοῦ ἀνδρὸς κακοδοξίᾳ, ἀλλὰ μυηθεῖσα τὸ δόγμα τὸ εὐσεβὲς, ἔμεινεν ἀμετάτρεπτος. σεισμοῦ δὲ συμβεβηκότος σφοδροῦ κατὰ τὸ βυζάντιον, ναοί τε πολλοὶ καὶ οἰκίαι συνέπεσον, καὶ πλῆθος ἀνθρώπων συγκέχωσται τοῖς συμπτώμασιν. ὅτε καὶ ὁ τοῦ ἀρκαδίου στύλος ἐπὶ τοῦ ξηρολόφου κίονι ἱδρυμένος κατέπεσε, καὶ ὁ ἐν τῇ χρυσῇ πόρτῃ ἀνδριὰς τοῦ μεγάλου θεοδοσίου, ἀλλὰ μὴν καὶ τὰ κατὰ τὴν χέρσον τείχη τῆς πόλεως, ἔτι τε νικομήδεια πόλις καὶ πρὸς ταύτῃ ἡ νίκαια αἱ μητροπόλεις αἱ βιθυνίας. καὶ τὴν οὖν τῶν τειχῶν κατάπτωσιν ὁ τύραννος λέων κέρδους μελετήσας θήραμα λαβεῖν, διακηρύττεσθαι πρὸς τὸν δῆμον τῆς πόλεως, ὡς ὑμεῖς οὐκ ἂν δυνηθείητε ταχέως ἀνεγεῖραι τὰ τείχη, εἰς συμφορὰν δ' ὑμῶν ἐπὶ πολὺ μένειν τὴν πόλιν ἀτείχιστον. διὸ προστέτακται παρ' ἡμῶν προσθήκην ἐν τοῖς δημοσίοις φόροις γενέσθαι, φόλλεις εἴκοσι καὶ τέσσαρας ἐφ' ἑκάστῳ νομίσματι, ἵνα τούτων ὑπὸ βασιλεῖ παρεχομένων, τὰ ὑποκλασθέντα τῶν τειχῶν ἀνακαινισθῶσιν ἐξ ἀναλωμάτων βασιλικῶν, ἐκ τότε τοίνυν καὶ μέχρι τοῦδε ἡ εἴσπραξις ἐπικρατήσασα αὕτη. οὕτως οὖν ἐπὶ κακῷ τῆς πολιτείας, ὁ δείλαιος λέων βασιλεύσας ἔτη τέσσαρα πρὸς τοῖς εἴκοσι, δυσεντερίᾳ νοσήσας, ἀθλίως τὴν ψυχὴν ἐξερεύξατο.

οἷα κατὰ τῶν ὀρθοδόξων ἐποίησεν ὁ λέων. καὶ ὅτι τὴν τοῦ χαγάνου θυγατέρα ἔγημεν ὁ κοπρώνυμος.

ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΚΟπρωνύμου.

ἄνω δ᾽ ὁ μο- νοειδὴς ἄλλος.

Διεδέξατο δὲ τὴν τῶν ῥωμαίων ἀρχὴν μετὰ τῆς πατρικῆς δυσσεβείας ὁ δυσώνυμος ἐκείνου υἱὸς, ὃς ὑπερβαλέσθαι τὸν πατέρα πολλῷ τῷ μέσῳ πρὸς ἀσέβειαν ἐφιλονείκησεν, οὐ κατὰ τῶν σεπτῶν εἰκόνων λυττήσας μόνον, ἀλλὰ καὶ γοητείαις προσκείμενος, καὶ ἱερείων ἀνατομαῖς, καὶ νεκυομαντείαις, καὶ ἀρρητοποιίαις, καὶ ὅλως οὐδενὸς κακοῦ ἀπεχόμενος, καὶ ποικίλος ὢν τὴν κακίαν, καὶ οὐ μονοειδής. οὐ γὰρ χριστιανὸς, οὐχ ἕλλην, οὐκ ἰουδαῖος ἐτύγχανεν ὤν, ἀλλ' ἀσεβείας τις κυκεὼν, καὶ

καὶ οἷα τὰ λιβυκὰ θηρία ἱστοροῦσι φύεσθαι ἐκ μίξεως ἑτερογενῶν, πολυειδῆ καὶ σύμμικτα τὴν ἰδέαν καὶ τὴν θηριωδίαν γινόμενα. διὰ ταῦτα πρὸς πάντων μισούμενος, καὶ κατὰ τὸ δεύτερον ἔτος τῆς τυραννίδος αὐτοῦ (οὐ γὰρ φαίην ἂν βασιλείας) ἐκστρατεύσας κατὰ ἀράβων, καὶ ἐν τῷ θέματι τοῦ ὀψικίου γενόμενος, οὗ δὴ θέματος τὴν ἀρχὴν ὁ γαμβρὸς αὐτοῦ πηδαλίζων ὁ κουροπαλάτης ἀρτάβασδος, ἐπιβουλεύει τούτῳ δὴ τῷ οἰκείῳ γαμβρῷ. οἵ τε γὰρ τῆς γερουσίας καὶ οἱ τοῦ δήμου, ἀλλὰ μὴν καὶ τὸ στρατιωτικὸν, ἀπεχθανόμενοι τῷ κωνσταντίνῳ, ὡς εἴρηται, τῷ ἀρταβάσδῳ ὀρθοδόξῳ τυγχάνοντι, τὴν βασιλείαν ἐπεψηφίζοντο. γνοὺς τοίνυν τὴν ἐπιβουλὴν ὁ ἀρτάβασδος, καὶ διαλεχθεὶς τῷ λαῷ, ἐπιτίθεται τῷ κωνσταντίνῳ. ἀλλ' ἔφθη διαφυγὼν ὁ κοπρώνυμος, καὶ εἰς τὸ ἀμόριον προσφυγὼν, καὶ διαπεμψάμενος πρὸς τὸν τῶν ἀνατολικῶν στρατηγὸν τὸν λαγκινὸν, καὶ πρὸς τὸν τοῦ θρακησίου τὸν σισιννάκιον, λαμπραῖς ὑποσχέσεσιν ἔπεισεν αὐτοὺς συμμαχῆσαι αὐτῷ. ἐντεῦθεν ἐμφύλιοι πόλεμοι, καὶ ὑπ' ἀλλήλων οἱ ῥωμαῖοι ἐφθείροντο. ἕκαστοι γὰρ τοῦ σφετέρου βασιλέως ἀντείχοντο, ἐπειδὴ ἀνερρήθη ἤδη καὶ ὁ ἀρτάβασδος βασιλεύς. κατὰ δὲ τὴν τῶν πόλεων βασιλεύουσαν τῶν δημοσίων οἰκονόμος πραγμάτων παρὰ τοῦ κωνσταντίνου ὁ μάγιστρος θεοφάνης ἐλείφθη, ὃς τῷ ἀρταβάσδῳ προσκείμενος, καὶ γραφὴν ὑπ' ἐκείνου δεξάμενος, δημοσίᾳ θανεῖν τὸν κωνσταντῖνον ἐκήρυξε, καὶ τὸν ἀρτάβασδον ὑπὸ τῶν στρατευμάτων αἱρεθῆναι εἰς βασιλέα. καὶ οὕτως ὁ δῆμος τῆς πόλεως εἰς τὴν μεγάλην ἐκκλησίαν συναθροισθεὶς, τὸν μὲν κωνσταντῖνον ἀναθέματι καθυπέβαλον, εὐφήμουν δὲ τὸν ἀρτάβασδον, τούτοις συνευδοκοῦντος καὶ τοῦ πατριάρχου ἀναστασίου. δεχθεὶς δὲ ὁ ἀρτάβασδος, καὶ παρὰ πάντων βασιλεὺς ἀναγορευθεὶς, αὐτίκα τὰς σεβασμίους εἰκόνας πανταχοῦ ἀνεστήλωσεν. ὁ δὲ πατριάρχης ἀναστάσιος διόμνυτο, λέγων αὐτῷ τὸν κοπρώνυμον, ὅτι ὁ χριστὸς οὐχ υἱὸς ἐστὶ τοῦ θεοῦ, ἄνθρωπος δὲ ψιλὸς, ἐκ τῆς μαρίας γεννηθεὶς, ὡς ἐγὼ ἐκ τῆς ἐμῆς μητρὸς ἐτέχθην μαρίας. ἐξελθόντος δὲ τῆς μεγαλοπόλεως τοῦ ἀρταβάσδου, μάχαι πάλιν ἐγένοντο, ὁ δὲ κωνσταντῖνος ἐκ χαλκηδόνος περαιωθεὶς, τὴν πόλιν ἐπολιόρκει, περὶ τὰ χερσαῖα τείχη βαλόμενος χάρακα. προσβαλὼν δὲ τούτῳ καὶ ἡττηθεὶς ὁ ἀρτάβασδος, τῆς πόλεως ἔνδον συνέκλεισεν ἑαυτὸν, καὶ τοῦ ταύτην φρουρεῖσθαι ἀσφαλῶς ἐπεμέλετο. τοῦ δὲ κοπρωνύμου θαλασσοκρατοῦντος, καὶ μὴ ἐῶντος τὰς φορτηγοὺς ὁλκάδας ἐν τῇ πόλει κατᾶραι, λιμὸς τοὺς ἐν ταύτῃ ἐπίεζεν, ὥς τε πολλοὺς ἐκ τούτου ἀπόλλυσθαι. καὶ τὸν τοῦ ἀρταβάσδου υἱὸν νικήσας συνέσχε, καὶ πεδήσας ἐδείκνυεν αὐτὸν τῷ πατρί. εἶτα προσβαλὼν αὖθις τῇ πόλει, βαβαὶ τῶν ἀνεξιχνιάστων θείων κριμάτων, ταύτης ἐκράτησεν. ὁ δὲ ἀρτάβασδος ἀποδρὰς, εἰς φρούριόν τι τοῦ θέματος τοῦ ὀψικίου συνέκλεισεν ἑαυτὸν, καὶ καταληφθεὶς, ἐκτυφλοῦται τοὺς ὀφθαλμούς. σὺν τοῖς δυσὶν υἱοῖς αὐτοῦ καὶ τῶν συμμαχησάντων αὐτῷ πολλοὶ ἀνῃρέθησαν παρὰ τοῦ κοπρωνύμου, καὶ πρὸ τῶν ἄλλων βακτάγγιος ὁ πατρίκιος, ἐπίσημος ἀνὴρ, οὗ τὴν γυναῖκα μετὰ πλείστους χρόνους ἐβιάσατο ὁ τύραννος ἀπελθεῖν εἰς τὴν χώραν, ἔνθα ἐκεῖνος ἐτέθαπτο, καὶ ἀνασκάψαι τὰ τοῦ ἀνδρὸς αὐτῆς ὀστᾶ, καὶ δι' ἑαυτῆς ἀπενεγκεῖν αὐτὰ, καὶ ῥῖψαι εἰς τὰ πελάγια, ἔνθα ἐρρίπτοντο οἱ πολέμιοι καὶ κατάκριτοι. ἁμίλλης δὲ τελουμένης ἱππικῆς τὸν ἀρτάβασδον καὶ τοὺς παῖδας αὐτοῦ ἐν μέσῳ τοῦ θεάτρου

Ἐπανάστασις τοῦ ἀρταβάσδου κατὰ τοῦ κοπρωνύμου.

Ἐπὶ κοπρωνύμου φυγόντος εἰς θρᾴκην, τὸν ἀρτάβασδον, καὶ τοὺς υἱοὺς αὐτοῦ ... ἐκτυφλωθῆναι ...

narum ferarum, quæ ex diuersi generis coitu multi formes confusaque specie & immanitate nasci perhibentur. Atque ob hæc omnibus inuisus fuit. Secundo anno tyrannidis suæ (neque enim regni dixerim) expeditione contra Arabes suscepta, cum ad opificij prouinciam peruenisset, cui prouinciæ affinis eius Artabasdus Curopalates præerat, illi affini suo insidias struxit. Nam senatus & populus atque etiam legiones, cum, ut dictum est, Constantinum odissent, Artabasdo ut orthodoxo imperium decernebant. Verum Artabasdus animaduersis insidijs, oratione apud populum habita, Constantinum aggreditur. Sed effugit Copronymus, & Amoriũ se contulit, missisque ad ducem orientis Laucenũ, & ad Thracensem Sisinnacium legatis, magnificis pollicitationibus impetrauit, ut secum militarent. Hinc ciuilia bella orta sũt, & Romani sese mutuis cædibus confecerunt. Nam utrique suo Imperatori adhærebant, & Artabasdus etiã imperator iam declaratus erat. In urbe regia Cõstantinus Theophanẽ magistrum, rerũ administratorem reliquerat: qui Artabasdo deditus, acceptis ab eo literis uulgabat, Constantino publicè interfecto, Artabasdũ à legionibus creatũ esse Imperatorem. Sic urbana multitudo in magna Ecclesia cõgressa, Constantinũ anathemate notauit, & Artabasdũ laudibus prosecuta est, eadem hæc & Anastasio Patriarcha comprobante. Artabasdus igitur susceptus, & ab omnibus Imperator salutatus, statim uenerandas imagines ubique erexit. Anastasius autem Patriarcha iureiurando affirmauit, dixisse Copronymum, Christum non esse filium Dei, sed nudum hominẽ ex Maria natum, quemadmodũ ipse è sua matre Maria natus esset. Artabasdo urbem egresso, denuò pugnæ committebantur, & Constantinus Chalcedone transuectus, iacto circa terrestria mœnia uallo, urbem obsedit. Cum eo congressus Artabasdus & uictus, in urbe se cõclusit: & ut ea diligenter custodiretur, operam dedit. Sed quia Copronymus mare tenebat, neque onerarias naues in urbe appellere patiebatur, fame laboratũ est, multique ciues perierũt. Idẽ Artabasdi filium nactus, in compedes cõiectum patri ostendebat. Deinde rursus tentata oppugnatione, ô inscrutabilia Dei iudicia, urbe potitus est. Sed Artabasd⁹ elapsus, in castellũ quoddã prouinciæ Opsicij se recepit. Vbi comprehensus cum duobus suis filijs excæcatur. Sunt & fœderatorum eius multi à Copronymo interfecti, & præ cęteris Bactangius Patricius, uir illustris, cuius uxorem post plurimos annos in eam regionem abire coëgit tyrannus, ubi ille sepultus erat, & refossa mariti sui ossa ipsam afferre, & proijcere in Pelagium, quò hostea & condemnati abijciebantur. Quum ludi equestres agerentur, Artabasdo & filijs eius in medio theatro circũductis trium-

Bellum ciuile inter Copronymum & Artabasdum.

Artabasdus cæcatur.

In Bactangij cadauer sæuitia.

phauit. Sed & Anastasium Patriarcham à Dippio duci iussit asino insidentem, facie uersus caudam conuersa, & ignominiosum de eo triumphum egit, prius publicè uerberato.

Germani prædictio Anastasio.

Sic inclyti Patriarchæ Germani prædictio ipso opere est cōprobata. Nam cum aliquando eum à tergo sequeretur Anastasius, & uestem eius pedibus calcasset, conuersus Sanctus Germanus, Ne, inquit, festina, Dippium te expectat. Eum post ignominiosam circumductionem, ut assensorem suum, iterum Ecclesiam tenere, & sacris operari passus est.

Expeditio Syriaca.

Arabibus inter se dissentientibus, & bello intestino occupatis: Copronymus, arrepta occasione, Syriæ bellum infert, & Germaniciam capit.

Terræmotus.

In Palæstina & Syria maximo terræ motu multæ & Ecclesiæ & Monasteria & ædes corruerunt, multaque hominum millia perierunt, non ruina tantum, sed & pestilentia,

Pestilentia.

in Sicilia, Calabria, Græcia & aliis prouinciis, quæ ipsum usque Byzantium est grassata, ac tanta fuit morientium multitudo, ut efferri non possent, sed plura cadauera simul curribus imposita eueherentur.

Leo Copronymi filius.

Copronymo Chagani filia peperit filium, eum Leonem uocauit & imperatorem appellauit, coronatum ab Anastasio Patriarcha eiusdem opinionis. Potitus est Copronymus & Theodosipoli & Melitina: quo successu elatus, acerbior in Ecclesiam & orthodoxam fidem euasit: edictis propositis, quibus uulgi fecem in sententiam suam impietatis plenam pertraherēt. Tunc & Patriarcha Anastasius cum Ecclesia per annos uigintiquatuor impiè insultasset, uitam cum morte commutauit.

Synodus cōtra imagines.

Copronymus autem multis episcopis sibi suffragantibus conuocatis, quorum princeps erat Theodosius Ephesinus, & Pastilas Perganus, per eos quicquid libuit, decreuit, nemine uel ex uetere Roma, uel ex aliis Patriarchis præsente. Eum concursum profanorum hominum, Synodum œcumenicam appellare non dubitauit:

Cōstantinus patriarcha.

cum quibus ædem sacrosanctam Deiparæ Blacherniam ingressus, conscenso suggesto, & Constantino quodā monacho, qui Sylæi Episcopus fuerat, illuc collocato, exclamauit: Cōstātinus œcumenicus Patriarcha multos uiuat annos. Post paucos dies tyrannus in forum uenit, cum patriarcha suo, & sectatoribus episcopis, qui corā omni populo uenerādarum imaginū adorationem interdixerunt, Idololatris iis appellatis, qui eas colerent, & anathemate notarunt inclytum Germanum, & Georgium Cyprium, qui Constantinopolitanus Patriarcha fuerat, & doctrina uirtuteque præstantē Ioannē Damascenū, qui hunc Dei hostē & patrē eius per literas sæpe impietatis arguit.

Bulgarica clades.

Bello cōtra Bulgaros moto Cōstātinus, cōmissoque prælio uictus, multis nō gregariis duntaxat militibus, sed illustribus etiam uiris & tribunis amissis, cladem domū retulit.

διαγαγὼν ἐθριάμβευσε. ἀλλὰ μὴν καὶ τὸν πατριάρχην Ἀναστάσιον ἀπὸ τοῦ Διππίου ἀχθῆναι κελεύσας ὄνῳ ἐποχούμενον ἀντιπρόσωπος, ἵν᾿ ὁρᾷ πρὸς οὐράν, ἀτίμως οὕτω καὶ αὐτὸν ἐθριάμβευσε, πρότερον δημοσίως τυφθέντα. ὥστε τὴν πρόρρησιν τοῦ ἀοιδίμου πατριάρχου Γερμανοῦ εἰς ἔργον ἐκβῆναι. ὄπισθεν γάρ ποτε τοῦ ἐρρημένου πατριάρχου βαδίζοντος τοῦ Ἀναστασίου, καὶ πατήσαντος τὸ ἐκείνου ὠμοφόριον, στραφεὶς ὁ ἱερὸς Γερμανός, ἔφη, μὴ σπεῦδε, τὸ Διππίον σε ἐκδέχεται. ὃν καὶ μετὰ τὴν ἄτιμον περιαγωγὴν ὡς ὁμόφρονα οἱ τῆς ἐκκλησίας αὖθις κρατεῖν, καὶ ἱερᾶσθαι παρακεχώρηκε. τῶν ἀράβων δὲ διαφερομένων ἀλλήλοις, καὶ μάχαις ἐμφυλίοις ἀσχολουμένων, ἀδείας λαβόμενος ὁ Κοπρώνυμος, ἐκστρατεύει κατὰ Συρίας, καὶ λαμβάνει τὴν Γερμανίκειαν. σεισμοῦ δὲ γενομένου κατὰ τὴν Παλαιστίνην καὶ Συρίαν μεγίστου, πολλαὶ καὶ ἐκκλησίαι καὶ μοναστήρια κατέπεσον καταγώγια καὶ οἶκοι, καὶ μυριάδες ἀνθρώπων ἀπώλοντο. ἀλλὰ καὶ ἐκ νόσων φθορὰ πολλὰ τῶν ἀνθρώπων συμβέβηκε, κατά τε Σικελίαν, καὶ Καλαβρίαν, καὶ καθ᾿ Ἑλλάδα καὶ χώρας ἑτέρας, ἃ καὶ ἕως αὐτοῦ τοῦ Βυζαντίου κατήντησε, καὶ τοσοῦτον ἦν τὸ τῶν θνησκόντων πλῆθος, ὡς μὴ οἷόν τε εἶναι τοὺς θνήσκοντας ἐκκομίζεσθαι, διὸ ἁμάξαις αὐτοὺς κατὰ πλείονας ἐπιτιθέντες ἐξέφερον. Τῷ μέντοι Κοπρωνύμῳ ἡ τοῦ Χαγάνου θυγάτηρ ἔτεκε παῖδα, ὃν ὀνόμασε Λέοντα, καὶ ἀνηγόρευσε βασιλέα, στεφθέντα διὰ Ἀναστασίου τοῦ ὁμοδοξοῦντος αὐτῷ πατριάρχου. ἐκράτησε δὲ ὁ Κωνσταντῖνος τῆς Θεοδοσιουπόλεως καὶ τῆς Μελιτινῆς, ὅθεν ὑπερφρονήσας, σφοδρότερον κατὰ τῆς ἐκκλησίας καὶ τῆς ὀρθοδόξου πίστεως ἐκινήθη, δόγματα ἐκτιθέμενος, δι᾿ ὧν τὸν συρφετώδη ὄχλον ἐπεσύρετο πείθεσθαι τῷ αὐτοῦ ἀσεβεστάτῳ φρονήματι. τότε καὶ ὁ πατριάρχης Ἀναστάσιος ἀσεβῶς τῆς ἐκκλησίας καταχρησάμενος, ἐπὶ χρόνοις εἴκοσι πρὸς τοῖς τέτταρσι, κατέστρεψε τὴν ζωήν.

περὶ πατριαρχῶν, καὶ περὶ τῆς παρανόμου ἀθροισθείσης τῶν ἀσεβῶν ἐπισκόπων συνόδου.

ὁ δὲ Κοπρώνυμος ἐπισκόπων ὁμοφρόνων αὐτῷ πολλῶν συναγωγὴν ποιησάμενος, ὧν κατῆρχε Θεοδόσιος ὁ Ἐφέσου καὶ Πασιλᾶς ὁ Πέργης, δι᾿ αὐτῶν ἃ ἐβούλετο, ἐδογμάτισε, μήτινος ἢ ἐκ Ῥώμης τῆς πρεσβυτέρας, ἢ ἐκ τῶν ἄλλων παρόντος πατριαρχῶν. καὶ τὴν τοιαύτην συνδρομὴν τῶν ἀνιέρων ἐκείνων, σύνοδον οἰκουμενικὴν καλέσαι οὐκ ἀπηρυθρίασε. μεθ᾿ ὧν εἰς τὸν ἐν Βλαχέρναις ναὸν τῆς Θεοτόκου ἀφικόμενος, καὶ ἐν τῷ ἄμβωνι ἀναβεβηκώς, Κωνσταντῖνόν τινα μοναχόν, ἐπίσκοπον Συλαίου γενόμενον, ἀναβιβάσας ἐκεῖ, ἐξεφώνησε. Κωνσταντίνου οἰκουμενικοῦ πατριάρχου πολλὰ τὰ ἔτη. καὶ μετ᾿ ὀλίγας ἡμέρας ἐν τῷ φόρῳ παραγενόμενος ὁ τύραννος οὗτος μετὰ τοῦ πατριάρχου αὐτοῦ, καὶ τῶν ὁμογνωμονούντων αὐτῷ ἐπισκόπων, ἐνώπιον παντὸς τοῦ λαοῦ τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν ἀπηγόρευσαν, εἰδωλολάτρας τοὺς ταύτας σεβομένους καλέσαντες, καὶ ἀναθέματι καθυπέβαλον τόν τε ἀοίδιμον Γερμανόν, καὶ τὸν ἐκ Κύπρου Γεώργιον πατριάρχην τῆς Κωνσταντίνου γενόμενον, καὶ τὸν μέγαν ἐπὶ σοφίᾳ καὶ ἀρετῇ Ἰωάννην τὸν Δαμασκηνόν, ὃς πολλάκις τὸν θεομάχον ἤλεγξε τοῦτον καὶ τὸν αὐτοῦ πατέρα δι᾿ ἐπιστολῶν ἀσεβῶν. ἐκστρατεύσας δὲ κατὰ Βουλγάρων ὁ Κωνσταντῖνος, καὶ συμβαλὼν αὐτοῖς, καὶ πολλοὺς ἀποβαλών, οὐ τῶν τυχόντων μόνον στρατιωτῶν, ἀλλὰ καὶ τῶν ἐπισήμων καὶ στρατηγῶν, μεθ᾿ ἥττης ἐπανέζευξεν. ἀκμάζοντος

δὲ χειμῶνος

δὲ χριστιανοὶ παρὰ τοῖς Ἀγαρηνοῖς τοὺς τῶν δασμῶν μεταχειριζόμενοι κώδικας (οὐ γὰρ οἴδασιν ἀριθμὸν ἐκεῖνοι, ἀλλ' οὐδὲ γράφειν ψήφους λεπτὰς, τρίτα φημὶ καὶ τέταρτα, καὶ ὄγδοα καὶ δωδέκατα, καὶ τὰ τούτων ἔτι λεπτότερα) φθόνῳ τότε τὴν τούτων μεταχείρισιν ἐκωλύθησαν. μὴ δυνηθέντων δὲ τῶν τῆς Ἄγαρ δι' ἑαυτῶν τὸ τοιοῦτον ἀνύειν ἔργον, αὖθις τὴν τῶν γραφῶν τούτων οἰκονομίαν ἐνεχειρίσθησαν. ὁ μέντοι δυσώνυμος τύραννος Ἀνδρέαν τινὰ μοναχὸν, καλυβίτην λεγόμενον, ὅσιον ἄνδρα, ἐλέγχοντα αὐτὸν καὶ ἀσεβῆ καλοῦντα, καὶ ἄλλον Ἰουλιανὸν, καὶ Οὐάλεντα μαστιζόμενον ἔκτεινεν. οἱ Βούλγαροι δὲ τοὺς αὐτῶν ἀρχηγοὺς, οἳ ἐκ σειρᾶς κατήγοντο ἡγεμονικῆς, ἀνελόντες, ἕτερον εἵλοντο μὴ τῇ ἡγεμονίᾳ προσήκοντα, Τελέτζην καλούμενον. ἐπιστρατεύσας δὲ κατ' αὐτῶν ὁ τύραννος, διά τε γῆς καὶ θαλάσσης, καὶ γενόμενος κατὰ τὴν Ἀγχίαλον, κἀκεῖ συμβαλὼν αὐτοῖς, τοῦ πολέμου ἐξ ὥρας πέμπτης τῆς ἡμέρας ἕως ἑσπέρας ἐπικρατήσαντος, καὶ πεσόντων πολλῶν ἑκατέρωθεν, ὅμως μέντοι νικᾷ, καὶ ὁ μὲν τῶν Βουλγάρων ἀρχηγὸς ἀπέδρα, φόνος δὲ πολὺς τῶν Βαρβάρων ἐγένετο, καὶ οὐ μείους ἐλήφθησαν δορυάλωτοι, πολλοὶ δὲ καὶ τῷ βασιλεῖ προσεχώρησαν. κἀντεῦθεν ἐπαρθεὶς, θρίαμβον ἐπὶ τῇ νίκῃ κατήγαγεν, αὐτὸς μὲν πανοπλίτης δι' ὢν μεθ' ὡπλισμένης τῆς στρατιᾶς, τοὺς δ' αἰχμαλώτους δεσμίους ἄγων, τοῖς ὅπλοις αὐτοῦ τὴν νίκην, ἀλλ' οὐ τῇ θείᾳ δυνάμει ἐπιγραφόμενος. καὶ μετὰ τὸν θρίαμβον τοὺς αἰχμαλώτους πάντας ἀναιρεθῆναι προσέταξεν. γέγονε δὲ χειμὼν ἐν ταῖς ἡμέραις τῆς αὐταρχίας αὐτοῦ μέγας, ὥστε μὴ μόνον τοὺς ποταμοὺς ἐκ τοῦ ψύχους κρυσταλλωθῆναι δεινῶς, ἀλλὰ καὶ αὐτὴν τὴν θάλασσαν τὴν ἀρκτῴαν ἐπὶ στάδια πάνυ πολλὰ, καὶ τὸν τοῦ στενοῦ πορθμὸν, καὶ τὸν ἐκ τῆς πόλεως πρὸς Χρυσόπολιν. εἶτ' αὖθις τῷ κρυστάλλῳ χιόνος ἐπιπεσούσης, κἀκείνης ἐκ τοῦ κρύους συμπιληθείσης τε, καὶ κρυσταλλωθείσης, πεζοποροῦντες οἱ ἄνθρωποι διίεσαν τὸν πορθμὸν τοῦ στενοῦ καὶ τὸν ἐκ τῆς πόλεως πρὸς Χρυσόπολιν, ἀχθοφοροῦντά τε ὑποζύγια, καὶ βόες ἁμάξας ἕλκοντες σὺν φόρτῳ πολλῷ. τοῦτο δὲ καὶ ἐν ταῖς ἄλλαις θαλάσσαις τότε γενέσθαι λέγεται. εἶτα τοῦ ἀέρος θαλφθέντος, διερράγη τὸ τοῦ κρυστάλλου συνεχὲς, καὶ εἰς τμήματα διακέκοπτο. πνεύματα δὲ πνεύσαντα ἀθρόον σφοδρόν τε καὶ βίαιον ἤλαυνε διὰ τῆς θαλάσσης τὰ τμήματα, κατ' ὄψιν ἐοικότα βουνῶν μεγάλων, ἢ νήσων πολυπλέθρων τινῶν. οἷς καὶ ζῷα ἄγριά τε καὶ χερσαῖα συνεπεπήγεισαν πελασθέντα τῷ κρυστάλλῳ, καὶ ἀποψύξαντα. τούτων τῶν κρυστάλλων ἔνια τοῖς παραλίοις τείχεσι τῆς πόλεως τῇ βίᾳ τῶν ἀνέμων καθ' ὑδάτων μετὰ ῥύμης σφοδρᾶς κυλινδούμενα ὡς προσήραττον, κατέβαλον εὐθὺς τὰ προσαραττόμενα, καὶ οὐ τὰ τείχη μόνον ἤρειπον, ἀλλὰ καὶ οἰκίας πλησιαζούσας τούτοις συγκατέσειον. καὶ αὐχμὸς δ' ἐπὶ τούτοις πολὺς συνέβη, ὡς καὶ τοὺς ἀενάους ποταμοὺς ξηρανθῆναι, καὶ τὰς πηγὰς τελείως ἐπιλιπεῖν. οὐδὲν δ' ἐκ τούτων ἐβελτιώθη ἡ ἀσύνετος ἐκείνου ψυχὴ, ἀλλὰ τὸν πατριάρχην αὐτοῦ προσκαλεσάμενος, ἔφη ἐν ἀπορρήτοις αὐτῷ, εἰπέ μοι εἰ χριστοτόκον τὴν Μαρίαν καλοῦμεν, τίς ἐκ τούτου ἔσται βλάβη; ὁ δὲ αὐτίκα εἰς ἱκετείαν ἐτράπετο λέγων, μὴ τοῦτο ἄλλοτε ἢ πρὸς ἄλλον ἐκφωνήσῃς ὦ βασιλεῦ. τοῦ Νεστορίου γάρ ἐστι τὸ φρόνημα. οὐκ οἶδας ὅπως ἐκεῖνος παρὰ πάσης στηλιτεύεται ἐκκλησίας πιστῶν, καὶ ἀναθέματι κατακέκριται; ὁ δὲ ἀνταπεκρίθη αὐτῷ, ὅτι οὐχ ὡς ἐγὼ οὕτω φρονῶν, εἶπον τοῦτο. ἀλλὰ μαθεῖν ἐθέλων ἠρώτησα. εἰς τοσοῦτον δ' ἐξηνέχθη θεομαχίας, ὡς καὶ τὰ τῶν ἁγίων

περὶ μοναχῶν.

οἷος χειμὼν γέγονεν ἐπὶ δὲ βασιλείας τοῦ δυσωνύμου.

οἷα ἀσεβῶν ὁ ἄθεος, καὶ οἷα λέγει.

Cum autem Christiani ab antiquis temporibus uectigalium codices tractarent apud Agarenos (neq; enim scribere aut subtiliores rationes triennum, quadrantium, besſium & unciarũ, & ſi qua tenuiora ſunt, perſequi ſciunt) tunc ex inuidia ea tractatione ſunt interdicti: & tamen eam adminiſtrationem receperunt, quod Agareni eiuſmodi opus exequi nequirent. Infamis tyrannus Andream quendam monachum, qui Calibytes uocabatur, uirum ſanctum, quod ab eo reprehenſus & impius dictus fuerat, Iulianum item & Valentem flagris occidit. Bulgari ducibus ſuis, qui è principum familijs ortum ducebant, interfectis, alium elegerunt à principatu alienum, nomine Telcutzam. Eos Imperator terra mariq; illato bello, ad Anchialum eſt aggreſſus, cumq; pugna ab hora diei quinta uſque ad ueſperam duraſſet, & utrinque multi cecidiſſent, uictor tandem euaſit, duce Bulgarorum fuga elapſo, magnaq; Barbarorum cæde edita, nec paucioribus captis: multi quoque ultrò ad Imperatorem ſe contulerunt, qui re bene geſta elatus, triumphum egit, ipſe armatus cum armatis legionibus anteeedens, captiuosq; in uinculis adducens, uictoria non diuinæ potentiæ, ſed ſuis armis adſcripta. Poſt triumphum captiuos omnes interemit. Sub eius Imperio ſæuiſsima hyems fuit, adeò ut non fluuij tantum, ſed & mare Septentrionale ad complura ſtadia frigoribus conglaciarent, anguſtum item fretum, & quo ex urbe Chryſopolim traijcitur. Cumq; nix in glaciem cecidiſſet, eaq; gelu denſata & in glaciem ipſa quoq; cõuerſa eſſet, homines fretum pedibus Chryſopolim uſq; tranſibant, & ſarcinis onuſta iumenta, & boues plauſtra magni ponderis trahentes. Idem tunc & in alijs maribus accidiſſe fertur. Pòſt, aere tepefacto, continua glacies diſſoluta, & in fragmina redacta eſt, quæ uenti uehementis impetu uiolenter per mare agitabantur, collibus & ſpatioſis inſulis non diſſimilia. His animantes inerant feræ & cicures exanimatæ aſtrictæq; glacie. Eorum fragminum quædam ui uentorum ſub aquis impetu uehementi marinis impacta mœnibus, non ipſa tantum, ſed & uicinas ædes proſtrauerunt. Hæc æſtus ingens eſt ſequutus, quo & perennes amnes ſiccati ſunt, & fontes penitus defecerunt. Verum ſtupidus Imperatoris animus his rebus nihil emendatus eſt, ſed patriarcham ſuum arcanò interrogauit: Si Maria Chriſtipara uocaretur, nunquid in eo eſſet incommodi? Tum ille ad preces conuerſus: Ne (inquit) aliàs, neque apud alios Imperator iſtud protuleris. Eſt enim Neſtorij ſententia. Num ignoras ut ille ab omni fidelium Eccleſia ſit proſcriptus, & anathemate notatus? Ad hoc ille, ſe non quod ita ſentiret, ſed cognoſcẽdi cauſa illud interrogaſſe: & eo impietatis eſt progreſſus, ut etiam ſanctorum reliquias

Agarenorũ inſcitia.

Monachorum quorundam cædes.

Bulgaricus triumphus.

Hyẽs ſeua.

Aeſtus ingens.

Conſtantini in ſanctorũ reliquias & monachos graſſatiões.

igni traderet, & Sancti titulum, neque Deiparæ, neque ulli eorum qui Deo placuere, tribui iuberet, sed dici uellet, Apostolus Petrus & Paulus, martyr Theodorus & Gregorius, & sic in cæteris. Quum autem prophana illa Pontificia synagoga, de qua iam à medio dictum est, impia sua decreta scripto complexa esset: id scriptum Tomum Synodicum homo impius appellari uoluit, utque ei subscriberetur ab omnibus Pontificibus, & uirtute illustribus monachis postulauit. Quos monachos etsi uehementissimè persequutus fuerat, adeò ut ferè nullus, qui quidem prodiret in publicum, in urbe esset reliquus: tamen plures adhuc habitabant, & alij extra urbem uitam agebant. Qui igitur immanitati eius metu cedebant, & impiam illam scripturam confirmabant, uiuere citra noxam sinebantur. Qui refragabantur, acerbis mortibus, & atrocibus supplicijs uita priuabantur. Quo tempore magnus asceten & athleta celebris Stephanus acceptione & subscriptione tomi illius recusata, post multa tormenta crudeliter occisus est, & è prætorij carcere protractus usque ad Pelagium, illic cum condemnatis est proiectus. Namque in loco Pelagij martyris ædes fuerat, in eo, destructa illa, Sanctorum osor, fossa profundissima excauata, condemnatos abijci iussit. Multos etiam senatorij ordinis, ob sacrarum imaginum cultum supplicio affecit, & iusiurandum ab omnibus exegit, ne quis eas ueneraretur: idemque iusiurandum ab ipso quoque Constantino, quem Ecclesiæ præfecerat, postulauit, atque is in suggesto stans, iurauit. Cum classe magna contra Bulgaros Anchialum profectus est, sed procella uenti nauibus ferè omnibus collisis, magna multitudo & naualium sociorum & militum perijt. Vnde re infecta rediit, nihilominus tamen furore percitus, quum in theatro ludi Circenses agerentur, multos monachos comprehendit, ac triumphum de illis egit, per theatrum circumductis, quum inhonestas mulierculas manibus tenerent. Quosdam etiam illustrium Principum prodidit: alios ex inuidia, ob pulchritudinem & robur: alios per calumniam, quòd sibi insidiarentur, & sua facinora monachis narrarent. Ac duobus insignioribus capita resecuit: reliquos, oculis erutis, certis locis inclusis, eoque lorarijs quotannis missis, unum quenque centum neruis bubulis cædi iussit. Ad hæc Constantino Patriarchæ à se designato crimini dedit, quòd cum eorum Principum uno colloquia contra se haberet: subornatis ad eum conuincendum accusatoribus, quos, illo inficias eunte, iurare coëgit. quo facto Patriarcha relegatus est, & alius à tyranno creatus Nicetas eunuchus, non ingenuus, sed seruili genere ortus, qui uix legere poterat, in muliebribus ministerijs uersatus: deinde Cōstātinū

Pelagium.

Monachorum exagitatio.

Saeuitia in proceres.

Constantini patriarchæ supplicium.

Nicetas patriarcha.

λείψανα παραδιδόναι πυρί, καὶ τὸ ἅγιος, κελεῦσαι μήτε ἐπὶ τῆς θεοτόκου λέγεσθαι, μήτε μὴν ἐπί τινος τῶν εὐαρεστησάντων θεῷ, ἀλλ' ὁ ἀπόστολος πέτρος καὶ παῦλος λέγειν, καὶ μάρτυς γεώργιος ἢ θεόδωρος, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. τῆς δὲ τῶν ἀνιέρων ἀρχιερέων συναγωγῆς, περὶ ἧς ἤδη μοι εἴρηται, γραφῇ τὰ παρ' αὐτῶν ἀσεβῶς δογματισθέντα παραδόντων. τόμον συνοδικὸν αὐτὰ καλέσας ὁ ἀσεβέστατος, ἀπῄτει ἀρχιερέας τε πάντας καὶ τῶν μοναζόντων τοὺς προὔχοντας ἐπ' ἀρετῇ, ταῦτα ὑποσημήνασθαι. εἰ γὰρ καὶ διωγμὸν κατὰ τῶν μοναχῶν βαρύτατον ἤγειρεν, ὡς μή τινα σχεδὸν ἐν τῇ πόλει περιλειφθῆναι, ἢ τέως δημοσιεύειν μονάζοντα. ἀλλ' ἔτι ὅσον πολλοὶ κρυπτόμενοι, καὶ ἕτεροι τῆς πόλεως ἐκτὸς μετιόντες τὴν ἄσκησιν. ὅσοι μὲν οὖν φόβῳ τῆς ἐκείνου θηριωδίας ὑπέκυπτον, καὶ τὴν ἄθεον ἐκείνην ἐβεβαίουν γραφήν, ζῆν εἴωντο, καὶ ἀπαθεῖς ἀφεῖντο. ὅσοι δὲ μὴ ἐπείθοντο, πικραῖς κολάσεσι καὶ βιαίοις θανάτοις τοῦ ζῆν ἐστερίσκοντο. ὅτε καὶ ὁ μέγας ἐν ἀσκηταῖς καὶ ἐν ἀθληταῖς περιβόητος στέφανος, μὴ πεισθεὶς ὃν ἐκεῖνος ἐκάλει τόμον δέξασθαί τε καὶ βεβαιῶσαι, πολλὰ παθὼν, τέλος ἀνῃρέθη ἀπηνῶς, καὶ συρόμενος ἐκ τῆς τοῦ πραιτωρίου εἱρκτῆς ἄχρι τῶν πελαγίου, ἐκεῖ μετὰ τῶν κατακρίτων ἐρρίφη. ὅπου τέμενος ἦν τοῦ μάρτυρος πελαγίου, ὃ καθελὼν ὁ μισόθεος, καὶ βόθρον ὀρύξας βαθύτατον, ἐκεῖ τοὺς κατακρίτους ῥιπτεῖσθαι προσέταξε. πολλοὺς δὲ καὶ τῶν ἐν τέλει καὶ τῶν τῆς συγκλήτου βουλῆς διὰ τὴν τιμὴν τῶν ἁγίων εἰκόνων ἐτιμωρήσατο, καὶ ὅρκον ἐκ πάντων ἀπῄτησε, μή τινα σέβας νέμειν ταῖς θείαις εἰκόσιν, ἀλλὰ καὶ ἐξ αὐτοῦ τοῦ κωνσταντίνου ὃν αὐτὸς τῆς ἐκκλησίας προέστησε, τὸν ὅρκον τοῦτον ἀπῄτησε, καὶ ὃς ἐν τῷ ἄμβωνι ἀναβὰς, ὤμοσε. κατὰ βουλγάρων δὲ μετὰ στόλου πολλοῦ ἐξελθὼν, εἰς ἀγχίαλον τὰς νῆας προσώρμισε, καὶ πνεύσαντος ἀνέμου σφοδροῦ, συνετρίβησαν σχεδὸν ἅπασαι, καὶ πλήθη πολλὰ τοῦ τε ναυτικοῦ, καὶ τοῦ στρατιωτικοῦ ἀπώλοντο ἐν τοῖς ὕδασιν. ὅθεν ἄπρακτος ἐπανῆλθεν. ἐκμαινόμενος μέν τοι κατὰ τῶν μοναχῶν, ἱππηλασίας γινομένης ἐν τῷ θεάτρῳ, πολλοὺς αὐτῶν κατασχὼν, ἐθριάμβευσε διὰ τοῦ θεάτρου περιαγαγὼν, ἄσεμνα ταῖς χερσὶ κατέχοντας γύναια. καὶ τινὰς τῶν ἐπισήμων ἀρχόντων τοὺς μὲν φθόνῳ διὰ ὡραιότητα, καὶ ῥωμαλεότητα· τοὺς δὲ ὅτι τὰς ἀρρητοποιίας αὐτοῦ μοναχοῖς ἐξηγόρευον, συκοφαντήσας, ὡς κατ' αὐτοῦ βουλευσαμένους, διώλεσε. δύο μέν τοι τῶν ἐπισημοτέρων τὰς κεφαλὰς ἐκτεμὼν, τοῖς δὲ λοιποῖς ἐκκόψας τὰ ὄμματα, καὶ περιγραπτοῖς ὁρίοις συγκλείσας αὐτοὺς, ἔνθα κατ' ἐνιαυτὸν πέμπων, ἑκατὸν βουνεύροις ἔπαιζεν ἕκαστον. ἀλλὰ καὶ τὸν παρ' αὐτοῦ προβληθέντα κωνσταντῖνον πατριάρχην, ἑνὶ τῶν ἀρχόντων τούτων συνομιλεῖν εἰπὼν, καὶ λέγειν κατ' αὐτοῦ, καὶ κατηγόρους τινὰς εἰς ἔλεγχον αὐτοῦ παρεσκεύασε, καὶ ἀρνουμένου ἐκείνου, ὀμόσαι τοὺς κατηγόρους πεποίηκε. τούτων δὲ γινομένων, ὑπερόριος ὁ πατριάρχης ἐγένετο. ἕτερον δὲ προεβάλλετο πατριάρχην ὁ τύραννος, ἐκτομίαν τινα νικήταν, οὐδ' ἐξ ἐλευθέρων, ἀλλ' ἐκ δούλων ἕλκοντα τὴν τοῦ γένους σπορὰν καὶ χρόνον, οὐδ' ἀναγνῶναι δυνάμενον, ἦν γὰρ περὶ τὴν γυναικωνῖτιν ἐσχολακώς. ὅτε ἐκ τῆς ὑπερορίας

ὅσα ἐποίει ὁ κοπρώνυμος κατὰ τῶν μὴ πειθόντων βεβαιῶσαι τὴν κατὰ τῶν ἁγίων εἰκόνων συγγραφήν.

ὅτι κατὰ βουλγάρων ἐκστρατεύσας ἄπρακτος ἐπανῆλθε καὶ ὅσα κατὰ τῶν μοναχῶν καὶ κατὰ ἀρχόντων.

ἀχθέντα

ἀχθέντα τὸν Κωνσταντῖνον, καὶ ἀπανθρώπως αἰκισθέντα, ὡς μὴ δὲ βαδίζειν δύνασθαι, εἰς τὴν μεγάλην ἐκκλησίαν ὡς ἄχθος τί βασταζόμενον ὁ τύραννος μετακομισθῆναι ἐκέλευε. καί τινος τὰ κατ' αὐτοῦ ἀναγινώσκοντος αἰτιάματα, παρουσίᾳ πλήθους πολλοῦ ἐπὶ τοῦτο συναθροισθέντος καὶ τοῦ νέου πατριάρχου Νικήτα ἐν τῷ συνθρόνῳ καθημένου καὶ ἀκροωμένου αὐτῶν, ἐκεῖνος κατὰ κόῤῥης ἐπαίετο, καὶ οὕτως ἐπὶ πολὺ ἐμπαροινηθεὶς, τέλος ἀναθεματίζεται, καὶ ψιλωθεὶς τὴν κεφαλὴν καὶ τὸν πώγωνα, ἀλλὰ μέντοι καὶ τὰς ὀφρύας, καὶ ὄνῳ ἐποχηθεὶς, ἱπποδρομίας τελουμένης εἰσάγεται εἰς τὸ θέατρον, ἀτίμως θριαμβευόμενος καὶ ἐμπτυόμενος καὶ κόνει πασσόμενος, ἐπὶ τούτοις τινὰς τῶν ἀρχόντων στείλας ὁ τύραννος, ἠρώτησεν αὐτὸν, τί αὐτῷ δοκεῖ περὶ τῆς αὐτοῦ πίστεως. καὶ περὶ τῆς συνόδου; ὁ δὲ ἐκμειλισσόμενος τὴν ἐκείνου ὠμότητα, ἀπεκρίθη, καλῶς πιστεύειν αὐτὸν, καὶ ἀκριβῶς δογματίσαι τὴν σύνοδον, καὶ ταῦτα εἰπὼν ὁ τρισάθλιος, εἰς τὸ κυνηγέσιον ἀπαχθεὶς, ἀπετμήθη τὴν κεφαλήν. καθ' ἑκάστην δὲ τῇ κατὰ τῶν ἐκκλησιῶν καὶ τῶν μοναστηρίων μανίᾳ προσετίθει ὁ βέβηλος. ἀκόλαστος δὲ ὢν, καὶ τρεῖς γυναῖκας ἠγάγετο, καὶ ἐκ μὲν τῆς πρώτης ἔσχε παῖδα τὸν Λέοντα, ὃν καὶ τοῦ τῆς βασιλείας ὀνόματος κατηξίωσεν, ἐκ δὲ τῶν ἄλλων Χριστοφόρον, Νικηφόρον τε καὶ Νικήταν, καὶ τοὺς μὲν δύο καίσαρας ἔστεψε, τὸν δὲ Νικήταν ἐτίμησε νωβελλίσσιμον, καὶ τῷ πρώτῳ υἱῷ αὐτοῦ καὶ βασιλεῖ ἠγάγετο γυναῖκα ἐξ Ἀθηνῶν, καὶ ἐπονομάσας ταύτην Αὔγουσταν, εἶπας αὐτὴν Αὔγουσταν, καὶ καλέσας Εἰρήνην, ἐξ ἧς ἐτέχθη τῷ Λέοντι παῖς Κωνσταντῖνος ὀνομασθείς. αὖθις δὲ ὁ Κοπρώνυμος μετὰ σφόδρα πολλῶν τριηρῶν καὶ δρομώνων κατὰ Βουλγάρων ἐξώρμησε, βουλόμενος διὰ τοῦ Ἴστρου εἰς Βουλγαρίαν ἐμβαλεῖν. εἶτα δειλιάσας ἀναζεῦξαι διεμελέτα. καὶ οἱ Βούλγαροι δὲ δείσαντες σπονδὰς θέσθαι πρὸς εἰρήνην διεπρεσβεύσαντο καὶ ἐκράτησαν ἐπὶ συνθήκαις, τοῦ μήτε Βουλγάρους τὰ Ῥωμαίων λῄζεσθαι, μήτε μὴν Ῥωμαίους ἐπιέναι κατὰ Βουλγάρων. καὶ ἐπὶ τούτοις ἐπανελήλυθε. τινὲς δὲ τῶν Βουλγάρων δώροις ὑποσυρέντες παρὰ τούτου τοῦ αὐτοκράτορος, ἐν ἀποῤῥήτοις ἐδήλουν αὐτῷ τὰ τῷ ἄρχοντι σφῶν βουλευόμενα. οἳ μεμηνύκασι τῷ Κωνσταντίνῳ, ὡς βούλεται ὁ σφέτερος ἀρχηγὸς λαὸν ἐκπέμψαι κατά τινος τῶν Ῥωμαϊκῶν χωρῶν, ἵν' ἐκεῖθεν λείαν κομίσειε. καὶ ὃς κατασκόπους στείλας, ὅτε ὥρμησαν ἐκ Βουλγαρίας οἱ λῃσόμενοι, κἀκεῖνος ἕτοιμος ὢν, αἰφνίδιον ἐπιδραμὼν κατ' αὐτῶν, τοὺς μὲν διέφθειρε, τοὺς δὲ καὶ ἐζώγρησε, καὶ μετ' αἰχμαλωσίας πολλῆς ἐπανέστρεψε, καὶ πάλιν ἔνοπλος ἐθριάμβευσεν. εἶτα πολλὰς τριήρεις ἑτοιμασάμενος κατὰ Βουλγάρων ἐξέπεμψε, καὶ κατὰ Μεσημβρίαν γενομέναις αὐταῖς, κλύδων ἐκ πνευμάτων βιαίων ἐμπεσὼν, σχεδὸν ἁπάσας κατέλυσεν. ὁ τῶν Βουλγάρων δὲ ἀρχηγὸς Τελέριχος ὑποπτεύσας ὑπὸ τῶν οἰκείων μεμηνῦσθαι ταῦτα τῷ βασιλεῖ τὰ αὐτῷ βουλευόμενα, μὴ εἰδὼς δὲ τίνες οὗτοι. κατασοφίζεται τὴν τοῦ Κοπρωνύμου κουφότητα, καὶ ἐξ αὐτοῦ μανθάνει τὸ ἀγνοούμενον. γράφει γὰρ δὴ ἀποῤῥήτως βούλεσθαι προσελθεῖν αὐτῷ, καὶ ἀξιοῖ δηλῶσαί οἱ, ἅ τινας ἔχει φίλους ἐκ τῶν παρὰ Βουλγάροις ἐξόχων, ἵν' ἐκείνοις θαῤῥήσας τὸ ἀπόῤῥητον, καὶ σὺν ἐκείνοις ἀφίκοιτο πρὸς αὐτόν. ὁ δὲ παχὺς, ὡς ἔοικεν,

Ἴσως καὶ τὸν πατριάρχην αὐτὸ δῆλον ἀκολασίας ἐκίνησε, καὶ ἀνέτασαν.

Ὅτι τινὰς τῶν Βουλγάρων ἐμηνύσατο ὁ Κοπρώνυμος, οἳ ἐδήλουν αὐτῷ τὰ τοῦ ἄρχοντος σφῶν βουλεύματα.

Ὅπως ὁ τῶν Βουλγάρων ἀρχηγὸς ἐπέγνω τὰ ἀπόῤῥητα, καὶ ἔγνω τοὺς αὐτοῦ φίλους Βουλγάρους.

patriarcham ab exilio reductum, & sæuissimè excarnificatum, ut ambulare non posset, in magnam Ecclesiam instar sarcinæ portari iussit. ibi quodam crimina quæ illi obijciebantur recitante, præsentibus multis, qui ea de causa conuocati erant, & nouo patriarcha Niceta in solio sedente, & illa auscultante, alapis cæditur: ac diu ita exagitatus, tandem anathemate notatur, euulsisque capillis, barba & superciliis, ac asino impositus, ludis Circensibus in theatrum introducitur, ignominiosoque triumpho conspuitur, & puluere conspergitur. Post hæc procerum quibusdam missis tyrannus eum percontatur, quid de fide ipsius sentiat, deque synodo. Ille, crudelitatem eius placaturus, respondet, eum & rectè credere, & decreta synodi accurata esse. His miser dictis in uenationem abductus, obtruncatur. Indies autem homo prophanus furori contra Ecclesias & monasteria adiecit aliquid: & quia intemperans erat, tres duxit uxores, è quarum prima filium Leonem suscepit, quem Imperatorio nomine ornauit, è cæteris Christophorum, Nicephorum & Nicetam, ac priores duos corona Cæsarea ornauit, Nicetæ Nobilissimi titulum tribuit. Primo filio & Imperatori, uxorem Atheniensem despondit, & Augustam appellauit, indito Irenæ nomine, è qua Leoni filius Constantinus natus est. Post hæc denuò cum plurimis triremibus & expeditis nauibus contra Bulgaros est profectus, per Istrum in Bulgariam irrupturus. Sed quum audacioris conatus pœniteret, de reducendo exercitu cogitauit. Bulgari quoque territi, missis Legatis pacem petierunt, eamque his conditionibus impetrarunt, ut neque ipsi prouincias Romanas uastarent, neque à Romanis inuaderentur. His peractis domum rediit. Quidam tamen è Bulgaris adducti largitionibus clàm Imperatori ducis sui consilia aperuerunt: atque indicarunt, eum prædones in quandam Romanam prouinciam emissurum. Missis igitur exploratoribus, famque instructus, quum illi prædatum exituri essent, derepente impetum in illos facto, multos interfecit, plurimos cepit, & cum multis captiuis reuersus, iterum armatus triumphauit. Neque multo pòst multas triremes contra eosdem ablegauit, quæ circa Mesembriam ferè uniuersa uentorum procellis sunt demersæ. At Telerichus Bulgarorum Princeps, sua consilia Imperatori à domesticis significata esse suspicatus, qui tamen illi essent, ignorans: astu Copronymi leuitate circumuenta, ex ipso quod ignorabat, resciuit. Scripsit enim se clam illum aditurum, petijtque ut sibi significaret: Num quos procerum apud Bulgaros amicos haberet, quibus arcanum committere auderet, sibique itineris comites adiungere. Ille præ stupore ingenij, quemadmodum apparet,

Constantini liberi.

Bulgarica pax.

Bulgarici proditores callidè à suo principe inuestigati.

consilio Barbari non animaduerso, sui studiosos statim amenter prodidit, quos Barbarus omnes crudeliter atque immaniter interfecit.

Constantini mors.

Idem imperator iterum, eamque postremam expeditionem contra Barbaros suscepit, pedes eius carbunculus inuasit. Vnde eum uehementes & calidæ febres urebant, quarum nullum remedium excogitari poterat à medicis. Inde lectica Selybriam perlatus, & triremi est impositus, uociferãs, se uiuentẽ in ignẽ coniectum esse: & statim cum Strongylum aduenisset, aciem offensi numinis miser sensit, atque illic uitã uiolenter finijt: sublatis multis Orthodoxorum millibus, monachorum præsertim, quorum mansiones partim incendit, partim destruxit, partim profanauit, ut & Dalmatæ monasteriũ uetustum, & omnium quæ Constantinopoli sunt, antiquissimum, quod pulsis monachis militum diuersorium fecit. Neque uerò uiuentes duntaxat Christi seruos exagitauit, sed & Diuis Martyribus, & alijs Deo gratis insultare non destitit, quos nihil posse asserebat, eorumque intercessiones ficulnum præsidiũ appellabat: reliquias autem partim per contumeliam terra obruit, partim demersit, partim in cineres redegit, ut & gloriosæ martyris Euphemię sanctũ corpus de quo duplex rumor est: nã alij feruut nefariũ Copronymum in animo habuisse id cremare, canibus & asinis unà comburẽdis, sed institutum eius successu caruisse, cum orthodoxi eo conatu cognito id clàm è loculo surreptum, aliò transtulissent, & cadauer aliud supposuissent, quod à nefario illo sit crematũ. Alij non crematũ, sed unà cum loculo in mari demersum esse corpus martyris affirmant: qui diuina gratia gubernante, Lemno insulæ sit appulsus, & à fidelibus illius loci agnitus, illicque asseruatus sit, & sub Irene eiusque filio Constantino honorificè & magnificè in urbem Imperatoriã relatus. Vita igitur tam fœdè acta, uiolentissimè interijt, ut narratum est, cum annos XXXIIII & menses III. rerũ potitus esset, si eis id quoque biennium annumeretur, quo Artabasdus illo superior imperauit.

De S Euphemiæ corpore.

IMPERIVM LEONIS
Copronymi.

Leo largitionibus & simulatione pietatis, imperiũ cõstabilit.

Imperio autem potitus est filius eius Leo Chazara natus, eodem impietatis morbo laborans, etsi principiò religionem & obseruantiam erga monachos simulabat, quorum nonnullos in illustrioribus urbibus ad pontificatus euehebat. Quum autem magnam pecuniam in publicis thesauris reperisset, quam pater eius per iniuriam coëgerat, ea & ficta religione, ad subditos conciliandos est abusus. Igitur ciues, & è prouincijs multi congregati, in illius u-

ὧν οὐ συνῆκε τὸ σκέμμα τοῦ βαρβάρου, ἀλλ' ἀνοήτως τοὺς αὐτῷ προσκειμένους εὐθὺς ἐξεκάλυψε. καὶ ὁ βάρβαρος συλλαβὼν αὐτοὺς ὠμῶς ἀπαξάπαντας καὶ ἀπηνῶς διεχρήσατο. καὶ αὖθις δὲ κατὰ Βουλγάρων ὁ αὐτοκράτωρ οὗτος τὸ λοίσθιον ἐξεστράτευσε, καὶ κατὰ τὴν ἐν Θρᾴκῃ Ἀρκαδιούπολιν στρατοπεδευομένου, οἱ πόδες αὐτοῦ ἀπηνθράκωντο, ὅθεν αὐτὸν λαῦροι πυρετοὶ καὶ φλογώδεις ἐξήπτον, ὡς μηδέν τι τούτων μηδὲ παρ' ἰατρῶν ἐπινοεῖσθαι ἀλέξημα. ἐντεῦθεν ἐπὶ κλίνης φερόμενος μέχρι Σηλυβρίας κατήντησεν, ὅθεν διὰ τριήρους κινούμενος, βοῶν, ὡς ζῶν ἐπὶ τῷ πυρὶ παραδίδομαι. ἅμα δὲ εἰς τὸν λεγόμενον ἐφθακὼς Στρογγύλον, τοῦ μεμηνυμένου θείου ξυροῦ ὁ δείλαιος ἐπειράθη, καὶ βιαίως ἐκεῖ τὸν βίον κατέστρεψε, χιλιάδας τῶν ὀρθοδόξων πολλὰς ἀνελὼν καὶ μάλιστα μοναστῶν, καὶ τὰ τούτων ἀσκητήρια τὰ μὲν πυρὸς θέμενος παρανάλωμα, τὰ δὲ καθελών, τὰ δὲ κοινώσας, ὥσπερ καὶ τὴν τοῦ Δαλμάτου λεγομένην μονήν, ἀρχαίαν οὖσαν, καὶ τῶν ἐν Κωνσταντινουπόλει πρεσβυτέραν πασῶν, ἀφ' ἧς ἀπελάσας τοὺς μοναχούς, στρατιωτῶν αὐτὴν πεποίηκε καταγώγιον. οὐ μόνον δὲ κατὰ τῶν ζώντων Χριστοῦ δούλων ἐλύττησεν, ἀλλὰ καὶ εἰς τοὺς θείους μάρτυρας, καὶ τοὺς ἄλλους εὐαρεστήσαντας τῷ θεῷ ἐμπαροινῶν οὐκ ἐπαύετο, μηδὲν αὐτοὺς δύνασθαι λέγων, καὶ συκίνην ἐπικουρίαν τὰς τούτων πρεσβείας ἀποκαλῶν, καὶ τὰ τούτων ἅγια λείψανα τὰ μὲν ἀτίμως καταχωννύς, τὰ δὲ ποιῶν ὑποβρύχια, ἔνια δὲ καὶ ἀποτεφρῶν, ὥσπερ καὶ τὸ τῆς πανευφήμου μάρτυρος Εὐφημίας ἅγιον σῶμα. διττοὶ δὲ περὶ τούτου φέρονται λόγοι. ὁ μὲν γὰρ πυρίκαυστον αὐτὸ λέγει δόξαι ποιήσασθαι τὸν μιαρὸν ἐκεῖνον Κοπρώνυμον, κυσὶ καὶ ὄνοις αὐτὸ συναναφύραντα, καὶ τὴν τέφραν λικμήσαντα, μὴ μέντοι αὐτῷ εἰς ἔργον ἐκβῆναι τὸ βούλημα. φθῆναι γὰρ τοὺς ὀρθοδόξους μαθόντας τὸ βουλευόμενον, ἀφελέσθαι λαθραίως τὸ τῆς μάρτυρος σῶμα ἐκ τῆς σοροῦ, καὶ μεταθεῖναι αὐτό. ἕτερον δὲ νεκρὸν ἐνθεῖναι αὐτῇ, κἀκεῖνον παρὰ τοῦ ἀλιτηρίου ἐκείνου παραδοθῆναι πυρί. ὁ δ' ἕτερος οὐ καυθῆναι, καταποντωθῆναι δὲ τὸ σῶμα λέγει τῆς μάρτυρος σὺν τῇ λάρνακι. τὴν δὲ χάριτι θείᾳ κυβερνωμένην προσοκεῖλαι τῇ νήσῳ Λήμνῳ, καὶ ὑπὸ τῶν ἐν τῇ νήσῳ πιστῶν γνωσθεῖσαν, κατατεθῆναι ἐκεῖ, ἐπὶ δὲ Εἰρήνης καὶ τοῦ υἱοῦ αὐτῆς Κωνσταντίνου αὖθις ἀνακομισθῆναι εἰς τὴν ὑπερκειμένην τῶν πόλεων ἐντίμως καὶ μεγαλοπρεπῶς. ὁ μὲν οὖν οὕτως αἰσχρῶς βιώσας, οὕτως ἀπεβίω βιαιότατα, ὡς ἱστόρηται, μοναρχήσας ἔτη τριάκοντα ἐπὶ τέσσαρσι, καὶ μησὶ τρισί, τούτοις καὶ τῶν δύο ἐνιαυτῶν συναριθμουμένων, οὓς ὁ Ἀρτάβασδος ἦρξε τούτου προηγούμενος.

ὅπως κατὰ Βουλγάρων ἐστράτευσε, καὶ νοσήσας ἀπέθανε καὶ κατέστρεψε τὸν βίον.

οἷα κατὰ τῶν μοναχῶν καὶ τῶν μοναστηρίων καὶ κατὰ τῶν ἁγίων λειψάνων τῶν ἁγίων ὁ πάντα μιαρὸς ἐτόλμα.

περὶ τοῦ λειψάνου τῆς πανευφήμου μάρτυρος Εὐφημίας.

ΒΑΣΙΛΕΙΑ ΛΕΟΝΤΟΣ
τοῦ Κοπρωνύμου.

α

Ἐκράτησε δὲ τῆς βασιλείας ὁ τούτου υἱὸς Λέων ὁ ἐκ τῆς Χαζάρας. νοσῶν τὴν αὐτὴν ἐκείνῳ ἀσέβειαν, εἰ καὶ κατ' ἀρχὰς εὐσεβῶν ὑπεκρίνετο, καὶ τοὺς μοναχοὺς τιμᾶν, ὥστε καί τινας τῶν μοναστῶν ἀρχιερεῖς ποιήσασθαι ἐν ταῖς περιβλεπτοτέραις τῶν μητροπόλεων. πολλὰ δὲ χρήματα ἐν τοῖς δημοσίοις εὑρὼν θησαυροῖς, ἃ ὁ πατὴρ αὐτοῦ κακῶς συνήγαγε, καὶ ἀπηνῶς συνεῖλεν, τούτοις καταχρησάμενος ἐξεδημαγωγήσατο τὸ ὑπήκοον, καὶ τῇ ἐπιπλάστῳ θεοσεβείᾳ. ἀθροισθέντες οὖν οἱ τῆς πόλεως, κἀκ τῶν θεμάτων πολλοί,

ἐποιοῦντο

ἀντιβολεῖν χαρισθῆναι διδόναι αὐτῷ, ἀναγορευθῆναι τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον. ὁ δὲ, εἰ τοῦτο βούλοιντο, ὀμόσαι αὐτοὺς ἀπῄτησεν, ὡς οὐ δέξονται πλὴν αὐτοῦ καὶ τοῦ υἱοῦ αὐτοῦ, καὶ τοῦ σπέρματος αὐτῶν ἕτερον βασιλέα. καὶ ὤμοσαν ἅπαντες οὐχ οἱ τῆς συγκλήτου βουλῆς καὶ οἱ τοῦ στρατεύματος, ἀλλὰ καὶ ὁ δημώδης ὄχλος καὶ ἔμποροι καὶ οἱ τῶν ἐργαστηρίων προεστηκότες, καὶ ἔγγραφα περὶ τούτων ἐξέθεντο. ταῦτα μὲν οὖν κατὰ τὴν ἕκτην ἡμέραν τῆς ἑβδομάδος τοῦ σωτηρίου πάθους τοῦ σωτῆρος γεγόνασι. τῷ δὲ μεγάλῳ σαββάτῳ τὸν γνήσιον ἀδελφὸν Εὐδόκιμον νωβελλίσιμον ὁ βασιλεὺς προεβάλλετο, καὶ κατ' αὐτὴν τὴν τοῦ πάσχα κυριακὴν ἔστεψε τὸν υἱὸν αὐτοῦ, τοῦ πατριάρχου τὴν κατ' ἔθος πεποιηκότος εὐχήν. τεθνηκότος δὲ τοῦ πατριάρχου Νικήτα τοῦ εὐνούχου, ὃς ἦν προεδρεύσας τῆς Κωνσταντινουπόλεως ἔτη τεσσαρεσκαίδεκα, χειροτονεῖται πατριάρχης Παῦλος ὁ Κύπριος, ἀναγνώστης ὢν καὶ ὀρθόδοξος. εὑρὼν δέ τινας τῶν ἐνδόξων τοῦ παλατίου ὁ Λέων τὰς θείας εἰκόνας προσκυνεῖν ἐγκρίνοντας, τὴν ἀλωπεκὴν ἐκδὺς, τὸν ἐν αὐτῇ κρυπτόμενον ἐδημοσίευσε λέοντα, ὠμότατα αὐτοὺς αἰκισάμενος, καὶ διὰ τῆς ἀγορᾶς ἐν ἀτίμῳ πομπῇ περιαγαγὼν, πρότερον ψιλώσας αὐτοὺς τῶν τριχῶν, οὕτως εἰς τὸ πραιτώριον ἐναπέθετο, ὅπου τινὲς αὐτῶν καὶ τὴν ψυχὴν τῷ κυρίῳ παρέθεντο. ὕστερον δ' αὐτὸς τῆς αὐταρχίας ἐνιαυτὸν ἐτελεύτησεν. ἐρασθεὶς γὰρ τοῦ στέμματος, ὅπερ ὁ Μαυρίκιος ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἀνέθετο, καὶ τοῦτο λαβὼν, καὶ τῇ κεφαλῇ περιθέμενος, εὐθὺς ἐλήφθη σφοδρῷ πυρετῷ, καὶ οὕτως αὐτὸν τῆς ζωῆς ἐπεξήνεγκεν.

περὶ πατριάρχου.

ὅτι διὰ τὰς ἁγίας εἰκόνας λέων ἐκόλασέ τινας τῶν ἀρχόντων.

θάνατος τοῦ λέοντος.

ΒΑΣΙΛΕΙΑ ΕΙΡΗΝΗΣ ΚΑΙ ΤΟΥ ΑΥΤΗΣ ΥΙΟΥ Κωνσταντίνου.

Τούτου δὲ θανόντος ἡ αὐγοῦστα Εἰρήνη σὺν τῷ υἱῷ Κωνσταντίνῳ δέκατον ἄγοντι τῆς ἡλικίας ἐνιαυτὸν, τὴν βασίλειον ἀρχὴν διεδέξαντο· ἦσαν δὲ ἄμφω τῶν σεβασμίων εἰκόνων προσκυνηταί. ἀλλ' ἔπω αὐτοῖς τῆς βασιλείας βεβαίως ἱδρυμένης, τινὲς αὐτοῖς ἐπιβουλεύουσιν, ὥστε τὸν καίσαρα Νικηφόρον τὸν τοῦ θανόντος βασιλέως ἀδελφὸν βασιλεῦσαι. γνωσθείσης δὲ τῆς συνωμοσίας, τοὺς μὲν τῆς ἐπιβουλῆς μετασχόντας αἰκισαμένη ἡ βασιλὶς, καὶ τὰς τρίχας αὐτῶν ἀποθρίξασα, ὑπερορίαν τούτων κατεψηφίσατο, τοὺς δὲ τοῦ ἀνδρὸς αὐτῆς ἀδελφοὺς τούς τε καίσαρας καὶ τοὺς νωβελλισίμους κεῖραι παρασκευάσασα, καὶ ἱερωσύνης ἀξιωθῆναι, καὶ μεταδοῦναι τῷ λαῷ τῶν ἁγιασμάτων ἐποίησε κατὰ τὴν ἑορτὴν τῆς τοῦ σωτῆρος γεννήσεως, ἐκείνη δὲ σὺν τῷ υἱῷ προελήλυθε μετὰ τῆς συνήθους τοῖς βασιλεῦσι δορυφορίας, καὶ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ γενομένη, τὸ στέμμα ὃ ἐκεῖθεν ἀφείλετο ὁ ἀνὴρ αὐτῆς, προσεπικοσμήσασα κόσμῳ πλείονι τῶν λιθοσμαράγδων ἀνέθετο. ἔστειλε δὲ καὶ κατὰ τῶν ἀράβων στρατεύματα, ἵνα ἀνακόπτῃ τὰς ἐκείνων ἐπιδρομάς. ἐξελθόντες οὖν εἰς λεηλασίαν Ἀγαρηνοὶ, συναντῶσι περὶ τὰς ῥωμαϊκὰς στρατιάς, καὶ τρέπονται καὶ αἰχμαλωτοῦνται πολλοί. ἐν δέ γε τῇ Θρᾴκῃ κατὰ τὸ μακρὸν τεῖχος τότε τις ὀρύσσων λάρνακι ἐντυγχάνει λιθίνῃ, ἄνθρωπον φερούσῃ νεκρὸν, καὶ γράμματα ἐγκεκολαμμένα ἐχούσῃ λέγοντα· Χριστὸς μέλλει γεννᾶσθαι ἐκ παρθένου, καὶ πιστεύω εἰς αὐτὸν, ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης τῶν βασιλέων πάλιν ὄψει με, ἥλιε. βουληθεῖσα μέντοι ἡ βασιλὶς Εἰρήνη γυναῖκα μνηστεύσασθαι τῷ υἱῷ, ἐκπέμπει πρὸς Κάρουλον τὸν ῥῆγα τῶν Φράγγων, τὴν ἐκείνου παῖδα ἐπὶ τούτῳ μνηστευομένη.

ὅτι ἐπιβουλεύσαντας ἡ Εἰρήνη τοὺς ἀδελφοὺς τοῦ ἀνδρὸς αὐτῆς ἐκολάσατο, καὶ ἱερέας γενέσθαι παρεσκεύασεν.

περὶ δὲ εὑρεθείσης λάρνακος ἐν τῇ Θρᾴκῃ κατὰ τὸ μακρὸν τεῖχος.

tique gratiam postulabāt, ut filius eius Constantinus imperator appellaretur. At ille uicissim ab eis petijt, si id uellent, ne quem aliū nisi se & filiū suum, suamq; progeniem in imperiū admitterent. Iurarunt omnes, nō senatores tantum & milites, sed & plebeia turba & mercatores & opifices, & hoc iusiurandum in publicas literas retulerunt. Hæc sexto die hebdomadis salutaris passionis seruatoris nostri acta sunt. Magno sabbato fratrē suum Eudocimum Nobilissimum designauit, & in ipsa Paschatis dominica filium suum coronauit, solennibus precibus à Patriarcha peractis. Mortuo Niceta castrato Patriarcha, cum Ecclesiæ Cōstantinopolitanæ per annos quatuordecim præfuisset: Paul° Cyprius Patriarcha eligitur, qui lector fuit, & orthodoxus. Cum autem Leo proceres quosdam aulicos diuinas imagines adorantes deprehendisset, exuta uulpina pelle, latitantem sub ea Leonem in apertum protulit, eosq; crudelissimè excruciatos, ignominiosoq; spectaculo per forum circumductos, cum prius pilis nudasset, in prætorium inclusit, ubi eorum quidam animas suas in manus Domini deposuerunt. Obijt anno Imperij quinto. Adamata enim corona, quam Mauricius in magna Ecclesia Deo cōsecrarat, eaq; capiti suo accommodata, statim uehementi febri est correptus, quæ uitæ finem ei attulit.

Paulus Cyprius Patriarcha.

Leo proceres ob adoratas imagines malè tractat.

Obitus.

IMPERIVM IRENES ET FILII eius Constantini.

Eo mortuo, Irene Augusta & filius eius Constantinus, decimum ætatis annum agens, ambo ueneranda rum imaginum adoratores, imperium susceperunt: eoq; nondum firmato, insidijs appetiti sunt à quibusdā, Nicephoro Cæsari, mortui Leonis fratri, summam rerum deferre cupientibus. Coniuratione detecta imperatrix insidiatores excruciatos & pilis nudatos relegauit, mariti uerò sui fratres tam Cęsares quàm nobilissimos radendos, & in sacerdotum ordinem allegendos curauit, ut res sacras populo impertirētur in festo natiuitatis Christi, ipsaq; cum filio Imperatorijs satellitibus stipata processit, cumq; in Ecclesiā peruenisset, coronam à marito suo ablatam, pluribus ornamentis additis, restituit. Misit etiam Legiones ad reprimendas Arabum grassationes. Agareni igitur prædatum egressi, cum in Romanum exercitum incidissent, in fugam uertuntur multis eorum interfectis. In Thracia quidam inter fodiendum in lapideam cistam incidit, quæ humanum cadauer continebat, incisis in ea literis huiusmodi: Christus, nascetur è uirgine, & credo in eum. Verùm sub Irene & Constantino rursus me uidebis Sol. Imperatrix filio uxorem datura, Legatos ad Carolum Regem Francorum misit, ad eius filiam ambiendam.

Coniuratio contra Irenem.

Arabica uictoria.

Arcæ inscriptio fatidica.

Carolus Magnus.

Dein-

Constantini coniugium.

Deinde ea affinitate omissa ex metu & imperij cupiditate, ne filij opes Francorum necessitudine augerentur: ex Oriente puellam acceeruit. quam quidam ex Armeniaca prouincia, alij è Paphlagonia originem ducere tradunt, Philareti, benignitate in egenos celebris, filiam, eamque Constantino inuito & ab ijs nuptijs abhorrenti despondit. Supra modum enim Caroli filiam ducere cupiebat. Aaron dux Arabum suscepta contra Romanos expeditione, Chrysopolim usque processerat: contra quem Constantinus misso exercitu Banes paludem occupauit: quo Arabes cognito, pacem à Romanis petiuerunt. Magistratus igitur, dum non acceptis prius illustribus ex ea gente obsidibus, ad Aaronem ut cum eo pacisserentur, abeunt: retenti, & in uincula coniecti sunt. Qua re coacti imperator & imperatrix propter magistratus, pacem cum Arabibus fecerunt, tributum polliciti. Illi igitur ea conditione discesserũt, Imperatrix uerò cum Elpidium Patricium, quem Siciliæ prætorem crearat, Cæsaribus studere cognouisset, reduci iussit. Quem quia Siculi à legatis capi non sinebant, ira percita uxorem eius & liberos flagris cæsos & rasos in carcerem Prætorianum coniecit, & exercitum contra illum misit, quodam ex fidelissimis suis eunuchis ei præposito. Crebris uerò prælijs commisis profligatus Elpidius, in Africam ad Arabes confugit: à quibus susceptus, & regio diademate ornatus est, ac Rex salutatus, quamuis ei nihil ex animi sententia succederet. Imperatrix Arabico metu per pacem adempto, cum filio magnis que copijs & musicis instrumentis in Thraciam abijt, ac Beroen profecta, castellum urbis instauratum Irenopolim appellauit, sed & Anchialum ædificauit, & Philippopolim usque progressa, reuersa est. Cum Patriarcha Paulus morbo affectus ab Ecclesia se subduxisset & rasus esset, imperatrix cum filio eum conuenit, ob secessum expostulãtes. At ille: Vtinã, inquit, nunquã in Pontificatus solio consedissem, tyrannide oppressa Ecclesia, & dissidio inter eam & alias Catholicas sedes orto. Deinde rursus eruditos senatorij ordinis uiros ad eum misit, sciscitans, quo pacto res ritè administrandæ essent? Tum ille, Nisi erratum synodo catholica correctum, & Ecclesiæ concordia restituta fuerit: salui esse non possumus. Senatoribus autem interrogantibus, eur ipse quum eligeretur, non adorandas esse imagines assensus esset? Respondit, Ob eorum insaniam qui rerum potiebantur, & uestram crudelitatem. Sed hoc lugeo, ac per pœnitentiam ad Dei misericordiam confugi, orans, ut de me, non tanquam de Pontifice, iudicium fiat. Ac ille hoc modo uitam finijt. Imperatores autem inclytum Tarasium à secretis Patriarcham, designarunt, approbante

Arabica pax.

Elpidij defectio ad Arabes.

Irenes ædificia.

Paulus Patriarcha fit monachus.

Tarasius secretarius fit Patriarcha.

ὅτι τὸ πρῶτον κῆδος καταλιποῦσα διὰ φόβον καὶ φιλαρχίαν, ἵνα μὴ δυνάμενος ὁ υἱὸς αὐτῆς προσβάλληται τὴν τῶν Φράγγων διὰ τὴν ἀγχιστείαν, ἐξ ἑῴας ἤγαγε κόρην. ἣν οἱ μὲν ἐκ τοῦ τῶν ἀρμενιακῶν θέματος ὁρμᾶσθαι λέγουσιν, ἕτεροι δ' ἐκ παφλαγόνων, εἶναι δὲ τοῦ ἐπ' ἐλεημοσύναις διαβοήτου φιλαρέτου θυγάτριον, καὶ ταύτην τῷ κωνσταντίνῳ συνέζευξεν ἄκοντι. καὶ τὸν γάμον αὐτὸς ἀπεστρέφετο, ὅτι τὴν τοῦ καρόλου παῖδα ἐκτόπως ἀγαγέσθαι ἐβούλετο. ἀαρὼν δὲ ὁ τῶν ἀράβων ἀρχηγὸς κατὰ ῥωμαίων στρατεύσας, μέχρι χρυσοπόλεως ἦλθεν. ὁ δὲ κωνσταντῖνος στράτευμα πέμψας, τὴν λίμνην βάνης δι' αὐτοῦ κατέσχε. καὶ τοῦτο μαθόντες οἱ ἄραβες, σπείσασθαι ῥωμαίοις ὑπέσχοντο. ἀπελθόντες οὖν οἱ τῶν κοινῶν διοικηταὶ πρὸς τὸν ἀαρὼν, ἵνα συνθήκας ποιήσωσι, καὶ μὴ φροντίσαντες πρότερον ὁμήρους τῶν παρ' ἐκείνοις ἀναγκαίων λαβεῖν, κατεσχέθησαν παρ' αὐτοῦ, καὶ ἐν πέδαις καθείρχθησαν. ὅθεν βιασθέντες οἱ κρατοῦντες διὰ τοὺς ἄρχοντας ἐσπείσαντο, συνθέμενοι φόρους διδόναι τοῖς ἄραψιν. οἱ μὲν οὖν ὧδε τοιαύταις συνθήκαις ἐνίζευξαν, ἡ δὲ βασίλισσα ἐλπίδιον τὸν πατρίκιον στρατηγὸν σικελίας προεχειρίσατο, ἐπεὶ μαθοῦσα ὅτι τὰ τῶν καισάρων φρονεῖ, ἔστειλε τοὺς ἄξοντας ἐκεῖθεν αὐτόν. τῶν δὲ σικελιωτῶν μὴ παραχωρησάντων τοῖς σταλεῖσι λαβεῖν τὸν ἐλπίδιον, ἡ εἰρήνη θυμῷ ληφθεῖσα τὴν γυναῖκα, καὶ τοὺς παῖδας μαστίξασα ἐκείνου καὶ τῶν τριχῶν ἀφελομένη, ἐν τῷ πραιτωρίῳ καθεῖρξε, κατ' ἐκείνου δὲ ἐξέπεμψε στράτευμα, εὐνοῦχον αὐτοῦ ἐπιστήσασα τῶν πιστοτάτων αὐτῇ. πολέμων δὲ συνεχῶν γινομένων τρέπεται ὁ ἐλπίδιος, καὶ ἀποδρὰς εἰς ἀφρικὴν, καὶ τοῖς ἄραψι προσεχώρησεν. οἱ δὲ τοῦτον δεξάμενοι, βασιλικὴν ταινίαν αὐτῷ περιέθεντο, καὶ ὡς βασιλέα αὐτὸν ἀνηγόρευον, ᾧ καὶ μηδὲν αὐτῷ κατὰ σκοπὸν προεχώρησε. τῆς δὲ πρὸς τῶν ἀράβων φροντίδος ἀπαλλαγεῖσα διὰ τὴν εἰρήνην ἡ βασιλὶς, ἐξῆλθε σὺν τῷ υἱῷ ἐπὶ θρᾴκην. δύναμίν τε πολλὴν ἐπισυρομένη, καὶ ὄργανα μουσικὰ, καὶ ἀπελθοῦσα εἰς βερόην, καὶ τὸ ἐν αὐτῇ φρούριον ἀνοικοδομήσασα, καὶ εἰρηνόπολιν αὐτὸ ὀνομάσασα, ἀλλὰ μὴν καὶ τὴν ἀγχίαλον δομησαμένη, καὶ ἕως φιλιππουπόλεως προελθοῦσα, ὑπέστρεψε. τοῦ δὲ πατριάρχου παύλου νοσήσαντος, καὶ τῆς ἐκκλησίας ὑποχωρήσαντος καὶ ἀποκαρέντος, ἡ βασιλὶς μετὰ τοῦ υἱοῦ αὐτῆς προσῆλθεν αὐτῷ, αἰτιωμένη αὐτὸν τῆς ὑποχωρήσεως. ὁ δὲ εἴθε, εἶπε, μηδὲ τὴν ἀρχὴν ἐπὶ τοῦ θρόνου τῆς ἀρχιερωσύνης ἐκάθισα, τῆς ἐκκλησίας τυραννουμένης, καὶ σχίσματος ὄντος μέσον αὐτῆς, καὶ τῶν ἄλλων καθολικῶν θρόνων. εἶτ' αὖθις ἐκ τῆς συγκλήτου λογάδας ἀπέσταλκεν, ἐρωτῆσαι ὅ, τι ἂν εἰς δέον οἰκονομηθείη; ὁ δὲ ἀπεκρίνατο, ὡς εἰ μὴ διὰ συνόδου καθολικῆς τὸ σφάλμα διορθωθῇ, καὶ τῶν ἐκκλησιῶν βεβαία ἕνωσις, οὐκ ἔστιν ὑμῖν σωτηρία. καὶ οἱ συγκλητικοὶ, διὰ τί γοῦν εἶπον αὐτὸς ἐν τῷ χειροτονεῖσθαι, συνέθου τὰς εἰκόνας μὴ προσκυνεῖν; ὁ δὲ ἀντεπήγαγε, διὰ τὴν τῶν κρατούντων μανίαν, καὶ τὴν ὑμετέραν ἀπόνοιαν. ἀλλὰ καὶ διὰ τοῦτο θρηνῶ, καὶ διὰ μετανοίας πρὸς τοὺς οἰκτιρμοὺς καταφεύγω τοῦ θεοῦ, δεόμενος μὴ ὡς ἀρχιερεὺς κολασθῆναι. ὁ μὲν οὖν ἐν τούτοις τὸν βίον κατέλυσεν. οἱ δὲ κρατοῦντες τὸν ἀοίδιμον ταράσιον ἀσηκρῆτις ὄντα, πατριάρχην προεχειρίζοντο, καὶ ὁ λαὸς

ἅπας

ὅτι κατεγγυήσατο τῷ υἱῷ γυναῖκα ἡ εἰρήνη.

ὅτι ὁ τῶν ἀράβων ἀρχηγὸς μέχρι χρυσοπόλεως ἐλάσας ἐσπείσατο, φόρον αὐτοῖς δοθῆναι τῶν ῥωμαίων συνθεμένων.

περὶ τοῦ στρατηγοῦ ἐλπιδίου.

ὅτι ὁ πατριάρχης ἀπεχώρησε τῆς ἐκκλησίας.

ὅτι ὁ ἅγιος ταράσιος πατριάρχης προεχειρίσθη.

ἅπας ἐπιψηφίζοντος ὁ αὐτός, μὴ δύνασθαι λέγων προεστάναι τῆς ἐκκλησίας ἀπεσχισμένης τῶν λοιπῶν τυγχανούσης ἐκκλησιῶν, καὶ ὑπ᾽ ἐκείνων ὑποβαλλομένης τῷ ἀναθέματι. ἐγκειμένων δὲ καὶ τῶν βασιλέων καὶ τοῦ λαοῦ, ἐὰν συντίθεσθε ὅπως σύνοδον οἰκουμενικὴν ἀθροισθῆναι, καὶ τῶν ἐκκλησιῶν γενέσθαι ἕνωσιν, δέχομαι καὶ αὐτὸς τὴν προχείρισιν. συνθεμένων δὲ πρὸς τοῦτο πάντων, ἐχειροτονήθη ὁ θεῖος Ταράσιος, καὶ στέλλουσιν αὐτός τε καὶ οἱ κρατοῦντες ἔς τε τὴν πρεσβυτέραν Ῥώμην, Ἀδριανοῦ τινὸς ἐν αὐτῇ προεδρεύοντος, καὶ εἰς τοὺς λοιποὺς πατριάρχας, ζητοῦντες ἀποστεῖλαι τινὰς παρ᾽ αὐτῶν, τοὺς ἤδη τῇ συνόδῳ παρευρεθησομένους. καὶ παρὰ πάντων ἐστάλησαν, ἀθροισθέντων δὲ καὶ τῶν λοιπῶν ἀρχιερέων καὶ μοναχῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας, καὶ ὁ πατριάρχης ἐξῆλθε Ταράσιος, καὶ συνέστη ἐκεῖ οἰκουμενικὴ σύνοδος ἑβδόμη, καὶ ἐκυρώθη, τὰς σεπτὰς εἰκόνας καὶ προσκυνεῖσθαι καὶ σέβεσθαι, ἀναθέματι δὲ κατεκρίθησαν καὶ οἱ τρεῖς οἱ τῆς ἐν Κωνσταντινουπόλει προεδρεύσαντες ἐκκλησίας ὅτι Ἀναστάσιος καὶ ὁ Κωνσταντῖνος καὶ ὁ Νικήτας, καὶ τόμον τῆς ἱερᾶς συνόδου τὰ δόξαντα ἐνεγράφησαν. ἐκ δὲ Νικαίας εἰς τὴν τῶν πόλεων βασιλεύουσαν ἐνδημήσαντες οἱ τῆς συνόδου, καὶ ἐν τοῖς βασιλείοις γενόμενοι, προκαθημένων καὶ τῶν βασιλευόντων, εἰς ἐπήκοον πάντων τὸν τόμον ἀνέγνωσαν, ὃς αὐτίκα παρὰ τῶν κρατούντων κυρωθεὶς ὑποσημαινόμενος αὐτόν, καὶ οὕτω τὰ ἱερὰ ἐκτυπώματα ἐν τοῖς θείοις ναοῖς ἀνεστήλωσαν, καὶ αἱ ἐκκλησίαι ἅπασαι ἥνωντο. τὰ μὲν οὖν μέχρι τοῦδε παρὰ τῆς βασιλίσσης καὶ τῶν αὐτῇ συνῳκειωμένων τὰ τῆς βασιλείας ἰθύνοντο, ἤδη δὲ τὴν μείρακα παρελάσας ὁ βασιλεὺς Κωνσταντῖνος, καὶ εἰς νεανίας τελῶν ἐγγύμενος (εἰκοσαέτης γὰρ ἦν) καὶ ὁρῶν ἅπαντα παρὰ τῆς μητρὸς οἰκονομούμενα, καὶ Σταυράκιον πατρίκιον καὶ λογοθέτην τὰ πάντα δυνάμενον, ἑαυτὸν δὲ μηδενὸς ἀξιούμενον λόγου. ἤχθετο καὶ μετά τινων τῶν τῆς συγκλήτου βουλῆς, καὶ τῶν ὑπηρετουμένων αὐτῷ, ἐμελέτησε τὸν Σταυράκιον τῆς ἀρχῆς καθελεῖν, καὶ ποιῆσαι ὑπερόριον. γνωσθέντος δὲ τοῦ βουλεύματος, τοὺς μὲν τοῦ βασιλέως θεράποντας τοὺς αὐτῷ συμμετέχοντας τύψασα πάντας καὶ ψιλώσασα τῶν τριχῶν ἡ βασίλισσα, ἄλλους ἄλλῃ ἐξώρισε. τοὺς δὲ ἐκ τῆς συγκλήτου ἀτιμίᾳ περιβαλοῦσα, τοὺς μὲν ἀπροΐτους τῶν ἰδίων οἴκων εἶναι ἐκέλευσε, τῶν δὲ καὶ ὑπερορίαν κατεψηφίσατο. ἀλλὰ μὴν καὶ τὸν υἱὸν ᾐκίσατο μὲν καὶ λοιδορησαμένη πολλάκις καὶ δημοσιεύειν ἐκώλυσε. τὰ δὲ στρατεύματα ὀμνύειν ἠνάγκαζε, μὴ δέξασθαι τὸν υἱὸν αὐτῆς εἰς αὐταρχίαν ζώσης αὐτῆς. καὶ οἱ μὲν ἄλλοι καὶ ἄκοντες ὤμνυον, οἱ δὲ τοῦ θέματος τῶν Ἀρμενιακῶν οὐχ ὑπείκουσαν, ἀλλὰ καὶ βασιλέα γινώσκειν ἔφασαν τὸν Κωνσταντῖνον, καὶ πρὸ τῆς μητρὸς ἐξ ἀρχῆς ἀναγορευόμενον, καὶ οὕτως αὖθις αὐτὸν ἄδολον εὐφημεῖσθαι. ταῦτα ἡ Εἰρήνη μαθοῦσα, ἐστάλκει τὸν σπαθάριον Ἀλέξιον καὶ δρουγγάριον τῆς βίγλας τὸν Μωσηλέ, ἵν᾽ αὐτοὺς εἰς τὸ αὐτῆς μεταθήσοιτο θέλημα. οἱ δὲ τὸν μὲν στρατηγὸν ἑαυτῶν συνέχον ὑπὸ φρουράν, τὸν δὲ Μωσηλὲ ἄρχοντα τοῦ θέματος εἵλοντο, καὶ μόνον τὸν Κωνσταντῖνον εὐφήμησαν αὐτοκράτορα. ἐντεῦθεν ὁρμηθέντες, καὶ οἱ τῶν ἄλλων θεμάτων, μόνον τὸν Κωνσταντῖνον ἀνηγόρευον βασιλέα, καὶ ἀθροισθέντες κοινῇ ἐκεῖνον μόνον ἀνεκήρυττον αὐτοκράτορα. δείσασα δὲ τὴν τῶν ταγμάτων ὁμόνοιαν ἡ Εἰρήνη, προήγαγε τὸν υἱόν. ὁ δὲ αὐτίκα τὸν Σταυράκιον ἀποκειράμενος, καὶ τοὺς ἐν…

omni populo. Sed ipse recusauit. Neque enim se præesse posse Ecclesiæ à reliquis Ecclesijs auulsæ, & anathemati subiectæ. Instantibus autem imperatoribus & populo, Si permittitis, inquit, ut synodus œcumenica conuocetur, & Ecclesiæ uniantur: & ipse designationem admittam. Assensis omnibus, Patriarcha electus Diuus Tarasius, & ipse & Imperatores ueterem Romam mittunt, cui Adrianus præsidebat, & ad cæteros Patriarchas, petentes, ut aliqui ab eis mitterentur, qui concilio interessent. Missi igitur sunt ab omnibus, & cæteris pontificibus & monachis Nicææ Bithyniæ congregatis: etiam Patriarcha Tarasius est egressus, ibique septimum œcumenicum concilium est constitutum, ac decretum uenerabiles imagines & adorandas & colendas esse, & tres anathemate notati, qui Constantinopolitanæ ecclesiæ præfuerunt, Anastasius, Constantinus & Nicetas, sanctique concilij decreta in commentarios relata sunt. Deinde qui concilium celebrarant, in urbem Imperatoriam profecti, commentaria in Regia, Imperatoribus præsidentibus, atque omnibus audientibus, recitarunt, qui statim ab Imperatoribus approbati & subsignati sunt. atque ita sacræ imagines templis restitutæ, & Ecclesiæ uniuersæ unitæ. Hactenus ab imperatrice eiusque familiaribus regnum administratũ est, cæterum Constantinus annos pueritiæ egressus, factusque adultior, (nam XX annos natus erat) cum matrem pro autoritate agere omnia uideret, & Stauracium Patricium Logothetam nihil non posse, sui uerò nullam rationem haberi: ægre illa tulit, & consilio cum quibusdam senatoribus suisque ministris inito, de magistratu Stauracio abrogando, eoque relegando cogitauit. Eo consilio cognito Imperatrix, ministros imperatorios illius rei conscios omnes uerberibus affectos & pilis nudatos, alios aliò relegauit. Senatores ignominia notatos, partim domo exire uetuit, partim in exilium misit. Sed & filium excruciauit, & conuitijs insectata, prodire in publicũ prohibuit. quin & legiones sacramẽto adegit, ne se uiuente filium ad imperium admitterent. Ac cæteri uel inuiti iurarũt, sed Armeniacæ legiones mulieri non cesserunt, seque Constãtinum Imperatorem agnoscere, & ante matrem initio proclamatum esse dixerunt, atque ita rursus cum lætis omnibus prosequi uoluerunt. His Irene cognitis, Alexium Mosolem Spatharium, eundemque Drungariũ Biglæ, ad eas conciliandas misit. At illi duce suo in custodiã tradito, & Mosele prouinciæ præside designato, solum Constantinum pro Imperatore celebrarunt. Hinc orto initio, etiam aliarum prouinciarum exercitus idem fecerunt, & congregati cõmuniter eum proclamarunt. Igitur Irene legionũ concordiã uerita, filiũ produxit. Is Stauracium & honoratiores ex maternis mini-

VII. Synodus Nicena

Irene Constantinũ in ordinem cogit.

Legiones Constantinum denuò Imperatorem salutãt.

Irene abrogatum imperium.

quæ magnæ erant, publicatæ. Sunt & alij ex Artemij coniuratis occisi, & præter cæteros summus Thessalonicensium sacerdos. Post hæc Leo filium suum imperatorem creat, festo coronationis à sancto Germano celebrato. Exinde cum Deo pugnare incipit, & contra uenerandas imagines insanire. Accersitoq; Germano Patriarcha, negat colendas esse imagines, earumq; adorationem idololatriam uocat. At Diuus ille pater: Bona uerba, inquit, imperator: ita sentire noli. Nã ista cogitatio planè impia est. Scio equidem cantari, fore ut ista hæresis agitetur. Tu uerò illius auctor esse noli. Nam Conon quidam eam auspicaturus esse dicitur. Tum ille statim: Ego, inquit, is sum, & non alius. Conon enim infans à parentibus meis sum appellatus: & inclytum Germanum assentiri nolentem, ac potius magno animo refragantem, & peruersam illam opinionem arguentem, Ecclesia eiecit, cum eam XV annos gubernasset, & Anastasium quendam sibi assentientem, Patriarchã designauit. Nunc unde Leo in istam opinionem adductus, & huc impietatis progressus fuerit, exponam.

Leonis pugna cũ imaginibus.

QVÆ LEONI IMPIETATIS occasio fuerit.

IZitho Arabum principatum modò adepto, Hebræi duo arte præstigiatores, etsi futurarum rerum ex astrologia prædictionem profiterentur: imperium & diuturnam uitam pollicebantur, si Christi & matris eius imagines è Christianis Ecclesiis eiecisset. Paret haud segniter Barbarus, omnesq; uenerandas imagines in templis omnibus suæ ditionis abolet: nec multò pòst miserum diuina uindicta consequitur, anno nondum elapso mortuum. Cuius filius regni successor, cum falsos illos uates ob deceptum parentem ad supplicium quæritaret: illi iam in Isauriam transfugerant. Ibi cum in hunc Leonem tum adolescentem opificem incidissent, imperium ei Romanum prædicũt. Qui cum suam fortunam intuens, infinito interuallo à tãto imperio seiunctam, illorum oraculis fidem abrogaret: illi euenturum id quod prædixissent, constanter asseuerabant, eumq; iureiurando obstringebant, ut se, imperio potitus, uoti compotes redderet. Iurat ille se facturum. Potitum igitur, ut dictum est, Romano imperio, idq; nouum iam annum tenentem, qui id ei uaticinati fuerant, conuenere, prædictionis mercedem flagitantes. Non recusat Leo, ac dicere iubet quid petant. At profani illi duo Iudæi, neq; diuitias, inquiunt, postulamus, neq; dignitatis alicuius fastigium ambimus, neq; ullum Imperij splendorem, sed illud duntaxat, ut Nazareni & genitricis eius imagines ubiq; tollantur. Tum

Hebræi duo prædicũt imperiũ mercedem, abolitionem imaginum sperant.

καὶ ἐν τῷ ξυλίνῳ κινήσεις ἦσαν πολλαὶ, δεδημευμένων ξυμπάντων, καὶ ἄλλοι δὲ τῶν συνωμοτῶν τοῦ Ἀρτεμίου ἀπεκτάνθησαν, πρὸς οἷς καὶ ὁ τῆς Θεσσαλονίκης ἀρχιερεύς. εἶτα τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον ὁ Λέων βασιλέα πεποίηκε, παρὰ τοῦ ὁσιωτάτου Γερμανοῦ τῆς ἐπὶ τῇ ταινιώσει τελετῆς τελεσθείσης. ἐντεῦθεν ὁ Λέων ἄρχεται τῆς θεομαχίας, καὶ περὶ τὴν τῶν σεπτῶν εἰκόνων ἐλύττησε. καὶ τὸν πατριάρχην μετακαλεσάμενος, Γερμανὸν, μὴ δεῖν ἔλεγε τὰς εἰκόνας τιμᾶσθαι, εἰδωλολατρείαν γὰρ τὴν τούτων ἀπεκάλει προσκύνησιν. ὁ δὲ θεῖος ἀνὴρ ἐκεῖνος, εὐφήμει βασιλεῦ ἔφη, καὶ μὴ οὕτω φρόνει. ἀσεβὲς γὰρ ἄντικρυς τὸ φρόνημα, καὶ οἶδα μὲν ᾀδόμενον τὸ μέλλειν κινηθῆναι ταύτην τὴν αἵρεσιν. ἀλλὰ μὴ σὺ γένοιο ὁ ταύτης ἀρχηγός. Κόνων γάρ τις ὀνομαζόμενος ταύτης μέλλειν κατάρχεσθαι λέγεται, καὶ ὃς ὑπολαβὼν αὐτίκα, φησὶν, ἐκεῖνος ἐγώ εἰμι, καὶ οὐχ ἕτερος. Κόνων γὰρ παρὰ τῶν γονέων νηπιόθεν ὠνόμασμαι. τὸν μὲν οὖν ἀοίδιμον Γερμανὸν μὴ πεισθέντα συνθέσθαι τῇ γνώμῃ αὐτοῦ, μᾶλλον μὲν οὖν καὶ γενναιότατα ἀντιλέγοντα, καὶ τὴν αὐτοῦ κακοδοξίαν ἐλέγχοντα, τῆς ἐκκλησίας ἐξώθησεν, ἔτη ταύτην ἰθύναντα πεντεκαίδεκα, Ἀναστάσιον δέ τινα εἰς πατριάρχην ἑαυτῷ ὁμόφρονα προχειρίζεται. τοῦ δ' οὖν οὕτω φρονῆσαι τὸν Λέοντα καὶ εἰς τοῦτο προελθεῖν ἀσεβείας, ἥκω τὴν αἰτίαν ἐρῶν.

ὅτι ἐπὶ τοῦ τῶν ... ὁ λέων.

ὅτι κατὰ τῶν ἁγίων εἰκόνων ὁ λέων εἰς τὸ φανερὸν ἐξελύττησε.

περὶ πατριαρχῶν.

ΟΘΕΝ Ο ΛΕΩΝ ΕΙΣ ΤΗΝ ἀσέβειαν προήχθη.

Ἰζὶδ τῶν Ἀράβων ἄρχων ἄρτι γεγονότος, καὶ τούτῳ προσίασιν Ἑβραῖοι δύο τὸ ἐπιτήδευμα γόητες, οἱ δὲ ἀστρολογίαν ἔλεγον μετιέναι, κἀντεῦθεν εἰδέναι τὰ μέλλοντα. καὶ τῷ Ἄραβι τὴν ἀρχὴν ἐπαγγέλλονται καὶ τὴν ζωὴν πολυχρόνιον, εἰ τῶν ἐκκλησιῶν τῶν χριστωνύμων τὰ τοῦ Χριστοῦ καὶ τῆς αὐτοῦ τεκούσης ἐκβαλεῖ ἐκτυπώματα. καὶ ὁ βάρβαρος οὐκ ἐμέλλησεν, ἀλλ' ἐκ πάντων τῶν ἐν τῇ ὑπ' αὐτὸν τελούσῃ χώρᾳ ναῶν τὰς σεπτὰς εἰκόνας ἠφάνισε. καὶ ἡ θεία δίκη τοῦτον μετῆλθεν οὐκ εἰς μακράν. οὔπω γὰρ παρῆλθεν ἐνιαυτὸς, καὶ ὁ δείλαιος τῆς ζωῆς ἐζημίωτο. ὁ δὲ τούτου παῖς τῆς ἀρχῆς διάδοχος γεγονὼς, τοὺς ψευδομάντεις ἐκείνους ἐζήτει τῆς εἰς τὸν τεκόντα ἀπάτης αὐτοὺς τίσασθαι προθυμούμενος. ἀλλ' ἔφθησαν ἐκεῖνοι φυγῇ ἐντεῦθεν, καὶ εἰς Ἰσαυρίαν κατήντησαν. ἔνθα περιτυχόντες τούτῳ τῷ Λέοντι νεανίᾳ τυγχάνοντι βάναυσον τὸ ἐπιτήδευμα, τὴν τῶν Ῥωμαίων προμαντεύονται βασιλείαν. τοῦ δὲ πρὸς τὴν οἰκείαν ἀφορῶντος τύχην, ἀφεστηκυῖαν πάνυ που πόῤῥω τοιαύτης ἀρχῆς, καὶ τοῖς ἐκείνων διαπιστοῦντος χρησμοῖς, ἐκεῖνοι συμβήσεσθαι τὴν πρόῤῥησιν ἀπισχυρίζοντο κραταιῶς, καὶ ἀπῄτουν αὐτὸν δι' ὅρκων πληροφορῆσαι αὐτοὺς, ὅτι τύχοι τῆς βασιλείας, δοῦναι σφίσιν ὃ ἂν αἰτήσωνται. καὶ ὃς ὄμνυσιν, ἢ μὴν τῆς βασιλείας τυχὼν ἐντελῆ αὐτῶν ποιῆσαι τὴν αἴτησιν. ὁ μὲν οὖν ὃν εἴρηται τρόπον τῆς τῶν Ῥωμαίων ἡγεμονίας ἐκράτησεν. οἱ δὲ τούτῳ ταύτην προμαντευσάμενοι, ἐνιαυτὸν ἤδη ἔτος τῆς αὐταρχίας ἀνύοντι προσῆλθον αὐτῷ, καὶ ἤτουν ἀποδοῦναι αὐτοῖς τῆς προῤῥήσεως τὸν μισθόν. καὶ ὁ Λέων ἕτοιμος ἦν πρὸς δόσιν, καὶ λέγειν ἠξίου, τί τὸ αἰτούμενον; καὶ οἱ βέβηλοι ἐκεῖνοι τῶν Ἰουδαίων δυὰς, οὔτε πλοῦτον, εἶπον, δοθῆναι ἡμῖν ἐξαιτούμεθα, οὔτε πρὸς δόξας ἀναχθῆναι ποθοῦμεν. οὐδ' ἱμειρόμεθα τοῦ τῆς βασιλείας λαμπροῦ, ἀλλ' ἢ μόνον τὸ τὰ τοῦ Ναζωραίου καὶ τῆς αὐτοῦ τεκούσης περιαιρεθῆναι πάντοθεν ἐκτυπώματα. καὶ ὃς ἀβέβαιος ὢν πρὸς

ὅτι οἱ τὴν βασιλείαν προμαντευσάμενοι ᾐτήσαντο τῷ λέοντι, τὴν τῶν ἁγίων εἰκόνων καθαίρεσιν.

ὢν περὶ τὴν πίστιν, ὡσανεί τι τῶν εὐκόλων καὶ ῥᾴστων τοῦτο ποιῆσαι συνέθετο, καὶ τὸ δέκατον ἄρτι ἐνιαυτὸν τῆς τυραννίδος ἀρξάμενος, καὶ τὸ θεομαχεῖν ἤρξατο, καὶ μετὰ φρικώδους βρυχήματος κατὰ τῶν σεπτῶν εἰκόνων ἐχώρησε, καὶ διωγμὸν βαρύτατον ἤγειρε, πολλούς τε ἀνθισταμένους τῇ ἐξαγίστῳ γνώμῃ αὐτοῦ ἐκόλασε, καὶ μάρτυρας ἀπειργάσατο, πρὸς δὲ τοῖς ἄλλοις, οἷς κατὰ τῶν εὐσεβούντων ἐτόλμησε, καὶ τοῦτο πεποίηκεν. οἶκος ἦν ἐν τῇ καλουμένῃ Βασιλικῇ ἔγγιστα τῶν χαλκοπρατείων βασίλειος, ἐν ᾧ καὶ βίβλοι τῆς τε θύραθεν σοφίας, καὶ τῆς εὐγενεστέρας καὶ θειοτέρας πολλαὶ ἀπέκειντο. ἦν δ' οὗτος αὐτοῖς καθέδρα τοῦ προὔχοντος ἐν λόγοις καὶ παιδευτήριον, ὃν οἰκουμενικὸν ἐκάλουν διδάσκαλον. ὃς καὶ δώδεκα ἄχρις ἑτέρους συνοικοῦντας αὐτῷ, ἐκ πάντων τῆς λογικῆς παιδείας μετέχοντας κατὰ τὸ ἀκρότατον. τούτοις καὶ σιτήσεις ἐχορηγοῦντο δημόσιαι, καὶ παρ' αὐτοὺς ἐφοίτων οἷς ἔμελε λογικῆς παιδείας καὶ γνώσεως. οὓς καὶ οἱ βασιλεύοντες συμβούλους ἐν τοῖς πρακτέοις ἐπεποίηντο. τούτους οὖν εἰ λάβοι τῆς ἑαυτοῦ ποιήσαιτο γνώμης, ᾤετο τὸ πᾶν κατεργάσασθαι. καὶ τοὺς ἄνδρας μετακαλεσάμενος, τὴν περὶ τῶν σεβαστῶν γνώμην αὐτοῦ τὴν πονηρὰν αὐτοῖς ἐκοινώσατο. οἱ δὲ οὐχ ὅσον οὐχ ὡμοδόξησαν αὐτῷ, ἀλλὰ καὶ αὐτὸν μεταστῆσαι τῆς γνώμης ταύτης ἐπεχείρουν ὁλοσχερῶς, τῇ μὲν κατεπᾴδοντες τὸν θῆρα τὸν λεοντώνυμον, καὶ κατεπᾴδοντες αὐτοῦ τὰ σωτήρια, τῇ δὲ γενναιότερον ἀντιβαίνοντες, καὶ διελέγχοντες αὐτοῦ τὴν ἀσέβειαν. ὁ δὲ ὡσεὶ ἀσπὶς ἔβυε τὰ ὦτα, καὶ φωνῆς ἐπαδόντων οὐκ ἤκουεν, οὐδ' ἐφαρμακεύετο παρὰ τῶν σοφῶν. πολλάκις δὲ αὐτοῖς προσομιλήσας, καὶ τὴν αὐτῶν μετάθεσιν ἀπογνούς, τοὺς μὲν ἀφῆκεν εἰς τὴν σφετέραν πορευθῆναι διατριβὴν τὸν οἶκον ἐκεῖνον δηλαδὴ τὸν βασίλειον. αὐτὸς δὲ κελεύσας ἐν κύκλῳ ὕλην συναχθῆναι πολλήν, καὶ πέριξ τοῦ οἴκου τεθεῖσαν ἀναφθῆναι νυκτός, οὕτω τόν τε οἶκον σὺν ταῖς βίβλοις καὶ τοὺς σοφοὺς ἐκείνους ἄνδρας καὶ σεβασμίους κατέκαυσε. διὰ ταῦτα ὁ τῆς πρεσβυτέρας τότε Ῥώμης τὴν ἐκκλησίαν ἰθύνων Γρηγόριος, τῆς πρὸς τὸν τῆς νέας Ῥώμης προεδρεύοντα, καὶ τοὺς ἐκείνῳ ὁμόφρονας ἀποστὰς κοινωνίας, ἐκεῖνον μὲν σὺν τῷ βασιλεῖ συνοδικῷ καθυπέβαλεν ἀναθέματι, τοὺς δὲ μέχρι τότε τῇ βασιλείᾳ κομιζομένους ἐκεῖθεν φόρους, ἐπέσχε, τοῖς Φράγγοις σπεισάμενος, ὅθεν αὐτοῖς ἀφορμὴ γέγονε τοῦ κυριεῦσαι τῆς Ῥώμης. οὐ γὰρ τοῦ τῶν Ῥωμαίων γένους οἱ Φράγγοι, ἀλλὰ γερμανικὸν ἔθνος τούτους εἶναί φησι, τὴν ποικίλην ἱστορίαν ὁ Καισαρεὺς Προκόπιος συγγραψάμενος, περὶ τὸν Ῥῆνον ποταμὸν καὶ τὸν Ῥοδανὸν καὶ τὰς ἐκεῖσε λίμνας πάλαι κατῳκημένον. τοῦ δὲ Βελισαρίου στρατηγοῦντος Ῥωμαίων ἐπὶ τοῦ προτέρου Ἰουστινιανοῦ, καὶ Γότθοις ἀντιπαλαιομένου περὶ Ἰταλίας καὶ τῶν ἐν ταύτῃ πόλεων καὶ τῆς Ῥώμης αὐτῆς (παρὰ γὰρ τῶν Γότθων κατείχοντο) τότε καὶ τοὺς Φράγγους ἱστορεῖ τῇ Ἰταλίᾳ ἐμβαλεῖν. τοὺς μέντοι Γότθους μὴ οἵους τε ὄντας Ῥωμαίοις καὶ τοῖς Φράγγοις ἀντικαθίστασθαι, πρὸς τοὺς Φράγγους θέσθαι σπονδάς, καὶ τὸν πρὸς ἐκείνους διαλύσασθαι πόλεμον, παρακεχωρηκότας αὐτοῖς τῶν Γαλλιῶν, ὅσαι περ αὐτοῖς προσεγίνοντο. καὶ τὴν πρᾶξιν ταύτην, καὶ αὐτὸν ἐπικυρῶσαι τὸν Ἰουστινιανὸν βασιλείῳ γραφῇ, τοῦτο δεηθέντων τῶν Φράγγων, πραγματευσάμενον τὸ μὴ Ῥωμαίοις πολεμοῦσι πρὸς Γότθους ἐναντιοῦσθαι τοὺς Φράγγους, ἀλλ'

[illegible]

ille parū firma fide prædítus, quasi res leuis ac facilima esset, se ita facturum pollicetur, & decimum suæ tyrannidis annum auspicans, unà etiam bellum contra Deum auspicatur, & cum terribili rugitu uenerandas imagines inuadit, grauissimam'que persequutionem excitat, multos detestandæ suæ uoluntati aduersantes punit, ac martyres facit. Ac præter cætera, quæ in pios ausus est, illud etiam designauit. Domus erat in Basilica proximè forum ærarium regia, in qua multi codíces & humanę, & generosioris ac diuinæ sapientiæ asseruabantur, ab antiquis temporibus ei ad habitandum attributa, qui eruditione excelleret, quem œcumeni cum doctorē appellabāt. Is XII contubernales habebat excellenter eruditos. His publicus uictus prębebatur: hos eruditionis & cognitionis auidi accedebāt: hos, Imperatores ad rerū gerendarū cōsilia adhibebāt. Eos Leo si cepisset, & in suā sententiam pertraxisset, omnia sibi confecta fore putabat. Accersit igitur uiros, improbam'que suam de uenerandis imaginibus opinionem cum eís communicat. Qui adeò non sunt assensi, ut & ipsum ab ea opinione prorsus abducere conarentur, partum demulcendo feram illam, & salutaribus carminibus incantando, partim confidentius aduersando, & eius impietatem coarguendo. Sed ille instar aspidis obturabat aures, & uocem incantantis non admittebat, neque medicinam accipiebat à sapientibus. Quum igitur sæpe cum eis egisset, persuadendi spe abiecta: eos domum dimisit in ædes illas regias, multam'que materiam aridam circum eos collocatam noctu incendi iussit, atque ita ædes cum libris, & doctos illos ac uenerabiles uiros combussit. Qua de causa Gregorius, qui tum Romæ ueteris Ecclesiam gubernabat, repudiata societate præsidis nouæ Romæ, necnon eorum qui illum sequerentur, illos unà cum imperatore synodico anathemate obstrinxit, & uectigalia quæ ad id usque tempus imperio inde pendebantur, inhibuit, icto cum Francis fœdere. Vnde illi occupandæ Romæ occasionem habuerunt. Neque enim Romani generis sunt Franci, sed (ut in Varia historia tradit Cæsariensis Procopius) gens Germanica, quæ olim circa Rhenum flumen & Rhodanum & paludes illorum locorum habitauit. Cum autem Bellisarius sub priore Iustiniano ductaret exercitum, & cum Gothis de Italia & urbibus Italicis, ipsaq; Roma, quæ tum à Gothis tenebantur, decertaret: tum Francos etiam narrat Italiā inuasisse: & Gotthos qui simul & Romanis & Francis resistere non possent, cum his, omisso bello, pacem fecisse, concessis Gallijs quæ eis accesserant: atque id factum, ipsum etiam Iustinianum, Francis petentibus, imperatorijs literis confirmasse, eo consilio, ne Romanis Gotthos oppugnantibus impedi-

Oecumenicus magister cū duodecim collegis exustus.

Gregorius Papa Romanus ab Imperatore deficit, & pacem cū Frãcis facit.

Galliæ à Frãcis occupatæ.

mento essent, sed eius confirmationis gratia, pacem agerent. Vnde Germani Massiliam Phocæensium coloniã & loca maritima omnia occuparint, & illo mari sint potiti, & magnam etiam Venetiarum partem obtinuerint. Ita Francos cum in Italorum uicinia consedissent, ab eo tempore non destitisse finitimos Romanos bellis lacessere, eorumq; prouincias populari. Igitur Papa Gregorius deserta imperatoris obedientia, ut dictum est, ob peruersam illius opinionem, pacem cum Francis fecit, quum prius sæpe dedisset operam, ut Leonem per literas ab odio Dei reuocaret, atque ad cultum sacrarum imaginum reduceret. Sed id planè erat Æthiopem lauare. Tantum enim aberat ut resipisceret, ut etiam furore contra Orthodoxos percitus, multos supplicio afficeret, & confessionis coronis ornaret. Calabros & Siculos nouis tributis onerauit, ac more Iudaicô tributum capitum pendere, & mares qui apud illos nascebantur, describi iussit.

Constantini nuptiæ. Filio iam adulto filiam Chagani Scytharum ducis despondit, eamq; baptizatam Irenem uocauit, quæ mariti errorem non amplexa est, sed pium dogma quo imbuta fuerat, constanter tenuit.

Terræmotus. Terræmotu uehementi multa templa & domus Byzantij corruerũt, magna hominum multitudine ruinis oppressa. Tunc & Arcadij statua in Xerolophi columna posita concidit, & Theodosij statua in aurea porta & obuersa continenti urbis mœnia. Corruerunt & Nicomedia & Nicæa, Bithyniæq; metropoles. Ruinam murorum tyrannus Leo ad lucri occasionem detorsit.

Tributum nouum. Nam urbano populo per præconem edixit, cum mœnia celeriter instaurare nõ posse, neque uerò expedire ciuitati, ut diu mœnibus careat, itaq; se iussisse publicis tributis accessionem adiungi, uicenos quaternos denariolos in singula nomismata: quibus in fiscum relatis, mœnia sumptibus imperatorijs instaurentur. Ea exactio ab illo tempore etiam nunc durat.

Obitus Leonis. Sic infelix Leo, quum in Reipublicæ perniciem annos uigintiquatuor imperasset, ex morbo intestinorium animam infeliciter eructauit.

IMPERIVM CONSTANTINI Copronymi.

Elogia Copronymi. ROmanum imperium unà cum paterna impietate ignominiosus eius filius suscepit, qui patris improbitatem longo interuallo superare studuit. Neq; enim contra uenerabiles imagines duntaxat insaniit, sed & præstigijs fuit deditus, & uictimarum dissectionibus, & euocationibus manium, alijsq; infandis rebus. Denique nullo scelere abstinuit, non uniformi, sed multiplici improbitate præditus, non Christianus, non paganus, non Iudæus, sed colluuio quædam impietatis, instar Africa-

εἶναι τὰ πρὸς ῥωμαίους τούτοις διὰ τὴν ἐπίῤῥωσιν φιλίας. ἐκεῖθεν δὴ οἱ γερμανοὶ μασσαλίαν τε τὴν φωκαίων ἀποικίαν, καὶ τὰ ἐπιθαλάσσια χωρία χῶρον ἅπαντα, καὶ ἐπὶ ἐκεῖ κρατῆσαι θαλάσσης, πολλὰ δὲ καὶ τῶν βενετιῶν κατασχεῖν. οὕτως οὖν οἱ φράγγοι πεπλησιακότες τοῖς ἰταλοῖς, οὐ διέλειπον ἔκτοτε ἐνοχλοῦντες τοῖς ἐκεῖσε ῥωμαίοις, καὶ τὰ ὑπ' αὐτοὺς ληϊζόμενοι. ἀποστατήσας οὖν, ὡς εἴρηται, τοῦ βασιλέως ὑπακοῆς ὁ πάπας γρηγόριος, διὰ τὴν ἐκείνου κακοδοξίαν, τοῖς φράγγοις ἐσπείσατο, πρότερον πολλάκις διὰ γραμμάτων ἀποτρέψαι λέοντα τῆς μισοθέας μανίας πειράσας, καὶ μεταπεῖσαι τὰς ἱερὰς εἰκόνας σεβάζεσθαι. ἀλλ' ἐδόκει σμήχειν αἰθίοπα. οὐ μόνον γὰρ ἀγαθὸν οὐδέν τι ἐφρόνησεν, ἀλλὰ καὶ ἐκμανεὶς κατὰ τῶν ὀρθοδόξων, πολλοὺς ἐκόλασε, καὶ ὁμολογίας στεφάνων ἠξίωσε. τούς τε καλαβροὺς καὶ τοὺς σικελοὺς φόροις νέοις ἐβάρυνε. κεφαλητίωνα τελεῖν κατὰ τοὺς ἰουδαίους δογματίσας αὐτούς, καὶ τὰ παρ' αὐτοῖς τικτόμενα ἄῤῥενα ἀπογράφεσθαι. ἤδη δὲ τοῦ υἱοῦ αὐτοῦ κωνσταντίνου τελοῦντος εἰς μείρακας, ζεύγνυσιν αὐτῷ γαμετὴν τὴν θυγατέρα χαγάνου τοῦ τῶν σκυθῶν ἡγεμονεύοντος, βαπτίσας αὐτὴν, καὶ ὀνομάσας εἰρήνην, ἥτις οὐ συναπήχθη τῇ τοῦ ἀνδρὸς κακοδοξίᾳ, ἀλλὰ μυηθεῖσα τὸ δόγμα τὸ εὐσεβὲς, ἔμεινεν ἀμετάτρεπτος. σεισμοῦ δὲ συμβεβηκότος σφοδροῦ κατὰ τὸ βυζάντιον, ναοί τε πολλοὶ καὶ οἰκίαι συνέπεσον, καὶ πλῆθος ἀνθρώπων συγκέχωστο τοῖς συμπτώμασιν. ὅτε καὶ ἡ τοῦ ἀρκαδίου στήλη ἐπὶ τοῦ ξηρολόφου κίονι ἱδρυμένη κατέπεσε, καὶ ὁ ἐν τῇ χρυσῇ πόρτῃ ἀνδριὰς τοῦ μεγάλου θεοδοσίου, ἀλλὰ μὴν καὶ τὰ κατὰ τὴν χέρσον τείχη τῆς πόλεως, ὅτε καὶ ἡ νικομήδους πόλις, καὶ πρὸς ταύτῃ ἡ νίκαια αἱ μητροπόλεις αἱ βιθυνίας καί. τὴν οὖν τῶν τειχῶν κατάπτωσιν ὁ τύραννος λίαν κέρδους μελετήσας διαθέσιν λαβὼν, διακηρυκεύσατο πρὸς τὸν δῆμον τῆς πόλεως, ὡς ὑμεῖς οὐ δυνηθέντες ταχέως ἀνεγεῖραι τὰ τείχη, ἀσύμφορον δ' ὑμῖν ἐστι πολὺ μένειν τὴν πόλιν ἀτείχιστον. διὸ προστέτακται παρ' ἡμῶν προστεθῆναι ἐν τοῖς δημοσίοις φόροις γενέσθαι φόλλεις εἴκοσι καὶ τέσσαρας ἐφ' ἑκάστῳ νομίσματι. ἵνα τούτων ὑπὸ βασιλεῖ παρεχομένων, τὰ ἀποκλασθέντα τῶν τειχῶν ἀνακαινισθῶσιν ἐξ ἀναλωμάτων βασιλικῶν, ἐκ τότε τοίνυν καὶ μέχρι τοῦδε ἡ εἴσπραξις ἐπικρατοῦσα αὕτη. οὕτως οὖν ἐπὶ κακῷ τῆς πολιτείας ὁ δείλαιος λέων βασιλεύσας ἔτη τέσσαρα πρὸς τοῖς εἴκοσι, δυσεντερίᾳ νοσήσας, ἀθλίως τὴν ψυχὴν ἐξηρεύξατο.

οἷα κατὰ τῶν ὀρθοδόξων ἐποίησεν ὁ λέων, καὶ ὅτι τὴν τοῦ χαγάνου θυγατέρα εἰρήνην ὠνόμασεν.

ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ Κοπρωνύμου.

οἷος ἦν ὁ κοπρώνυμος ἄνθρωπος. Διεδέξατο δὲ τὴν τῶν ῥωμαίων ἀρχὴν μετὰ τῆς πατρικῆς δυσσεβείας ὁ δυσώνυμος ἐκείνου υἱὸς, ὃς ὑπερβαλέσθαι τὸν πατέρα πολλῷ τῷ μέσῳ πρὸς κακίαν ἐφιλονείκησεν. οὐ κατὰ τῶν σεπτῶν εἰκόνων λυττήσας μόνον, ἀλλὰ καὶ γοητείαις προσκείμενος, καὶ ἱερείων ἀνατομαῖς, καὶ νεκυομαντείαις, καὶ ἀῤῥητοποιίαις, καὶ ὅλως οὐδενὸς κακοῦ ἀπεχόμενος, καὶ ποικίλος ὢν τὴν κακίαν, καὶ οὐ μονοειδής. οὐ γὰρ χριστιανὸς, οὐχ ἕλλην, οὐκ ἰουδαῖος ἐτύγχανεν ὢν, ἀλλ' ἀσεβείας τις κυκεὼν,

καὶ

καὶ οἷα τὰ λιβυκὰ θηρία ἱστοροῦσι φύεσθαι ἐκ μίξεως ἑτερογενῶν, πολυειδῆ καὶ σύμμικτα τὴν ἰδέαν καὶ τὴν θηριωδίαν γενόμενα. διὰ ταῦτα πᾶσι πάντων μεμίσητο, καὶ κατὰ τὸ δεύτερον ἔτος τῆς τυραννίδος αὐτοῦ (οὐ γὰρ φαίην ἂν βασιλείας) ἐκστρατεύσας κατὰ Ἀράβων, καὶ ἐν τῷ θέματι τοῦ ὀψικίου γενόμενος, οὗ δὴ θέματος τὴν ἀρχὴν ὁ γαμβρὸς αὐτοῦ ἐπεζήτει ὁ κουροπαλάτης Ἀρτάβασδος, ἐπιβουλεύει τούτῳ δὴ τῷ οἰκείῳ γαμβρῷ. οἵ τε γὰρ τῆς γερουσίας καὶ οἱ τοῦ δήμου, ἀλλὰ μὴν καὶ τὸ στρατιωτικόν, ἀπεχθανόμενοι τῷ Κωνσταντίνῳ, ὡς εἴρηται, τῷ Ἀρταβάσδῳ ὀρθοδόξῳ τυγχάνοντι τὴν βασιλείαν ἐπεψηφίζοντο. γνοὺς τοίνυν τὴν ἐπιβουλὴν ὁ Ἀρτάβασδος, καὶ διαλεχθεὶς τῷ λαῷ, ἐπιτίθεται τῷ Κωνσταντίνῳ. ἀλλ' ἔφθη διαφυγὼν ὁ Κοπρώνυμος, καὶ εἰς τὸ Ἀμόριον προσφυγών, καὶ διαπεμψάμενος πρός τε τὸν τῶν ἀνατολικῶν στρατηγὸν τὸν Λογγῖνον, καὶ πρὸς τὸν τοῦ Θρᾳκησίου τὸν Σισιννάκιον, λαμπραῖς ὑποσχέσεσιν ἔπεισεν αὐτοὺς συμμαχῆσαι αὐτῷ. ἐντεῦθεν ἐμφύλιοι πόλεμοι, καὶ ὑπ' ἀλλήλων οἱ Ῥωμαῖοι ἐφθείροντο. ἑκάτεροι γὰρ τῷ σφετέρῳ βασιλεῖ ἀντείχοντο, ἐπειδὴ ἀνερρήθη ἤδη καὶ ὁ Ἀρτάβασδος βασιλεύς. κατὰ δὲ τὴν τῶν πόλεων βασιλεύουσαν τῶν δημοσίων οἰκονόμος πραγμάτων παρὰ τοῦ Κωνσταντίνου ὁ μάγιστρος Θεοφάνης ἐάθη. ὃς τῷ Ἀρταβάσδῳ προσκείμενος, καὶ γραφὴν δὲ ἐκείνου δεξάμενος, δημοσίᾳ θάνατον τὸν Κωνσταντῖνον ἐκήρυξε, καὶ τὸν Ἀρτάβασδον ὑπὸ τῶν στρατευμάτων ἀναρρηθῆναι εἰς βασιλέα. καὶ οὕτως ὁ δῆμος τῆς πόλεως εἰς τὴν μεγάλην ἐκκλησίαν συναθροισθείς, τὸν μὲν Κωνσταντῖνον ἀναθέματι καθυπέβαλον, εὐφήμουν δὲ τὸν Ἀρτάβασδον, τούτοις συνευδοκοῦντος καὶ τοῦ πατριάρχου Ἀναστασίου. ἀχθεὶς δὲ ὁ Ἀρτάβασδος, καὶ παρὰ πάντων βασιλεὺς ἀναγορευθείς, αὐτίκα τὰς σεβασμίους εἰκόνας πανταχοῦ ἀνεστήλωσεν. ὁ δὲ πατριάρχης Ἀναστάσιος ὀμνύων, ἔλεγεν αὐτὸν τὸν Κοπρώνυμον, ὅτι ὁ Χριστὸς οὐχ υἱὸς ἐστὶ τοῦ θεοῦ, ἄνθρωπος δὲ ψιλός, ἐκ τῆς Μαρίας γεννηθείς, ὡς ἐγὼ ἐκ τῆς ἐμῆς μητρὸς ἐτέχθην Μαρίας. ἐξελθόντος δὲ τῆς μεγαλοπόλεως τοῦ Ἀρταβάσδου, μάχαι πάλιν ἐγένοντο, ὁ δὲ Κωνσταντῖνος ἐκ Χαλκηδόνος περαιωθείς, τὴν πόλιν ἐπολιόρκει, πρὸς τὰ χερσαῖα τείχη βαλόμενος χάρακα. προσβαλὼν δὲ τούτῳ καὶ ἡττηθεὶς ὁ Ἀρτάβασδος, τῆς πόλεως ἐντὸς συνέκλεισεν ἑαυτόν, καὶ τοῦ ταύτην φρουρεῖσθαι ἀσφαλῶς ἐπεμέλετο. τοῦ δὲ Κοπρωνύμου θαλασσοκρατοῦντος, καὶ μὴ ἐῶντος τὰς φορτηγοὺς ὁλκάδας ἐν τῇ πόλει κατᾶραι, λιμὸς τοὺς ἐν ταύτῃ ἐπίεζεν, ὥστε πολλοὺς ἐκ τούτου διαλυθῆναι. καὶ τὸν τοῦ Ἀρταβάσδου υἱὸν Νικήταν συνέχων, καὶ πεδήσας ἐδείκνυεν αὐτὸν τῷ πατρί. εἶτα προσβαλὼν αὖθις τῇ πόλει, βαβαὶ τῶν ἀνεξιχνιάστων σου κριμάτων, ταύτης ἐκράτησεν. ὁ δὲ Ἀρτάβασδος ἀποδρὰς, εἰς φρούριόν τι τοῦ θέματος τοῦ ὀψικίου συνέκλεισεν ἑαυτόν, καὶ κατασχεθείς, πηροῦται τοὺς ὀφθαλμούς, σὺν τοῖς δυσὶν υἱέσιν αὐτοῦ. καὶ τῶν συμμαχησάντων αὐτῷ πολλοὶ ἀνῃρέθησαν παρὰ τοῦ Κοπρωνύμου, καὶ πρὸ τῶν ἄλλων Βακτάγγιος ὁ πατρίκιος, ὁ ἐπίσημος ἀνήρ, οὗ τὴν γυναῖκα μετὰ πλείστους χρόνους ἐβιάσατο ὁ τύραννος ἀπελθεῖν εἰς τὴν χώραν, ἔνθα ἐκεῖνος ἐτέθαπτο, καὶ ἀνορύξαι τὰ τοῦ ἀνδρὸς αὐτῆς ὀστᾶ, καὶ δι' ἑαυτῆς ἀπενεγκεῖν αὐτά, καὶ ῥῖψαι εἰς τὰ Πελαγίου, ἔνθα ἐρρίπτοντο οἱ πολέμιοι καὶ κατάκριτοι. ἐμέλλε δὲ τελεῖσθαι ἱππικόν, τὸν Ἀρτάβασδον καὶ σὺν παισὶν αὐτοῦ ἐν μέσῳ τοῦ θεάτρου

Ἐπανάστασις τοῦ ἀρταβάσδου κατὰ τοῦ κοπρωνύμου.

Ἐπὶ κοπρωνύμου συμμαχήσας εἰς Θρᾴκην, τὸν πατέρα ἀρτάβασδον καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τὸν πατριάρχην δημοσίᾳ διαπομπεύει.

narum ferarum, quæ ex diuersi generis coitu multiformes confusaq; specie & immanitate nasci perhibentur. Atque ob hæc omnibus inuisus fuit. Secundo anno tyrannidis suæ (neq; enim regni dixerim) expeditione contra Arabes suscepta, cum ad opificij prouinciam peruenisset, cui prouinciæ affinis eius Artabasdus Curopalates præerat, illi affini suo insidias struxit. Nam senatus & populus atq; etiam legiones, cum, ut dictum est, Constantinum odissent, Artabasdo ut orthodoxo imperium decernebant. Verum Artabasdus animaduersis insidijs, oratione apud populũ habita, Constantinum aggreditur. Sed effugit Copronymus, & Amoriũ se contulit, missisq; ad ducem orientis Laucenũ, & ad Thracensem Sisinnacium legatis, magnificis pollicitationibus impetrauit, ut secum militarent. Hinc ciuilia bella orta sũt, & Romani sese mutuis cædibus confecerunt. Nam utriq; suo Imperatori adhærebant, & Artabasdus etiã imperator iam declaratus erat. In urbe regia Cõstantinus Theophanẽ magistrum, rerũ administratorem reliquerat: qui Artabasdo deditus, acceptis ab eo literis uulgabat, Constantino publicé interfecto, Artabasdũ á legionib⁹ creatũ esse Imperatorem. Sic urbana multitudo in magna Ecclesia cõgressa, Constantinũ anathemate notauit, & Artabasdũ laudibus prosecuta est, eadem hæc & Anastasio Patriarcha comprobante. Artabasdus igitur susceptus, & ab omnibus Imperator salutatus, statim uenerandas imagines ubiq; erexit. Anastasius autem Patriarcha iureiurando affirmauit, dixisse Copronymum, Christum non esse filium Dei, sed nudum hominẽ ex Maria natum, quemadmodũ ipse è sua matre Maria natus esset. Artabasdo urbem egresso, denuò pugnæ committebantur, & Constantinus Chalcedone transuectus, iacto circa terrestria mœnia uallo, urbem obsedit. Cum eo congressus Artabasdus & uictus, in urbe se cõclusit: & ut ea diligenter custodiretur, operam dedit. Sed quia Copronymus mare tenebat, neq; onerarias naues in urbe appellere patiebatur, fame laboratũ est, multiq; ciues perierũt. Idẽ Artabasdi filium nactus, in compedes cõiectum patri ostendebat. Deinde rursus tentata oppugnatione, ó inscrutabilia Dei iudicia, urbe potitus est. Sed Artabasd⁹ elapsus, in castellũ quoddã prouincię Opsicij se recepit. Vbi comprehensus cum duobus suis filijs excęcatur. Sunt & fœderatorum eius multi à Copronymo interfecti, & præ cęteris Bactangius Patricius, uir illustris, cuius uxorem post plurimos annos in eam regionem abire coëgit tyrannus, ubi ille sepultus erat, & refossa mariti sui ossa ipsam afferre, & proijcere in Pelagium, quò hostes & condemnati abijciebantur. Quum ludi equestres agerentur, Artabasdo & filijs eius in medio theatro circũductis trium-

Bellum ciuile inter Copronymum & Artabasdum.

Artabasdus cæcatur.

In Bactangij cadauer sæuitia.

phauit. Sed & Anastasium Patriarcham à Dippio duci iussit asino insidentem, facie uersus caudam conuersa, & ignominiosum de eo triumphum egit, prius publicè uerberato. Sic inclyti Patriarchæ Germani prædictio ipso opere est cōprobata. *Germani prædictio Anastasio.* Nam cum aliquandoeum à tergo sequeretur Anastasius, & uestem eius pedibus calcasset, conuersus Sanctus Germanus, Ne, inquit, festina, Dippium te expectat. Eum post ignominiosam circumductionem, ut assensorem suum, iterum Ecclesiam tenere, & sacris operari passus est. *Expeditio Syriaca.* Arabibus inter se dissentientibus, & bello intestino occupatis: Copronymus, arrepta occasione, Syriæ bellum infert, & Germanicíam capit. In Palæstina & Syria maximo terræ motu multæ & Ecclesiæ & Monasteria & ædes corruerunt, multaq; hominum millia perierunt, non ruina tantum, sed & pestilentia, in Sicilia, Calabria, Græcia & alijs prouincijs, *Terræmotus.* *Pestilentia.* quæ ipsum usque Byzantium est grassata, ac tanta fuit morientium multitudo, ut efferri non possent, sed plura cadauera simul curribus imposita eueherentur. Copronymo Chagani filia peperit filium, eum Leonem uocauit & imperatorem appellauit, coronatum ab Anastasio Patriarcha eiusdem opinionis. *Leo Copronymi filius.* Potitus est Copronymus & Theodosipoli & Melitina: quo successu elatus, acerbior in Ecclesiam & orthodoxam fidem euasit: edictis propositis, quibus uulgi fecem in sententiam suam impietatis plenam pertraheret. Tunc & Patriarcha Anastasius eum Ecclesia per annos uigintiquatuor impiè insultasset, uitam cum morte commutauit. Copronymus autem multis episcopis sibi suffragantibus conuocatis, quorum princeps erat Theodosius Ephesinus, & Pastilas Perganus, per eos quicquid libuit, decreuit, nemine uel ex uetere Roma, uel ex alijs Patriarchis præsente. *Synodus cōtra imagines.* Eum concursum profanorum hominum, Synodum œcumenicam appellare non dubitauit: cum quibus ædem sacrosanctam Deiparæ Blacherniam ingressus, conscenso suggesto, & Constantino quodā monacho, qui Sylæi Episcopus fuerat, illuc collocato, exclamauit: Cōstātinus œcumenicus Patriarcha multos uiuat annos. *Cōstantinus patriarcha.* Post paucos dies tyrannus in forum uenit, cum patriarcha suo, & sectatoribus episcopis, qui corā omni populo uenerandarum imaginū adorationem interdixerunt, Idololatris ijs appellatis, qui eas colerent, & anathemate notarunt inclytum Germanum, & Georgium Cyprium, qui Constantinopolitanus Patriarcha fuerat, & doctrina uirtuteq; præstantē Ioannē Damascenū, qui hunc Dei hostē & patrē eius per literas sæpe impietatis arguit. Bello cōtra Bulgaros moto Cōstātinus, cōmissoq; prælio uictus, multis nō gregarijs duntaxat militibus, sed illustribus etiam tribunis & tribunis amissis, cladem domū retulit. *Bulgarica clades.*

διαγαγὼν ἐθριάμβευσε. ἀλλὰ μὴν καὶ τὸν πατριάρχην Ἀναστάσιον ἀπὸ τοῦ Διππίου ἀναχθῆναι κελεύσας ὄνῳ ἐποχούμενον ἀντιπρόσωπον, ἵν᾽ ὁρᾷ πρὸς οὐρὰν, ἀτίμως οὕτω καὶ αὐτὸν ἐθριάμβευσε, πρότερον δημοσίως τυφθέντα. ὥστε τὴν πρόῤῥησιν τοῦ ἀοιδίμου πατριάρχου γερμανοῦ ὡς ἔργῳ ἐκβῆναι. ἑπόμενον γάρ ποτε τοῦ ῥηθέντος πατριάρχου βαδίζοντος τοῦ ἀναστασίου, καὶ πατήσαντος τὸ ἐκείνου ὠμοφόριον, στραφεὶς ὁ ἱερὸς γερμανὸς, ἔφη, μὴ σπεῦδε, τὸ Διππίον σε ἐκδέχεται. ὃν καὶ μετὰ τὴν ἄτιμον περιαγωγὴν ὡς ὁμόφρονα οἱ τῆς ἐκκλησίας αὖθις ἱερατεύειν καὶ ἱερᾶσθαι παρακεχώρηκε. τῶν ἀράβων δὲ διαφερομένων ἀλλήλοις, καὶ μάχαις ἐμφυλίοις ἀσχολουμένων, ἀφορμὴν λαβόμενος ὁ κοπρώνυμος, ἐκστρατεύει κατὰ συρίας, καὶ λαμβάνει τὴν γερμανίκειαν. σεισμοῦ δὲ γενομένου κατὰ τὴν παλαιστίνην καὶ συρίαν μεγίστου, πολλαὶ καὶ ἐκκλησίαι καὶ μοναστῶν καταγώγια καὶ οἰκίαι, καὶ μυριάδες ἀνθρώπων ἀπώλοντο. ἀλλὰ καὶ ἐκ νόσου φθορὰ πολλῶν ἀνθρώπων συμβέβηκε, κατά τε σικελίαν, καὶ καλαβρίαν, καὶ καθ᾽ ἑλλάδα καὶ χώρας ἑτέρας, ἣ καὶ ἕως αὐτοῦ τοῦ βυζαντίου κατήντησε, καὶ τοσοῦτον ἦν τὸ τῶν θνησκόντων πλῆθος, ὡς μὴ οἷόν τε εἶναι τοὺς θνήσκοντας ἐκκομίζεσθαι, διὸ ἁμάξαις αὐτοὺς κατὰ πλείονας ἐπιτεθέντας ἐξέφερον. τῷ δὲ κοπρωνύμῳ ἐκ τῆς τοῦ χαγάνου θυγατρὸς ἐτέχθη παῖς, ὃν ὠνόμασε λέοντα, καὶ ἀνηγόρευσε βασιλέα, στεφθέντα διὰ ἀναστασίου τοῦ ὁμοδοξοῦντος αὐτῷ πατριάρχου. ἐκράτησε δὲ ὁ κωνσταντῖνος τῆς θεοδοσιουπόλεως καὶ τῆς μελιτινῆς, ὅθεν ὑπερφρονήσας, σφοδρότερον κατὰ τῆς ἐκκλησίας καὶ τῆς ὀρθοδόξου πίστεως ἐκινεῖτο, δόγματα ἐκτιθέμενος, δι᾽ ὧν τὸν συρφετώδη ὄχλον ὑποσύρειν ἐπειρᾶτο τῷ αὐτοῦ ἀσεβεστάτῳ φρονήματι. τότε καὶ ὁ πατριάρχης ἀναστάσιος ἀσεβῶς τῆς ἐκκλησίας κατεχόμενος, εἴκοσι χρόνοις ἄκροις πρὸς τοῖς τέτταρσι, κατέστρεψε τὴν ζωήν. ὁ δὲ κοπρώνυμος ἐπισκόπων ὁμοφρόνων αὐτῷ πολλῶν συναγωγὴν ποιησάμενος, ὧν κατῆρχε θεοδόσιος ὁ ἐφέσου καὶ πασιλᾶς ὁ πέργης, δι᾽ αὐτῶν ἃ ἐβούλετο, ἐδογμάτισε, μήτινος ἢ ἐκ ῥώμης τῆς πρεσβυτέρας, ἢ ἐκ τῶν ἄλλων παρόντος πατριαρχῶν. καὶ τὴν τοιαύτην συνδρομὴν τῶν ἀνιέρων ἐκείνων, σύνοδον οἰκουμενικὴν καλεῖσθαι οὐκ ἀπηγόρευσε. μεθ᾽ ὧν εἰς τὸν ἐν βλαχέρναις ναὸν τῆς θεοτόκου ἀφικόμενος, καὶ ἐν τῷ ἄμβωνι ἀναβιβάσας, κωνσταντῖνον τινὰ μοναχὸν, ἐπίσκοπον συλαίου γενόμενον, ἀναβιβάσας ἐκεῖ, ἐξεφώνησε. κωνσταντίνου οἰκουμενικοῦ πατριάρχου πολλὰ τὰ ἔτη. καὶ μετ᾽ ὀλίγας ἡμέρας ἐν τῷ φόρῳ παραγινόμενος ὁ τύραννος οὗτος μετὰ τοῦ πατριάρχου αὐτοῦ, καὶ τῶν ὁμογνωμονούντων αὐτῷ ἐπισκόπων, ἐνώπιον παντὸς τοῦ λαοῦ τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν ἀπαγορεύσαντες, εἰδωλολάτρας τοὺς ταύτας σεβομένους καλέσαντες, καὶ ἀναθέματι καθυπέβαλον τόν τε ἀοίδιμον γερμανὸν, καὶ τὸν ἐκ κύπρου γεώργιον πατριάρχην τῆς κωνσταντίνου γενόμενον, καὶ τὸν μέγαν ἐπὶ σοφίᾳ καὶ ἀρετῇ ἰωάννην τὸν δαμασκηνὸν, ὃς πολλάκις τὸν θεόμαχον ἤλεγξε τοῦτον καὶ τὸν αὐτοῦ πατέρα δι᾽ ἐπιστολῶν ἀσεβεῖς. ἐκστρατεύσας δὲ κατὰ βουλγάρων ὁ κωνσταντῖνος, καὶ συμβαλὼν αὐτοῖς, καὶ πολλοὺς ἀποβαλὼν, οὐ τῶν τυχόντων μόνον στρατιωτῶν, ἀλλὰ καὶ τῶν ἐπισήμων καὶ στρατηγῶν, μεθ᾽ ἥττης ἐπανέζευξεν. ἀνῃρέθη

δὲ χριστιανοὶ

[illegible]

δὲ χριστιανοὶ παρὰ τοῖς ἀγαρηνοῖς τοὺς τῶν δασμῶν μεταχειριζόμενοι κώδικας (οὐ γὰρ οἴδασιν ἀριθμὰν ἐκεῖνοι, ἀλλ' οὐδὲ γράφειν ψήφους λεπτάς, τριταμοιρίας καὶ τέταρτα, καὶ ὄγδοα καὶ δωδέκατα, καὶ τὰ τούτων ἔτι λεπτότερα) φθόνῳ τότε τὴν τούτων μεταχείρισιν ἐκωλύθησαν. μὴ δυνηθέντων δὲ τῶν τῆς ἄγαρ δι' ἑαυτῶν τὸ τοιοῦτον ἀνύειν ἔργον, αὖθις τὴν τῶν γραφῶν τούτων οἰκονομίαν ἐνεχειρίσθησαν. ὁ μέντοι δυσώνυμος τύραννος ἀνδρέαν τινὰ μοναχόν, καλυβίτην λεγόμενον, ὅσιον ἄνδρα, ἐλέγχοντα αὐτὸν καὶ ἀσεβῆ καλοῦντα, καὶ ἄλλον ἰουλιανόν, καὶ οὐάλεντα μαστιζόμενον ἔκτεινεν. οἱ Βούλγαροι δὲ τοὺς αὐτῶν ἀρχηγούς, οἳ ἐκ σειρᾶς κατήγοντο ἡγεμονικῆς, ἀνελόντες, ἕτερον εἵλοντο μὴ τῇ ἡγεμονίᾳ προσήκοντα, τελέτζην καλούμενον. ἐπιστρατεύσας δὲ κατ' αὐτῶν ὁ τύραννος, διά τε γῆς καὶ θαλάσσης, καὶ γενόμενος κατὰ τὴν ἀγχίαλον, κἀκεῖ συμβαλὼν αὐτοῖς, τοῦ πολέμου ἐξ ὥρας πέμπτης τῆς ἡμέρας ἕως ἑσπέρας ἐπικρατήσαντος, καὶ πεσόντων πολλῶν ἑκατέρωθεν, ὅμως μέντοι νικᾷ, καὶ ὁ μὲν τῶν Βουλγάρων ἀρχηγὸς ἀποδιδράσκει, φόνος δὲ πολὺς τῶν βαρβάρων ἐγένετο, καὶ οὐ μείους ἐλήφθησαν δορυάλωτοι, πολλοὶ δὲ καὶ τῷ βασιλεῖ προσεχώρησαν. κἀντεῦθεν ἐπαρθείς, θρίαμβον ἐπὶ τῇ νίκῃ κατήγαγεν, αὐτὸς μὲν πανοπλίτης διιὼν μεθ' ὡπλισμένης τῆς στρατιᾶς, τοὺς δ' αἰχμαλώτους δεσμίους ἄγων, τοῖς ὅπλοις αὐτοῦ τὴν νίκην, ἀλλ' οὐ τῇ θείᾳ δυνάμει ἐπιγραφόμενος. καὶ μετὰ τὸν θρίαμβον τοὺς αἰχμαλώτους πάντας ἀναιρεθῆναι προσέταξεν. γέγονε δὲ χειμὼν ἐν ταῖς ἡμέραις τῆς αὐταρχίας αὐτοῦ μέγας, ὥστε μὴ μόνον τοὺς ποταμοὺς ἐκ τοῦ ψύχους κρυσταλλωθῆναι διόλου, ἀλλὰ καὶ αὐτὴν τὴν θάλασσαν τὴν ἀρκτῴαν ἐπὶ σταδίους πάνυ πολλούς, καὶ τὸν τοῦ στενοῦ πορθμόν, καὶ τὸν ἐκ τῆς πόλεως πρὸς χρυσόπολιν. εἶτ' αὖθις τῷ κρυστάλλῳ χιόνος ἐπιπεσούσης, κἀκείνης ἐκ τοῦ κρύους συμπιληθείσης τε, καὶ κρυσταλλωθείσης, πεζοπορούντες οἱ ἄνθρωποι διήεσαν τὸν πορθμὸν τοῦ στενοῦ καὶ τὸν ἐκ τῆς πόλεως πρὸς χρυσόπολιν, ἀχθοφοροῦντά τε ὑποζύγια, καὶ βόες ἁμάξας ἕλκοντες σὺν φόρτῳ πολλῷ. τοῦτο δὲ καὶ ἐν ταῖς ἄλλαις θαλάσσαις τότε γενέσθαι λέγεται. εἶτα τοῦ ἀέρος θαλφθέντος, διερράγη τῶν κρυστάλλων τὸ συνεχές, καὶ εἰς τμήματα διεκόπη. πνεῦμα δὲ πνεῦσαν ἀθρόον σφοδρόν τε καὶ βίαιον ἤλαυνε διὰ τῆς θαλάσσης τὰ τμήματα, κατ' ὄρη ἐοικότα βουνῶν μεγάλων, ἢ νήσων πολυπλέθρων τινῶν. οἷς καὶ ζῷα ἄγριά τε καὶ χειροήθη συνεπεπήγεσαν προσληφθέντα τῷ κρυστάλλῳ, καὶ ἀποψύξαντα. τούτων τῶν κρυστάλλων ἔνια τοῖς παραλίοις τείχεσι τῆς πόλεως τῇ βίᾳ τῶν ἀνέμων καθ' ὑδάτων μετὰ ῥύμης σφοδρᾶς κυλινδούμενα εἰς προσούρα τὴν, κατέβαλον εὐθὺς τὰ προσαραττόμενα, καὶ οὐ τὰ τείχη μόνον ἤρειπον, ἀλλὰ καὶ οἰκίας πλησιαζούσας τούτοις συγκατέσειον. καὶ αὐχμὸς δ' ἐπὶ τούτοις πολὺς συνέβη, ὡς καὶ τοὺς ἀεννάους ποταμοὺς ξηρανθῆναι, καὶ τὰς πηγὰς τελείως ἐπιλιπεῖν. οὐδὲν δ' ἐκ τούτων ἐβελτιώθη ἡ ἀσύνετος ἐκείνου ψυχή, ἀλλὰ τὸν πατριάρχην αὐτοῦ προσκαλεσάμενος, ἔφη, ἐν ἀπορρήτοις αὐτῷ, εἰπέ μοι, εἰ χριστοτόκον τὴν μαρίαν καλοῦμεν, τίς ἐκ τούτου ἔσται βλάβη; ὁ δὲ αὐτίκα εἰς ἱκετείαν ἐτράπετο λέγων, μὴ τοῦτον ἄλλοτε ἢ πρὸς ἄλλον ἐκφωνήσῃς ὦ βασιλεῦ. τοῦ νεστορίου γάρ ἐστι τὸ φρόνημα. ἢ οὐκ οἶδας ὅπως ἐκεῖνος παρὰ πάσης τελειοῦται ἐκκλησίας πεσὼν, καὶ ἀναθέματι κατακέκριται; ὁ δὲ ἀντεπεκρίθη αὐτῷ, ὅτι οὐχ ὡς ἐγὼ οὕτω φρονῶν, ἅπερ εἶπον, ἀλλὰ μαθεῖν ἐθέλων ἠρώτησα. ἐκ τοιούτου δ' ἐξενήχθη θεομαχίας, ὡς καὶ τὰ τῶν ἁγίων

Margin: περὶ μοναχῶν. — οἷος χειμὼν γέγονεν ἐπὶ τῆς βασιλείας τοῦ δυσωνύμου. — οἷα ἠρώτησεν ὁ ἄθεος, καὶ οἷα ἐκεῖνος.

Cum autem Christiani ab antiquis temporibus uectigalium codices tractarent apud Agarenos (neq; enim scribere aut subtiliores rationes trientium, quadrantium, besſium & unciarū, & ſi qua tenuiora ſunt, perſequi ſciunt) tunc ex inuidia ea tractatione ſunt interdicti: & tamen eam adminiſtrationem receperunt, quod Agareni eiuſmodi opus exequi nequirent. Infamis tyrannus Andream quendam monachum, qui Calibytes uocabatur, uirum ſanctum, quod ab eo reprehenſus & impius dictus fuerat, Iulianum item & Valentem flagris occidit. Bulgari ducibus ſuis, qui è principum familijs ortum ducebant, interfectis, alium elegerunt à principatu alienum, nomine Teleutzam. Eos Imperator terra mariq; illato bello, ad Anchialum eſt aggreſſus, cumq; pugna ab hora diei quinta uſque ad ueſperam duraſſet, & utrinque multi eccidiſſent, uictor tandem euaſit, duce Bulgarorum fuga elapſo, magnaq; Barbarorum cæde edita, nec paucioribus captis: multi quoque ultrò ad Imperatorem ſe contulerunt, qui re bene geſta " elatus, triumphum egit, ipſe armatus cum ar- " matis legionibus antecedens, captiuosq; in " uinculis adducens, uictoria non diuinæ potentiæ, ſed ſuis armis adſcripta. Poſt triumphum captiuos omnes interemit. Sub eius Imperio ſæuiſsima hyems fuit, adeò ut non fluuij tantum, ſed & mare Septentrionale ad complura ſtadia frigoribus conglaciarent, anguſtum item fretum, & quo ex urbe Chryſopolim traijcitur. Cumq; nix in glaciem cecidiſſet, eaq; gelu denſata & in glaciem ipſa quoq; cōuerſa eſſet, homines fretum pedibus Chryſopolim uſq; tranſibant, & ſarcinis onuſta iumenta, & boues plauſtra magni ponderis trahentes. Idem tunc & in alijs maribus accidiſſe fertur. Pòſt, aere tepefacto, continua glacies diſſoluta, & in fragmina redacta eſt, quæ uenti uehementis impetu uiolenter per mare agitabantur, collibus & ſpatioſis inſulis non diſſimilia. His animantes inerant feræ & cicures exanimatæ aſtrictæq; glacie. Eorum fragminum quædam ui uentorum ſub aquis impetu uehementi marinis impacta mœnibus, non ipſa tantum, ſed & uicinas ædes proſtrauerunt. Hæc æſtus ingens eſt ſequutus, quo & perennes amnes ſiccati ſunt, & fontes penitus defecerunt. Verum ſtupidus Imperatoris animus his rebus nihil emendatus eſt, ſed patriarcham ſuum arcanò interrogauit: Si Mariae Chriſtipara uocaretur, nunquid in eo eſſet incommodi? Tum ille ad preces conuerſus: Ne (inquit) aliàs, neque apud alios Imperator iſtud protuleris. Eſt enim Neſtorij ſententia. Num ignoras ut ille ab omni fidelium Eccleſia ſit proſcriptus, & anathemate notatus? Ad hoc ille, ſe non quod ita ſentiret, ſed cognoſcē " di cauſa illud interrogaſſe: & eo impietatis " eſt progreſſus, ut etiam ſanctorum reliquias "

Margin: Agarenorū inſcitia. — Monachorum quorundam cædes. — Bulgaricus triumphus. — Hyēs ſæua. — Aeſtus ingens. — Conſtantini in ſanctorū reliquias & monachos graſſatiões.

igni traderet, & Sancti titulum, neque Deiparæ, neque ulli eorum qui Deo placuere, tribui iuberet, sed dici uellet, Apostolus Petrus & Paulus, martyr Theodorus & Gregorius, & sic in cæteris. Quum autem prophana illa Pontificia synagoga, de qua iam à me dictum est, impia sua decreta scripto complexa esset: id scriptum Tomum Synodicum homo impius appellari uoluit, utque ei subscriberetur ab omnibus Pontificibus, & uirtute illustribus monachis postulauit. Quos monachos etsi uehementissimè persequutus fuerat, adeò ut ferè nullus, qui quidem prodiret in publicum, in urbe esset reliquus: tamen plures adhuc babitabant, & alij extra urbem uitam agebant. Qui igitur immanitati eius metu cedebant, & impiam illam scripturam confirmabant, uiuere citra noxam sinebantur. Qui refragabantur, acerbis mortibus, & atrocibus supplicijs uita priuabantur. Quo tempore magnus ascetes & athleta celebris Stephanus acceptione & subscriptione tomi illius recusata, post multa tormenta crudeliter occisus est, & è prætorij carcere protractus usque ad Pelagium, illic cum condemnatis est proiectus. Nam quo in loco Pelagij martyris ædes fuerat, in eo, destructa illa, Sanctorum osor, fossa profundissima excauata, condemnatos abijci iussit. Multos etiam senatorij ordinis, ob sacrarum imaginum cultum supplicio affecit, & iusiurandum ab omnibus exegit, ne quis eas ueneraretur, idemque iusiurandum ab ipso quoque Constantino, quem Ecclesiæ præfecerat, postulauit, atque is in suggesto stans, iurauit. Cum classe magna contra Bulgaros Anchialum profectus est, sed procella uenti nauibus ferè omnibus collisis, magna multitudo & naualium sociorum & militum perijt. Vnde re infecta rediit, nihilominus tamen furore percitus, quum in theatro ludi Circenses agerentur, multos monachos comprehendit, ac triumphum de illis egit, per theatrum circumductis, quum inhonestas mulierculas manibus tenerent. Quosdam etiam illustrium Principum prodidit: alios ex inuidia, ob pulchritudinem & robur: alios per calumniam, quòd sibi insidiarentur, & sua facinora monachis narrarent. Ac duobus insignioribus capita resecuit: reliquos, oculis erutis, certis locis inclusit, eoque lorarijs quotannis missis, unum quenque centum neruis bubulis cædi iussit. Ad hæc Constantino Patriarchæ à se designato crimini dedit, quòd cum eorum Principum uno colloquia contra se haberet: subornatis ad eum conuincendum accusatoribus, quos, illo inficias eunte, iurare coëgit. quo facto Patriarcha relegatus est, & alius à tyranno creatus Nicetas eunuchus, non ingenuus, sed seruili genere ortus, qui uix legere poterat, in mulie bribus ministerijs uersatus: deinde Cōstātinū

Pelagium.

Monachorum exagitatio.

Sæuitia in proceres.

Constantini patriarchæ supplicium.

Nicetas patriarcha.

λείψανα παραδιδόναι πυρί, καὶ τὸ ἅγιος, ἐκέλευσε μήτε ἐπὶ τῆς θεοτόκου λέγεσθαι, μήτε μὴν ἐπί τινος τῶν εὐαρεστησάντων θεῷ, ἀλλ' ὁ ἀπόστολος πέτρος καὶ παῦλος λέγειν, καὶ μάρτυς γεώργιος ἢ θεόδωρος, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. τῆς δὲ τῶν ἀνιέρων ἀρχιερέων συναγωγῆς, περὶ ἧς ἤδη μοι εἴρηται, γραφῇ τὰ παρ' αὐτῶν ἀσεβῶς δογματισθέντα παραδόντων. τόμον συνοδικὸν αὐτὰ καλέσας ὁ ἀσεβέστατος, ἀπῄτει ἀρχιερεῖς τε πάντας καὶ τῶν μοναζόντων τοὺς περιβοήτους ἐπ' ἀρετῇ, ταῦτα ὑποσημήνασθαι. εἰ γὰρ καὶ διωγμὸν κατὰ τῶν μοναχῶν βαρύτατον ἤγειρεν, ὡς μή τινα σχεδὸν ἐν τῇ πόλει περιλειφθῆναι, ἢ ὅπως δημοσιεύειν μονάζοντα, ἀλλ' ἔτι ἦσαν πολλοὶ κρυπτόμενοι, καὶ ἕτεροι τῆς πόλεως ἐκτὸς πεποιημένοι τὴν ἄσκησιν. ὅσοι μὲν οὖν φόβῳ τῆς ἐκείνου θηριωδίας ὑπείκοντες, καὶ τὴν ἄθεον ἐκείνην ἐβεβαίουν γραφήν, ζῆν εἴωντο, καὶ ἀπαθεῖς ἀφίεντο. ὅσοι δὲ μὴ ἐπείθοντο, πικραῖς κολάσεσι καὶ βιαίοις θανάτοις τοῦ ζῆν ἐστερίσκοντο. ὅτε καὶ ὁ μέγας ἐν ἀσκηταῖς καὶ ἐν ἀθληταῖς περιβόητος στέφανος, μὴ πεισθεὶς ὃν ἐκεῖνος ἐκάλει τόμον δέξασθαί τε καὶ βεβαιῶσαι, πολλὰ παθὼν, τέλος ἀνῄρητο ἀπηνῶς, καὶ συρόμενος ἐκ τῆς τοῦ πραιτωρίου εἱρκτῆς ἄχρι τῶν πελαγίου, ἐκεῖ μετὰ τῶν κατακρίτων ἐρρίφη. ὅπου τέμενος ἦν τοῦ μάρτυρος πελαγίου, ὃ καθελὼν ὁ μισόθεος, καὶ βόθρον ὀρύξας βαθύτατον, ἐκεῖ τοὺς καταδίκους ῥιπτεῖσθαι προσέταξε. πολλοὺς δὲ καὶ τῶν ἐν τέλει καὶ τῶν τῆς συγκλήτου βουλῆς διὰ τὴν τιμὴν τῶν ἁγίων εἰκόνων ἐτιμωρήσατο, καὶ ὅρκον ἐκ πάντων ἀπῄτησε, μή τινα σέβας νέμειν ταῖς θείαις εἰκόσιν, ἀλλὰ καὶ ἐξ αὐτοῦ τοῦ κωνσταντίνου ὃν αὐτὸς τῆς ἐκκλησίας προέστησε τὸν ὅρκον τοῦτον ἀπῄτησε, καὶ ὃς ἐν τῷ ἄμβωνι ἀναβὰς, ὤμοσε. κατὰ βουλγάρων δὲ μετὰ στόλου πολλοῦ ἐξελθὼν, εἰς ἀγχίαλον τὰς νῆας προσώρμισε, καὶ πνεύσαντος ἀνέμου σφοδροῦ, συνετρίβησαν σχεδὸν ἅπασαι, καὶ πλήθη πολλὰ τοῦ τε ναυτικοῦ, καὶ τοῦ στρατιωτικοῦ ἀπώλοντο ἐν τοῖς ὕδασιν. ὅθεν ἄπρακτος ἐπανῆλθεν. ἐκμαινόμενος μέντοι κατὰ τῶν μοναχῶν, ἱπποδρομίας γινομένης ἐν τῷ θεάτρῳ, πολλοὺς αὐτῶν κατασχὼν, ἐθριάμβευσε διὰ τοῦ θεάτρου περιαγαγὼν, ἄσημα ταῖς χερσὶν κατέχοντας γύναια. καί τινας τῶν ἐπισήμων ἀρχόντων τοὺς μὲν φθόνῳ διὰ ὡραιότητα, καὶ ῥωμαλεότητα, τοὺς δὲ ὅτι τὰς ἀθεμιτουργίας αὐτοῦ μοναχοῖς ἐξηγόρευον, συκοφαντήσας, ὡς κατ' αὐτοῦ βουλευομένους, διώλεσε. δύο μέν τοι τῶν ἐπισημοτέρων τὰς κεφαλὰς ἐκτεμὼν, τοῖς δὲ λοιποῖς ἐκκόψας τὰ ὄμματα, καὶ περιγράπτοις ὁρίοις συγκλείσας αὐτοὺς, ἔνθα κατ' ἐνιαυτὸν πέμπων, ἑκατὸν βουνεύροις ἕκαστον ἔτυπτεν. ἀλλὰ καὶ τὸν παρ' αὐτοῦ προβληθέντα κωνσταντῖνον πατριάρχην, ἑνὶ τῶν ἀρχόντων τούτων συνομιλῶν εἰπὼν, καὶ λέγειν κατ' αὐτοῦ. καὶ κατηγόρους τινὰς εἰς ἔλεγχον αὐτοῦ παρασκευάσας, καὶ ἀρνουμένου ἐκείνου, ὀμόσαι τοὺς κατηγόρους πεποίηκε. τούτων δὲ γενομένων, ὑπερόριος ὁ πατριάρχης ἐγένετο. ἕτερον δὲ προβάλλει πατριάρχην ὁ τύραννος, ἐκτομίαν τινὰ νικήταν, οὐδ' ἐξ ἐλευθέρων, ἀλλ' ἐκ δούλων ἕλκοντα τὴν τοῦ γένους σειρὰν καὶ σχεδὸν, οὐδ' ἀναγνῶναι δυνάμενον, ἦν γὰρ περὶ τὴν γυναικωνῖτιν ἐσχολακὼς, εἶτα ἐκ τῆς ὑπερορίας ἀχθέντα

ὅσα ἐποίει ὁ κοπρώνυμος κατὰ τῶν μοναζόντων βεβαιοῦσαι τὴν κατὰ τῶν ἁγίων εἰκόνων συγγραφήν.

ὅτι κατὰ βουλγάρων ἐκστρατεύσας ἄπρακτος ἐπανῆλθε, καὶ ὅσα κατὰ τῶν μοναχῶν ἐποίει καὶ κατὰ ἀρχόντων.

ἀχθῆναι τὸν Κωνσταντῖνον, καὶ ἀπανθρώπως αἰκισθέντα, ὡς μὴ δὲ βαδίζειν δύνασθαι, εἰς τὴν μεγάλην ἐκκλησίαν ὡς ἄχθος τι βασταζόμενον ὁ τύραννος μετακομισθῆναι ἐκέλευσε. καί τινος τὰ κατ' αὐτοῦ ἀναγινώσκοντος αἰτιάματα, παρουσίᾳ πλήθους πολλοῦ ἐπὶ τούτῳ συναθροισθέντος, καὶ τοῦ νέου πατριάρχου Νικήτα ἐν τῷ συνθρόνῳ καθημένου καὶ ἀκροωμένου αὐτῶν, ἐκεῖνος κατὰ κόρρης ἐπαίετο, καὶ οὕτως ἤδη πολὺ ἐμπαροινηθεὶς, τέλος ἀναθεματίζεται, καὶ ψιλωθεὶς τὴν κεφαλὴν καὶ τὸν πώγωνα, ἀλλὰ μέντοι καὶ τὰς ὀφρύας, καὶ ὄνῳ ἐποχηθεὶς, ἱπποδρομίας τελουμένης εἰσάγεται εἰς τὸ θέατρον, ἀτίμως θριαμβευόμενος καὶ ἐμπτυόμενος καὶ κόνει πασσόμενος. ἤδη τούτοις τινὰς τῶν ἀρχόντων στείλας ὁ τύραννος, ἠρώτησεν αὐτὸν, τί αὐτῷ δοκεῖ περὶ τῆς αὐτοῦ πίστεως, καὶ περὶ τῆς συνόδου; ὁ δὲ ἐκμειλισσόμενος τὴν ἐκείνου ὠμότητα, ἀπεκρίθη, καλῶς πιστεύειν αὐτὸν, καὶ ἀκριβῶς δογματίσαι τὴν σύνοδον, καὶ ταῦτα εἰπὼν ὁ τρισάθλιος, εἰς τὸ κυνηγέσιον ἀπαχθεὶς, ἀπετμήθη τὴν κεφαλήν. καθ' ἑκάστην δὲ τῇ κατὰ τῶν ἐκκλησιῶν καὶ τῶν μοναστηρίων μανίᾳ προσετίθει ὁ βέβηλος. ἀκόλαστος δὲ ὢν, καὶ τρεῖς γυναῖκας ἠγάγετο, καὶ ἐκ μὲν τῆς πρώτης ἔσχε παῖδα τὸν Λέοντα, ὃν καὶ τοῦ τῆς βασιλείας ὀνόματος κατηξίωσεν, ἐκ δὲ τῶν ἄλλων Χριστοφόρον, Νικηφόρον τε καὶ Νικήταν, καὶ τοὺς μὲν δύο καίσαρας ἔστεψε, τὸν δὲ Νικήταν ἐτίμησε νωβελλίσιμον, καὶ τῷ πρώτῳ υἱῷ αὐτοῦ καὶ βασιλεῖ ἠγάγετο γυναῖκα ἐξ Ἀθηνῶν, καὶ ἐμνηστεύσατο ταύτην αὐτῷ, εἴψας αὐτὴν αὔγουσταν, καὶ καλέσας Εἰρήνην, ἐξ ἧς ἐτέχθη τῷ Λέοντι παῖς Κωνσταντῖνος ὀνομασθείς. αὖθις δὲ ὁ Κοπρώνυμος μετὰ σφόδρα πολλῶν τριηρῶν καὶ δρομώνων κατὰ Βουλγάρων ἐξώρμησε, βουλόμενος διὰ τοῦ Ἴστρου εἰς Βουλγαρίαν ἐπεμβαλεῖν. εἶτα δειλανδρικῶς ἀναζεῦξαι διεμελέτα. καὶ οἱ Βούλγαροι δὲ δείσαντες ἀποστολὰς διέθεντο πρὸς εἰρήνην διαπρεσβευσάμενοι καὶ ἐποιήσαντο ἤδη συνθήκας, τοῦ μήτε Βουλγάρους τὰ Ῥωμαίων λῄζεσθαι, μήτε μὴν Ῥωμαίους ἐπιέναι κατὰ Βουλγάρων. καὶ ἤδη τούτοις ἐπανελήλυθε. τινὲς δὲ τῶν Βουλγάρων δώροις ὑποσυρέντες παρὰ τούτου τοῦ αὐτοκράτορος, ἐν ἀπορρήτοις ἐδήλωσαν αὐτῷ τὰ τῷ ἄρχοντι σφῶν βουλευόμενα. οἱ μεμηνύκασι τῷ Κωνσταντίνῳ, ὡς βούλεται ὁ σφέτερος ἀρχηγὸς λαὸν ἐκπέμψαι κατά τινος τῶν Ῥωμαϊκῶν χωρῶν, ἵν' ἐκεῖθεν λείαν κομίσωσιν. καὶ ὃς κατασκόπους στείλας, ὅτε ὥρμησαν ἐκ Βουλγαρίας οἱ λῃστευόμενοι, κἀκεῖνος ἕτοιμος ὢν, αἰφνίδιον ἐπιδραμὼν κατ' αὐτῶν, τοὺς μὲν διέφθειρε, τοὺς δὲ καὶ ἐζώγρησε, καὶ μετ' αἰχμαλωσίας πολλῆς ἐπανέστρεψε, καὶ πάλιν ἔνοπλος ἐθριάμβευσεν. εἶτα πολλὰς τριήρεις ἑτοιμασάμενος κατὰ Βουλγάρων ἐξέπεμψε, καὶ κατὰ Μεσημβρίαν γενομέναις αὐταῖς, κλύδων ἐκ πνευμάτων βιαίων ἐμπεσὼν, σχεδὸν ἁπάσας κατέλυσεν. ὁ τῶν Βουλγάρων δὲ ἀρχηγὸς Τελέριχος ὑποπτεύσας ὑπὸ τῶν οἰκείων μεμηνύσθαι ταῦτα τῷ βασιλεῖ τὰ αὐτῷ βουλευόμενα, μὴ εἰδὼς δὲ τίνες οὗτοι, κατασοφίζεται τὴν τοῦ Κοπρωνύμου κουφότητα, καὶ ἐξ αὐτοῦ μανθάνει τὸ ἀγνοούμενον. γράφει γὰρ δι' ἀπορρήτων βούλεσθαι προσελθεῖν αὐτῷ, καὶ ἀξιοῦν δηλῶσαί οἱ, εἴ τινας ἔχει φίλους ἐκ τῶν παρὰ Βουλγάροις ἐξόχων, ἵν' ἐκείνοις θαρρήσας τὸ ἀπόρρητον, καὶ σὺν ἐκείνοις ἀφίκοιτο πρὸς αὐτόν· ὁ δὲ παχὺς, ὡς ἔοικεν,

patriarcham ab exilio reductum, & sæuissimè excarnificatum, ut ambulare non posset, in magnam Ecclesiam instar sarcinæ portari iussit. Ibi quodam crimina quæ illi obijciebantur recitante, præsentibus multis, qui ea de causa conuocati erant, & nouo patriarcha Niceta in solio sedente, & illa ausculiante, alapis cæditur: ac diu ita exagitatus, tandem anathemate notatur, euulsisque capillis, barba & superciliis, ac asino impositus, ludis Circensibus in theatrum introducitur, ignominiosoque triumpho conspuitur, & puluere conspergitur. Post hæc procerum quibusdam missis tyrannus eum percontatur, quid de fide ipsius sentiat, deque synodo. Ille, crudelitatem eius placaturus, respondet, eum & rectè credere, & decreta synodi accurata esse. His miser dictis in uenationem abductus, obtruncatur. Indies autem homo prophanus furori contra Ecclesias & monasteria adiecit aliquid: & quia intemperans erat, tres duxit uxores, è quarum prima filium Leonem suscepit, quem Imperatorio nomine ornauit, è cæteris Christophorum, Nicephorum & Nicetam, ac priores duos corona Cæsarea ornauit, Nicetæ Nobilissimi titulum tribuit. Primo filio & Imperatori, uxorem Atheniensem despondit, & Augustam appellauit, indito Irenæ nomine, è qua Leoni filius Constantinus natus est.

Constantini liberi.

Post hæc denuò cum plurimis triremibus & expeditis nauibus contra Bulgaros est profectus, per Istrum in Bulgariam irrupturus. Sed quum audacioris conatus pœniteret, de reducendo exercitu cogitauit. Bulgari quoquè territi, missis Legatis pacem petierunt, eamque his conditionibus impetrarunt, ut neque ipsi prouincias Romanas uastarent, neque à Romanis inuaderentur. His peractis domum rediit.

Bulgarica pax.

Quidam tamen è Bulgaris adducti largitionibus clàm Imperatori ducis sui consilia aperuerunt: atque indicarunt, eum prædones in quandam Romanam prouinciam emissurum. Missis igitur exploratoribus, iamque instructus, quum illi prædatum exituri essent, derepente impetum in illos facto, multos interfecit, plurimos cepit, & cum multis captiuis reuersus, iterum armatus triumphauit. Neque multo pòst multas triremes contra eosdem ablegauit, quæ circa Mesembriam ferè uniuersa uentorum procellis sunt demersæ. At Teletichus Bulgarorum Princeps, sua consilia Imperatori à domesticis significata esse suspicatus, qui tamen illi essent, ignorans: astu Copronymi leuitate circumuenta, ex ipso quod ignorabat, resciuit. Scripsit enim se clàm illum aditurum, petiitque ut sibi significaret: Num quos procerum apud Bulgaros amicos haberet, quibus arcanum committere auderet, sibique itineris comites adiungere. Ille præ stupore ingenii, quemadmodum apparet,

Bulgarici proditores callidè à suo principe inuestigati.

consilio Barbari non animaduerso, sui studio sos statim amenter prodidit, quos Barbarus omnes crudeliter atque immaniter interfecit. Idem imperator iterum, eamque postremam expeditionem contra Barbaros suscepit, pedes eius carbunculus inuasit. Vnde eum uehementes & calidæ febres urebant, quarum nullum remedium excogitari poterat à medicis. Inde lectica Selybriam perlatus, & triremi est impositus, uociferās, se uiuentē in ignē coniectum esse: & statim cum Strongylum aduenisset, aciem offensi numinis miser sensit, atque illic uitā uiolenter finijt: sublatis multis Orthodoxorum millibus, monachorum præsertim, quorum mansiones partim incendit, partim destruxit, partim profanauit, ut & Dalmatæ monasteriū uetustum, & omnium quæ Constantinopoli sunt, antiquissimum, quod pulsis monachis militum diuersorium fecit. Neque uerò uiuentes duntaxat Christi seruos exagitauit, sed & Diuis Martyribus, & alijs Deo gratis insultare non destitit, quos nihil posse asserebat, eorumque intercessiones ficulnum præsidiū appellabat: reliquias autem partim per contumeliam terra obruit, partim demersit, partim in cineres redegit, ut & gloriosę martyris Euphemię sanctū corpus de quo duplex rumor est: nā alij seruut nefariū Copronymum in animo habuisse id cremare, canibus & asinis unà comburēdis, sed institutum eius successu caruisse, cum orthodoxi eo conatu cognito id clàm è loculo surreptum, aliò transtulissent, & cadauer aliud supposuissent, quod à nefario illo sit crematū. Alij non crematū, sed unà cum loculo in mari demersum esse corpus martyris affirmant: quī diuina gratia gubernante, Lemno insulæ sit appulsus, & à fidelibus illius loci agnitus, illicque asseruatus sit, & sub Irene eiusque filio Constantino honorificè & magnificè in urbem Imperatoriā relatus. Vita igitur tam fœdè acta, uiolentissimè interijt, ut narratum est, cum annos XXXIIII & menses III, rerū potitus esset, si eis id quoque biennium annumeretur, quo Artabasdus illo superior imperauit.

Constantini mors.

De S. Euphemiæ corpore.

IMPERIVM LEONIS Copronymi.

Imperio autem potitus est filius eius Leo Chazara natus, eodem impietatis morbo laborans, etsi principio religionem & obseruantiam erga monachos simulabat, quorum nonnullos in illustrioribus urbibus ad pontificatus euehebat. Quum autem magnam pecuniam in publicis thesauris reperisset, quam pater eius per iniuriam coëgerat, ea & ficta religione, ad subditos conciliandos est abusus. Igitur ciues, & è prouincijs multi congregati, in illius u-

Leo largitionibus & simulatione pietatis, imperiū cōstabilit.

ἀγρὸ συνῆκε τὸ σκέμμα τοῦ Βαρβάρου, ἀλλ' ἀνοήτως τοὺς αὐτῷ προσκαμφθέντας εὐθὺς ἐξεκάλυψε. καὶ ὁ Βάρβαρος συλλαβὼν αὐτοὺς ὠμῶς ἀπαξάπαντας καὶ ἀπανθρώπως διεχρήσατο. καὶ αὖθις δὲ κατὰ Βουλγάρων ὁ αὐτοκράτωρ οὗτος τὸ δεύτερον ἐξεστράτευσε, καὶ κατὰ τὴν ἐν Θράκῃ Ἀρκαδιούπολιν στρατοπεδευομένου, οἱ πόδες αὐτοῦ ἐπανθράκωντο, ὅθεν αὐτὸν λαῦροι πυρετοὶ καὶ φλογώδεις ἐξέκαιον, ὡς μηδ' ὁτιοῦν τούτων μηδὲ παρ' ἰατρῶν ἐπινοεῖσθαι ἀλέξημα. ἐκεῖθεν οὖν κλίνης φερόμενος μέχρι Σηλυβρίας κατήντησεν, ὅθεν διὰ τριήρους κινούμενος, βοῶν, ὡς ζῶν ἐπὶ τῷ πυρὶ παραδίδομαι. ἄρτι δὲ εἰς τὸ λεγόμενον ἐφθακὼς Στρογγύλον, τοῦ μηνιθυσμένου θείου ξυρροῦ ὁ δείλαιος ἐπειράθη, καὶ βιαίως ἐκεῖ τὸν βίον κατέστρεψε, χιλιάδας τῶν ὀρθοδόξων πολλὰς ἀνελὼν καὶ μάλιστα μοναστῶν, καὶ τὰ τούτων ἀσκητήρια τὰ μὲν πυρὸς γενόμενος παρανάλωμα, τὰ δὲ καθελών, τὰ δὲ κοινώσας, ὥσπερ καὶ τὴν τοῦ Δαλμάτου λεγομένην μονήν, ἀρχαίαν οὖσαν, καὶ τῶν ἐν Κωνσταντινουπόλει πρεσβυτέραν πασῶν, ἀφ' ἧς ἀπελάσας τοὺς μοναχούς, στρατιωτῶν αὐτὴν πεποίηκε καταγώγιον. οὐ μόνον δὲ κατὰ τῶν ζώντων Χριστοῦ δούλων ἐλύττησεν, ἀλλὰ καὶ εἰς τοὺς θείους μάρτυρας, καὶ τοὺς ἄλλους εὐαρεστήσαντας τῷ Θεῷ ἐμπαροινῶν οὐκ ἐπαύετο, μηδὲν αὐτοὺς δύνασθαι λέγων, καὶ συκίνην ἐπικουρίαν τὰς τούτων πρεσβείας ἀποκαλῶν, καὶ τὰ τούτων ἅγια λείψανα τὰ μὲν ἀτίμως καταχωννύς, τὰ δὲ ποιῶν ὑποβρύχια, ἔνια δὲ καὶ ἀποτεφρῶν, ὥσπερ καὶ τὸ τῆς πανευφήμου μάρτυρος Εὐφημίας ἅγιον σῶμα. διττοὶ δὲ περὶ τούτου φέρονται λόγοι· ὁ μὲν γὰρ πυρίκαυστον αὐτὸ λέγει δόξαι ποιήσασθαι τὸν μιαρὸν ἐκεῖνον κοπρώνυμον, κυσὶ καὶ ὄνοις αὐτὸ συνεμπρήσαντα, καὶ τὴν τέφραν λικμήσαντα, μὴ μέντοι αὐτῷ εἰς ἔργον ἐκβῆναι τὸ βούλημα. φθῆναι γὰρ τοὺς ὀρθοδόξους μαθόντας τὸ βουλόμενον, ἀφελέσθαι λαθραίως τὸ τῆς μάρτυρος σῶμα ἐκ τῆς σοροῦ, καὶ μετατεθεῖναι αὐτό, ἕτερον δὲ νεκρὸν ἐνθεῖναι αὐτῇ, κἀκεῖνον παρὰ τοῦ ἀλιτηρίου ἐκείνου παραδοθῆναι πυρί. ὁ δ' ἕτερος οὐ καυθῆναι, καταποντωθῆναι δὲ τὸ σῶμα λέγει τῆς μάρτυρος σὺν τῇ λάρνακι. τὴν δὲ χάριτι θείᾳ κυβερνωμένην προσοκεῖλαι τῇ νήσῳ Λήμνῳ, καὶ ὑπὸ τῶν ἐν τῇ νήσῳ πιστῶν γνωσθεῖσαν, κατατεθῆναι ἐκεῖ, ὕστερον δὲ ἐπὶ Εἰρήνης καὶ τοῦ υἱοῦ αὐτῆς Κωνσταντίνου αὖθις ἀνακομισθῆναι εἰς τὴν ὑπερφημισμένην τῶν πόλεων ἐντίμως καὶ μεγαλοπρεπῶς. ὁ μὲν οὖν οὕτως αἰσχρῶς βιώσας, οὕτως ἀπεβίω βιαιότατα, ὡς ἱστόρηται, μοναρχήσας ἔτη τριάκοντα πρὸς τέσσαρσι, καὶ μησὶ τρισί, τούτοις καὶ τῶν δύο ἐνιαυτῶν συναριθμουμένων, ὧν ὁ Ἀρτάβασδος ἦρξε τούτου προηγούμενος.

ἐπαινεῖται Βαρβάρου ἡ στρατηγία καὶ ὠμότης καὶ κατάστροφη τοῦ ζῶντος.

διὰ κατὰ τῶν μοναχῶν καὶ τῶν μοναστηρίων καὶ κατὰ τῶν ἁγίων λειψάνων τῶν ἁγίων καὶ πάντα μεγάλα.

περὶ τοῦ ἱεροῦ λειψάνου τῆς πανευφήμου μάρτυρος Εὐφημίας.

ΒΑΣΙΛΕΙΑ ΛΕΟΝΤΟΣ τοῦ κοπρωνύμου.

ς

Ἐκράτησε δὲ τῆς βασιλείας ὁ τούτου υἱὸς Λέων ὁ ἐκ τῆς Χαζάρας, νοσῶν τὴν αὐτὴν ἐκείνῳ ἀσέβειαν, εἰ καὶ κατ' ἀρχὰς εὐσεβεῖν ὑπεκρίνετο, καὶ τοὺς μοναχοὺς τιμᾶν, ὥς τι καί τινας τῶν μοναστῶν ἀρχιερεῖς τότε γενέσθαι ἐν ταῖς περιφανεστέραις τῶν μητροπόλεων. πολλὰ δὲ χρήματα ἐν τοῖς δημοσίοις εὑρὼν θησαυροῖς, ἃ ὁ πατὴρ αὐτοῦ κακῶς συνήγαγε, καὶ ἀπεθησαύρισε, τούτοις καταχρησάμενος ἐξεδημαγωγήσατο τὸ ὑπήκοον, καὶ τῇ ἐπιπλάστῳ θεοσεβείᾳ. ἀθροισθέντες οὖν οἱ τῆς πόλεως, κἀκ τῶν θεμάτων πολλοί, ἐποιοῦντο

ἐφ' αὑτῷ χειροτονηθέντι διάδοχον αὐτοῦ, ἀναγορευθῆναι τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον. ὁ δὲ, εἰ τοῦτο βούλοιντο, ὀμόσαι αὐτοὺς ἀπῄτησεν, ὡς οὐ δέξονται ποτὲ ἄλλον πλὴν αὐτοῦ, καὶ τοῦ υἱοῦ αὐτοῦ, καὶ τοῦ σπέρματος αὐτῶν ἕτερον βασιλέα. καὶ ὤμοσαν ἅπαντες οὐχ οἱ τῆς συγκλήτου βουλῆς καὶ οἱ τοῦ στρατεύματος, ἀλλὰ καὶ ὁ δημώδης ὄχλος καὶ ἔμποροι καὶ οἱ τῶν ἐργαστηρίων προεστηκότες, καὶ ἔγγραφα περὶ τούτων ἐξέθεντο. ταῦτα μὲν οὖν κατὰ τὴν ἕκτην ἡμέραν τῆς ἑβδομάδος τοῦ σωτηρίου πάθους τοῦ σωτῆρος γεγόνασι. ἐπὶ δὲ μεγάλῳ σαββάτῳ τὸν ἴδιον ἀδελφὸν Εὐδόκιμον νωβελλίσιμον ὁ βασιλεὺς προεβάλετο, καὶ κατ' αὐτὴν τὴν τοῦ πάσχα κυριακὴν ἔστεψε τὸν υἱὸν αὐτοῦ, τοῦ πατριάρχου τὴν κατ' ἔθος πεποιηκότος εὐχήν. τεθνηκότος δὲ τοῦ πατριάρχου Νικήτα τοῦ ἐκτομίου, ὃς ἐν προεδρεύσας τῆς Κωνσταντινουπόλεως ἔτη τεσσαρεσκαίδεκα, χειροτονεῖται πατριάρχης Παῦλος ὁ Κύπριος, ἀναγνώστης ὢν καὶ ὀρθόδοξος. εὑρὼν δέ τινας τῶν ἐπισήμων τοῦ παλατίου ὁ Λέων τὰς θείας εἰκόνας προσκυνοῦντας καὶ τιμῶντας, τὴν ἀλωπεκὴν ἐξέδυσε, τὸν ἐν αὐτῇ κρυπτόμενον ἐδημοσίευσε λέοντα, ἠκίσατο αὐτοὺς αἰκισάμενος, καὶ διὰ τῆς ἀγορᾶς ἐν ἀτίμῳ πομπῇ περιαγαγὼν, πρότερον ψιλώσας αὐτοὺς τῶν τριχῶν, οὕτως εἰς τὸ πραιτώριον ἐναπέθετο, ὅπου τινὲς αὐτῶν καὶ τὴν ψυχὴν ἐπὶ κυρίῳ παρέθεντο. τέθνηκε δ' αὐτὸς πέμπτον τῆς αὐταρχίας ἐνιαυτὸν ἐπιλαβὼν. ἐρασθεὶς γὰρ τοῦ στέμματος, ὅπερ ὁ Μαυρίκιος ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἀνέθετο, καὶ τοῦτο λαβὼν, καὶ τῇ κεφαλῇ περιθέμενος, εὐθὺς ἐλήφθη σφοδρῷ πυρετῷ, καὶ οὕτως αὐτὸν τῆς ζωῆς ἐπεξήγαγε.

Περὶ Παύλου πατριάρχου.

Ὅτι διὰ τὰς ἁγίας εἰκόνας ἐκόλασέ τινας ὁ λέων.

Θάνατος τοῦ λέοντος.

ΒΑΣΙΛΕΙΑ ΕΙΡΕΝΕΣ ΚΑΙ ΤΟΥ ΑΥΤΗΣ ΥΙΟΥ Κωνσταντίνου.

Τούτου δὲ θανόντος ἡ αὐγοῦστα Εἰρήνη σὺν τῷ υἱῷ Κωνσταντίνῳ δέκατον ἐνιαυτὸν τῆς ἡλικίας ἄγοντι, τὴν βασίλειον ἀρχὴν διεδέξαντο· ἄμφω δὲ τῶν σεβασμίων εἰκόνων προσκυνηταί, ἀλλ' οὔπω τοῦ κράτους τῇ βασιλείᾳ βεβαίως ἱδρυμένου, τινὲς αὐτοῖς ἐπιβουλεύειν, Νικηφόρον καίσαρα νικηφόρον τὸν τοῦ θανόντος βασιλέως ἀδελφὸν βασιλεῦσαι. γνωσθείσης δὲ τῆς συνωμοσίας, τοὺς μὲν τῆς ἐπιβουλῆς μετασχόντας αἰκισαμένη ἡ βασιλὶς, καὶ τὰς τρίχας αὐτοὺς ἀποθρέξασα, ἐξορίαν τούτων κατεψηφίσατο, τοὺς δὲ τοῦ ἀνδρὸς αὐτῆς ἀδελφοὺς, τούς τε καίσαρας καὶ τοὺς νωβελλισίμους, κειρῆναι παρασκευάσασα, καὶ ἱερωσύνης ἀξιωθῆναι, καὶ μεταδοῦναι τῷ λαῷ τῶν ἁγιασμάτων ἐποίησε, κατὰ τὴν ἑορτὴν τῆς τοῦ σωτῆρος γεννήσεως, ἐκείνη δὲ σὺν τῷ υἱῷ προελθοῦσα μετὰ τῆς συνήθους τοῖς βασιλεῦσι δορυφορίας, καὶ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ γενομένη, τὸ στέμμα ὃ ἐκεῖθεν ἀφείλετο ὁ ἀνὴρ αὐτῆς, προσενεγκοῦσα κόσμῳ πλείονι τοῦτο ἐπικοσμήσασα. ἔστειλε δὲ καὶ κατὰ τῶν Ἀράβων στρατεύματα, ἵνα ἀνακόψῃ τὰς ἐκείνων ἐπιδρομάς. ἐξελθόντες οὖν ἐπὶ λεηλασίαν Ἀγαρηνοὶ, συνήντησαν παρὰ τῆς κελεύσεως Ῥωμαϊκοῖς στρατιώταις. καὶ τρέπονται καὶ ἀναιροῦνται πολλοί. ἐν δέ γε τῇ Θρᾴκῃ κατὰ τὸ μακρὸν τεῖχος τότε τις ὀρύττων λάρνακι ἐντυγχάνει λιθίνῃ, ἄνθρωπον φερούσῃ νεκρὸν, καὶ γράμματα ἐγκεκολαμμένα ἐχούσῃ λέγοντα. Χριστὸς μέλλει γεννᾶσθαι ἐκ παρθένου, καὶ πιστεύω εἰς αὐτόν, ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης τῶν βασιλέων πάλιν ἥλιε ὄψει με. βουληθεῖσα μέντοι ἡ βασιλὶς Εἰρήνη γυναῖκα μνηστεῦσαι τῷ υἱῷ, ἐκπέμπει πρὸς Κάρουλον τὸν ῥῆγα τῶν Φράγγων, τὴν ἐκείνου παῖδα ἐπὶ οἰκείῳ μνηστευομένη παιδί.

Ὅτι ἐπιβουλευθεῖσα ἡ βασιλὶς, τοὺς μὲν ἄλλους ἐξώρισε, τοὺς δὲ ἀδελφοὺς τοῦ ἀνδρὸς ἱερέας ἐποίησε.

Περὶ δὲ εὑρεθείσης λάρνακος ἐν τῇ Θρᾴκῃ κατὰ τὸ μακρὸν τεῖχος.

tique gratiam postulabāt, ut filius eius Constantinus imperator appellaretur. At ille ulcissim ab eis petijt, si id uellent, ne quem alīū nisi se & filiū suum, suamq́ progeniem in imperiū admitterent. Iurarunt omnes, nō senatores tantum & milites, sed & plebeia turba & mercatores & opifices, & hoc iusiurandum in publicas literas retulerunt. Hæc sexto die hebdomadis salutaris passionis seruatoris nostri acta sunt. Magno sabbato fratrē suum Eudocimum Nobilissimum designauit, & in ipsa Paschatis dominica filium suum coronauit, solennibus precibus à Patriarcha peractis. Mortuo Niceta castrato Patriarcha, cum Ecclesiæ Cōstantinopolitanæ per annos quatuordecim præfuisset: Paul⁹ Cyprius Patriarcha eligitur, qui lector fuit, & orthodoxus. Cum autem Leo proceres quosdam aulicos diuinas imagines adorantes deprehendisset, exuta uulpina pelle, latitantem sub ea Leonem in apertum protulit, eosq́ crudelissimè excruciatos, ignominiosoq́ spectaculo per forum circumductos, cum prius pilis nudasset, in prætorium inclusit, ubi eorum quidam animas suas in manus Domini deposuerunt. Obijt anno Imperij quinto. Adamata enim corona, quam Mauricius in magna Ecclesia Deo cōsecrarat, eaq́ capiti suo accommodata, statim uehementi febri est correptus, quæ uitæ finem ei attulit.

Paulus Cyprius Patriarcha.

Leo proceres ob adoratas imagines male tractat.

Obitus.

IMPERIVM IRENES ET FILII eius Constantini.

Eo mortuo, Irene Augusta & filius eius Constantinus, decimum ætatis annum agens, ambo ueneranda rum imaginum adoratores, imperium susceperunt: eoq́ nondum firmato, insidijs appetiti sunt à quibusdā, Nicephoro Cæsari, mortui Leonis fratri, summam rerum deferre cupientibus. Coniuratione detecta imperatrix insidiatores excruciatos & pilis nudatos relegauit, mariti uerò sui fratres tam Cæsares quàm nobilissimos radendos, & in sacerdotum ordinem allegendos curauit, ut res sacras populo impertirētur in festo natiuitatis Christi, ipsaq́ cum filio Imperatorijs satellitibus stipata processit, cumq́ in Ecclesiā peruenisset, coronam à marito suo ablatam, pluribus ornamentis additis, restituit. Misit etiam Legiones ad reprimendas Arabum grassationes. Agareni igitur prædatum egressi, cum in Romanum exercitum incidissent, in fugam uertuntur multis eorum interfectis. In Thracia quidam inter fodiendum in lapideam cistam incidit, quæ humanum cadauer continebat, incisis in ea literis huiusmodi: Christus, nascetur è uirgine, & credo in eum. Verùm sub Irene & Constantino rursus me uidebis Sol. Imperatrix filio uxorem datura, Legatos ad Carolum Regem Francorum misit, ad eius filiam ambiendam. Dein-

Coniuratio contra Irenem.

Arabica uictoria.

Arcæ inscriptio fatidica.

Carolus Magnus.

ἀπείπεν ... ὁ δ' ἀνένευε, μὴ δύνασθαι λέγων προεῖναι τῆς ἐκκλησίας ἀπεσχισμένης τῶν λοιπῶν τυγχανούσης ἐκκλησιῶν, καὶ ὑπ' ἐκείνων ὑποβαλλομένης τῷ ἀναθέματι. ἐγκειμένων δὲ καὶ τῶν βασιλέων καὶ τοῦ λαοῦ, εἰ συντίθεσθε ἔφη σύνοδον οἰκουμενικὴν ἀθροισθῆναι, καὶ τῶν ἐκκλησιῶν γενέσθαι ἕνωσιν, δέξομαι καὶ αὐτὸς τὴν προχείρισιν. συνθεμένων δὲ πρὸς τοῦτο πάντων, ἐχειροτονήθη ὁ θεῖος Ταράσιος, καὶ στέλλουσιν αὐτός τε καὶ οἱ κρατοῦντες εἰς τὴν πρεσβυτέραν Ῥώμην, Ἀδριανοῦ τινὸς ἐν αὐτῇ προεδρεύοντος, καὶ εἰς τοὺς λοιποὺς πατριάρχας, ζητοῦντες σταλῆναί τινας παρ' αὐτῶν, τοὺς ἐν τῇ συνόδῳ παρουσιάσοντας. καὶ παρὰ πάντων ἐστάλησαν, ἀθροισθέντων δὲ καὶ τῶν λοιπῶν ἀρχιερέων καὶ μοναχῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας, καὶ ὁ πατριάρχης ἐξῆλθε Ταράσιος, καὶ συνίσταται ἐκεῖ οἰκουμενικὴ σύνοδος ἑβδόμη, καὶ ἐκυρώθη, τὰς σεπτὰς εἰκόνας καὶ προσκυνεῖσθαι καὶ σέβεσθαι, ἀναθέματι δὲ κατεκρίθησαν καὶ οἱ τρεῖς οἱ τῆς Κωνσταντινουπόλεως προεδρεύσαντες ἐκκλησίας, ὅ τε Ἀναστάσιος καὶ ὁ Κωνσταντῖνος καὶ ὁ Νικήτας, καὶ τόμῳ τὰ ἱερᾷ συνόδῳ τὰ δόξαντα ἐγγράφουσιν. ἐκ δὲ Νικαίας εἰς τὴν τῶν πόλεων βασιλεύουσαν ἐνδημήσαντες οἱ τῆς συνόδου, καὶ ἐν τοῖς βασιλείοις γενόμενοι, προκαθημένων καὶ τῶν βασιλευόντων, εἰς ἐπήκοον πάντων τὸν τόμον ἀνέγνωσαν, ὃς αὐτίκα παρὰ τῶν κρατούντων κεκύρωται ὑποσημαινομένων αὐτόν, καὶ οὕτω τὰ ἱερὰ ἐκτυπώματα ἐν τοῖς θείοις ναοῖς ἀνεστήλωντο, καὶ αἱ ἐκκλησίαι ἅπασαι ἥνωντο. τὰ μὲν οὖν μέχρι τοῦδε παρὰ τῆς βασιλίσσης καὶ τῶν αὐτῇ συνήθων μᾶλλον τὰ τῆς βασιλείας ἰθύνοντο, ἄρτι δὲ τὸν μείρακα παραλλάσσει ὁ βασιλεὺς Κωνσταντῖνος, καὶ εἰς νεανίας τελεῖν ἠργμένος (εἰκοσαέτης γὰρ ἦν) καὶ ὁρῶν ἅπαντα παρὰ τῆς μητρὸς οἰκονομούμενα, καὶ Σταυράκιον καὶ λογοθέτην τὰ πάντα δυνάμενον, ἑαυτὸν δὲ μηδενὸς ἀξιούμενον λόγου, ἤχθετο καὶ μετά τινων τῶν τῆς συγκλήτου βουλῆς, καὶ τῶν ὑπηρετουμένων αὐτῷ, ἐμελέτησε τὸν Σταυράκιον τῆς ἀρχῆς καθελεῖν, καὶ ποιήσασθαι ὑπερόριον. γνωσθέντος δὲ τοῦ βουλεύματος, τοὺς μὲν τοῦ βασιλέως θεράποντας τοὺς αὐτῷ συμμετέχοντας τύψασα πάντας καὶ ψιλώσασα τῶν τριχῶν ἡ βασίλισσα, ἄλλους ἄλλῃ ἐξώρισε. τοὺς δὲ ἐκ τῆς συγκλήτου ἀτιμίᾳ περιβαλοῦσα, τοὺς μὲν ἀπροΐτους τῶν ἰδίων οἴκων εἶναι κεκέλευκε, τῶν δὲ καὶ ὑπερορίαν κατεψηφίσατο. ἀλλὰ μὴν καὶ τὸν υἱὸν ᾐκισμένη καὶ λοιδορησαμένη προϊέναι καὶ δημοσιεύειν κεκώλυκε. τὰ δὲ στρατεύματα ὀμνύειν ἠνάγκαζε, μὴ δέξασθαι τὸν υἱὸν αὐτῆς εἰς αὐτοκρατορίαν ζώσης αὐτῆς. καὶ οἱ μὲν ἄλλοι καὶ ἄκοντες ὤμνυον, οἱ δὲ τοῦ θέματος τῶν Ἀρμενιακῶν οὐχ ὑπέκυψαν, ἀλλὰ καὶ βασιλέα γινώσκειν εἶπον τὸν Κωνσταντῖνον, καὶ πρὸ τῆς μητρὸς ἐξ ἀρχῆς ἀνηγορευμένον, καὶ οὕτως αὖθις αὐτὸν ἔδοξεν εὐφημεῖσθαι. ταῦτα ἡ Εἰρήνη μαθοῦσα, ἔστειλε τὸν σπαθάριον Ἀλέξιον καὶ δρουγγάριον τῆς βίγλας τὸν Μωσηλέ, ἵν' αὐτοὺς εἰς τὸ αὐτῆς μεταθήσηται θέλημα. οἱ δὲ τὸν μὲν στρατηγὸν ἑαυτῶν συνέσχον ὑπὸ φρουράν, τὸν δὲ Μωσηλὲ ἄρχοντα τοῦ θέματος εἵλοντο, καὶ μόνον τὸν Κωνσταντῖνον εὐφήμησαν αὐτοκράτορα. ἐντεῦθεν ὁρμηθέντες, καὶ οἱ τῶν ἄλλων θεμάτων, μόνον τὸν Κωνσταντῖνον ἀνηγόρευον βασιλέα, καὶ ἀθροισθέντες κοινῇ ἐκεῖνον μόνον ἀνεκήρυξαν αὐτοκράτορα. δείσασα δὲ τὴν τῶν ταγμάτων ὁμόνοιαν ἡ Εἰρήνη, προήνεγκε τὸν υἱόν. ὁ δὲ αὐτίκα τὸν Σταυράκιον αἰκισάμενος, καὶ τοὺς ἐν-

περὶ τῆς ἑβδόμης συνόδου.

Ἡ Εἰρήνη τὸν Κωνσταντῖνον νεανίαν γενόμενον ὡς ἰδιώτην ... γυμνάζουσα ... ἐπέχει ... καὶ δημοσιεύειν ἐκώλυσε.

Ἐν τοῖς ἀρμενιακοῖς καὶ οἱ τῶν ἄλλων θεμάτων συμφρονήσαντες τὸν Κωνσταντῖνον μόνον ηὐφήμουν, καὶ ... ἡ Εἰρήνη ... ἐπαύσατο.

omni populo. Sed ipse recusauit. Neque enim se praeesse posse Ecclesiae à reliquis Ecclesijs auulsae, & anathemati subiectae. Instantibus autem imperatoribus & populo, Si permittitis, inquit, ut synodus oecumenica conuocetur, & Ecclesiae uniantur: & ipse designationem admittam. Assensis omnibus, Patriarcha electus Diuus Tarasius, & ipse & Imperatores ueterem Romam mittunt, cui Adrianus praesidebat, & ad caeteros Patriarchas, petentes, ut aliqui ab eis mitterentur, qui concilio interessent. Missi igitur sunt ab omnibus, & caeteris pontificibus & monachis Nicaeae Bithyniae congregatis: etiam Patriarcha Tarasius est egressus, ibique septimum oecumenicum concilium est constitutum, ac decretum uenerabiles imagines & adorandas & colendas esse, & tres anathemate notati, qui Constantinopolitanae ecclesiae praefuerunt, Anastasius, Constantinus & Nicetas, sanctique concilij decreta in commentarios relata sunt. Deinde qui concilium celebrarant, in urbem Imperatoriam profecti, commentaria in Regia, Imperatoribus praesidentibus, atque omnibus audientibus, recitarunt, qui statim ab Imperatoribus approbati & subsignati sunt, atque ita sacrae imagines templis restitutae, & Ecclesiae uniuersae unitae. Hactenus ab imperatrice eiusque familiaribus regnum administratũ est, caeterum Constantinus annos pueritiae egressus, factusque adultior, (nam XX annos natus erat) cum matrem pro autoritate agere omnia uideret, & Stauracium Patricium Logothetam nihil non posse, sui uerò nullam rationem haberi: aegre illa tulit, & consilio cum quibusdam senatoribus suisque ministris inito, de magistratu Stauracio abrogando, eoque relegando cogitauit. Eo consilio cognito Imperatrix, ministros imperatorios illius rei conscios omnes uerberibus affectos & pilis nudatos, alios aliò relegauit. Senatores ignominia notatos, partim domo exire uetuit, partim in exilium misit. Sed & filium excruciauit, & conuitijs insectata, prodire in publicũ prohibuit. quin & legiones sacramẽto adegit, ne se uiuente filium ad imperium admitterent. Ac caeteri uel inuiti iurarũt, sed Armeniacae legiones mulieri non cesserunt, seque Constãtinum Imperatorem agnoscere, & ante matrem initio proclamatum esse dixerunt, atque ita rursus cum laetis omnibus prosequi uoluerunt. His Irene cognitis, Alexium Mosolem Spatharium, eundemque Drungariũ Biglae, ad eas conciliandas misit. At illi duce suo in custodiã tradito, & Mosele prouinciae praeside designato, solum Constantinum pro Imperatore celebrarunt. Hinc orto initio, etiam aliarum prouinciarum exercitus idem fecerunt, & congregati cõmuniter eum proclamarunt. Igitur Irene legionũ concordiã uerita, filiũ produxit. Is Stauracium & honoratiores ex maternis mini-

VII. Synodus Nicaena

Irene Constantinũ in ordinem cogit.

Legiones Constantinum denuò Imperatorem salutãt.

Irene abrogatum imperium.

ministris excruciatos statim relegauit: ipsam uerò matrem regia honorificè eductam, in ipsius ædibus, quas in Eleutherio struxerat, ui tam degere iussit. Et hęc ita acta fuerunt: orto autem incendio magno sacri palatij triclinium, quod Thomaitem uocant, e conflagrauit, unaq; cremata esse feruntur eo in loco sita commentaria quædam in sacras literas Ioannes Chrysostomi. Imperator Constantinus Bulgaris, quorum princeps tum Cardamus erat, bellum intulit: leui autem pugna commissa, terror utrunq; exercitum inuasit. Itaq; imperator in magnam urbem rediit, Bulgari in suas sedes se receperunt. Sed & contra Arabes profectus, nihil memorabile gessit. Matrem ab ipsa & quibusdam ex primoribus oratus, in regiam reduxit, & unà secum celebrari passus est. omnes itaq; prouinciarum legiones iteratam Irenes proclamationem admiserunt, solis Armeniacis per seditionem aduersantibus, & Alexiū Mosolem ducē, ut dictum est, pridem suū accersentibus, quem Imperator antè reuocatum, & patricij dignitate ornatum, apud se habebat. Sed quia fama erat imperaturum esse, & quia à seditiosis accersebatur: eundem ex metu in prætorianum carcerem coniecit, flagris prius cæsum, comaq; detonsa. Principi Bulgarorum Romanam ditionē aggresso, Imperator incomposito agmine obuiam profectus uincitur, multis & militibus & proceribus amissis. Quamobrem militares ordines in magna urbe cōgregati, de Nicephoro Cæsare Constantini patruo ad imperium euehendo consilia inierunt, sed cum illa clam non fuissent, Nicephoro ipsi oculi sunt effossi, Christophoro, Nicetæ Anthimo & Eudocimo linguæ præcisæ. Sunt & Alexio Mosoli de matris cōsilio eruti oculi. Cuius excæcatione Armeniaci cognita, Camilianū patricium, suum ducem in custodiam dederunt. Eo ad Imperatorem relato, Constantinum Artaseram & Chrysochirem Bucellariorum ducem cum copiis contra illos mittit. Prælio commisso utrinque multi ceciderunt, sed imperatoriis profligatis, ambo duces capti, & ab Armeniacis cæcati sunt. Pòst ipse imperator contra eos proficiscit, uictoriaq; potitus, proceres occidit, cæteros publicatione bonorum mulctat. Sed mille ex eorum metropoli uinctos in magnam urbem misit, eorumq; uultus compunxit, attamen to literis infuso, quę erant, Armeniacus insidiator, eosq; in Sicilia & aliis insulis dispersit. Vxorem Mariam cum eius pertæsum esset, tonderi coēgit, de consilio matris, ut aiunt, ut omnium odiis ab illo susceptis, summa rerum denuo ad ipsam rediret. Etsi enim cum filio in regia degebat, potestatis tamen particeps non erat, sed nominis duntaxat, cum imperij cupiditate supra modum æstuaret. Imperator igitur, cum

Triclinij cōflagratio.

Bulgaricū et Arabicū bellum.

Irene restitutio.

Armeniacorum seditio compressa.

Bulgarica uictoria.

Cognatorū Imperatoris & Alexij Mosolis supplicia.

Constantinus Maria repudiata Theodotam uxorem ducit.

τιμιωτέρους τῶν θεραπόντων τῶν μητρικῶν ὑπερορίσας. αὐτὴν δὲ τὴν μητέρα τῶν βασιλείων φιλοτίμως καταγαγών, εἰς τὸν οἶκον αὐτῆς, ὃν ἐν τοῖς Ἐλευθερίου ἐδείματο, διάγειν ἐκέλευσε. καὶ τὰ μὲν οὕτως εἶχεν. ἐμπρησμοῦ δὲ συμβάντος ὁ μέγας τρίκλινος τῶν ἱερῶν ἀνακτόρων, ὁ Θωμαΐτης λεγόμενος, ὄργανον γέγονε τοῦ πυρός· ὅτε λέγεται ἐκκαυθῆναι καὶ τὰ ὑπομνήματα τῶν ἐξηγήσεων τῆς θείας γραφῆς, ἃ ὁ χρυσοῦς τὴν γλῶτταν συνεγράψατο Ἰωάννης, ἐκεῖσέ που ἀποκείμενα. ὁ δέ γε βασιλεὺς Κωνσταντῖνος κατὰ Βουλγάρων ἐξεστράτευσε, τοῦ Καρδάμου τοῦ ἔθνους ἀρχηγετοῦντος, μικρᾶς δὲ προσβολῆς γενομένης, ἀμφοῖν τοῖν ἀντιθέτοιν μεροῖν δειλία ἐνέσκηψε. καὶ ὁ μὲν βασιλεὺς ἐπανέζευξεν εἰς τὴν μεγαλόπολιν, οἱ δὲ Βούλγαροι εἰς τὰ ἤθη ἑαυτῶν, ἀλλὰ καὶ κατὰ Ἀράβων ὁρμήσας, οὐδέν τι λόγου ἄξιον ἤνυσε. παρακληθεὶς δὲ ὑπὸ τῆς μητρὸς καὶ τῶν ἐν τέλει τινῶν, μετάγει αὐτὴν εἰς τὰ βασίλεια, καὶ ἑαυτῷ συνευφημεῖσθαι παραχωρεῖ, καὶ πάντα μὲν τὰ τῶν θεμάτων τάγματα ἐδέξαντο τὴν τῆς εἰρήνης αὖθις ἀνάρρησιν. οἱ δὲ τοῦ θέματος τῶν Ἀρμενιακῶν ἀντέπιπτόν τε καὶ ἐστασίαζον, καὶ ἐπεκαλοῦντο τὸν πρώην αὐτῶν, ὡς εἴρηται, στρατηγήσαντα Ἀλέξιον τὸν Μωσηλέ. ἔφθη γὰρ αὐτὸν ὁ βασιλεὺς ἐκεῖθεν μεταπεμψάμενος, καὶ τιμήσας πατρίκιον, εἶχε μεθ' ἑαυτοῦ, φήμης ἐπικρατούσης μέλλειν βασιλεύειν τὸν ἄνδρα. διά ταύτην τοίνυν, καὶ ὅτι παρὰ τῶν στασιαζόντων ἐπεκαλεῖτο, δείσας ὁ βασιλεύς, καθεῖρξεν ἐν τῷ πραιτωρίῳ αὐτόν, τύψας πρότερον, καὶ τὴν κόμην ἀποκείρας. τοῦ δὲ τῶν Βουλγάρων ἀρχηγετοῦντος ἐπιδραμόντος τῇ τῶν Ῥωμαϊκῶν ἐπικρατείας, ἀσυντάκτως ὁ βασιλεὺς αὐτῷ ἐπελθὼν ἡττᾶται, καὶ πλῆθος πολὺ στρατευομένων ἀπόλλυσιν, ἀλλὰ μὴν καὶ τῶν μεγιστάνων πολλούς. αἱ δὲ στρατιωτικαὶ συντάξεις ἀθροισθεῖσαι κατὰ τὴν μεγαλόπολιν, ἐβουλεύσαντο βασιλεῦσαι τὸν ἀπὸ καισάρων Νικηφόρον, τὸν τοῦ Κωνσταντίνου πατράδελφον. ἀλλὰ τὸ σκέμμα οὐκ ἔλαθε. διὸ αὐτὸς μὲν ὁ Νικηφόρος ἐξορύττεται τὰ ὄμματα, ὁ δέ γε Χριστοφόρος καὶ ὁ Νικήτας ὁ Ἄνθιμός τε καὶ ὁ Εὐδόκιμος τῶν γλωσσῶν ὑπέστησαν ἐκτομήν. ἀλλὰ καὶ τὸν Μωσηλὲ τὸν Ἀλέξιον ὁ βασιλεὺς ἐξετύφλωσεν, ὑποθήκαις ταῦτα μητρικαῖς ἐργασάμενος. οἱ δὲ τοῦ θέματος τῶν Ἀρμενιακῶν τὴν τοῦ Ἀλεξίου μαθόντες τύφλωσιν, τὸν σφέτερον στρατηγὸν ἐποίησαν ἔμφρουρον. ἦν δ' οὗτος ὁ Καμουλιανὸς ὁ πατρίκιος. ὡς οὖν ἀνηνέχθη πρὸς βασιλέα, εἶλα κατ' αὐτῶν σὺν δυνάμει Κωνσταντῖνον τὸν Ἀρτασύρον καὶ τὸν Χρυσόχειρα στρατηγὸν τῶν Βουκελλαρίων τυγχάνοντα. καὶ κροτηθέντος πολέμου πολλοὶ μὲν ἔπεσον ἀμφοτέρωθεν· τρέπονται δὲ οἱ βασιλικοί, καὶ ἄμφω ζωγρηθέντων τῶν στρατηγῶν, οὓς οἱ Ἀρμενιακοὶ αὐτίκα ἐτύφλωσαν, ὅτε καὶ αὐτὸς ὁ κρατῶν κατ' αὐτῶν ἐξεστράτευσε, καὶ χειροῦται αὐτούς, καὶ τοὺς μὲν προύχοντας αὐτῶν ἀναιρεῖ, τοῖς δὲ λοιποῖς δήμευσιν τῶν ὑπαρχόντων τὸ ἐπιτίμιον ἐπεξῆλθε. χιλίους δὲ τῶν ἐκ τῆς αὐτῶν μητροπόλεως δεσμώσας, καὶ εἰς τὴν μεγαλόπολιν εἰσαγαγών, τὰς ὄψεις τε σφόδρα κατεστίξας ἐν γράμμασι, μελανίου ἐγχυθέντος τοῖς στίγμασιν. ἔλεγε δὲ ἡ γραφή, Ἀρμενιακὸς ἐπίβουλος, διέσπειρε τούτους ἐν Σικελίᾳ καὶ νήσοις ἄλλαις. τὴν δὲ αὐτοῦ γυναῖκα Μαρίαν ἀπεχθήσας οὗτος ὁ βασιλεύς, ἀποκαρῆναι ταύτην ἐβιάσατο, συμβουλῇ ὡς λέγεται τῆς μητρὸς αὐτοῦ, ἵν' ὑπὸ πάντων μισηθείη, καὶ εἰς αὐτὴν πάλιν ἡ τῆς βασιλείας αὐτῇ περιενεχθείη πᾶσα διοίκησις. καὶ γὰρ συνῆν μὲν ἐπὶ τὰ ἀνάκτορα, ἀλλ' οὐ συμμετεῖχε τῆς ἐξουσίας, μόνης δὲ τῆς εὐφημίας, λίαν δ' ἐνόσει τὸ φίλαρχον καταμεμφομένη.

μένους τὸν

ὅτι ὁ Θωμαΐτης τρίκλινος ἐκάη.

ἐκστρατεία Κωνσταντίνου κατὰ Βουλγάρων καὶ τῶν Ἀράβων.

ὅτι αὖθις ἀνάγει τὴν μητέρα εἰς τὰ βασίλεια, καὶ ἐπιφημίζεσθαι αὐτὴν παρέχει, οἱ δ' Ἀρμενιακοὶ διεστασίαζον καὶ περὶ τοῦ Μωσηλέ.

ὅτι τοῖς Βουλγάροις συμβαλὼν ὁ Κωνσταντῖνος ἡττήθη, καὶ ὅτι ἐστασίασε τὸ στρατιωτικόν, καὶ περὶ τοῦ θείου ὁ Κωνσταντῖνος ἐτιμωρήσατο.

ὅτι τὴν ἑαυτοῦ γυναῖκα ἀποκείρας, ἄλλην ἠγάγετο.

μένης οὖν τῆς τοῦ κρατοῦντος συμβίου, καὶ προβαλλομένης ἀκούσης αὐτῆς τὴν βασιλείας στολὴν μοναχικὴν ἀμφια μέλαινα, Θεοδότην τινὰ κουβικουλαρίαν ὁ ἄναξ ἠγάγετο, αὐγοῦσταν ἔστεψεν αὐτήν. μετὰ καὶ τῶν Ἀράβων εὐ στρατεύσας, τρόπαιον ἔστησε. τοῦ μέντοι Καρδάμου, ὃν λόγος τῶν Βουλγάρων γενέσθαι ἀρχηγὸν, φόρους ἀπαιτοῦντος αὐτῷ τελεῖσθαι παρὰ Ῥωμαίων, καὶ περὶ τούτου διαπεμψαμένου πρὸς τὸν κρατοῦντα, ἢ τὴν Θρᾴκην ἄχρι τῆς πόλεως ἀπειλοῦντος λῄσασθαι, ἐκεῖνος κόπρον ὑποζυγίων τῷ βαρβάρῳ ἐπέστειλεν, ἐπιστείλας αὐτῷ, ὅτι γέρων ὢν καὶ μὴ κοπιάσῃς ἐνταῦθα ἐρχόμενος· ἀλλ' ἐγὼ μᾶλλον ἐλεύσομαι ἐκεῖσε, καὶ αὐτίκα τὰς Ῥωμαϊκὰς ἀθροίσας δυνάμεις, ἀπῄει κατὰ τῶν Βουλγάρων. καὶ ἤδη πλησίον ἀλλήλων γενομένων τῶν στρατευμάτων, καὶ τοῦ βασιλέως εἰς μάχην προκαλουμένου τὸν βάρβαρον, ὁ Κάρδαμος σὺν τοῖς οἰκείοις στρατεύμασιν ὑποδειλιάσας, φυγὰς ᾤχετο. ἀλλὰ καὶ οἱ Ἄραβες τῷ τοῦ Ἀμορίου χωρήσαντες, ὀλίγον ἴσχυον πρὸς τὴν πόλιν ἀνύσιμον, λείαν δὲ λαβόντες, ὑπέστρεψαν. Πλάτων δὲ ὁ καθηγητὴς τῆς τοῦ Σακκουδίωνος μονῆς τῷ πατριάρχῃ Ταρασίῳ κοινωνεῖν οὐκ ἠνείχετο, ὅτι ἐκεῖνος τὸν βασιλέα εἰς κοινωνίαν ἐδέξατο, τὴν ἑαυτοῦ γυναῖκα καταλιπόντα, καὶ ἑτέρᾳ παρὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς συνοικήσαντα, μοιχείαν γὰρ ὠνόμαζε τὸ γινόμενον. ὃν ὁ βασιλεὺς εἰς τὸν ἐν τῷ παλατίῳ καθεῖρξεν, ἡ δὲ τούτου μήτηρ αὐτὸν ἀντεποιεῖτο τοῦ Πλάτωνος, ὅτι κατῄσχυνε τὸν υἱὸν αὐτῆς. ἐκδημήσαντος δὲ τῆς πόλεως ὁ κρατῶν μετὰ τῆς οἰκείας μητρὸς, εἰς Προῦσαν γεγονὼς, καὶ μαθὼν τεχθῆναί οἱ παιδίον ἄρρεν, ἐκεῖ τὴν μητέρα καταλιπὼν, συντόνως ὑπέστρεψεν. ἡ δὲ λαβομένη ἀδείας, τοὺς τῶν ταγμάτων ἄρχοντας δωρεαῖς τε καὶ ὑποσχέσεσιν ὑποποιησαμένη, πείθει συνθέσθαι καθελεῖν μὲν τὸν υἱὸν αὐτῆς, αὐτῇ δὲ μόνῃ τὴν αὐταρχίαν περιποιήσασθαι. καὶ συνθεμένων, καιρὸν ἐζήτει. τέθνηκε δὲ τὸ τεχθὲν παιδίον τῷ βασιλεῖ, ὅπερ ὠνόμασε Λέοντα, καὶ ἐπενθεῖτο παρὰ τοῦ πατρός. οἱ δὲ τῆς κατ' αὐτοῦ ἐπιβουλῆς συνίστορες τῇ μητρὶ αὐτοῦ, δείσαντες μὴ τοῦ καιροῦ τριβομένου, καὶ ὑπερτιθεμένης τῆς πράξεως γνωσθῶσι, καὶ καταχρησθέντες ἀπόλωνται, συλλαβόντες συνέχον τὸν βασιλέα ἐν τῷ παλατίῳ, καὶ περὶ ὥραν ἐνάτην τοὺς ὀφθαλμοὺς αὐτοῦ ὠμότατα ἐξορύττουσι, προνοούμενοι μὴ μόνον τοῦ φωτὸς στερῆσαι αὐτὸν, ἀλλ' αὐτῆς τῆς ζωῆς. ὅτε συνέβη ἐφ' ἡμέρας ἑπτακαίδεκα μὴ λάμψαι τὸν ἥλιον, ἀλλ' ἀλαμπεῖς εἶναι καὶ σκοτώδεις τὰς ἡμέρας ἐκείνας, οὐκ οἶδα εἴτε τυχαίως οὕτω συμβὰν, εἴτε καὶ διὰ τὴν τοῦ Κωνσταντίνου τύφλωσιν, ὡς τηνικαῦτα τοῖς ἀνθρώποις ἐδόκει, οἷα τῆς θείας προνοίας νεμεσησάσης τῷ πάθει, ὡς ἐκ μητρὸς εἰς υἱὸν γενομένῳ. καὶ ὁ μὲν οὕτω τοὺς ὀφθαλμοὺς ἐξορώρυκτο κατ' αὐτὴν τὴν ἡμέραν, καθ' ἣν ἐκεῖνος τὸν θεῖον αὐτοῦ Νικηφόρον καὶ τὸν Μωσηλὲ ἐξετύφλωσε, καὶ τῶν λοιπῶν, ὡς εἴρηται, τὰς γλώσσας ἀπέτεμε, πέντε μεταξὺ παρεληλυθότων ἐνιαυτῶν. ἡ δὲ Εἰρήνη καὶ αὖθις τῆς μοναρχίας ἐπελάβετο. καὶ ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ τοῦ πάπα θανόντος Ἀδριανοῦ, Λέων ἐχειροτονήθη, ἀνὴρ αἰδέσιμος καὶ τιμιώτατος. οἱ δὲ τῷ θανόντι Ἀδριανῷ προσήκοντες στασιάσαι τὸν λαὸν ἀνέπεισαν κατ' αὐτοῦ, καὶ συσχόντες αὐτὸν, ἐλωβήσαντό οἱ τὰ ὄμματα, ἀλλ' οὐκ ἐξετύφλωσαν. οἱ γὰρ ἐπιτραπέντες τὴν τύφλωσιν, ἐφείσαντο τοῦ ἀνδρὸς, καὶ ἔξωθεν τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐλυμήναντο, τοῦ δὲ φωτὸς αὐτὸν οὐκ ἐστέρησαν. ὃς μετέπειτα τῷ τῶν Φράγγων ῥηγὶ προσφυγὼν Καρούλῳ, παρ' ἐκείνου εἰς τὸν τῆς Ῥώμης ἀποκατέστη θρόνον, καὶ τοὺς ἐχθροὺς αὐτοῦ ἠμύνατο, ἐξότε καὶ ἡ Ῥώμη ὑπὸ τοὺς Φράγγους ἐγένετο, τοῦ Καρούλου στεφθέντος παρὰ τοῦ Λέοντος, καὶ βασιλέως Ῥωμαίων

[illegible] κατὰ Βουλγάρων [illegible]

Περὶ τοῦ μοναχοῦ Πλάτωνος.

Ὅτι ἐτυφλώθη ὁ βασιλεὺς Κωνσταντῖνος ὑπὸ τῆς μητρὸς αὐτοῦ.

Περὶ Λέοντος πάπα Ῥώμης, καὶ ὅπως [illegible] αὐτοῦ ἐκυρίευσαν.

uxor ornatum regium inuita cum nigro monastico uestitu cõmutasset, Theodotam quandam cubiculariam duxit, & augustali corona ornauit. Pòst prosperè cum Arabibus dimicauit, & Cardamo Bulgarorũ principi, qui per legatos tributa sibi à Romanis pendi postulabat: quod nisi fieret, Thraciã se usq; ad urbem populaturum minabat: stercora iumentorum misit, additis literis: Quia senex esset, supersedendũ ei esse molestia itineris: nam se ipsum ad eum uenturũ. Ac statim Romanis legionibus coactis, cõtra Bulgaros est ꝑfectus. Cum ambo exercitus in propinquo essent, & Imperator Barbaros ad bellũ euocaret: Cardamus cum suis copijs territus fugã cepit. Sed & Arabes Amoriũ aggressi, re infecta, præda duntaxat capta, discesserũt. Plato monasterij Saccidionis pręceptor, cũ Tarasio Patriarcha cõmunicare nõ sustinuit, quòd ille imperatorem ad cõmunionẽ admisisset, qui deserta uxore, aliam contra instituta Christianorũ matrimonio sibi iunxisset, quod factũ adulteriũ appellabat. Eum Imperator in Palatinũ carcerem cõpegit, sed mater, illius defensionẽ ideo suscepit, quòd filiũ probro affecisset. Prusa cum matre profectus, cum sibi filiolũ natum esse audisset, matre illic relicta properè reuersus est. Tum illa nacta impunitatẽ, tribunis militũ largitionibus & pollicitationibus cõcilians, persuasit, ut promitterẽt, se Imperium filio ademptum, in eam solam collaturos. Quo impetrato, occasionem rei cõficiendæ quæritabat. Verum Imperatore, filioli quem Leonẽ nominarat, obitũ deplorante, ij qui matris cõtra eum insidiarum conscij erant, ueriti ne mora interposita dilatoq; facinore deprehensi perirent: ei subitò sub horam nonam oculos in palatio crudelissimè eruunt, parati nõ lumine duntaxat, sed uita etiam ipsa priuare. Tum accidit, ut Sol per dies XVII. nõ splenderet, sed obscuri & tenebrosi essent dies illi, quod haud scio fortuitó ne acciderit, an ob Constantini excæcationem, ut tum hominibus uidebatur, quasi diuina prouidentia cladem illã auersaretur filio à matre illatam. Oculi ei eruti sunt eodem die, quo ipse patruum suum Nicephorum, & Mosolem excæcarat, & reliquis (ut dictum est) linguas præciderat, annis interim quinq; elapsis. Irene uerò denuò imperium consecuta est. Adriano ueteris Romæ Papa mortuo, Leo suffectus est, uir reuerendus & honorabilis: sed Adriani defuncti necessarij populo cõtra illum concitato ei læserunt oculos, non tamen ademerunt. Nam ij quibus mandata erat excæcatio, pepercerunt homini, eiusq; miserti, extrinsecus oculos læserunt, sed lumine non priuarunt. Qui cum deinde se ad Carolũ Francorũ regẽ cõtulisset, ab illo sedi Romanę restitutus, inimicos suos ultus est: ab eoq; tẽpore Roma prorsus Franci potiti sunt, Carolo à Leone coronato, & Romanorũ Imperatore

Expeditio Arabica & Bulgarica.

Platonis & Tarasij dissidium.

Irene milites cõtra filiũ Constantinum mittit.

Cõstantino excæcato Sol nõ splẽdet.

Leo Papa Carolũ magnum imperatorem creat.

appellato. Nam sub priore Iustiniano Franci Germanica stirpe oriundi, Italiam inuaserũt, ut suprà est expositum, fueruntque Romanorũ hostes. Sed sub Leone Isauro, temporis illius Papa Gregorius, ob peruersam opinionem ab illo Imperatore impio defecit, eique tributũ pendere recusauit, neque sibi quicquam esse rei uoluit cum impijs Ecclesiæ Constantinopolitanæ gubernatoribus, omissisque bellis pacẽ cum Francis fecit: sub Constantino porrò & Irene, Papa Leo eos etiam Romam admisit. Sic & Italia uniuersa & ipsa Roma sunt potiti. Irene monarchiam (ut dictum est) adepta, fratres mariti eius carcere elapsi, in magnã Ecclesiã cõfugerunt, à quibusdam nouarũ rerum studiosis incitati. Aëtius igitur eunuchus qui multum apud Imperatricem autoritate ualebat, fide impunitatis data, eos Ecclesia eductos Athenas relegauit. Ibi cum agerent, Græci quidã Sclauicarũ gentium principem conuenere, orantes, ut eos inde educeret, & unum ex eis Imperatorem designatũ, in urbem Imperatoriã reduceret. Quæ res cum ad Imperatricem delata esset, omnibus priuati sunt oculi. At Francorum dux Carolus, Imperator Romanorũ à Papa Leone (ut dictũ est) appellatus, missis ad Irenem legatis nuptias illius ambijt, cum nec illa ab eo coniugio abhorreret, resque confecta esset: nisi eunuchus Aëtius, potestatis particeps, omnem lapidem (ut aiũt) mouisset, ne id coniugium perficeretur. Nam cum in Regia multum posset, fratrem suum Leonem ornare Imperio meditabatur, quem insigni studio ad præturam Thraciæ & Macedoniæ solum euexerat, cum ipse prouincijs Opsicij orientalibus præesset. Vnde elatus, uiros honoratos despiciebat, & arrogãter tractabat. Quod illi ægrè ferentes, consilium cõtra Imperatricem inierunt, adhibito que patricio Nicephoro, generali Logotheta, profunda nocte in Chalcẽ uenerunt, Irene ægrotãte, & in ædibus suis Eleutherianis decumbente: ac satellitibus dixerũt, se ab Imperatrice missos esse, ut Nicephorum Imperatorem designarent, ut Patricius Aëtius eam cogere desineret ad fratrem suum Imperatorem decernendũ. Illi uiris patricijs ob eorum dignitatẽ fide habita, ipsi etiam unà cum illis Nicephorum Imperatorem salutarũt, atque ita in Regiam illi admissi sunt. Deinde ea ipsa nocte turba promiscua collecta, Nicephori designationẽ per totum forum ante diluculũ publicarunt, & Irenes ædibus, in quibus tum agebat, custodiam adhibuerunt. Die iam illucescente, eam in Orientalem regiam traductã concluserunt, postea magnam Ecclesiã sunt ingressi, ut ibi Nicephorus diademate ornaretur, et Imperator proclamaretur, idque factum est.

Irene affines suos excæcat.

Aëtius eunuchus Caroli & Irenes nuptias impedit.

Nicephoro dolo circũuentis satellitibus imperio potitur.

ὀνομασθέντος. ἐπὶ μὲν γὰρ τοῦ προτέρου Ἰουστινιανοῦ τὴν Ἰταλίαν ἐπῆλθον οἱ Φράγγοι, ἐκ γένους ὄντες τῶν Γερμανῶν, ὡς εἴρηταί που, καὶ ἦσαν τοῖς Ῥωμαίοις πολέμιοι. ἐπὶ δὲ Λέοντος τοῦ Ἰσαύρου ὁ τότε πάπας Γρηγόριος, διὰ τὴν ἐκείνου κακοδοξίαν ἐκστὰς τοῦ ὑπείκειν ἐκείνῳ τῷ ἀσεβεῖ βασιλεῖ, καὶ δασμοφορεῖν, καὶ τοῦ κοινωνεῖν τοῖς ἀσεβέσι προεστῶσι τῆς ἐκκλησίας τῆς Κωνσταντινουπόλεως, εἰρήνευσε τοῖς Φράγγοις, καὶ τὰς πρὸς ἐκείνους μάχας κατέλυσεν. ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης ὁ πάπας Λέων καὶ εἰς τὴν Ῥώμην αὐτοὺς ἀπεδέξατο, καὶ οὕτω τῆς Ἰταλίας πάσης καὶ τῆς Ῥώμης αὐτῆς ἐκυρίευσαν. τῆς Εἰρήνης δὲ μοναρχησάσης ὡς λέλεκται, οἱ αὐτάδελφοι αὐτῆς καθειργμένοι τυγχάνοντες, ἀπέδρασαν τῇ μεγάλῃ προσφυγόντες ἐκκλησίᾳ, παρά τινων νεωτεριστῶν ὡς τοῦτο ἀναπεισθέντες. Ἀέτιος οὖν ὁ εὐνοῦχος μέγα τότε παρὰ τῇ βασιλίσσῃ δυνάμενος, ἐπελθὼν καὶ πίστεις αὐτοῖς παρασχὼν, ὡς οὐδὲν δεινὸν πείσονται, ἐξήγαγε τῆς ἐκκλησίας. αὐτοὶ δὲ καὶ εἰς Ἀθήνας ἀπήχθησαν ὑπερόριοι. ἐκεῖ δὲ διαγόντων αὐτῶν, τινὲς τῶν τῆς Ἑλλάδος προσῆλθον τῷ ἄρχοντι τῶν Σθλαβινῶν ἐθνῶν, δεόμενοι αὐτοῦ, ἐξαγαγεῖν τούτους, καὶ ἕνα προχειρίσασθαι βασιλέα, καὶ ἀγαγεῖν αὐτὸν εἰς τὴν βασιλίδα τῶν πόλεων. μηνυθέντος δὲ τούτου τῇ βασιλίδι, προσέταξεν ἐκείνους ἀποτυφλωθῆναι ἅπαντας. ὁ δὲ τῶν Φράγγων ἀρχηγὸς Κάρουλος βασιλεὺς Ῥωμαίων παρὰ τοῦ πάπα Λέοντος, ὡς εἴρηται, ἀναγορευθεὶς, πρέσβεις ἔπεμψε πρὸς τὴν Εἰρήνην, ζητῶν συζευχθῆναι αὐτῇ κατὰ συμβίωσιν γαμικήν. καὶ οὐδ' ἐκείνῃ τοῦτο ἀβούλητον ἔδοξε, καὶ γέγονεν ἂν, εἰ μὴ ὁ ἐκτομίας Ἀέτιος παραδυναστεύων, πᾶσαν ἐκίνησε μηχανὴν, εἰς τὸ μὴ ἀποτελεσθῆναι τὴν συζυγίαν. οὗτος γὰρ μέγα δυνάμενος ἐν τοῖς βασιλείοις, τὸν οἰκεῖον ὁμαίμονα Λέοντα ἀξιῶσαι τῆς βασιλείας διὰ μελέτης ἐποιεῖτο, ὃς δὴ λίαν διὰ σπουδῆς τοῦ ἀξιουμένου αὐτῆς στρατηγὸς Θρᾴκης καὶ Μακεδονίας προὐβέβλητο, ὁ δέ γε αὐτὸς τῶν Ὀψικίων ἦρχε θεμάτων τοῦ Ὀψικίου καὶ τῶν Ἀνατολικῶν. κἀντεῦθεν ὑπερφρονῶν τῶν ἐν τέλει περιεφρόνει, καὶ ἀλαζονικῶς αὐτοῖς προσεφέρετο. οἱ δὲ τούτοις ἀχθόμενοι, βουλὴν κατὰ τῆς βασιλίσσης συνέθεντο, καὶ τὸν πατρίκιον Νικηφόρον καὶ γενικὸν λογοθέτην παραλαβόντες, βαθείας νυκτὸς ἦλθον εἰς τὴν Χαλκῆν, τῆς βασιλίσσης Εἰρήνης νοσούσης, καὶ ἐν τῷ οἴκῳ αὐτῆς τῷ ἐν τοῖς Ἐλευθερίου κατακειμένης, ἔφησαν οὖν τοῖς ἐκεῖσε φύλαξιν, παρὰ τῆς βασιλίσσης σταλῆναι, ἵνα βασιλέα τὸν Νικηφόρον ἀναγορεύσωσιν, ὡς ἂν οὕτω παύσαιτο ὁ πατρίκιος Ἀέτιος βιαζόμενος αὐτὴν τὸν ἑαυτοῦ σύγγονον προχειρίσασθαι βασιλέα. πεισθέντες οὖν τοῖς ταῦτα λέγουσι πατρικίοις τῶν προσώπων οὖσι, καὶ αὐτοὶ τὸν Νικηφόρον σὺν ἐκείνοις εἰς βασιλέα εὐφήμησαν, καὶ οὕτω παραχωρηθέντες, εἰς τὸ μέγα εἰσῆλθον ἀνάκτορον. ἔτι δὲ αὐτῆς τῆς νυκτὸς ὄχλον ἀθροίσαντες σύγκλυδα, διὰ πάσης τῆς ἀγορᾶς πρὸ τῆς ἡμέρας τὴν τοῦ Νικηφόρου πεποιήκασιν ἀναγόρευσιν, καὶ τὸν τῆς Εἰρήνης οἶκον, καθ' ὃν διῆγε τότε, φρουρὰν περιέστησαν. ἡμέρας δὲ ἤδη ὑποφαινούσης, καὶ εἰς τὰ πρὸς ἕω βασίλεια μεταγαγόντες αὐτὴν ἐγκατέκλεισαν, εἰς τὴν μεγάλην ἐκκλησίαν ἀφίκοντο, ἵν' ἐκεῖ ταινιωθείη ὁ Νικηφόρος, καὶ αὐτοκράτωρ ἀναρρηθείη, ὃ δὴ καὶ γέγονε.

περὶ τῶν ἀδελφῶν ἡ βασίλισσα ἐτύφλωσε.

ὅτι ἐζήτει ὁ τῶν Φράγγων ῥὴξ συζευχθῆναι τῇ βασιλίσσῃ.

ὅπως ἡ παρ' αὐτῶν ὁ βασιλεὺς ὁ καὶ γενικὸς ἀνηγορεύθη.

Βασιλεία

ΒΑΣΙΛΕΙΑ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ἐκ γενικῶν.

[illegible]

Τυχὼν δὲ τῆς αὐταρχίας ὁ Νικηφόρος, ὁ δραξάμενος, ἐξῆς ἡμέρᾳ πρὸς τὴν βασίλισσαν ᾔει, ὅσα ὑπὸ φρουρὰς, ἄκων προαχθῆναι λέγων εἰς τὴν ἀρχὴν τὴν βασίλειον, μηδὲ γὰρ εἶναι αὐτῷ πρὸς βουλῆς, καὶ θαρρεῖν αὐτὴν ἀναπείθων, ὡς οὐδενὸς ἀτυχήσουσαν, τῶν παρὰ δούλου ὀφειλομένων πρὸς δέσποιναν γενέσθαι. ἠξίου δὲ τοὺς βασιλικοὺς ὑποδεῖξαι πάντας αὐτῷ θησαυρούς. ἡ δὲ τὰ κατ' αὐτήν φασὶ πρὸς αὐτὸν ἀναθεμένη θεῷ, τὴν μὲν ἔκπτωσιν τῆς βασιλείας ἀναγράφω ταῖς ἁμαρτίαις μου, τὴν δὲ σὴν ἀνάρρησιν λογίζομαι ἐκ θεοῦ, ὡς δὴ ἐκείνου προελθόντα σε προσκυνῶ, καὶ ἀξιῶ φείσασθαί μου τῆς ἀσθενείας, καὶ ἐᾶσαι διάγειν με ἐν τῷ οἴκῳ μου. κἀκεῖνος εἰ μηδὲν ἔκρυψας τῶν τεθησαυρισμένων ἐν ἀποκρύφοις, ἔσται σοι καὶ τοῦτο φησὶ, καὶ ἄλλο σοι δῶ πρὸς ἀρέσκειαν ἕτερον, καὶ ὅρκον δὴ αὐτῇ περὶ τούτου ἀπῄτησεν. ἡ δὲ ὤμοσε, καὶ πλεῖστα ὑπέδειξε χρήματα. καὶ ὃς αὐτίκα εἰς τὴν νῆσον αὐτὴν ὑπερώρισεν, ἣ τοῦ πρίγκιπος ἐπωνόμασται, ἐν ᾗ μονὴν ὑπῆρχε δεδημιουργημένη. ἦν γὰρ ὁ Νικηφόρος φιλοχρηματώτατος λίαν, ἀπληστότατός τε καὶ ἀπιστότατος, καὶ κακίας ἁπάσης, ὡς εἰπεῖν, καταγώγιον. καὶ οὐδ' ὑποκριθῆναι πρὸς βραχύ τινας ἠνείχετο πρὸς τοὺς ὑπηκόους χρηστότητα, ἀλλ' αὐτίκα πάσης ἀδικίας τὰ πάντα ἐπλήρωσε, καὶ οὐδὲ τῶν συναραμένων αὐτῷ εἰς τὸ βασιλεῦσαι ἐφείσατο, ἀλλὰ τὸν μὲν Τριφύλλιον φαρμάκῳ ἀνεῖλε, τὸν δὲ πατρίκιον Βαρδάνην καὶ στρατηγὸν τῶν ἀνατολικῶν, ᾧ Τοῦρκος ἦν ἐπίκλησις, ἀναγορευθέντα εἰς βασιλέα παρὰ τῶν ἑῴων ταγμάτων, εἴτε θέλοντα, εἴτε ἄκοντα (λέγεται γὰρ ἀμφότερα) εἶτα μεταμεληθέντα, καὶ πίστεις ἀπαθείας παρ' αὐτοῦ εἰληφότα, μοναχόν τε γενόμενον, καὶ εἰς τὴν νῆσον, τὴν λεγομένην πρώτην, διαπεραιωθέντα, ὅπου ἦν δεδομημένον μοναστήριον, στείλας κρυφίως τινὰς, ὡς δῆθεν ἀγνοοῦντος αὐτοῦ πεπρᾶχθαι τὸ ἔργον, ἐστέρησε τοῦ φωτὸς, καὶ λυπεῖσθαι ἐσχηματίζετο, καὶ ὀμνὺς ἀμέτοχος εἶναι τοῦ τοιούτου τολμήματος. τὸν δὲ τῆς Εἰρήνης υἱὸν τὸν Κωνσταντῖνον προσελάβετο, καὶ ὑποποιεῖται, ἵν' αὐτῷ ὑποδείξῃ κρυπτόμενα χρήματα. κἀκεῖνος ὑπέδειξεν ἐν τοίχῳ τεθησαυρισμένα πολλά. συνεὶς δὲ ὁ βασιλεὺς Νικηφόρος ἀχθομένους αὐτῷ ἅπαντας, καὶ δείσας μὴ τὴν Εἰρήνην αὖθις ἐγγὺς οὖσαν λαβόντες, εἰς τὴν βασιλείαν ἐπαναγάγωσιν, εἰς τὴν Λέσβον αὐτὴν ὑπερόριον ἔθετο, καὶ φρουρὰς ἐπιστήσας αὐτῇ, ὅτε τῇ λύπῃ κατατακεῖσα, τὴν ζωὴν διημείψατο. ἔστεψε δὲ καὶ τὸν υἱὸν αὐτοῦ Σταυράκιον ὁ Νικηφόρος, ἀσχήμονα λίαν ὄντα καὶ ἀφελῆ, καὶ μήτε εἶδος μήτε μὴν γνώμην τινὰ μήτε σύνεσιν ἔχοντα τυραννίδος ἐπάξια. τοῦ μέντοι πατριάρχου Ταρασίου τὸν βίον μεταλλαχότος κατὰ τὴν πρώτην ἑβδομάδα τῶν νηστειῶν, Νικηφόρος ὁ ἀοίδιμος ψήφῳ κοινῇ κατὰ τὴν τοῦ πάσχα κυριακὴν, πατριάρχης ἐχειροτονεῖτο, ἀσηκρῆτις τυγχάνων. Πλάτων δὲ καὶ Θεόδωρος ὁ τοῦ γεγονὼς ἡγούμενος τῆς τοῦ Στουδίου μονῆς ἀντικαθίσταντο διὰ τὴν τοῦ μακαρίου ἐκείνου χειροτονίαν, ὅτι ἀθρόως ἐκ λαϊκῶν εἰς τὴν ἐπισκοπὴν προεχειρίζετο, καί τοι τοιούτου πολλάκις πραχθέντος, οὓς καὶ ἀπελάσαι τῆς πόλεως ὁ βασιλεὺς ἐβουλεύσατο, οὐ μὴν καὶ εἰς ἔργον τὸ βούλημα ἤγαγεν. εἰσὶ δ' οἳ λέγουσι σκῆψιν εἶναι τὸ στασιάσαι αὐτοὺς διὰ τὸ ἐκ λαϊκῶν γενέσθαι πατριάρχην τὸν ἱερὸν Νικηφόρον, τὸ δ' ἀληθὲς αἴτιον φιλαρχίαν εἶναι, ἐθέλοντες γὰρ τῆς ἐκκλησίας ἐγκρατεῖς αὐτοὶ γενέσθαι, καὶ τῆς ἀρχιερατικῆς τῆς Κωνσταντινουπόλεως ἐπιβῆναι θρόνου πάνυ ἐπόθουν πο-

οἷος ἦν τοὺς τρόπους ὁ Νικηφόρος.

τυφλοῦται Βάρδας.

[illegible]

ὅτι μετὰ τὴν τοῦ ἁγίου Ταρασίου τελευτὴν ὁ Νικηφόρος προχειρίζεται πατριάρχης.

Πλάτωνος καὶ τοῦ Θεοδώρου στάσις.

IMPERIVM NICEPHORI generalis.

Imperio sic arrepto Nicephorus postridie ad Imperatricem uenit, quę á satellitibus custodiebatur, seq́ dixit inuitum ad id dignitatis fastigiũ erectum esse, quod sibi cordi non sit, eamq́ bono animo esse iussit, ut quę nihil non impetratura esset, quod dominæ à seruo præstari oporteret, & ut Imperatoris thesauri oẽs sibi monstrarentur, petijt. Illa respondit, se res suas commendasse Deo, & amissionem Imperij peccatis suis asscribere, illiusq́ proclamationem diuinitus contigisse iudicare, ac adorare eum, ut à Deo designatũ, & petere, ut suæ imbecillitati parceret, seq́ in ædibus suis ætatem degere pateretur. Ad hæc ille, si nihil ex absconditis thesauris cælaret, se & hoc ei concessurũ, & si quid aliud placeret, promisit, eaq́ de re iusiurandum ab ea exegit. Cum illa iurasset, maximamq́ pecuniã demonstrasset: statim eam in insulã Principis, in qua monasteriũ Irene struxerat, relegauit. Fuit enim Nicephorus pecuniæ auidissimus, auaritia inexplebili, summaq́ perfidia, & (ut ita dicã) omnis improbitatis diuersoriũ, ac ne ad exiguum quidem tempus benignitatem erga subditos simulare potuit, sed statim iniurijs impleuit omnia: ac ne ijs quidem pepercit, quorũ opera ad imperiũ peruenerat. Nam Triphylliũ ueneno sustulit, Bardanem Patricium & ducem, cognomẽto Turcum, ab Orientalibus legionibus siue uolentem siue nolentẽ, Imperatorem salutatum (nam utrũq́ fertur) accersiuit, pmissaq́ impunitate, factũ monachũ in insulã Protã trãsuectũ, ubi monasteriũ struxerat, luce priuauit, satellitib° clam missis, ut ipso inuito id factũ esse uideretur, mœrorẽq́ præ se ferens, iureiurãdo negauit, se illius facinoris esse cõsciũ. Cõstantinũ Irenæ filiũ asciuit, ab eoq́ obsequijs delinito impetrauit, ut sibi magnã pecuniã in muro quodã ædificijs obsepto conditã demõstraret. Cum aũt se omnib° inuisum esse cerneret, ueritus ne Irenẽ in propinquo degentẽ in imperiũ reducerẽt, eam custodib° adhibitis, Lesbũ relegauit, ubi præ mœrore mortua est. Filiũ Stauraciũ hominẽ odiosissimũ et simplicẽ, neque forma neq́ prudẽtia regno digna prçditũ, coronauit. Patriarcha Tarasio prima ieiuniorum hebdomade defuncto, inclytus Nicephorus à secretis, dominica Paschatis cõmuni suffragio Patriarcha est electus: cui electioni Plato & Theodorus q magister Studiẽsis monasterij fuerat, se opposuerũt, quòd Nicephorus homo plane laicus episcopatũ adeptus esset, quãuis id sæpe accidcrat. Eos Imperator urbe pellere in animo habuit, sed id cõsilium nõ est executus. Sunt q illos crimẽ illud laicæ cõditionis ambitioni suæ prçtexuisse dicãt, cũ re uera ipsi Ecclesię dominari, & põtificiũ Cõstantinopolis soliũ cõscendere impensè cuperent,

Irene monasterio includitur.

Nicephori improbissimum ingenium.

Irenes relegatio.

Stauracij coronatio.

Nicephorus Patriarcha.

Theophano Stauracij uxor. Imperator filio uxorē daturus, Theophanonē Athenienſem, Irenes Imperatricis cognatam, iam uiro deſpōſam, matrimonio nefariè dirēpto, Stauracio cōiunxit: cumq́ colluuio quædā & ſentina omniū uitiorū eſſet, alia atq́ alia ad ſubditos atterendos cōminiſci nō deſtiut. quorū pleriſq́ omiſsis, paucorū mentionē faciam, guſtū duntaxat tanq́ de pleno dolio lectoribus prębiturus. *Nicephori ſordes, rapacitas & exactiones.* Inopes prouinciarū militare iuſsit, eisq́ à finitimis arma & ſtipendia prębeti, & inopū uectigalia exigi à locupletibus, quę cōſtituto Allelengyon, q̄d alij ꝓ alijs ſponderēt, appellata eſt. Deſignauit & inſpectores, quibus mādauit, ut publica uectigalia augerēt, & ꝓ chartiatico in ſingula nomiſmata binæ ſiliquę poſcerētur. Illi enī fundos optimos quoſq́ dominis ereptos, fiſco aſsignarūt. Huius inuētū peſsimū eſt etiā Capnici impoſitio, parœcis Eccleſiarū, monaſteriorū, earūq́ ędiū in quib⁹ uel pauperes uel ſenes alebātur, mādata, et cuiuis eorū q neq́ fundos neq́ reditus habebāt. Ab ijs etiā, qui quomodocunq́ è pauperib⁹ diuites euaſerāt, tanq́ theſauros reperiſſēt, pecuniā exigi iuſsit. Naucleros agros emere à publico coëgit, homines uel quid eſſet agricultura, ignorātes, idq́ ad prouinciales naucleros ꝑtinuit. Qui aūt Cōſtātinopoli degebāt, ſinguli duodenas auri libras fiſco ꝓ uſura pēſitabāt, ultra cętera onera quę nauib⁹ incūbebāt. Prętereà quos uel mercatores, uel officinarū magiſtros, pecunioſos eſſe norat: ijs, maxima parte adēpta, ꝑexiguū quiddā relinquebat, ut cuidā cæreorū uēditori fecit, quē cū magnę pecunię dominū eſſe cognouiſſet, accerſitū, manu illi⁹ ſuo capiti impoſita, iuratū dicere coëgit, quātū auri haberet: illo cētū libras affirmante, ut eas afferret, hominē hortat⁹ eſt. Iis allatis: Nō tibi opus eſt (inquit) tāto auro: & decē libris illi relictis, ipſe reliquas ſibi uēdicauit, eūq́ ſuæ mēſę adhibuit, unū imperatoriū *Prandiū Imperatoris XC. libris auri emptū.* prādiū XC. libris auri nō ſpōte mercatū. Huiuſmodi multis rationib⁹ excogitatis Nicephorus, ad quas ſolertiſsimo erat ingenio, ſubditos oēs afflixit, omnib⁹ odio fuit. Quāobrē uir quidā ignotus ſtricto gladio in regiā ad eū occidēdum accurrit, cōcurſuq́ facto, quoſdā enſe ꝑcuſsit, cōprehēſus & quæſtionibus adhibitus, nihil de quoq́ protulit, ſimulataq́ inſania, incluſus eſt. *Manichæi & Athingani.* Nicephorus Manichæis, & ijs qui Athingani uocātur, in oraculis augurijs & arcanis cerimonijs uſus eſt. Vnde in Romanis prouincijs diſperſum id hominū genus, multorum ſimplicium fidem corrupit. *Agarenorū incurſiones.* Agareni ſub eo, Romanis prouincijs crebris expeditionibus multas clades intulerunt, ac præter cætera, etiam Euchaitorum metropolim cepeſunt. Ac illi Orientem populati ſunt, Bulgari occidentem. *Nicephorus ſe Pharaoni comparat.* Imperator igitur quum bellum aduerſus Bulgaros ſuſcipere decreuiſſet, & quidam ex eius intimis ei ſuaſiſſet, ut ſubditos clementius tractaret. Nam omnes, inquit,

μέλλοντι δὲ τῷ υἱῷ αὐτοῦ Σταυρακίῳ ἀγαγέσθαι γυναῖκα ὁ βασιλεὺς βουληθεὶς, Θεοφανὼ τὴν Ἀθηναίαν, προσγενῆ τῇ βασιλίσσῃ Εἰρήνῃ οὖσαν, καὶ ἤδη κατηγγυημένην ἀνδρὶ, διαζεύξας αὐτοῦ ἀθέσμως, τῷ Σταυρακίῳ συνέζευξε. πανσπερμία δὲ πάσης κακίας ὥσπερ τυγχάνων ὁ αὐτοκράτωρ, οὐ διέλιπεν ἄλλα ἐπ' ἄλλοις εἰς συντριβὴν τῶν ὑπηκόων ἐπινοούμενος. ὀλίγων δὲ ἐπιμνησθήσομαι, τὰ πολλὰ παραλιπὼν, ἵν' ὡς ἐκ πλήρους πίθου γεῦμα ταῦτα τοῖς τῇ ἱστορίᾳ ἐντυγχάνουσιν ἔσοιτο. στρατεύεσθαι τοὺς ἀπόρους ἐκ τῶν θεμάτων ἐθέσπισε, καὶ παρὰ τῶν ὁμοχώρων ὅπλα τε αὐτοῖς χορηγεῖσθαι καὶ ἀναλώματα, καὶ τὰ τῶν ἀπόρων τέλη τοὺς εὐποροῦντας εἰσπράττεσθαι, ὃ ἀλληλέγγυον ὠνομάσθη. ἐπέστησε καὶ ἐπιβολεῖς, ὡς ἂν ἐπαύξειν σφᾶς τὰ δημόσια. ἐπετάχθη δὲ καὶ ὑπὲρ χαρτιατικῶν ἐν τῷ νομίσματι δύο κεράτια. οἱ δὲ τὰ κρείττω τῶν ἀκινήτων ἐκ τῶν δεσποτῶν ἀφαιρούμενοι, τῷ δημοσίῳ ἀφώριζον. τούτου καὶ ἡ τοῦ καπνικοῦ ἐπίθεσις γέννημα κάκιστον, ἐπαχθεῖσα τοῖς τῶν ἐκκλησιῶν καὶ πτωχείων γηροκομείων τε καὶ μοναστηρίων παροίκοις, καὶ πάντη μήτε γῆν ἔχουσι μήτε τέλος. καὶ τοὺς δὲ ἐξ ἀπόρων ὅπως δή ποτε εἰς εὐπορίαν μεταχθέντας χρήματα ἀπῃτεῖτο, ὡς εὑρόντας θησαυρόν. καὶ τοὺς ναυκλήρους γῆν ὠνεῖσθαι ἐκ τῆς δημοσίας, ἀνθρώπους οὐδ' ὅ,τι δὴ γεωργία γινώσκοντας, καὶ τοῦτο ἐπὶ τῶν ἐν τοῖς θέμασιν οἰκούντων ναυκλήρων ἐγίνετο. τοῖς δὲ ἐν Κωνσταντινουπόλει ναυκλήροις προσέταξεν ἀνὰ δώδεκα λίτρας ἕκαστον χρυσίου, ἵνα τόκον καταβάλλῃ τῷ δημοσίῳ, τῶν ἄλλων βαρῶν τοῖς πλοίοις ἐπικειμένων ἐπέκεινα. καὶ ὅσους δ' αὖ ἔμαθε τῶν ἐμπόρων ἢ ἐργαστηρίων προϊσταμένων πολλῶν εὐπορεῖν, εἴληφεν ἀφαιρεῖν τὰ χρήματα, πολλοστόν τι μέρος ἐκείνοις ἐῶν, οἷον καὶ ἐπί τινι πράττει κηρίων ἐργάτῃ. μαθὼν γὰρ τοῦτον αὐτὸν ἱκανὸν κύριον εἶναι χρημάτων πολλῶν, μεταπέμπεται αὐτὸν, καὶ ἐπίθες, φησὶ, τὴν χεῖρα τῇ κεφαλῇ μου, καὶ ὄμοσον κατ' αὐτῆς, πόσον σοι χρυσίον ἐστί; τοῦ δὲ βιασθέντος τοῦτο ποιῆσαι, καὶ ὀμόσαντος ἑκατὸν ἔχειν λίτρας, ἐνεχθῆναι ταύτας παρεκελεύσατο. ὡς δ' ἐκομίσθησαν, οὐ χρεία σοι τοσούτου εἶπε χρυσοῦ, δέκα γοῦν λίτρας αὐτὸς παρ' ἐμοῦ λαβὼν, τὰς λοιπὰς αὐτὸς ἐνοσφίσατο, ὁμοδίαιτον αὐτὸν τότε πεποιηκὼς, ἐνενήκοντα χρυσίου λιτρῶν τὸ συνεστιαθῆναι τῷ βασιλεῖ οὐχ ἑκόντα πριάμενον. τοιαῦτα πολλὰ ὁ Νικηφόρος κατὰ τῶν ὑπηκόων ἐπινοῶν (ἦν γὰρ πραγματευτὴς ἐν τούτοις) πᾶσαν αὐτοῖς ἐπήνεγκε κάκωσιν, καὶ ὑπὸ πάντων ἐμισεῖτο. ὅθεν ἄγνωστός τις ἀνὴρ ξίφος ποτὲ λαβὼν ἐν χερσὶν, εἰσέδραμε τὰ βασίλεια, ἀνελεῖν τὸν βασιλέα τοῦτον ζητῶν. τινῶν δ' ἐπιδραμόντων αὐτῷ, τοὺς μὲν ἔπληξε τῷ ξίφει, ταῖς δὲ συσχεθεὶς καὶ βασάνοις ἐκδοθεὶς, οὐδέν τι κατά του ἐξεφώνησεν, ἀλλὰ παρακεκόφθαι τὰς φρένας ὑποκριθεὶς, καταδέκλειστος γέγονε. Μανιχαίοις δὲ καὶ τοῖς καλουμένοις Ἀθιγγάνοις ἐν χρησμοῖς τε καὶ οἰωνίσμασι καὶ τελεταῖς ἀπορρήτοις ἐκέχρητο. κἀντεῦθεν εἰς τὰς χώρας τὰς Ῥωμαϊκὰς ἀνεφθάρησαν, καὶ πολλοὶ τῶν ἀβελτέρων εἰς τὴν πίστιν ὑπ' αὐτῶν διεφθάρησαν. οἱ δὲ τῆς Ἄγαρ πολλάκις κατὰ Ῥωμαίων ἐπιστρατεύοντες ἐκάκωσαν τὰς χώρας, εἷλόν τε σὺν ἄλλοις καὶ τὴν τῶν Εὐχαΐτων μητρόπολιν. καὶ οὗτοι μὲν τὰ πρὸς ἀνίσχοντα ἥλιον ἐληΐζοντο, οἱ δὲ Βούλγαροι τὰ ἑσπέρια. ἐπιστρατεῦσαι τοίνυν κατὰ Βουλγάρων ὁ βασιλεὺς ἐβουλεύσατο, καί τινος τῶν οἰκειοτάτων αὐτῷ συμβουλεύοντος, ἐνδοῦναι τοῖς ὑπηκόοις τὴν κάκωσιν. πάντες γὰρ, ἔφη, καταβοῶσιν

οἷαι κεφαλαὶ ἀσεβείας ἐπενόει ὁ βασιλεὺς Νικηφόρος ὁ ἀπὸ γενικῶν.

περὶ τοῦ ἀσ[illegible] ξιφήρους εἰς τὰ βασίλεια, καὶ ζητοῦντος ἀνελεῖν τὸν βασιλέα.

ὅτι μανιχαίοις καὶ ἀθιγγάνοις ἐχρῆτο [illegible].

ἐπιστρατεία κατὰ Βουλγάρων [illegible] ἀπώλετο.

καὶ περιβοῶσιν ἡμῶν, καὶ εἴ τι τῶν ἀπευκταίων συμβαίη ἡμῖν, πάντες ἐπιχαρήσονται τῇ πτώσει ἡμῶν. ἐκεῖνος ἔφη, ὡς ὁ θεὸς ἀπεσκλήρυνε τὴν καρδίαν μου ὥσπερ τὴν τοῦ φαραώ. μὴ οὖν ἐκδέχου τι ἀγαθὸν τοῖς ὑπὸ χεῖρά μου δι' ἐμοῦ. συναθροίσας οὖν τὰ τάγματα πανταχόθεν, καὶ εἰς Βουλγαρίαν παραγενόμενος, τοῦ Κρούμου τοῦ ἔθνους ἀρχηγετοῦντος, τὸ μὲν πρῶτον εὐτύχησεν, ὥστε καὶ τὴν τοῦ Κρούμου περιληφθῆναι αὐλὴν (οὕτω γὰρ τὴν τοῦ σφῶν ἀρχηγοῦ οἱ Βούλγαροι ἐκάλουν κατοίκησιν) καὶ τοῖς ἐκείνου ταμείοις, σφραγῖδας ἐπιβαλεῖν, ὡς ἤδη γενομένοις αὐτοῦ, καὶ πολλοὺς τῶν οἰκείων διὰ σκύλων ἁρπαγὴν τιμωρήσασθαι. τοῦ δὲ Κρούμου ἀποδεδειλιακότος, καὶ ἱκετεύοντος φείσασθαι τοῦ ἔθνους, καὶ ἐφ' οἷαις ἂν βούλοιτο συνθήκαις σπείσασθαι αὐτῷ, ὀγκωθεὶς ἐκεῖνος τῷ εὐτυχήματι, τὰς σπονδὰς οὐ προσήκατο. ἀπογνοὺς οὖν ὁ Κροῦμος, καὶ τὸν περὶ ψυχῆς ἤδη λογιζόμενος θέειν, τὰς ἑαυτοῦ δυνάμεις συναγαγών, καὶ λόγοις παρακλητικοῖς παρακροτήσας αὐτούς, ἔπεισι νυκτὸς ἐπ' αὐτοὺς κατὰ τῆς τῶν Ῥωμαίων παρεμβολῆς, ἀφυλάκτως κοιμωμένων ἁπάντων (μὴ γὰρ αὐτοὺς τολμῆσαι συμμῖξαι αὐτοῖς τοὺς βαρβάρους ἐξ ἀπονοίας πολλῆς ᾤοντο) καὶ αὐτῇ καὶ ἐπὶ τὴν τοῦ βασιλέως σκηνὴν ὡρμήκασιν, καὶ ἀναιρεῖται μὲν ὁ Νικηφόρος, τὸ δ' ὅπως, ἠγνόηται. λέγεται δὲ καὶ παρὰ τῶν οἰκείων ἀναιρεθῆναι ἀπεχθανομένων αὐτῷ διὰ μῖσος, καὶ ἢ προτουργησάντων τὴν ἐκείνου σφαγήν, ἢ τῶν μὲν βαρβάρων προκαταρξαμένων, τῶν δὲ Ῥωμαίων ἐπεξεργασαμένων τὸν φόνον τὸν τοῦ ἀλάστορος. τιτρώσκεται δὲ καὶ ὁ Σταυράκιος μεταξὺ τοῦ ὤμου τοῦ δεξιοῦ καὶ τοῦ τένοντος, καὶ ἀναιροῦνται πολλοὶ μὲν τῶν ἐν ὑπεροχαῖς, τῶν ἐν τέλει, τῶν ἐν στρατηγίαις, τῶν ἐν ἀξιώμασι. τῶν δ' ἄλλως στρατευομένων, καὶ τῶν τῆς βασιλικῆς ὑπηρεσίας καὶ τῶν λοιπῶν θεραπόντων οὐδὲ ἀριθμός. διαρπάζεται δὲ ξύμπασα ἡ τοῦ βασιλέως ἀποσκευή, καὶ ἅπαν τὸ τῶν Ῥωμαίων χαράκωμα, καὶ περιγίνεται τοῖς βαρβάροις καὶ πλοῦτος συχνός, καὶ ὅπλα πολλά, καὶ ἵπποι μυρίοι. μόλις γοῦν ὁ Σταυράκιος περιεσώζετο, καὶ ὅσους ἡ νὺξ παρέσχε λαθεῖν λόχμαις ὑποδῦσι, καὶ ἕλη, καὶ τοιαῦτα τινά. τὸν δὲ τοῦ βασιλέως Νικηφόρου νεκρὸν λαβὼν ὁ Κροῦμος, καὶ τὴν κεφαλὴν ἐκτεμὼν ἐφ' ἡμέρας μέν τινας ἐφ' ὕψους ἀνήρτησε, θριαμβίζων ταύτην καὶ ἐμπομπεύων τῷ κατορθώματι. εἶτα τὸ τῆς κορυφῆς ὀστοῦν ἀποδελῶν, καὶ γυμνώσας τοῦ δέρματος, ἀργύρῳ τε περιδήσας, ὡς κύλικι τούτῳ ἐνέχεε τὸ οἶνον τ' ἐγχέων αὐτῷ, πίνειν ἐδίδου τοῖς ὑπ' αὐτόν. ἀγγελθέντος δ' ἐν Βυζαντίῳ τοῦ τῶν Ῥωμαίων ὀλέθρου καὶ τῆς τοῦ βασιλέως σφαγῆς, θρῆνος μὲν ἦν πανταχόθεν πολύς, καὶ ὠλόλυζον οἱ τοῖς ἀνῃρημένοις προσήκοντες, κουφισμὸν δ' ἐποίει τῆς συμφορᾶς ἡ τοῦ κρατοῦντος ἀπώλεια ἐφηδομένων πάντων αὐτῇ. ἐβασίλευσε δὲ κάκιστος ἔτη ἐννέα.

Ὅτι τὴν κεφαλὴν τοῦ βασιλέως ὁ Κροῦμος ἀργυρώσας, ἀντὶ κύλικος ἐχρᾶτο.

contra nos uociferātur: & si quid aduersi nobis acciderit, omnes casu nostro lętabūtur. Respōdit ille: Deus cor meū quemadmodū Pharaonis indurauit. Ne quid igitur à me bonum ijs euenturū expectato, qui in manu mea sunt. Accersitis igitur undiq; legionibus, in Bulgariam profectus, Crumo genti imperāte, principiò secunda fortuna usus est, ut & aulam illius caperet (sic enim Bulgari sui principis habitationē appellabant) & cōclauibus ut suis, sigilla imprimeret, et multos suorū, ob spoliorū rapinam multaret. Crumo aūt fractis animis supplicante, ut genti parceret, & quibus ipse uellet cōditionibus pacē daret, successu elatus nullas cōditiones admisit. Crumus igitur desperatis rebus, sibi iam de ipsa uita dimicandū ratus: coactis suis copijs, easq; cohortatus, castra Romanorū noctu inuadit, omnibus sine excubijs dormientibus. (Neq; enim in tanta desperatione unquā ausuros secū Barbaros congredi putabant) statim in tabernaculū Imperatoris facto impetu Nicephorus occisus est: quo autem pacto, ignoratur. Fertur enim à suis ex odio per insidias interfectus, siue cædem hominis pestilentis auspicatis, siue à Barbaris inchoatā, executis. Est & Stauracius inter humerum dextrū & iugulum uulneratus, cæsiq; sunt multi uiri excellētes, multi magistratibus prædití, multi duces, & dignitatibus illustres, gregarij uerò milites, Imperatorij comites, alijq; ministri innumerabiles. Direptum est uniuersum imperatoris instrumentū, & totum Romanorū uallum. Barbari magnis opibus sunt potiti, multis armis equisq; plurimis. Stauracius ægrè euasit, & alij quos nox texit, in dumetis, paludibus, & alijs eiusmodi locis latitantes. Crumus Nicephori caput amputatū, per aliquot dies crucibus suffixum, spectandum præbuit, & rei bene gestæ pompam celebrauit. Deinde osse uerticis resecto, cute direpta, capite argento inducto pro calice usus est, infusoq; uino suis ex eo propinauit. Romanorum interitu & imperatoris cęde Byzātij nunciata, luctus ubiq; magnus fuit, cæsorum necessarijs eiulantibus. Calamitatem tamen leuabat Imperatoris interitus, quo omnes lætabantur. Regnauit homo pessimus annos IX.

Expeditio Bulgarica.

Crumus Bulgarus Nicephori calua pro poculo utitur.

ΑΥΤΑΡΧΙΑ ΣΤΑΥΡΑΚΙΟΥ τοῦ υἱοῦ νικηφόρου.

Ὁ μὲν οὖν νικηφόρος κάκιστος γεγονώς, ἀπώλετο αἴσχιστα. ὁ δέ γε Σταυράκιος πεπληγμένος φυγών, εἰς ἀδριανούπολιν διασώζεται, κἀνταῦθα καὶ αὐτὸς ἀνερρήθη αὐτοκράτωρ τῶν ἐν ἀρχαῖς ἐνίων σπουδῇ, καὶ κακῶς ἐκ τοῦ τραύματος διακείμενος, εἰς τὴν μεγαλόπολιν εἰσελήλυθεν. ἐπιβουλεύει δὲ τῷ κουροπαλάτῃ μιχαήλ, ῥαγγαβὲ τὸ ἐπώνυμον, γαμβρῷ αὐτοῦ ὄντι, ἐπὶ προκοπίᾳ τῇ ἀδελφῇ, βουλόμενος τὴν βασιλείαν τῇ ἑαυτοῦ συμβίῳ καταλιπεῖν. γνόντες δὲ τὴν τοῦ σταυρακίου μελέτην οἱ τῆς συγκλήτου βουλῆς, καὶ οἱ περιλειφθέντες ἐκ τῶν ταγμάτων ἀθροίσαντες,

ἀνάρρησις τοῦ ῥαγγαβὲ μιχαήλ.

IMPERIVM STAVRACII Nicephori filij.

Nicephorus uti uir pessimus fuerat, ita turpissimè perijt. Stauracius aūt uulneratus, Adrianopolim peruenit, ubi magistratuum quorundam studio Imperator est salutatus, & ex uulnere malè affectus, magnam urbem ingressus, Michaeli Curopalatæ cognomēto Rangabi, cui soror eius Procopia nupta erat, insidias struxit, Imperium suæ coniugi relicturus. Cæterū senatus Stauracij cōsilio cognito, reliquijs legionum cōuocatis, Michaelē Curopalatem

Stauracius fit monachus.

ſub diluculum Imperatorem dixit, Stauracius autem ſtatim detonſa coma, monachi habitum ſumpſit.

IMPERIVM MICHAELIS Rangabis.

Michael fidem ſuã Patriarchæ obſtringit.

Michael ubi diluxit, magnã Eccleſiam ingreſſus, à Patriarcha Nicephoro, imperatorio diademate eſt ornatus, poſtulato prius ſcripto, quo promitteret, ſe nulla Eccleſię inſtituta uiolaturũ, neq; Chriſtianorũ ſanguine manus cõtaminaturũ eſſe. Poſt dies aliquot Procopiã uxorẽ Auguſtã ſalutauit & coronauit, uir pi⁹ atq; ingenui animi.

Michaelis benignitas

Eos quib⁹ à Nicephoro factæ erãt iniuriæ, & militũ bello cæſorũ uxores pecuniæ diſtributione cõſolatus eſt.

Stauracij monaſterium.

Theophanonẽ Stauracij coniugẽ, quæ tonſa coma nigrã ſtolã induerat, magna pecunia donauit, ædibus ei ad habitandũ aſsignatis, quas illa in monaſteriũ cõuertit, quod à Stauracio ibi ſepulto nomen eſt ſortitũ. Nã ex uulnere, quod ſuprà memorauimus, deceſsit, cũ duos duntaxat menſes & ſex dies imperaſſet. Id monaſteriũ appellatione corrupta uulgo Braca dicit̃, & à nonnullis, qui uocem ad Græcam formã detorquere conantur, originis eius ignari, Hebraica. Cũ autem Studienſis Monaſterij moderatores, Platonem & Theodorũ, & fratrem eius etiam Ioſephũ Theſſalonicenſem archiepiſcopũ, eiuſdemq; monaſterij monachos inſigniores in carcerẽ coniectos reperiſſet, propterea quod cum Patriarcha & Eccleſia nõ conſentirẽt, ut ſuprà dictũ eſt, operã dedit ut eos in cõcordiã redigeret, idq; pfecit. Filiũ Theophylactũ imperatorio nomine dignatus eſt, et à Patriarcha diademate ornandũ curauit.

Expeditio Bulgarica.

Pòſt, expeditione cõtra Bulgaros ſuſcepta, qui Thraciã populabãtur, quibuſdã legionibus ſeditioſis, à quibus apertè maledictis inceſſebaẽ, benignis alloquijs et liberalitate placatis, in Regiã reuerſus eſt. Cum multi inſaniã cõtra uenerabiles imagines renouare ſtuderent, quibuſdã cõprehenſis & mediocriter multatis, cęteros à ſimili conatu deterruit, et Monacho cuidã qui oſtẽtandæ forſitan pietatis ergô, Deiparæ imaginẽ eraſerat, linguã pręcidit.

Leo Armenius Agarenos uincit.

Agarenis aũtrurſus orientẽ uaſtantibus, orientalium dux Leo Armenius commiſſo prælio, ad duo millia cæcidit, multis equis & ſpolijs potitus. Crumus porrò Bulgarorum princeps legatos ad imperatorem miſit, pacem ijs conditionibus petẽs, quæ ſub Theodoſio Adramytteno & Patriarcha Germano cõceſſæ eſſent. Quòd ſi pacem repudiaret, ſe Meſembriam inuaſurum minabatur, eumq; qui bellum maluiſſet, exitij Chriſtianorum autorem fore aſſerebat.

Bulgari Meſembriã occupant.

Eas conditiones cũ Michael de conſilio ſuorũ renuiſſet, Crumus Meſembriã inuaſit, machinis ad expugnationẽ urbis adductis. Nã Arabs quidã ſolers mechanicus, cùm ſe ad Nicephorum aliquando contuliſſet, & ſacro baptiſmate

κατ' ὄρθρον ἤδη τῆς νυκτὸς ἔστι ἀναγορεύουσι τὸν κουροπαλάτην μιχαὴλ αὐτοκράτορα, καὶ αὐτίκα τὴν κόμην κειράμενος ὁ σταυράκιος, περιβολὴν μοναχικὴν ὑπεδύσατο.

ΒΑΣΙΛΕΙΑ ΤΟΥ ΜΙχαὴλ ῥαγγαβέ.

Ὁ δὲ μιχαὴλ μεθ' ἡμέραν εἰς τὴν ἐκκλησίαν παραγενόμενος, ὑπὸ τοῦ πατριάρχου νικηφόρου τῷ βασιλικῷ διαδήματι, ἐπισπευθεὶς παρ' αὐτοῦ ἔγγραφον ἐπαγγελίαν τοῦ μήτε παρακινῆσαι τῶν τῆς ἐκκλησίας θεσμῶν, μήτε φόνῳ χρανθῆναι χριστιανῶν. μετὰ δὲ τινας ἡμέρας καὶ τὴν τοῦ βίου κοινωνὸν προκοπίαν αὐγούσταν ἀνηγόρευσέ τε, καὶ ἔστεψεν, εὐσεβής τε τυγχάνων καὶ τὴν γνώμην ἐλευθέριος. τούς τε πρὸς τοῦ νικηφόρου ἀδικηθέντας καὶ τὰς συζύγους τῶν ἐν τῷ πολέμῳ πεσόντων στρατιωτῶν παρεμυθήσατο χρημάτων διανομαῖς. καὶ τὴν γαμετὴν δὲ σταυρακίου θεοφανὼ κειραμένην τὴν κόμην, καὶ μέλαιναν ἐνδυσαμένην στολὴν, χρήμασι πολλοῖς ἐδωρήσατο. καὶ οἶκον εἰς κατοικίαν αὐτῇ προσαπονείμας, ὃν εἰς μοναστήριον ἐκείνη μετεποίησε καταγώγιον. ἔνθα καὶ ὁ σταυράκιος τέθαπται, θανὼν ἐκ τῆς πληγῆς ἧς ὁ λόγος ἐμνήσθη, δύο μῆνας αὐταρχήσας μόνους καὶ ἡμέρας ἕξ. ἥτις μονὴ ἐξ ἐκείνου ἐκλήθη τοῦ σταυρακίου ὀνομασθεῖσα, βαρβαριζομένου δὲ τοῦ ὀνόματος παρὰ τοῦ συρφετώδους ὄχλου λέγεται τὰ βρακᾶ, παρά τινων δὲ τὴν ἀληθῆ κλῆσιν ἀγνοούντων, μεταγόντων δὲ ταύτην δῆθεν πρὸς τὸ ἑλληνικώτερον, ὀνομάζεται τὰ ἑβραϊκά. καθειργμένους δ' εὑρὼν τοὺς τῆς μονῆς τοῦ στουδίου ἡγεμονεύσαντας, τὸν πλάτωνα λέγω καὶ τὸν θεόδωρον, ἀλλὰ μὴν καὶ τὸν τούτου ὅμαιμονα ἰωσὴφ τὸν τῆς θεσσαλονίκης ἀρχιεπίσκοπον, καὶ τῶν τῆς εἰρημένης μονῆς μοναχῶν τοὺς ἐλλογιμωτέρους, ὡς μὴ κοινωνοῦντας, καθάπερ εἴρηται, τῷ πατριάρχῃ καὶ τῇ ἐκκλησίᾳ, ἐσπούδασεν ἑνῶσαι αὐτοὺς, καὶ μέντοι καὶ ἥνωσε. τὸν υἱὸν δὲ θεοφύλακτον ὁ βασιλεὺς οὗτος τῆς βασιλικῆς ἀξιοῖ κλήσεως, καὶ διὰ τοῦ πατριάρχου διάδημα περιτίθεται. ἔπειτα τῶν βουλγάρων ληϊζομένων τὴν θρᾳκῴαν μοῖραν ἐκστρατεύσας, στασιασάντων κατ' αὐτοῦ τῶν ταγμάτων τινῶν, ὡς καὶ εἰς ὕβρεις χωρῆσαι τὴν ἐκ τοῦ προφανοῦς, λόγοις μειλιχίοις καὶ δώροις φιλοτίμοις κατηύνασε, καὶ εἰς τὰ βασίλεια ἐπανέζευξεν. ἀνακαινίσαι δὲ ζητούντων πολλῶν τὴν τῶν σεπτῶν εἰκόνων μανίαν, τινὰς συλλαβὼν, καὶ μετρίως τούτους αἰκισάμενος, δι' αὐτῶν καὶ τοὺς λοιποὺς κατεπτόησε, καὶ παύεσθαι παρεσκεύασε. μοναχὸν δέ τινα εὐλαβείας τάχα σκηνὴν ὑποδυόμενον εὑρηκὼς, εἰκόνα τῆς θεομήτορος ἐκξέσαντα, τῆς γλώσσης ἀφείλετο. τῶν ἀγαρηνῶν δὲ τὴν ἑῴαν αὖθις ληϊζομένων, ὁ τῶν ἀνατολικῶν στρατηγὸς ὁ ἀρμένιος λέων τούτοις συμβαλὼν ἀνεῖλέ τε περὶ δισχιλίους, καὶ ἵππους καὶ ὅπλα ἐξ αὐτῶν εἰς πλῆθος ἐλαφυραγώγησε. κροῦμος δὲ ὁ τῶν βουλγάρων ἀρχὸς διαπρεσβεύεται πρὸς τὸν βασιλέα, εἰρήνην ζητῶν ἐπὶ συνθήκαις, ταῖς ἐπὶ θεοδοσίου τοῦ ἀδραμυττηνοῦ καὶ γερμανοῦ πατριάρχου. καὶ εἰ μὴ οὕτω τὴν εἰρήνην ὁ αὐτοκράτωρ αἱρήσεται, ἠπείλει κατὰ μεσημβρίας χωρῆσαι, καὶ τοῦ τῶν χριστιανῶν ὀλέθρου αἴτιον εἶναι τὸν μὴ τὴν εἰρήνην αἱρούμενον. ἀλλὰ συμβουλῇ τῶν περὶ αὐτὸν τὰς σπονδὰς ἐπὶ ταῖς συνθήκαις ἐκείναις ὁ βασιλεὺς ἀπώσατο, καὶ ὁ κροῦμος τὴν μεσημβρίας ἐχείρωσεν, ἑλεπόλεις ἐπαγόμενος. ἄραψ γάρ τις μηχανικὸς ἦν, περὶ ταύτας δὲ ἐξίου, προσελθὼν τῷ νικηφόρῳ ποτὲ, καὶ τῷ θείῳ βαπτίσματι τελεσθεὶς

πελθεῖν, μὴ τυχὼν δὲ προνοίας ἀξιολόγου διὰ τὴν ἐκείνου γλισχρότητα, ὅτι καὶ ἐπιγκαλίσας ἐκείνῳ διὰ τὸ ἀπρονόητον, ἐτύφθη σφοδρότατα. ἐξ ἀπονοίας οὖν τοῖς Βουλγάροις προσκεχώρηκε, καὶ δι' αὐτοῦ πᾶσαν οἱ βάρβαροι μηχανὴν ἐργάζεσθαι μεμαθήκασιν, ὅτως οὖν εὐπορήσαντες ἐλεπόλεων, οὐκ ἐχρόνισαν εἰς τὴν τῆς Μεσημβρίας ἅλωσιν πόρθησιν. τοῦ δὲ βασιλέως τὸν πατριάρχην μετακαλεσαμένου καὶ τῶν ἀρχιερέων τινάς, καὶ προθεμένου βουλὴν περὶ τῶν μετὰ Βουλγάρων σπονδῶν, καὶ εἰ χρὴ ἐκδοῦναι τοὺς λεγομένους ἐκεῖθεν Ῥωμαίους προσπεφευγότας (καὶ τοῦτο γὰρ πρὸς ἄλλοις ἐπὶ ταῖς σπονδαῖς ἐζήτει ὁ βάρβαρος) ὁ μὲν πατριάρχης καὶ οἱ ἀρχιερεῖς συνεβούλευον ἐκδοῦναι τοὺς πρόσφυγας, κρεῖσσον εἶναι παθεῖν κρίνοντες μετρίους τινάς, ἢ πλήθη πάσχειν ἀνάριθμα. οἱ δὲ περὶ τὸν βασιλέα καὶ ὁ Στουδίτης Θεόδωρος τὰς σπονδὰς ἀπηγόρευον, λέγοντες μὴ δεῖν ἐκδοῦναι τοὺς πρόσφυγας. αἱ μὲν οὖν τοῦ Βουλγάρου σπονδαὶ ἐντεῦθεν ἐκωλύθησαν. ἦν γὰρ ὁ αὐτοκράτωρ οὗτος τὸν μὲν τρόπον χρηστός, καὶ τὴν πίστιν ὀρθός, πρὸς δὲ πραγμάτων οἰκονομίαν νωθής, καὶ τοῖς ὑποτρέχουσι τῶν ἀρχόντων ὅποι ἂν ἐγοιτο ῥᾳδίως ἀγόμενος. κομήτης δὲ ἀστὴρ ἐφάνη τότε σχηματιζόμενος εἰς ἄλλα διάφορα, ὧν καὶ ἓν λέγεται εἶναι καὶ ἀνθρώπου σχῆμα χωρὶς κεφαλῆς. οἱ Βούλγαροι μέντοι τῆς Μεσημβρίας κρατήσαντες, πολλὰ ἐν ταύτῃ εὑρήκασι, μετὰ τῶν ἄλλων δὲ καὶ τοῦ ὑγροῦ πυρὸς οὐκ ἐλάχιστον. αἰχμαλώτων δ' ἐπανελθόντων τινῶν, μαθὼν ἐκ τούτων ὁ βασιλεὺς βούλεσθαι τὸν Κροῦμμον τὴν Θρᾴκην ληΐζεσθαι, ἐξῆλθε τῆς πόλεως. ὅθεν οὐδὲν ὧν ἐμελέτα δράσας ὁ βάρβαρος, ἀλλὰ καὶ πολλοὺς τῶν οἰκείων ἀποβαλών, ἀπενόστησε, καὶ ὁ βασιλεὺς τὰς ῥωμαϊκὰς δυνάμεις πανταχόθεν συναθροίσας, εἰς Θρᾴκην αὖθις ἐξῆλθε, συνεπομένης αὐτῷ καὶ τῆς αὐγούστης ἄχρι τῶν Κεδούκτου. ὅθεν δυσχεραῖνον τὸ στρατιωτικόν, ἐλοιδορεῖτο κατὰ τοῦ αὐτοκράτορος, ἀλλ' ἡ μὲν αὐγοῦστα ἐπανελήλυθεν, ὁ δὲ Μιχαὴλ περιεπόλει τὴν Θρᾴκην, μηδέν τι πράττων στρατηγικόν, ὅτι κατὰ τῶν ἐναντίων οἰκονομούμενος, καὶ ἦσαν τοῖς τῆς χώρας οἰκήτορσι τὰ στρατεύματα οὐχ ἧττον τῶν βαρβάρων εἰς προνομήν, ὁ Κροῦμμος δὲ τῶν οἰκείων ἀπάρας ἠθῶν, ταῖς βασιλικαῖς παρεστρατοπεδεύσατο τάξεσι. μάχης οὖν συγκροτηθείσης ἡττῶνται Ῥωμαῖοι, τοῦ στρατηγοῦ τῶν ἀνατολικῶν τῆς ἥττης γεγενημένου Λέοντος τοῦ ἐξ Ἀρμενίων· οὗτος γὰρ τῆς βασιλείας ἐρῶν καὶ πρὸς τὴν στρατιὰν διαβάλλων τὸν Μιχαήλ, ὡς ἄνανδρόν τι καὶ ἀστράτηγον, ἄρτι τοῦ πολέμου συγκροτηθέντος, τὰ ὑπ' αὐτὸν τάγματα ἕπεσθαι ἐγκελευσάμενος, λειποτακτήσας εἰς φυγὰς ὥρμησε, καὶ τοὺς ἄλλους ἔτρεψεν εἰς φυγήν, ὥστε τὸν Κροῦμμον μηδὲ πιστεύειν τῷ γινομένῳ διὰ τὸ λίαν παράλογον, ἀλλὰ λόχον ὑποπτεῦσαι, καὶ τοὺς ἀμφ' αὐτὸν ἐπέχειν. ὡς δὲ εἶδε τοὺς Ῥωμαίους φεύγοντας ἀκόσμως καὶ ἀτάκτως, τότε τοῖς οἰκείοις διώκειν ἐγκελευσάμενος, φόνον πλεῖστον εἰργάσατο στρατιωτῶν τε καὶ στρατηγῶν, μόλις δὲ ὁ βασιλεὺς εἰς τὴν Κωνσταντίνου μετ' ὀλίγων τινῶν φυγῇ διασώζεται, τοῦ χάρακος καὶ τῆς σκηνῆς τῆς βασιλικῆς γεγονότων τοῖς βαρβάροις διάρπαγμα. ἐντεῦθεν ὁ Λέων ἀδείας δραξάμενος, καὶ τοὺς κοινωνοὺς τῶν βουλευμάτων αὐτοῦ διασπείρας εἰς τὰ περιλειφθέντα τῶν στρατευμάτων, λέγοντας ἐξ ἀφυΐας τῶν κρατούντων ἡττᾶσθαι Ῥωμαίους, καὶ δεῖσθαι τὰ πράγματα γενναίου ἀνδρός, οἷος ὁ τῶν ἀνατολικῶν στρατηγὸς Λέων ἐστίν, εἰς στάσιν τοὺς στρατιώτας ἠρέθισε, καὶ τὸν μὲν βασιλέα κακῶς ἔλεγον, τὸν Λέοντα δὲ βασιλικῆς εὐφημίας ἠξίουν, τὴν ἐκείνου περιστάντες σκηνήν, ἀκκιζομένου δ' αὐτοῦ,

initiatus, ob Nicephori sordes, pro dignitate nō tractaret, deq́ sui neglectu conquestus acerrimè uapulasset: ex desperatione se ad Bulgaros contulit, à quo Barbari omnis generis machinas fabricari didicerūt: quibus abūdè instructi, uastationē Mesembriæ non cunctāter sunt aggressi. Imperator aūt cum Patriarchæ & primorū sacerdotū quibusdam deliberationē de pace Bulgarica & trāsfugis quibusdā Crumo tradendis proposuisset (nam id enā inter cętera Barbarus postularat) Patriarcha & sacerdotes præstare censuerūt, transfugis traditis, paucos male tractari, quā turbas innumerabiles. Sed senatores aulici & Theodorus Studites pace repudiata supplices tradendos esse negauerunt. Quæ res paci Bulgaricæ impedimēto fuit. Nā imperator hic ingenio leni & fide recta præditus fuit, sed ad res gerendas tardior, facilè secutus, quocunq; à proceribus duceretur. Tū stella crinita apparuit, quæ uarias formas exprimebat, quarum una fuisse fertur etiam hominis sine capite. *Cometa.* Bulgari autem Mesembria potiti, cum multa alia ibi repererunt, tum ignis Græci non parum. Cum uerò Imperatore quibusdā captiuis didicisset, uelle Crumum Thraciam populari, urbem egressus est. Barbarus igitur omissis suis conatibus, multisq́ suorum amissis, recessit, et imperator Romanis copijs undiq; accersitis rursus in Thraciam abijt, etiam Augusta ad Cedoctum usq; comitante. Quod milites ægrè ferentes, Imperatori conuitiabantur. Deinde illa domum redijt, Michael uerò Thraciam obijt, neq; quicquam duce dignum, aut hostibus fraudi futurum egit, fueruntq́ legiones prouincialibus non minus prędæ quàm Barbari. Sed & Crumus suis sedibus relictis, castra è regione imperatorij exercitus posuit, cōmissaq́ pugna Romani succubuerunt, ducis Orientalium copiarum Leonis Armenij culpa, qui Imperij cupidus, Michaelem apud exercitum initio pugnæ ut effœminatum & rei bellicæ imperitum calumniatus, suas legiones se sequi iussit, desertisq́ ordinibus fugam cepit. id quod alios quoque in fugam uertit, adeò ut Crumus id non crederet ob absurditatem, & insidias esse ratus, suos contineret. Vt autem Romanos temerè effuseq́ fugere uidit, tunc suis insequi iussis, maximam cædem militum & ducum edidit, imperatore uix cum paucis Constantinopolim elapso, uallum & tabernaculum imperatorium à Barbaris direptum. Ex eo sumpta fiducia Leo, consiliorum suorum conscios in reliquias legionum dimisit, qui dicerent, Romanos ex inscitia Imperatorum uinci, & res strenuum uirum postulare, qualis sit Leo dux Orientalium, itáque milites ad seditionem concitauit, ut & Michaeli maledicerent, & Leonem, eius tabernaculum circumstantes, Imperatorem salutarent. Illum uerò simulatè detrectantem,

Romani caeduntur à Bulgaris.

Leo Armenius per seditionē Imperator factus. Michaelem in ordinē cogit.

ac deprecantem scilicet imperium, Michael Balbus tribunus, stricto gladio, monitis etiam cæteris coniuratis ut idem facerent, adigit, ut inuitus nimirum imperij titulum admitteret. Quibus nunciatis Michael, neque ad resistendum se parauit, neque de imperio uindicando cogitauit, sed potestatis insignia statim Leoni misit: eoque Regiam ingresso, cum uxore & liberis in ædem quæ est in Pharo, supplex confugit. Inde auulsi, Michael in insula Prota, monachus factus uitam exegit: Theophylactus filius eius, qui Imperator appellatus fuerat, uirilib^9 exectus cū matre & fratrib^9 est relegatus.

καὶ παραιτούμενον λαβεῖν τὴν αὐταρχίαν, ὁ τραυλὸς Μιχαὴλ τάγματος ἄρχων, τὸ ξίφος ἀνασπασάμενος, τοῦτο δὲ καὶ ἄλλοις ποιεῖν ὑποθέμενος τῆς συνωμοσίας μετέχουσι, πείθουσι, τάχα καὶ ἑκόντα τὸν Λέοντα τὴν ἀνάρρησιν δέξασθαι. ὡς οὖν ἠγγέλη ταῦτα τῷ Μιχαὴλ, οὔτε πρὸς ἀντικατάστασιν ὥρμησεν, οὔτε τῆς βασιλείας ἀντιποιήσασθαι ἐδοκίμασεν, ἀλλ᾽ εὐθὺς τὰ τῆς βασιλείας παράσημα τῷ Λέοντι ἐξαπέστειλεν. ἐλθόντος δ᾽ ἐκείνου εἰς τὰ βασίλεια, ὁ Μιχαὴλ ἅμα τῇ συζύγῳ καὶ τοῖς παισὶ πρὸς τὸν ἐν τῷ Φάρῳ ναὸν ἱκέτης εἰσδεδράμηκεν. ἐκσπασθέντες δ᾽ ἐκεῖθεν, ὁ μὲν Μιχαὴλ εἰς τὴν Πρώτην λεγομένην νῆσον ἀπάγεται, καὶ μοναχὸς γεγονὼς, ἐκεῖ κατεβίω. τὸν δὲ παῖδα τούτου τὸν Θεοφύλακτον, ὃς καὶ ἀναρρήσεως, ὡς ἔφαμεν, ἠξίωτο, τῶν παιδογόνων μορίων ἀφείλετο, καὶ σὺν τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς ὑπερορίους ἐποίησε.

IMPERIVM LEONIS Armenij.

ΒΑΣΙΛΕΙΑ ΛΕΟΝΤΟΣ ΤΟΥ ἀρμενίου.

Omnia Michaeli Balbo imperii portendentia.

HVnc exitum habuit Michaelis imperium, cum id biennium tenuisset. Leo uero ingressus Regiā, statim exutam uestem quam gerebat, Michaeli Balbo dedit, quam idem statim induit: unde multi coniecerunt, eum Leoni in Imperio successurum. Neque hoc solū potestatis augurium illi fuit, sed illud etiam, quòd Leonem ponè sequens, uestis imperatoriæ extremitatē calcauit: idque malum omē Leoni quoque uisum est. Horum utrique prædictū fuerat, fore ut imperarent.

Monachus quidam Leoni & Michaeli uaticinatur imperium.

Nam Bardanes dux & patricius, cuius suprà facta est mētio, imperium, priusquā id inuaderet, animo agitans, cū monacho quodam in Philomelio degente, qui futura prædicere credebatur, arcanum communicauit, percontatus, an uoti compos futurus esset. Is eum à conatu illo dehortatus, neque uoti compotem futurum esse, & opibus ac luminibus priuatū iri respondit. Quibus ille auditis, tristis abijt, hic uerò Leo, & Balbus Michael, & alius quidam Thomas, equum ei adduxerunt. Quos cum monachus superne prospectans uidisset, duci accersito ait: Tibi quidem, ut dixi, regnū Deus non largitur. Eorum uerò duos, qui tibi equum adduxerunt Leonem & Michaelem, suis utrunque temporibus, imperio potituros scito. Tertius autem conabitur ille quidē, & diadema sibi imponet, sed uoto suo frustratus, male peribit. Hæc ille prædixit, sed Bardanes fide ei non habita, tyrannidem inuasit. Quo pacto autem regno exciderit, & oculis sit orbatus, opibus etiam ereptis antè à me narratum est. Cæterum Leo imperio potitus Balbum Michaelē patricium fecit, & scholæ excubitorum Comitem: Thomā qui & ipse ex ijs fuerat, qui Bardani equum adduxerant, iuxta Monachi ædes, Turmarcham legionis fœderatorum designauit.

Leonis Bulgarica uictoria.

Bulgaris autem Thraciam uastantibus, legatos ad ducem eorum de pace misit: quem, cum recēti uictoria inflatus, pacis cōditiones repudiaret, bello adortus est. Sed Barbari uictoria rursus ad ipsos inclinante, Romanos in fugā uersos, à tergo cōtēptim nulloque ordine sunt insecuti, alij aliò dispersi.

ἴσα συσσημαντικὰ τῷ τραυλῷ μιχαὴλ τῆς λέοντος διαδοχῆς ἐν σώμα.

Τῷ μὲν οὖν Μιχαὴλ οὕτω τὰ τῆς ἀρχῆς ἐτελεύτησεν, ἐν ἐνιαυτοῖς βασιλεύσαντι δύο. ὁ δὲ Λέων εἰς τὰ βασίλεια ἀνελθὼν αὐτίκα ἐκδυσάμενος ὃ περιέκειτο φᾶρος, τῷ τραυλῷ Μιχαὴλ ἐνεχείρισε. λαβὼν δὲ εὐθὺς αὐτὸ ἠμφιέσατο, ὃ πολλοῖς σημεῖον ἐκρίθη, τοῦ τοῦτον μέλλειν ἔσεσθαι τῷ Λέοντι τῆς βασιλείας διάδοχον. οὐ τοῦτο δὲ μόνον σημαντικὸν τῆς διαδοχῆς τοῦ κράτους συνέβη τῷ Μιχαὴλ, ἀλλὰ καὶ ὄπισθεν τοῦ Λέοντος πορευόμενος, βασιλικὴν ἐσθῆτα μεταμφιεσαμένου, τὸ ταύτης πεπτωκὸς κράσπεδον, ὃ καὶ τῷ Λέοντι οὐκ ἀγαθὸν οἰώνισμα ἔδοξε. τούτοις δὲ καὶ ἀμφοῖν ἡ βασιλεία προῄρητο. ὁ ἄνωθεν γὰρ ῥηθεὶς Βαρδάνης ὁ στρατηγὸς καὶ πατρίκιος, πρὸ τῆς τυραννίδος ἧς ἐπικεχείρηκε, στρέφων αὐτὴν ἐπὶ νοῦ, ὡς ἕνα μοναχὸν ἐν τῷ Φιλομηλίῳ ἀσκούμενον καὶ προλέγειν τὰ μέλλοντα πιστευόμενον, ἀπελθὼν, ἐκείνῳ τὸ ἀπόρρητον ἀνεκάλυψε, καὶ εἰ ἔσται αὐτῷ ἐπιτελὲς τὸ βούλημα, ἐπυνθάνετο. ὁ δὲ ἀπαγορεύων αὐτῷ τὴν ἐγχείρησιν, φάμενος ὡς οὐ τεύξῃ τῆς ἐφέσεως, καὶ στερηθήσῃ καὶ τῆς περιουσίας καὶ τοῦ φωτός. μετὰ τοῦτο ὁ μὲν ἀπῄει περίλυπος, ὁ Λέων δ᾽ οὗτος καὶ ὁ τραυλὸς Μιχαὴλ, καί τις ἕτερος Θωμᾶς, αὐτῷ τὸν ἵππον παρέστησαν. ἄνωθεν δὲ προκύψας ὁ μοναχὸς, καὶ τούτους ἰδὼν, μετακαλεῖται τὸν στρατηγὸν καί φησι· σοὶ μὲν ὡς εἴρηκά σοι, οὐ δίδωσιν ὁ Θεὸς τῆς βασιλείας τυχεῖν. τῶν δὲ τὸν ἵππον σοι παραστησάντων τούτων δύο, τὸν Λέοντα καὶ τὸν Μιχαὴλ, ἴσθι καὶ ἀμφοτέρους ἐπὶ καιροὺς ἰδίους τῆς βασιλείας κρατήσοντας. ὁ δ᾽ ἕτερος ἐπιχειρήσει μὲν, καὶ ἑαυτῷ περιθήσει διάδημα, οὐ τεύξεται δὲ τοῦ ἐπὶ σκοπὸν, ἀλλ᾽ ἀπολεῖται κακῶς. ὁ μὲν οὖν ταῦτα προείρηκεν, ὁ δὲ Βαρδάνης ἀπιστήσας αὐτῷ, τυραννίδι ἐπικεχείρηκε. καὶ ὅπως οὐκ ἔτυχε τῆς βασιλείας, ἀλλὰ καὶ ἐξεκόπη τὰ ὄμματα, καὶ τοῦ πλούτου ἐστερήθη, ἤδη μοι προϊστόρηται. βασιλεύσας δὲ ὁ Λέων, τὸν μὲν τραυλὸν Μιχαὴλ πατρίκιον ἐτίμησε, καὶ κόμητα τῆς τῶν ἐξκουβίτων σχολῆς. τὸν δέ γε Θωμᾶν, ὃς καὶ αὐτὸς εἷς ἦν τῶν τῷ Βαρδάνῃ τότε τὸν ἵππον παραστησάντων ἐγγὺς τῆς κατοικίας τοῦ μοναχοῦ, τουρμάρχην τοῦ τάγματος τῶν φοιδεράτων προεχειρίσατο. τῶν μέντοι Βουλγάρων τὴν Θρᾴκην ληϊζομένων, διαπρεσβεύεται πρὸς τὸν αὐτῶν ἀρχηγὸν ὁ Λέων περὶ σπονδῶν. ὁ δὲ τῇ νίκῃ τῇ ἔναγχος ὀγκωθεὶς, τὴν πρεσβείαν τὴν περὶ τῶν σπονδῶν ὑπερεῖδεν, ἐκστρατεύει ὁ βασιλεὺς κατ᾽ αὐτοῦ, καὶ αὖθις ἡ νίκη τοῖς βαρβάροις ἐπεμειδίασε, καὶ εἰς φυγὴν ἐπιδόντων Ῥωμαίων ἐδίωκον οἱ βάρβαροι ὄπισθεν, καὶ καταφρονητικῶς διακείμενοι, οὐ κατὰ κόσμον, οὐδὲ συντεταγμένοι ἐδίωκον, ἀλλ᾽ ἄλλοσέ ποι ἄλλοι σκεδαννύμενοι.

ἐν τισὶ σπονδὰς διαπρεσβευσάμενος ὁ λέων πρὸς τὸν ἀρχηγὸν βουλγάρων, ἵνα βαρβάροις ἐνίκησε τρόπαιον ἀνέστησε καὶ ἐνίκων.

ὅπερ

τοῦτο κατανοήσας ὁ βασιλεὺς (ἔτυχε γὰρ οὗτος μετεώρῳ τόπῳ ἑστηκὼς) καὶ τοὺς περὶ αὐτὸν λόγοις παραθήξας παρακλητικοῖς, καὶ παρορμήσας εἰς πόλεμον, ἐπεισφρήσει τῶν βαρβάρων μετὰ γενναίου ψυχῆς παραστήματος· καὶ τῇ ἀθρόᾳ μεταβολῇ, δείματι τοὺς πολεμίους ἐνέβαλε πανικῷ, καὶ ἀνῄρηνται μὲν πλείους, ᾐχμαλωτίσθη δὲ καὶ πλῆθος πολύ. μικροῦ δὲ καὶ αὐτὸς ὁ Κροῦμος ἀνῄρητο ἄν, βληθεὶς καὶ τοῦ ἵππου ἐκπεπτωκώς, εἰ μὴ περιστάντες αὐτὸν οἱ περὶ αὐτόν, καὶ συνασπίσαντες, εἰς ἵππον ἀνεβίβασαν ἕτερον, καὶ οὕτως ᾤχετο ἀποδράς. οὕτω δ' οὖν ὁ βασιλεὺς τροπαιοφόρος κατέλαβε τὰ βασίλεια, καὶ λείαν ἄγων πολλήν, οὐ πολὺ δὲ τὸ ἐν μέσῳ καὶ τῆς κατὰ τῶν σεβασμίων εἰκόνων λύσσης ἀπήρξατο. ὅθεν δὲ τῇ μανίᾳ ταύτῃ γέγονε κάτοχος, αὐτίκα δὴ διηγήσομαι. τῷ ἀναρρηθέντι μοι μοναχῷ, ὃς περὶ αὐτοῦ, ὅτι μέλλει τῆς βασιλείας ἔσεσθαι ἐγκρατής, προηγόρευσε, τὰς προσφόρους ἐκτίνων ἀμοιβάς, δῶρα ἐκπέμπει διά τινος τῶν οἰκειοτάτων αὐτῷ. ὁ δὲ πεμφθεὶς ἐκείνῳ οὐκ ἐνέτυχεν (ἔφθη γὰρ ὁ μοναχὸς ἐκεῖνος τὴν ζωὴν μεταθέμενος) ἕτερον δὲ εὑρηκώς, τῇ ἐκείνου κατοικίᾳ σκηνούμενον, ὡς ἐκείνῳ, μὴ γινώσκων τὸν ἄνδρα, τούτῳ προσεληλύθει. ὁ δὲ (ἦν γὰρ τὰ τῶν εἰκονομάχων πρεσβεύων, καὶ τῆς αἱρέσεως διάπυρος συνήγορος) οὔτε τὰ δῶρα προσήκατο, καὶ τὸν τούτων κομιστὴν ἀπέπεμψεν· ὑπὸ εἰδωλολάτρου προσκυνητοῦ μή τι λαβεῖν ἀνέχεσθαι φάμενος, καὶ τῆς βασιλείας καὶ τῆς ζωῆς διὰ βραχέος ἔκπτωσιν τῷ Λέοντι εἴρηκεν, εἰ μὴ τῆς προσκυνήσεως τοῖς εἰδώλοις ἀπόσχοιτο, τὰς σεπτὰς εἰκόνας οὕτω καλῶν. ταῦτα παρὰ τοῦ σταλέντος ἀγγελθέντα τῷ Λέοντι, ἔμφροντιν αὐτὸν πεποιήκασι, καὶ κοινοῦται τὰ μηνυθέντα τῶν συνήθων τινὶ τῷ Μελισσηνῷ Θεοδότῳ, ὃς τοῖς εἰκονομάχοις αἱρετίζων ἐτύγχανεν ὤν. δόλῳ δὲ ὑπελθὼν ἐκεῖνος τὸν Λέοντα μέτεισι, καὶ κελεύει μοναχόν τινα τῷ γινώσκειν ὁμόδοξον, τούτῳ συμβαλεῖν, κοινώσασθαι τὴν ὑπόθεσιν, καὶ ὃ ἂν ἐκεῖνος ὑπόθοιτο, τοῦτο ποιῆσαι. εἶναι γὰρ τὸν ἄνδρα μεστὸν χαρίτων πνευματικῶν, καὶ προορῶντα τὰ μέλλοντα καὶ προλέγοντα. ὡς οὖν εἶδε τὸν Λέοντα βασιλέα συνθέμενον τοῖς λόγοις αὐτοῦ, ἄπεισι πρὸς τὸν μοναχὸν ὁ Θεόδοτος, καὶ προλέγει αὐτῷ τὴν ὡς αὐτὸν τοῦ βασιλεύοντος ἐν ἰδιώτου σχήματι ἄφιξιν, καὶ ὅτου χάριν ἐλεύσεται, καὶ μυσταγωγεῖ τοῦτον, ὅσα τῷ βασιλεῖ διαλέξεται. ἦκε τοίνυν ἐσπέρας ὁ βασιλεὺς πρὸς τὸν μοναχόν, μεταμφιασάμενος, ἵνα μὴ διαγνωσθείη ὢν βασιλεύς, συμπαρῆν δέ οἱ καὶ ὁ Θεόδοτος. ὁ δὲ μοναχὸς ἐκεῖνος οἷα δῆθεν προμυηθεὶς ἐκ τοῦ πνεύματος τὸ πλαττόμενον, ὡς βασιλέα προσεῖπε τὸν Λέοντα, καὶ μὴ λυμήνασθαι φησὶ τὸ ἀξίωμα, μηδὲ ἐπιτρέπειν τῇ ἡμῶν εὐτελότητι. ἴσθι δὲ μὴ περὶ τὸ σέβας ὀρθῶς διακείμενος, ἀλλ' ἄντικρυς εἰδωλολατρεῖν καὶ αὐτὸς καὶ ἅπαν σοι τὸ ὑπήκοον. εἰ μὲν οὖν περιαιρήσεις τὰ εἴδωλα τῆς ἐκκλησίας, ἔσται σοι καὶ ἡ ζωὴ καὶ ἡ βασιλεία πολυετής τε καὶ εὐτυχής. εἰ δὲ μὴ τοῦτο, ἀλλ' ἔλπιζε ταχεῖαν τὴν ἔκπτωσιν καὶ ἀμφοῖν, καὶ πρὸς ταύτῃ κολάσεις αἰώνιοι διαδέξονται. καὶ ὁ μὲν ἄρκει ταῦτα. ὁ δὲ Λέων θαυμάσας τὸν μοναχὸν τῆς δῆθεν προγνώσεως (οὐδὲ γὰρ ἔγνω τοῦ Θεοδότου τὸ τύρευμα) ἑάλω τοῖς ἐκείνου λόγοις, καὶ κατὰ τῶν θείων ἐκτυπωμάτων σφοδρότατα ἐπανέστη, δόγματι τούτων πανταχόθεν καθαίρεσιν κατεψηφισμένος. ἤθελε μέντοι καὶ τὸν πατριάρχην ἔχειν ὁμόψηφον. ὁ δὲ καὶ ἀντέλεγεν ἰσχυρῶς, καὶ ἀσεβὲς ἐξήλεγχε τὸ δόγμα καὶ λόγοις καὶ γράμμασιν. ὁ θειότατος οὗτος ὢν Νικηφόρος, διὸ καὶ ὑπερορίᾳ κατακρίνει τὸν δίκαιον. λέγεται δὲ προαισθέσθαι τοῦ Λέοντος τὸ κακότροπον ὁ ἀοίδιμος Νικηφόρος, ὡς ἔσται τοῖς ὀρθοδόξοις σκῶλον, καὶ

Ἴσως ὁ ἀμείνων λέων ... τῇ τῶν εἰκονομάχων αἱρέσει.

Περὶ τοῦ μοναχοῦ συνθέντος καὶ ἴσως τὸν Λέοντα πάντων καθαιρέσεως τῶν ἁγίων εἰκόνων αἴτιον.

Ὅτι αὐτὸν ... περὶ τῶν ἁγίων εἰκόνων ... τὸν πατριάρχην [illegible].

Quo Imperator animaduerso (nam in editiore loco stabat) suos ad pugnā cohortatur, Barbaros fortiter aggreditur, et subita cōuersione perterrefactos, maxima ex parte cædit, magnamq; turbā capit: nec multū ab fuit, quin ipse Crumus sagitta ictus, equoq; delapsus occideret, ni satellites cōglobati scutis protecto, & alteri equo imposito, fugā aperuissent. Imperator igitur triūphans multaq; pręda parta, regiam ingressus, nō multò post insaniā contra sacras imagines est auspicatus. Vnde aūt in eū furorē inciderit, iam exponam. Ei monacho, à quo imperium ipsi prædictum fuerat, gratiam relaturus, per quendā ex intimis suis dona misit. Is nō in ipsum incidit, quippe iam mortuū, sed cum alium inuenisset ibi habitantē, eum, ut quē non nosset, accessit. Ille uerò (erat enim oppugnator imaginū, eiusq; sectæ uehementissimus propugnator) neq; munera accepit, & eo à quo afferebantur, dimisso: Se à simulacrorum adoratore nihil accipere dixit, Leoni & regni & uitæ iacturam breui comminatus, nisi adoratione simulacrorum (sic enim uenerandas imagines appellabat) abstineret. Hæc nunciata solicitum fecerunt Leonem: rem igitur cum quodā ex familiaribus Theodoto Melisseno cōmunicat, qui oppugnatoribus imaginū studebat. Is eum dolo aggressus, monet, ut negocium cum quodā monacho, quē eiusdem secum opinionis esse norat, cōmunicet, & quod ille suasisset, exequeretur. Virū enim eum plenum esse gratia spiritus, ac res futuras & præuidere & prædicere. Assenso imperatore, monachum conuenit, Imperatorem habitu priuati hominis ad eum uenturum esse indicat, & qua gratia sit uēturus, quæq; cum eo disserēda sint, instruit. Imperator noctu ad monachum abit, mutata ueste, ne agnosceretur, Theodoto comitāte. At monachus, ut ab illo spiritu cōmentum edoctus, Leonē pro imperatore salutat: &, Ne (inquit) maiestatem tuam cælaris, neque imponere uelis nostræ uilitati, sed scito te de religione perperàm sentire, & planè simulacrorum cultorem esse & te & omnes eos qui tibi parent. Quòd si ex ecclesiis simulacra sustuleris, & uita & imperium tibi diuturnum & fortunatum est futurum. Sin minus, scito te breui utrunq; amissurum, prætereaq; supplicia æterna subiturum. His Leo auditis, miratus monachum, ob prædictionem utique, ignarus imposturæ Theodoti, uerbis illius captus est, & contra sacro sanctas imagines uehemennsimè sæuijt, & eas omnes edicto tolli iussit: cumq; sanctissimum Patriarcham Nicephorum quoquè in suam sententiam pertracturus esset, ille uerò acriter aduersaretur, & edictum illud & scriptis & oratione impietatis argueret: uirum iustum relegat, qui quidem improbos Leonis mores præsensisse fertur, qui Orthodoxis offendiculo futurus esset, Ecclesiæq;

Qua occasione Leo, imagines oppugnare cœperit.

Præsagium impietatis Leonis.

tumul-

Theophanis & Nicephori Patriarchæ absentium conspectus mutuus.

tumultus occasio. Nam cum eius capiti diadema imponeret, manũ suam spinis cõpungi putauit. Dum aũt Proeconnesum exulatũ abduceretur, Magni Agri magister Theophanes cõfessor, trãsitu illius spiritu cognito (neq; enim uidebat sanctũ) cæreis incẽsis & suffitu, eminus eum excipit, & prosequiť, atq; ille uicissim eũ flexis genib⁹ ueneratur, cũ neq; uideret neq; uideretur. Quod Patriarchæ comitibus admirantibus, &, cui honorẽ illum præberet, percõtãtibus: respõdit, cõfessori Theophani Magni Agri magistro: cõfessionẽ uaticinatus, nec dũ enim ea dignatus fuerat. Venerãdo Nicephoro sic Ecclesia pulso, in eius locũ introductus est Melissenus Theodotus, cui duplex erat cognomentũ. Nam & Cassiteras dicebatur, qui unde in Leonis notitiã peruenerit, nõ est prætermittendũ. Michaele Rangabe imperante, muliercula quædã ex gynæceo imperatorio, ad lunares circuitus furore percita, ad eũ clamitabat, Descende, alienis cedito, id nõ semel, sed sæpissimè factũ, turbauit imperatorẽ: itaq; Theodoto, quo familiariter utebatur, mulierculæ uociferationes exponit. Tũ ille, ubi, inqt, mente alienata fuerit, & de more clamitarit, interrogeť ab aliquo: Ad quẽ regia pertineat? qd ei nomẽ sit? qua forma? quã aliã notã habeat? Id cõsiliũ prudẽs uisum: interrogãdi mun⁹ ipsi cõmissũ. Cũ igitur ꝓ sua cõsuetudine insania correpta uociferareť, rogat eã. Illa et nomẽ Leonis & formã narrat: atq; ait, si iã arce egredereť, obuiã ei futuros esse duos uiros, quorũ alterius, q mulo ueheretur, esset imperiũ. His Theodot⁹ auditis Imperatori nihil retulit, sed uerba puellæ ab insania ꝓficisci dixit, certi nihil declarãtia. Ipse uerò arcẽ egressus, in Leonem incidit, ac indicijs quæ muliercula prædixerat, agnitis, seducit uirũ, fideq; data & accepta, imperiũ ei prænũciat, quod diuino afflatu cognouisset, petitq; prædictionis post euentũ remunerationẽ. Hoc pacto Theodotus innotuit, et familiaris factus est Leoni, et post amotũ S. Nicephorũ uice remunerationis sedẽ Cõstãtinopolitanã obtinuit. ô iudiciorũ Dei abyssum incõprehensibilem? quẽ quis est secutus?

Lunatica puellæ imperium Leoni per Theodotum uaticinata.

Nicephoro Patriarcha relegato Theodotus succedit.

Imaginum oppugnatio.

Cæterum homo nefarius sacra cathedra modò indignè cõscensa, cũ Imperatorẽ suffragatorẽ haberet, audacter in sacras imagines est grassatus. Leo itẽ instar belluæ tractabat eos, qui uenerãdas statuas honorare uellẽt. Nã & à Theodoto ipso exasperabať, & ab imperatorijs cubicularijs præfecto, quẽ Protopsaltẽ uocari receptũ est. Qui cũ sectæ Iconomachorũ turbidam peruersitatẽ ad satietatem hausisset: instigabat Imperatorem, ut imagines passim tolleret. & cum aliquando diuina Esaiæ uerba illa in Ecclesia recitarentur: Cui assimilastis Dominum? Num imaginem eius facit faber? aut aurifex similitudinem eius parauit? & reliqua. Accessit, & Imperatori in aurem dixit: Audi Prophetam domine, eiq; obtempera. Ex eo citra uerecundiam Leo sectam illam sectabatur, quiq; impietati eius non cedebant, & dilacerare & deuorare cupiebat.

Leonis elogia.

κινδύνων ταῖς ἐκκλησίαις λαβεῖν. ἐν γὰρ τῷ περιτιθέναι τῇ κεφαλῇ αὐτοῦ τὸ διάδημα, δόξαι ἀκάνθας ἐμπεπαρῆναι αὐτοῦ τῇ χειρί. ὁ μὲν οὖν ἀπήγετο πρὸς Προικόννησον ὑπερόριος, ὁ δὲ τοῦ μεγάλου ἀγροῦ καθηγούμενος ὁ ὁμολογητὴς Θεοφάνης τῷ πνεύματι τὴν ἐκείνου δίοδον ἐγνωκὼς (ὁ γὰρ ἑώρα τὸν ἅγιον) κηροὺς ἀνάψας καὶ θυμιάματα προσαγαγών, ἐδέξατο αὐτὸν καὶ προέπεμπε, κἀκεῖνος αὖθις ἐκ τοῦ νηὸς προσκυνήμασιν ἠμείβετο τὸν προπέμποντα, μήθ' ὁρῶν μήτε μήν τι ὁρώμενος. θαυμαζόντων δ' ἐπὶ τούτῳ τῶν συμπλόων τῷ πατριάρχῃ, καὶ πυνθανομένων τίνι τὰς προσκυνήσεις ἀφοσιοῖ; ἐκεῖνος ἔφη, τῷ ὁμολογητῇ Θεοφάνει τῷ καθηγητῇ τοῦ μεγάλου ἀγροῦ, προειπὼν τὴν ὁμολογίαν, ἧς οὔπω γὰρ ὤφθη τότε ταύτης ἀξιωθείς. ἐκβληθέντος δ' οὕτω τῆς ἐκκλησίας τοῦ ἐν ἁγίοις Νικηφόρου, ὁ Μελισσηνὸς αὐτῇ ἐπεισήχθη Θεόδοτος, ὃς διώνυμον τὸ ἐπώνυμον. ἐλέγετο γὰρ καὶ Κασσιτερᾶς. ὅθεν δὲ γνωστὸς τῷ Λέοντι γέγονεν, οὐ χεῖρον καταλιπεῖν ἀνιστόρητον. τοῦ Μιχαὴλ τοῦ Ῥαγγαβὲ βασιλεύοντος, γυναικόν τι τῶν ἐκ τῆς γυναικωνίτιδος τῶν βασιλείων, κάτοχον μανίᾳ γενόμενον κατὰ τὰς σεληνιακὰς περιόδους, ἐβόα πρὸς τὸν αὐτοκράτορα, κατάβηθι, τῶν ἀλλοτρίων ἔξιστε. τοῦτο δ' οὐχ ἅπαξ, ἀλλὰ πλειστάκις ἐγίνετο, καὶ τὸν βασιλέα ἐτάραττε. συνήθει γοῦν τῷ Θεοδότῳ τούτῳ κοινοῦται τὰς τῆς γυναικὸς βοάς, καὶ ὅς, ὅταν ληφθῇ, φησίν, ἡ γυνὴ τῇ μανίᾳ, καὶ βοᾷ τὰ συνήθη, χρὴ ἐρωτᾶσθαι παρά του, τίνι προσήκουσι τὰ βασίλεια; καὶ ὅπως ἐκεῖνος καλοῖτο; ἢ οἷος εἴη τὴν μορφήν; ἢ εἴ τι ἄλλο ἐκείνῳ πρόσεστι γνώρισμα; ἔδοξεν οὖν ἡ συμβουλὴ συνετή, καὶ αὐτὸς πιστεύεται τὴν ἐρώτησιν. καὶ ἡ παιδίσκη μανεῖσα πάλιν, ἐβόα κατὰ τὸ σύνηθες, ὁ δ' ἠρώτα· ἡ δ' ἀπεκρίνατο· καὶ τοὔνομα τοῦ Λέοντος ἀπεφοίβασε, καὶ τὴν ἰδέαν, καὶ ὡς εἰ ἄρτι κατὰ τὴν ἀκρόπολιν ἀπελεύσεται, ἄνδρες δύο συναντήσουσι, καὶ θατέρῳ τούτων, ὃν ἡμίονος φέρει, προσήκουσι τὰ βασίλεια. τοῦτ' ἀκούσας ὁ Θεόδοτος, οὐδὲν μὲν τῷ βασιλεῖ πεποίηκεν ἔκπυστον, ἀλλὰ μανίας ἔλεγεν εἶναι ῥήματα τὰ τῆς παιδίσκης, μή τι σαφὲς προμηνύοντα. αὐτὸς δὲ πορευθεὶς κατὰ τὴν ἀκρόπολιν, καὶ τῷ Λέοντι ἐντυχών, καὶ τὰ γνωρίσματα, ἃ ἡ γυνὴ εἰρήκει, φωράσας, ἰδίᾳ τὸν ἄνδρα παραλαβών, καὶ πίστεις δεδωκώς τε καὶ εἰληφώς, προμηνύει τὴν βασιλείαν αὐτῷ, ὡς ἐξ ἐπιπνοίας θεσπίσας αὐτὴν μυηθείς, καὶ ᾔτει μετὰ τὴν ἔκβασιν ἀπολαβεῖν μισθὸν τῆς προρρήσεως. οὕτως ὁ τρόπος ἐγνώσθη, καὶ ᾠκείωσε τῷ Λέοντι τὸν Θεόδοτον, καὶ ἔσχεν εἰς ἀντάμειψιν τῆς προρρήσεως μετὰ τὸν ἱερὸν Νικηφόρον τὸν θρόνον τῆς Κωνσταντινουπόλεως. ὢ κριμάτων ἀβύσσου τῆς θείας προνοίας; μετὰ τίνα τίς. ἄρτι δὲ ἀναξίως τῆς ἱερᾶς καθέδρας ἐπιβὰς ὁ ἀνόσιος, ἐπεὶ σύμπνουν καὶ τὸν κρατοῦντα ἐκέκτητο, μετὰ παρρησίας τὴν κατὰ τῶν ἁγίων εἰκόνων τόλμαν μετεχειρίζετο, καὶ ὁ Λέων δὲ ὡς θηρίον τοῖς τὰς σεπτὰς ζωγραφίας τιμᾶν ἐθέλουσι προσεφέρετο. ἠγρίαινε γὰρ τοῦτον αὐτὸς ὁ Θεόδοτος, καὶ ὁ τῶν βασιλικῶν κοιτώνων ἐγκεχειρισμένος τὴν ἐπιμέλειαν, ὃν χορολέκτης ἢ χοράρχης, ὃν πρωτοψάλτην περιλαβεῖν καλεῖν ἡ συνήθεια. οὗτος γὰρ τὴν τῶν εἰκονομάχων αἱρέσεως τὴν βολβορώδη ἀναστροφὴν εἰς κόρον πιών, ἠρέθιζε τὸν βασιλέα πανταχόθεν τὰς εἰκόνας ἐξελεῖν. καί ποτε τῶν τοῦ Ἡσαΐου θείων φωνῶν ἀναγινωσκομένων ἐπ' ἐκκλησίας, αἳ λέγουσι τίνι ὡμοιώσατε τὸν Κύριον; μὴ εἰκόνα ἐποίησε τέκτων, ἢ χρυσοχόος ὁμοίωμα κατεσκεύασεν αὐτῷ, καὶ τὰ ἑξῆς· προσελθὼν τῷ βασιλεῖ, πρὸς οὖς ἔφη· πρόσχες τῷ προφήτῃ δέσποτα, καὶ τούτῳ πείθου. ἐντεῦθεν ἀπηρυθριασμένως ὁ Λέων τῆς αἱρέσεως εἴχετο, καὶ τοὺς μὴ τῇ ἀσεβείᾳ αὐτοῦ ὑποκύπτοντας διασπαράττειν καὶ λαφύσσειν ἠπείγετο. Βαρὺς δὲ

περὶ τῆς προγνώσεως τοῦ πατριάρχου καὶ τοῦ ὁμολογητοῦ θεοφάνους.

ὅτι ὁ μελισσηνὸς θεόδοτος προεβλήθη πατριάρχης, καὶ δι' ἣν αἰτίαν.

περὶ τοῦ πρωτοψάλτου, καὶ ὅπως ἠρέθιζε τὸν βασιλέα κατὰ τῶν εἰκόνων.

ὅτι θηριώδης ὁ λέων, καὶ λαφυκτὴς ἀνθρώπων.

βαρὺς δὲ καὶ ἄλλως, καὶ ἀπαραίτητος τὴν ὀργὴν τοῖς πταίουσιν ἦν, καὶ ἐπὶ μετρίοις πταίσμασι βαρείας κολάσεις ἐπιφερόμενος. τοιοῦτος μὲν ἦν ὁ Λέων περὶ τοὺς εὐσεβεῖς, καὶ τοὺς ἄλλους προσκεκρουκότας αὐτῷ. περὶ δὲ τὴν τῶν κοινῶν διοίκησιν οὐ ῥᾴθυμος ἦν, ἀλλὰ καὶ λίαν ἐγρήγορε, καὶ τοὺς ἀδικοῦντας ἀνέστελλε. δεηθέντος οὖν τινος, ὡς τὴν γυναῖκα αὐτοῦ ἀφαρπάσειε τῶν τῆς συγκλήτου τις ἀρχόντων, προσθεμένου δὲ, καὶ τῷ ἐπάρχῳ προσελθεῖν, μὴ μέντοι τυχεῖν ἐκδικήσεως. ἐπεὶ τὸ ἔγκλημα ἐξελήλεγκτο, τὸν μὲν ἔπαρχον ἔπαυσεν αὐτίκα τῆς ἀρχῆς, τὸν δὲ τῆς ἁρπαγῆς πλημμελήσαντα δίκην τοῖς νόμοις κολασθησόμενον. ἄρχοντας δὲ καὶ στρατιωτικοὺς καὶ πολιτικοὺς ἀριστίνδην προεχειρίζετο, καὶ τὰς τῶν ὑπὸ Ῥωμαίους ἐθνῶν ἡγεμονίας οὐ χρημάτων ὠνίους προὐτίθει, οὐδὲ πρὸς χάριν ἐδίδου, μὴ πρὸς ἀρχὰς πεφυκόσιν ἀνθρώποις, ἢ χρημάτων ἥττοσι, καὶ τοῖς πωλοῦσι τὸ δίκαιον. εἰ δὲ καὶ νῦν τοῦθ' οὕτως εἶχεν, εἶχεν ἂν καλῶς καὶ τὰ πράγματα.

ΠΕΡΙ ΤΟΥ ΤΡΑΥΛΟΥ ΜΙΧΑΗΛ.

Περὶ τοῦ τραυλοῦ Μιχαὴλ, καὶ ὅπως ἐπὶ τυραννίδι ἁλοὺς, διέφυγε τὴν τιμωρίαν καὶ ἐσώθη.

Μιχαὴλ δὲ ὁ τραυλὸς ὁ ἐξ Ἀμορίου, ἐπὶ μέγα τύχης ἀρθεὶς, πρὸς δὲ ταῖς ἄλλαις κακίαις καὶ γλῶσσαν ἔχων ἀκόλαστον, διεβλήθη τῷ βασιλεῖ, ὡς κακὰ κατ' αὐτοῦ βυσσοδομεύων, καὶ τεκταινόμενος. καὶ ἡ διαβολὴ πρὸ μιᾶς ἡμέρας ἐγγίνεται, ἢ τὴν ἐν σαρκὶ τοῦ κυρίου γέννησιν ἑορτάζειν ἡ ἐκκλησία παρείληφεν. αὐτίκα τοίνυν ὁ μὲν συνελήφθη, ὁ δὲ βασιλεὺς τῶν κατ' αὐτοῦ μηνυθέντων ἐξεταστὴς προὐκάθισεν. ἐλέγχεται παρὰ τῶν κατηγορούντων ὁ Μιχαὴλ, συντίθεται καὶ αὐτὸς, κατακρίνεται θάνατον, καὶ βαδίζει τὸν διὰ πυρός. ἐπείγετο καυθησόμενος, καὶ τόπος τῆς τιμωρίας ἀφώριστο ἡ τῶν ἐν τοῖς βασιλείοις λουτρῶν κάμινος. εἵπετο καὶ ὁ βασιλεὺς, ἢ μὴ πιστεύων ἑτέροις τὴν τιμωρίαν τοῦ Μιχαὴλ, ἢ ἐφηδόμενος τῷ ὀλέθρῳ αὐτοῦ. ἡ δέ γε βασίλισσα τοῦτο γνοῦσα, τὴν πρᾶξιν ἐκώλυσε, τῇ μὲν δεομένη τοῦ ξυνεύνου ὑπερθέσθαι διὰ τὴν ἑορτὴν τοῦ κατακρίτου τὴν κόλασιν, τῇ δὲ καὶ θρασύτερον προσφερομένη αὐτῷ, καὶ ἄθεον λέγουσα ὅτι μὴ ὑποστέλλεται τὴν τοῦ φρικώδους μυστηρίου ἡμέραν τῆς τοῦ σωτῆρος γεννήσεως. τούτοις τὸ σκληρὸν ἐκείνου μαλαχθὲν, πείθεται ἀναθέσθαι τὴν τοῦ Μιχαὴλ ἀπώλειαν. ὁ δὲ πρὸς τὴν σύνευνον ἔφη· ἰδοὺ πείθομαί σοι, ἀλλὰ σὺ γνώσῃ καὶ τὰ τέκνα τὰ σὰ, ἅττα ὑμῖν ἐκ τούτου συμβήσονται. ὁ μὲν οὖν Μιχαὴλ οὕτω τὸν ὄλεθρον ἐξέφυγε. θαυμάσειε δ' ἄν τις ὅθεν ὁ Λέων προέγνω τὸ γενησόμενον. οὐ γὰρ πάντως αὐτὸ ἐκ θειοτέρας ἐπιπνοίας προέγνω. πῶς γὰρ θεομάχος ἐκεῖνος, καὶ ἄλλως αἱμοχαρὴς, καὶ βίον μὴ παθῶν καθαρεύοντα; λέγεται οὖν προεγνῶσθαι αὐτῷ παρά τινος χρησμολόγου, ὅτι ἐν τῇ ἡμέρᾳ τῆς γεννήσεως τοῦ Χριστοῦ, καὶ τῆς ἀρχῆς ἐκπεσεῖται καὶ τῆς ζωῆς. ἀλλὰ καί τι φασὶ τῶν ἀνακτόρων βιβλίον ἐναποκεῖσθαι, ἐν ᾧ καὶ χρησμοὶ περὶ τῶν βασιλέων ἦσαν, καὶ μορφαὶ ἐνεχαράττοντο ἀνθρώπων τε καὶ θηρῶν, καὶ μετὰ τῶν ἄλλων ἐκεῖ καὶ λέων θὴρ ἐγεγράφητο, οὗ ἐπὶ νώτου τὸ στοιχεῖον τὸ χ ἐγκεχάρακτο. ἀνὴρ δ' ἦν ὄπισθεν τοῦ θηρὸς, δόρατι διὰ μέσου τοῦ χ διελαύνων τὸν λέοντα. ἡ μὲν οὖν βίβλος εἶχε ταῦτα, καὶ ἐνόμιζον ὡς ἐκεῖνα σιβύλλεια χρησμολογήματα. τὸ δὲ τῆς εἰρημένης ζωγραφίας αἰνιγματῶδες δυσεπίγνωστον ὂν, ὁ τότε κοιαίστωρ, ὡς λέγεται, διεσάφησεν, εἰπὼν κατὰ τὴν ἡμέραν τῆς γεννήσεως τοῦ Χριστοῦ, βασιλέα ἀναιρεθῆναι. τὸ μὲν γὰρ θηρίον βασιλέα δηλοῦν, τὸ δὲ χ τὴν εἰρημένην ἡμέραν αἰνίττεσθαι, τὸ δὲ διὰ μέσου τοῦ χ τῷ λέοντι τὸ δόρυ ἐμπεπηγνύσθαι, τὸ κατ' αὐτὴν τὴν ἡμέραν τῆς ἑορτῆς τὸν βασιλέα κεντηθήσεσθαι. ταῦτα τὸν βασιλέα ἐτάραττεν, ἀλλὰ μὴν καὶ αὐτὸν καὶ τὸ τῆς μη-

Ὅπως προεῖπεν ὁ Λέων περὶ τοῦ Μιχαήλ.

Περὶ τῶν ἐν τῷ βιβλίῳ τῷ ἐν τοῖς ἀνακτόροις, καὶ τῶν ἐν ἐκείνῳ ἀποκειμένων, ἃ ἑρμηνεύθη παρά τινος.

τρὸς

etiā aliog sæuus & implacabili ira cōtra delinquētes, ob modica delicta pœnas atroces irrogās. Talē igitur se Leo prębuit erga pios, & alios qbus offensus erat. In Rep. uerò administrāda, nō segnis erat, sed acer admodū & uigilās, iniuriosq; coërcebat. Oratus igitur à quodā, q uxorē à senatore quodā sibi rapiā esse querebatur, & addebat, se frustra pręsidis opē implorasse: crimine probato, statim pręsidi potestatē abrogauit, raptorēq; legib' puniēdū tradidit. Magistratus tam ciuiles quā militares, delectu ex optimis habito, cōferebat, Romanarūq; prouinciarū pręfecturas neq; pecunia uęnū exponebat, neq; ex gratia uiris ineptis ad magistrat' aut auaris, et ius pecunia uēdētib' largiebat. Quod si etiā nunc fieret, res benè se haberent.

DE MICHAELE BALBO.

Michaelis condemnatio.

Michael uerò Balbus Amorio ortus, cū ad magnā fortunā peruenisset, ac pręter alia uitia linguā etiā intēperantē haberet: delat' est apud imperatorē, quasi clā insidias ei strueret, ac perniciē moliretur. Ea delatio pridie eius diei facta est, quo festū natiuitatis Christi Ecclesia celebrare cōsueuit. Statim igit cōprehēditur, impator ipse quęsitor earū rerū, quarū accusat' erat, pręsidet. Cōuincitur ab accusatorib' Michael, crimina & ipse cōfitetur, condēnatur ut igni cremetur: abducitur ut cōburēdus, loc' supplicio destinatus erat balnei regij camin': sequitur imperator, siue q̃d alijs suppliciū nō credebat, siue q̃d illi' interitu lętabatur. At imperatrix eo cognito, id facin' phibebat, maritū partim orās, ut damnati suppliciū ppter festū differret, partim etiā audacius increpās, et impiū appellās, q diē uenerandi mysterij natiuitatis Seruatoris nō ueretetur. His uerbis, eius asperitate mitigata, persuasus, ut Michaelis interitū differret, ad coniugē dixit: Ecce obtempero tibi, sed tu liberiq; tui cognoscetis, quæ uobis ex eo euentura sint. Ac Michael hoc pacto necē effugit. Miretur aūt aliquis, unde Leo futura prædixerit. quæ utiq; nō ex diuino afflatu cognorat, quippe homo infestus Deo et sanguinarius, uitāq; degēs perturbationibus minimè puram: Fertur oraculū à quodā accepisse, fore ut die natiuitatis Christi, & imperiū & uitā amitteret. Perhibetur etiā in regia Bibliotheca fuisse liber, quo oracula de Imperatorib' cōtinerentur, formęq; & hominū et ferarū expressę, atq; inter cęteras Leo etiā fera illic pictus, litera χ. tergo ei' insculpta: ponè bestiā uir stabat, q Leonē per mediū χ. cōfodiebat. Et hęc liber cōtinebat, quæ Sibyllina oracula putabantur. Eius picturæ obscurū inuolucrum, quæstor illius tēporis explicasse fertur, & dixisse, Imperatorē die natiuitatis Christi occisum iri: nam ferā significare Leonem, literā χ. diem illū innuere, & quia per mediū χ. hasta in Leonem infigeretur, Imperatorem eo die occisum iri. Hæc Imperatorem turbabant, nec minus ma-

Imperatrix pro Michaele intercedit.

Leo diuinat clementiam erga Michaelem exitio sibi futurā.

Præsagia cōplura interitus Leonis.

Pictura fatidica.

tris ter-

Matris Leonis somnium.

tris terrebat insomniū. Videbatur illa sibi in æde Deiparæ Blachernis esse, & cernere matronam quandam, quam adolescentes candidis induti uestibus comitarentur, & ædis solū sanguine redundare, audireq́ matronā illam iubere dari matri Imperatoris uas eo sanguine plenum. quæ cum id aduersaretur, dicere illustrem illam matronā: At filius tuus eos qui me uenerantur, sanguine impler, neq́ intelligit, se & Deum & filium meum ad iram cōmouere. Hęc in somnis uidit Leonis mater, filioq́ exposuit, obtestata, ut in uenerādas imagines sæuire desisteret. Sed miser homo obsurduerat, Deumq́ lacessere pergebat. Est &

D. Tarasij apparitio.

Diuus Tarasius iam ex hac ærumnosa uita trāslatus, cuidā in somnis uisus, qui Michaelē quēdam inclamaret, eumq́ ad inuadendū & occidēdum Leonē hortaret. Sed & Philomeliani monachi prædictio & alia quædā Leonem turbabant & terrebāt. Interea Michaelē

Michael Papia adiutore Leonem per cōiuratos occidendum curat.

cōpedibus uinctū Papiæ custodiendū tradidit, clauē seræ ferreæ ipse asseruauit, eamq́ noctē sollicitam & ex solicitudine insomnē egit. Quare Papiæ cōclaue ingressus, Michaelē in lecto ociose dormientē uidet, Papiā uerò humi iacentē: quod uel ut honoraret Michaelē faciebat, uel, ut putabat, insidiarū contra Imperatorē cōscius. Vt igitur Michaelē somno profundo et suaui oppressum uidit, nullā solicitudinem præ se ferentē: recessit iratus, iramq́ agitatione manus declarauit. Ac cæterorū nemo eius præsentiā animaduerterat præter unum Papiæ uigilē, qui somno simulato, quid fecisset uiderat, & ut iratus ac minitabundus abisset: omnemq́ rem suo domino nunciat, ille Michaeli cōmunicat: amboq́ territi, q̃ pacto Imperatoris indignationē effugerent, deliberant. Ibi Michael Papiæ ait, si ipse uellet, se non periculū modò uitaturos, sed etiā consilia sua ad exitū perducturos. Papias hortatur, ut quod animo cōcepisset, ageret, se nusquam ei defuturū. Itaq́ Michael literas ad cōscios scribit, quibus minabaī, nisi celeriter adessent, & q̃d constituissent, perpetrarēt (idq́ facile esse, quēadmodū ipse instruxisset) se oēs Imperatori indicaturū, neq́ solum in periculo futurū esse. Eas literas p quēdā Papiæ ministrū misit, eiq́ mandauit, ut illos noctu ad reginā ire iuberet clericorū habitu, & occultos pugiones gestare. Illi Michaelis monitis obtēperantis, se ad reginā conferūt. Sub diluculū imperatorij cantores ad matutinas odas canendas adsunt, cū q̃bus Michaelis conscios Papias unà introducit, qui sese in obscuro quodā angulo abdiderūt. Psaltę cū hymnorū plus media parte cecinissent, etiā Imperator ædē ingrediī, qui cū magnā uocem haberet, sed grauissimā et cum asperitate auribus insonantē, se benè cantare ac præclarū esse musicū opinabaī, & hymnos auspicari cōsueuerat. Ac tū stans exclamauit:

Regis supremi cuncta desiderio Spreuere.

περὶ τὸ ὄναρ τῆς μητρὸς τοῦ λέοντος.

τρὸς ἐξεδειμάτου ἐνύπνιον. ἔδοξε γὰρ ἐκείνη ἐν τῷ ναῷ τῆς Θεομήτορος εἶναι τῷ ἐν Βλαχέρναις, καὶ ὁρᾶν γυναῖκά τινα, περιπομπευομένην ἀνδράσι λευχείμοσι, καὶ πλῆρες αἱμάτων τὸ δάπεδον τοῦ ναοῦ, κελεύουσάν τε τὴν δορυφορουμένην ἐκείνην, κελευούσης αἵματος ἄγγος τι πλησθῆναι, καὶ δοθῆναι τῇ τοῦ βασιλέως μητρί. τῆς δὲ μὴ προσιεμένης τὸ προσφερόμενον, φάναι τὴν περιφανῆ γυναῖκα ἐκείνην· ὁ δ' υἱός σου τοὺς ἐμὲ τιμῶντας αἱμάτων ἐμπίπλησι, καὶ τὸν θεὸν καὶ υἱόν μου εἰς ὀργὴν κινῶν, οὐ συνίησι. ταῦτα ἐν ὀνείροις ἰδοῦσα ἡ μήτηρ τοῦ Λέοντος, τῷ υἱῷ ἀπήγγειλε τὸ ἐνύπνιον, καὶ ἐδεῖτο παύσασθαι τοῦ κατὰ τῶν σεπτῶν εἰκόνων τολμήματος. ἀλλ' ἐξεκεκώφει ὁ δείλαιος, καὶ θεομαχῶν οὐκ ἐπαύετο. ὤφθη δὲ καὶ ὁ θεῖος πατριάρχης Ταράσιος καθ' ὕπνους τινί, ἤδη τῆς ἐπικήρου ταύτης ζωῆς μεταστάς, ἐπιβοώμενος τινὰ Μιχαήλ, καὶ ἐπελθεῖν κατὰ Λέοντος, καὶ κτεῖναι τοῦτον ἐγκελευόμενος. ἀλλὰ καὶ ἡ τοῦ ἐν τῷ Φιλομηλίῳ μοναχοῦ προαγόρευσις καὶ ἄλλ' ἄττα ὑπέθραττε τὸν Λέοντα καὶ ἐδειμάτου. τέως δ' οὖν κλοιοῖς τοὺς πόδας τοῦ Μιχαὴλ ἐνδησάμενος, τὸν μὲν τῷ Παπίᾳ φρουρηθησόμενον παραδέδωκεν, αὐτὸς δὲ τὴν κλεῖδα κατεῖχε τοῦ σιδηροῦ δεσμοῦ. ἔμφροντις δὲ τὴν νύκτα διάγων, οὐκ εἶχε τὸν ὕπνον τοῖς ὄμμασιν αὐτοῦ ἐφιζάνοντα. ἀφίστατο γὰρ ταῖς φροντίσιν ἐκσοβούμενος, διὸ καὶ ἀπήει πρὸς τὸ τοῦ Παπίου δεσμωτήριον, καὶ ὁρᾷ τὸν μὲν Μιχαὴλ ἐπὶ κλίνης καθεύδοντα ὕπνον ἀμέριμνον, τὸν δὲ Παπίαν ἐπ' ἐδάφους κατακλινόμενον· ἢ γὰρ τιμῶν τὸν Μιχαὴλ ὁ Παπίας οὕτω πεποίηκεν, ἢ καὶ συνίστωρ ὤν, ὡς ᾠήθη, τῆς κατὰ τοῦ βασιλέως βουλῆς. ὡς οὖν εἶδε ταῦτα καὶ τὸν Μιχαὴλ ὕπνον κατανύττοντα βαθὺν καὶ ἥδυμον, καὶ οἷος ἀφροντιστεῖν ἔοικεν, ὑπέστρεψε μηνιῶν, καὶ τὴν ὀργὴν ὑπεδήλου τῇ κινήσει τῆς χειρός. τῶν μὲν οὖν ἄλλων οὐδεὶς τὴν παρουσίαν τοῦ βασιλεύοντος ᾔσθετο, ὡς δέ τις τῶν τοῦ Παπίου ἐγρηγορὼς ἔγνω οὕτως ἐλθόντα, καὶ κατανύσταν προσποιούμενος, ἑώρα ὅσα ἐποίησε, καὶ ὡς ὠργίσθη, καὶ ὡς ἀπείλησε. καὶ πάντα τῷ ἑαυτοῦ κυρίῳ ἀπήγγειλεν. ὁ δὲ κοινοῦται ταῦτα τῷ Μιχαήλ, καὶ ἄμφω φόβῳ ληφθέντες, ὅπως ἂν ἐκφύγοιεν τὸ μήνιμα τοῦ βασιλέως, ἐφρόντιζον. καὶ ὁ Μιχαὴλ τῷ Παπίᾳ φησίν, ὡς εἰ βούλει αὐτός, οὐ τὸν κίνδυνον ἐκφευξόμεθα μόνον, ἀλλὰ καὶ τὰ μελετώμενα ἡμῖν εἰς ἔργον ἐκβήσεται, καὶ ὃς τὸ παριστάμενόν σοι πρᾶξαι φησίν, ἐμὲ δ' ἕξεις ὅπη βούλει ἑπόμενον, ἐγχειρεῖται τοίνυν αὐτίκα γραφὴν πρὸς τοὺς οἱ τῶν βουλευμάτων μετέχοντας, ἀπειλῶν ὡς εἰ μὴ τάχος ἐλεύσονται, καὶ τὰ βεβουλευμένα δράσουσιν αὐτίκα (εἶναι γὰρ τοῦτο ῥᾴδιον, ὡς αὐτὸς ὑφηγήσατο) πάντας ἀνακαλύψει τῷ βασιλεῖ, καὶ οὐκ αὐτὸς μόνος τοῦ κινδύνου μεθέξει. ταύτας τὰς ἐπιστολὰς τοῖς συνίστορσι διά τινος τῶν τοῦ Παπίου ἀπέστειλεν, ἐντειλάμενος αὐτῷ εἰπεῖν ἐκείνοις νυκτὸς φοιτῆσαι πρὸς τὰ ἀνάκτορα, μεταμφιασαμένους ἐν σχήματι κληρικῶν, καὶ ξιφίδια βαστάζοντας κεκρυμμένα. οἱ μὲν οὖν οὕτως ὡς ἐνετέλλοντο. ἄρτι δὲ περὶ ὄρθρον τῆς νυκτὸς γινομένης, οἱ βασιλικοὶ εἰσῄεσαν ψάλται, τὰς ᾠδὰς ᾄσοντες τὰς ἑωθινάς. τούτοις ὁ Παπίας καὶ τοὺς τοῦ Μιχαὴλ συνίστορας συνεισήγαγε, καὶ οἱ μὲν ἐν γωνίᾳ καὶ σκότῳ τινὶ συγκρύπτοντο. οἱ ψάλται δὲ τοὺς ὕμνους ᾖδον. ἤδη δὲ τούτων [illegible], εἰς τὸν ναὸν καὶ ὁ βασιλεὺς ἐπεισῄει, καὶ μέγα μὲν ἔχων φθόγγον, βαρύτατον δὲ καὶ σὺν τραχύτητι ταῖς ἀκοαῖς ἐνηχούμενον, ᾤετο εὐφωνεῖν καὶ εἶναι μελῳδικώτατος, καὶ κατάρχεσθαι τῶν ὕμνων εἰώθει. τότε τοίνυν οὗτος ἐξεφώνησε.

τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ.

ὄναρ Ταρασίου.

ὅτι πεδηθεὶς τοὺς πόδας ὁ μιχαὴλ τῷ παπίᾳ παρεδόθη φυλάττεσθαι.

ὅπως ὁ βασιλεὺς εἶδε τὸν παπίαν χαμαὶ κείμενον, καὶ ὡς ἐξ ... ἐκ ... ἐπ.

ὅπως ὁ μιχαὴλ τοὺς συνωμότας ἐκίνησε.

καὶ

ἀναιρεῖται ὁ λέων ἐν τῷ ἁγ. βήματι.

καὶ αὐτίκα τῆς γωνίας οἱ κατ' αὐτοῦ μελετήσαντες τὸν φόνον ἐξέθορον, τὰ ξίφη ἐσπασμένοι. ὁ δὲ φόβῳ ληφθεὶς ἀνέδραμε τὸ θυσιαστήριον, καὶ οἱ αὐτοῦ δὲ ἀναιρέται ἐφθάσαντο, κἀκεῖ πρὸς αὐτῷ πολλαῖς κατατρωθεὶς ταῖς πληγαῖς, καὶ τὴν χεῖρα ἀποτμηθείς, τέλος ἀφῄρητο καὶ τὴν κεφαλήν, βασιλεύσας ὠμῶς τε καὶ ἀπηνῶς καὶ ἀσεβῶς ἔτη ἑπτὰ καὶ μῆνας πέντε. καὶ ὁ μὲν ἐκείνου νεκρὸς εἰς τὸν ἱππόδρομον συρόμενος ἐρρίπτετο, ὁ δὲ Μιχαὴλ ἐπὶ τοὺς πόδας ὢν σιδηροπέδας (ἡ κλεὶς γὰρ οὐχ εὑρέθη τῶν πεδῶν, αὐτίκα τοῦ Λέοντος αὐτὴν ἐγκόλπιον φέροντος) εὐφημεῖτο καὶ προσεκυνεῖτο ὡς βασιλεύς. εἶτα τῆς κλειδὸς μὴ εὑρισκομένης, τὰ σίδηρα διεκόπησαν.

Insidiatores uerò statim strictis ensib. ex angulo prosilierunt: ille territus in sacrariũ accurrit, quẽ hi consecuti, multis uulneribus confecerunt, amputata manu et capite, cũ crudeliter atq; impiè annos VII & V menses imperasset. Cadauer eius in Circũ equestrẽ pertractũ, ibiq; abiectũ est. At Michael cõpeditus (nã clauis non statim reperiebatur, quã leo in sinu gestabat) lætis acclamationibus ut Imperator adoratus est. Deinde, claue nõ inuenta, cõpedes ferreæ dissectæ sunt.

Michael ex carcere & cõpedibus ad imperiũ euehitur.

ΒΑΣΙΛΕΙΑ ΜΙΧΑΗΛ ΤΟΥ τραυλοῦ ἀμορραίου.

Ἐλθὼν οὖν ὁ Μιχαὴλ εἰς τὴν μεγάλην ἐκκλησίαν ἀφῖκτο, ταινιωθησόμενος διαδήματι δημοσίᾳ τε ἀναρρηθησόμενος· τὴν μιαιφονίαν μὴ λογιζόμενος, καὶ τῆς ἀναρρήσεως ἔτυχε. τὴν δὲ τοῦ Λέοντος γαμετὴν καὶ τοὺς παῖδας, τέσσαρας δ' ὄντας, Σαββάτιον (ὃς ἐν τῷ ἀναγορευθῆναι μετωνόμαστο Κωνσταντῖνος) Βασίλειόν τε καὶ Γρηγόριον καὶ τέταρτον Θεοδόσιον, τῶν βασιλείων καταγαγών, τὴν μὲν ἐν τῇ μονῇ καθεῖρξε τῶν Δεσποτῶν, τοὺς δὲ εἰς τὴν Πρώτην καλουμένην νῆσον περιώρισεν, ἅπαντας τῶν ἀνδρώων ἐστέρησε. καὶ ὁ μὲν Θεοδόσιος ἔθανεν, ὁ δὲ Κωνσταντῖνος ἀφωνίᾳ κάτοχος γέγονε. δι' ἣν ἱκέτευε θερμότατα τὸν θεόν, ἀλλὰ μὴν καὶ τοῦ μεγάλου πατρὸς Γρηγορίου τοῦ Θεολόγου, ἐν ᾗ λειψάνων αὐτοῦ προσφυγὴν ἐκτεταμένην, περιαιρεθῆναι τὴν ἀφωνίαν αὐτοῦ. σὺν γὰρ ἐκπτώσει τῆς βασιλείας καὶ τῆς πατρικῆς κακοδοξίας οἱ παῖδες τοῦ Λέοντος συνεξέπεσον. ἔδοξεν οὖν ποτε ὁ ἅγιος ἐν ὕπνοις ἐπιστῆναι αὐτῷ, κελεύειν ἀναστῆναι καὶ ἀναγνῶναι τό, πάλιν Ἰησοῦς ὁ ἐμός. ὁ δὲ πιστεύσας τῷ ὁράματι, εἰσῆλθεν ἐπ' ἐκκλησίας, καὶ ἀνέγνω, μηδενὸς αὐτὸν ἐμποδίζοντος τῇ φωνῇ. εἰ δὲ καὶ περιγράψας ὁρίοις τὴν σύζυγον, ὡς εἴρηται, καὶ τοὺς παῖδας τοῦ Λέοντος περιέγραψεν, ἀλλ' οὐκ ἀχορηγήτους κατέλιπε, τινὰς δὲ τῶν κτήσεων αὐτῶν αὐτοῖς προσκληρώσας, ἵν' ἐκ τούτων τὰ πρὸς χρείαν πορίζοιντο, καί τινας δὲ πρὸς ὑπηρεσίαν αὐτοῖς προσκατανείμας. ὥρμητο μὲν γὰρ ὁ Μιχαὴλ οὗτος ἐξ Ἀμορίου πόλεως τῆς ἄνω Φρυγίας, ἐν ᾗ Ἰουδαῖοί τε καὶ Ἀθίγγανοι καὶ ἀσεβῶν ἑτέρων πλῆθος ἐγκατῴκιστο, καί τις ἐκ τούτων ἦν ἐκεῖσε σύμμικτος αἵρεσις, ἧς συμμέτοχος καὶ οὗτος ὁ Μιχαὴλ λέγεται. ἡ δ' αἵρεσις τὸ μὲν θεῖον βάπτισμα δέχεται, τὴν δὲ Μωσαϊκὴν διαταγὴν φυλάσσει τηρεῖν, ἐκτὸς τοῦ περιτέμνεσθαι τὴν ἀκροβυστίαν. εἶχε δὲ καὶ Ἰουδαῖόν τινα κατ' οἶκον παιδοτρίβην ὄντα αὐτοῦ. ὅθεν οὐκ ἦν τι περὶ αὐτῷ εὑρεῖν ἀκραιφνές, ἀλλ' ἦν, ὡς εἰπεῖν, ὁ ἄνθρωπος πανσπερμία αἱρέσεων. διὸ καὶ περὶ λόγους ἀπήχθετο, ὡς εἰς ἀνατροπὴν ὄντας τῆς κακοδοξίας αὐτοῦ. ἀπορίᾳ δὲ συζῶν ἐν νεότητι ἐστρατεύετο. καί ποτε πρὸς τινα ταγματάρχην προσελθών, περί τινος ἐδεῖτο. παρῆν δὲ τυχὸν τις Ἀθίγγανος παρεστώς, καί φησι πρὸς τὸν στρατηγόν, ἐν ἀκροάσει τὸν λόγον ποιούμενος, ὡς βασιλεὺς Ῥωμαίων οὗτος ἔσται, ὃς σοῦ δεῖται νῦν. καὶ ὃς αὐτίκα περὶ μαντεύματι ἐπαρθείς, οἰκειοῦται τὸν Μιχαὴλ, καὶ κηδεστὴν ποιεῖται ἐπὶ τῇ θυγατρί. ἄρξας δὲ τῆς αὐταρχίας ὑποπεσόντος τοῦ Μιχαὴλ, ὡς ἱστόρηται, ὁ ἱερώτατος Νικηφόρος ὁ πατριάρχης ἐξόριστος ὤν, ἐπιστέλλει αὐτῷ, ἀξιῶν τὴν τῶν σεπτῶν εἰκόνων χρῆσθαι ἀνασώλωσιν. ὁ δὲ μήτε τι καινοτομήσειν ἔφη περὶ τὴν πίστιν, μήτε τὴν τῆς ἐκκλησίας ἀλλοιοῦσθαι κατάστασιν, ἀλλὰ μὴ δὲ βιάζεσθαί τινα περὶ τοῦ θείου δοξάζειν παρ' ὃ βούλεται, ἐν λόγοις

Ἦν [illegible] ὁ μιχαὴλ, ἢ [illegible] καὶ τὰ [illegible].

IMPERIVM MICHAELIS Balbi Amorræi.

Mane Michael in magnã Ecclesiã uenit, ut diademate ornaretur & publicè proclamaretur, sacramq; ædẽ, nõ habita nefariæ cædis ratione, ingressus est, & uoti cõpos factus. Leonis uxorẽ & quatuor filios, Sabbatiũ (cui cũ Imperator appellaretur, nomẽ Constantini fuerat inditũ) Basiliũ, Gregoriũ & Theodosiũ, regia eduxit, ac mulierẽ in monasterio Dominorũ inclusit, adolescẽtes in insulã Protã relegauit, oẽs uirilibus exectis. Ex his Theodosius obijt, Constantinus uocẽ amisit. Qua de causa Deũ feruẽtissimis precibus orauit, sed & magni patris Gregorij Theologi statuã continenter accessit, ut sibi loquendi facultas restitueretur: nã unà cũ Imperio etiã paterna impietate liberi Leonis exciderãt. Aliquando igitur sanctus in somnis ei astare uisus est et iubere ut surgeret, ac illud, Iterũ Iesus meus, legeret. Eo uiso fretus, Ecclesiã ingressus est, ac citra impedimentũ ullũ uocis legit. Etsi autẽ Michael Leonis uxorẽ & liberos intra certos limites circũscripserat, ut dictũ est, nõ tamen egere passus est, quibusdã ex eorũ possessionibus, unde necessaria supperterent, & seruis ad ministeriũ attributis. Oriũdus fuit Michael Amorio superioris Phrygiæ urbe, in qua Iudæi, Athingani, & aliorũ impiorũ turba habitabant, unde confusa quædã secta existebat, cuius & ipse particeps fuisse credit. Ea tametsi sacrosanctũ baptisma admittebat Mosaica tamẽ instituta, præter præputij resectionẽ obseruabat. Aluit domi Iudæũ quendã à quo erudiebatur. Vnde nihil synceri apud eum reperiebatur, sed erat, ut ita dicam, sentina quædã sectarũ: eaq; de causa disputationes oderat, ut quæ eius puersæ opinioni euertẽdæ essent. In adolescẽtia cum ob inopiã militaret, aliquãdo tribunũ adijt, aliqd ab eo petiturus. Ei tribuno quidã Athinganus astans, clã dixit, Is qui tibi nũc supplex est, aliquando Romanis imperabit. Eo augurio ille motus, statim cũ Michaële familiaritatẽ cõtrahit, eiq; filiã despõdet. Cum autẽ recẽs imperio occupasset, ut dictũ est, S. Nicephorus Patriarcha exulãs, p literas ab eo petijt ut uenerabiles imagines reponerẽt. Cui ille respõdit, se neq; in religione qcq; nouaturũ neq; Ecclesiæ statũ mutaturũ, neq; coacturum esse quẽq;, ut aliter quã uellet, de Deo sentiret. Sed

Leonis uxor fit monacha, filij castrati relegantur.

Cõstãtinus miraculo uocem recuperat.

Michaelis confusa religio.

Athinganus Michaeli imperiũ prædicit.

Michael etsi se in religione nihil nouaturum esse præ se ferret tamẽ in pios grassatur.

hæc uerba fuere. Neque enim multò pòst, animo suo declarato, orthodoxos oppugnauit, ac præter multos alios crudeliter tractatos, etiam in D. Methodiũ grassatus, Euthymiũ Sardium archiepiscopum ob sanctarũ imaginũ cultũ in exiliũ misit. Deinde Methodiũ in Acrita cõclusit, inclytũ uerò Euthymiũ à filio suo Theophilo crudeliter flagris cęsum, in martyrũ numerũ retulit. Copronymũ in omnib. imitãs & Iudæis addictus, sabbata ieiunari iubebat. Resurrectionẽ mortuorũ nõ credebat, eoq́; futura bona sugillabat, & Prophetas irridebat, Dęmones esse pernegabat, scortationẽ peccatũ nõ iudicabat, iurandũ sese Deũ uniuersi moderatorẽ monebat. Iudæ salutẽ ominabatur. Paschą alieno celebrari tempore affirmabat. Hæc pauca è multis improbitatis ac potius dementiæ illius indicia conscribenda censui. Nunc oratio ad res gestas & bella multa illorum temporum progrediatur. Thomas unus triũ eorũ de quibus Philomelianus ille monachus Bardanę uaticinatus fuerat, ut suprà dictum est, quorũ duo imperio potituri essent, tertius, is uerò Thomas erat) inuasurus ille quidẽ tyrannidẽ, & diadema sibi impositurus, regni uerò nõ cõpos futurus, seditionẽ excitauit. Is igitur, ut antè scriptum est, à Leone fœderatorum legioni præpositus, ut principem de se bene meritum à Michaele cæsum cognouit, per speciem necis illius uindicandæ, cum rei era imperium cogitaret, Michaelem est aggressus, coactisq́; non contemnendis copijs, uniuersas ferè orientales prouincias occupauit, & publica earum uectigalia sibi afferẽda curauit. Vnde auctis opibus etiam Agarenos inuasit, qui tum omnes Prouincias & ipsas insulas ob intestinum bellum audacius populantur, eorumq́; impetum repressit, & castris propè positis habitoq́; colloquio, pepigit, si imperio potiretur, se Romanis finibus eis cessurũ esse. His peractis, caput diademate regio ornat, & ab Iobo Antiocheno Patriarcha imperator appellatur. Inde eum magno exercitu profectus (Nec enim Agarenos duntaxat, sed & plures alias gentes ad belli societatem asciuerat) tyrannidem maiore animo inuadit. Fuit hic Thomas non ex gente Patricia, sed admodum obscura eaq́; Barbara, tantaq́; inopia conflictata, ut mercede seruiret. Sed à fortuna euectus, ut dictum est, regnoq́; affectato, Constãtini nomen assumpsit, & filium adoptiuum, imperij consortem, ut putabat, allegit. Cum exercitu Michaelis cõtra se misso congressus, alijs occisis alijs fugatis, tyrannidem stabiliuit, & classe cõparata, imò eniã classe imperatoria potitus, Abydo in Thraciã traiecit, orientalib. penè omnibus subactis, præter Opsicianã prouinciã, cui Caraquila, & Armeniacã, cui Olbianus præerat, qui tyranni adoptiuũ filiũ insidijs exceptũ, statim sustulit. Cũ Thomas, ut dictũ est, in Thraciam uenisset, omnes ad eum se contulerunt. Itaque Imperatorem denuo terra

Michaelis opiniones.

Thomæ seditio.

Thomæ natales.

Thomas Byzãtium frustra oppugnat.

διήμαρτε ταῦτα. οὐ μετὰ πολὺ γὰρ τὴν γνώμην τὴν οἰκείαν δέδειχε, καὶ κατὰ τῶν ὀρθοδόξων ἐχώρησε, καὶ πολλοὺς τε ἄλλους δεινοῖς περιέβαλε, πρὸς τοῖς ἄλλοις δὲ καὶ τὸν θεῖον Μεθόδιον, καὶ τὸν τῶν Σάρδεων ἀρχιερέα Εὐθύμιον ὑπερορίᾳ περιέπεμψε, διὰ τὴν τῶν ἁγίων εἰκόνων τιμήν. εἶτα τὸν μὲν Μεθόδιον καθεῖρξεν ἐν τινι κατὰ τὴν Ἀκρίταν, τὸν ἀοίδιμον Εὐθύμιον δὲ μαρτυρικῷ τελέσαι θανάτῳ, ἀφειδῶς μαστιζόμενον, διὰ τοῦ υἱοῦ αὐτοῦ Θεοφίλου. ἐζήλου δ' ἐν ἅπασι τὸν Κοπρώνυμον, καὶ τοῖς Ἰουδαίοις προσέκειτο, τά τε σάββατα νηστεύειν προσέταξε. τὴν ἀνάστασίν τε ἀπιστῶν, διεσάφει τὰ μέλλοντα ἀγαθὰ, καὶ τοὺς προφήτας διέσυρε, καὶ δαίμονας εἶναι οὐκ ἐβεβαίου, πορνείαν τε οὐχ ἁμάρτημα ἡγεῖτο, καὶ τὸν κατὰ Θεοῦ ὀμνύειν διεκελεύετο. τῷ τε Ἰούδᾳ σωτηρίαν ἐπεφήμιζε, καὶ τὸ πάσχα οὐ κατὰ καιρὸν ἑορτάζεσθαι ἐδογμάτιζε. ταῦτα μὲν οὖν ἐκ πολλῶν ὀλίγα τῆς ἐκείνου κακίας ἢ καὶ ἀνοίας γνωρίσματα ξυγγεγράφαται, ὁ δὲ λόγος τὰ τότε ξυμβεβηκότα διδότω τῇ ἱστορίᾳ. τὰ δ' ἦσαν ἐμφύλιοι πόλεμοι. ὁ δὲ τούτων κατάρξας Θωμᾶς ἦν, εἷς τῶν τριῶν τυγχάνων ἀνδρῶν, περὶ ὧν ὁ ἐκ τοῦ Φιλομηλίου μοναχὸς τῷ Βαρδάνῃ προέφησεν, ὡς ἄνω που εἴρηται, τοὺς μὲν δύο ἐπιβήσεσθαι τῆς βασιλείου ἀρχῆς, τὸν δέ γε τρίτον, ὃς (οὗτος ἦν ὁ Θωμᾶς) ἐπιχειρῆσαι μὲν τυραννίδι, καὶ ἑαυτῷ περιθέσθαι διάδημα, μὴ μέντοι, καὶ τῆς βασιλείας τυχεῖν. οὗτος τοίνυν, ὡς ἤδη μοι εἴρηται, ἄρχων κατασταθεὶς τοῦ τάγματος τῶν φοιδεράτων παρὰ τοῦ Λέοντος, ὡς ἔγνω τὸν εὐεργέτην ἀναιρεθέντα παρὰ τοῦ Μιχαὴλ, ἐπὶ μὲν δῆθεν τιμωρῶν ἐκείνῳ, ἐπὶ δ' ὄντι τὴν βασιλείαν καραδοκῶν, ἀνταίρει κατὰ Μιχαὴλ, καὶ συναλίσας δυνάμεις οὐκ εὐκαταφρονήτους, ἅπασαν σχεδὸν τὴν ἑῴαν μοῖραν ὑπεποιήσατο, καὶ τοὺς δημοσίους φόρους αὐτῷ κομίζεσθαι παρεσκεύασε. καὶ πολὺς ἐντεῦθεν γενόμενος ἐπῆλθε καὶ τοῖς Ἀγαρηνοῖς, ἀδεέστερον τότε πᾶσαν λῃζομένοις χώραν, καὶ τὰς νήσους αὐτὰς διὰ τὸν ἐμφύλιον πόλεμον, καὶ ἐπελθὼν ἀνέκοψεν αὐτῶν τὰς φορὰς καὶ ἀνακόψας ἀντιστρατοπεδεύσαντας, καὶ εἰς λόγους ἐλθὼν αὐτοῖς, καὶ ἅμα εἰς λόγους, ὑπέσχετο ἐπὶ συνθήκαις, τῶν ῥωμαϊκῶν ὁρίων παραχωρῆσαι αὐτοῖς, εἰ τῆς βασιλείας ἐγκρατὴς γένοιτο. οὕτω δὲ ταῦτα διοικησάμενος, καὶ τὴν κεφαλὴν ἀναδήσας ταινίᾳ βασιλικῇ, καὶ αὐτοκράτωρ ἀναρρηθεὶς παρὰ τὴν Ἀντιόχειαν παρὰ τοῦ τότε τὸν θρόνον αὐτῆς τὸν πατριαρχικὸν ἔχοντος, Ἰὼβ δ' ἐκεῖνος ἐκαλεῖτο. κἀκεῖθεν ὁρμηθεὶς σὺν μεγάλῳ στρατεύματι (εἶχε γὰρ συμμάχους οὐκ Ἀγαρηνοὺς μόνους, ἀλλὰ καὶ ἐξ ἑτέρων ἐθνῶν πλειόνων) τῇ τυραννίδι κραταιότερον ἐπεχείρησεν. ἦν δὲ ὁ Θωμᾶς οὗτος οὐ τῶν εὐπατριδῶν, ἀλλὰ καὶ γένους ἀσήμου καὶ τούτων βαρβάρων, καὶ ἐνδείᾳ συνετρόφου τῇ ἐχάτῃ, ὥστε καὶ δουλεύειν μισθοῦ. ἀναχθεὶς δ' ὑπὸ τῆς τύχης, ὡς εἴρηται, καὶ τυραννίδι ἐπιχειρήσας, ἐκεῖνος τε Κωνσταντῖνον ἑαυτὸν ὀνομάσας, καὶ κοινωνὸν τῆς βασιλείας, ὡς ᾤετο, προσειλήφει υἱὸν εἰσποιητὸν οἰκειωσάμενός τινα. τοῦ δὲ Μιχαὴλ στρατιὰν κατ' αὐτοῦ ἐξελάσαντος, συμβαλὼν ἐκεῖνος αὐτῇ, τοὺς μὲν ἀνεῖλε, τοὺς δὲ φυγάδας ἐποίησε. κἀντεῦθεν κραταιότερον τῆς τυραννίδος ἐπελάβετο, καὶ στόλον ἐξαρτυσάμενος, ἀλλὰ μὴν καὶ τὸ βασιλικὸν ναυτικὸν ὑφ' ἑαυτὸν ποιησάμενος, ἐξ Ἀβύδου πρὸς τὴν Θρᾴκην ἐπεραιώθη, καὶ τὰ ἑῷα ἅπαντα σχεδὸν ὑπηγάγετο, αὐτοῦ μέχρι τοῦ θέματος τοῦ Ὀψικίου, οὗ ὁ Καταχύλας ἐστρατήγει, καὶ τοῦ τῶν Ἀρμενιακῶν, ὁ Ὀλβιανὸς δὲ τὴν στρατηγίδα τούτου εἶχεν ἀρχήν. ὃς δὲ λοχήσας καὶ τὸν τοῦ τυράννου εἰσποιηθέντα

ὅτι καὶ τὸν πρὸ αὐτοῦ ἐμιμήσατο.

ὅσα ὁ μιαρὸς ἐφρόνει μιαρά.

περὶ δὲ τοῦ Θωμᾶ τυραννίδος.

ὅτι πατρίδι-... ἑαυτῷ ὁ Θωμᾶς ... στάσεως πραγμάτων.

ὅτι ἀπέχθη ὁ τύραννος ... καὶ ἀναιρεῖται.

ἀνασωθέντα ὕστερον κατὰ χώραν, ἀνεῖλεν εὐθύς. γενόμενος δ' ἐν τῇ Θρᾴκῃ, ὡς εἴρηται, ὁ Θωμᾶς, προσθεμένων αὐτῷ τῶν ξύμπαντας ἰσχυρῶν, αὖθις ἐπὶ τοῦ βασιλέως κατά τε γῆν αὐτῷ συμμίξαντος καὶ κατὰ θάλασσαν, καὶ ἄμφω τὰς στρατιὰς ὁ τύραννος ἐτρέψατό τε καὶ διεσκέδασεν, υἱοθετήσατο δ' ἀντὶ τοῦ πρώτου τελευτήσαντος, ὡς εἴρηται, Ἀναστάσιον μὲν καλούμενον, μοναχὸν δ' ὄντα, καὶ τὸ μὲν σχῆμα τὸ θεῖον ἀποδυσάμενον, στολὴν δὲ κοσμικὴν μεταμφιεσάμενον. ὁ τότε δ' ἀκροπόλει εἰσελάσας ὁ Μιχαὴλ, ὡς σιδηρᾶν ἐκτεῖναι σειρὰν ἐξ ἀκροπόλεως εἰς τὸ κατ' ἀντιπέραν πολίχνιον, ἵν' ἄβατα τοῖς τοῦ τυράννου φυλαχθείη τὰ ἐντός. ἀλλ' ὁ Θωμᾶς ὁμοῦ τῇ πόλει προσέβαλε κατὰ γῆν τε καὶ θάλασσαν, τὴν σιδηρᾶν ἐκείνην ῥᾷστα διαρρήξας σειράν, καὶ ᾤετο εἰ μόνον φανείη, τοὺς ἐν τῇ πόλει διὰ τὴν πρὸς τὸν κρατοῦντα ἀπέχθειαν, εὐχερῶς τὴν εἴσοδον αὐτῷ παραχωρεῖν, ἐπεὶ δ' ἐρρωμένους εὕρηκε τοὺς ἐντὸς πρὸς τὴν τῆς πόλεως φυλακήν, καὶ τῶν ἐλπίδων ἐψεύσθη, τότε μὲν ἀνεχώρησε, καὶ βάλλεται χάρακα κατὰ τὸ τῶν θείων ἀναργύρων ἱερώτατον τέμενος, ὁ τόπος δὲ τοῦ Παυλίνου ὠνόμασται. ἡμερῶν δέ τινων διαγενομένων, καὶ κατὰ χέρσον αὖθις καὶ κατὰ θάλασσαν ἐπήγαγε τῇ πόλει τὸν πόλεμον, ἑλεπόλεις τε καὶ κλίμακας ἐπαγόμενος. ὡς δ' ἑώρα τὰ τῆς σπουδῆς αὐτῷ οὐδαμόθεν ἀνύοντα, τότε μὲν τὴν ψυχρὰν ἐκτρεπόμενος Θρᾴκην (χειμὼν γὰρ ἦν) τὴν στρατιὰν αὐτοῦ ταῖς χώραις διένειμεν, ἐν ταύταις χειμάζειν, καὶ τὴν τοῦ χειμῶνος ἐκφευξομένην δριμύτητα. ἔαρος δὲ τοῦ ἱεροῦ ἐφεστῶτος, καὶ πάλιν προσῆγε καὶ ἀμφοτέρωθεν τῇ πόλει τὴν στρατιάν, καὶ περιεκύκλου τὰ τείχη διά τε πεζοῦ στρατεύματος καὶ διὰ ναυτικοῦ. ἡτοίμαστο δὲ καὶ διὰ Μιχαὴλ ἡτοίμαστο καὶ στόλος καὶ στράτευμα. λόγοις οὖν παρακλητικοῖς τοὺς οἰκείους παραθήξας ὁ βασιλεύς, ἀθρόον ἐκ πλειόνων πυλῶν ἐξελθόντες, συρρήγνυνται τῷ τοῦ τυράννου λαῷ. οἱ δὲ διά τε τὸ αἰφνίδιον καὶ διὰ θάρσος τῶν ἐπιόντων ἐκδεδειλιακότες, τὰ νῶτα μετέβαλον, καὶ ἔπεσον πολλοί, καὶ ἡ νίκη τῶν ἐκ τῆς πόλεως ἦν. τὰ μὲν οὖν κατὰ χέρσον οὕτω συνηνέχθη τῷ ἀποστάτῃ. οὐ μὴν ἀλλ' οὐδὲ τὰ κατὰ θάλασσαν κάλλιον ἔσχεν αὐτῷ. τὰς γὰρ βασιλικὰς τριήρεις τὸ τοῦ τυράννου ναυτικὸν θεασάμενον ἐπελαύνουσας αὐτῷ, οὐχ ὑπέμεινεν, ἀλλ' εὐθύς, τὴν συμπλοκὴν μὴ θαρρήσαντες, εἰρεσίᾳ συχνῇ πρὸς τὴν χέρσον κατήγοντο, καὶ οἱ μὲν ἀπεδίδρασκον, οἱ δὲ πρὸς Μιχαὴλ αὐτομολοῦντες προσεχώρουν. ὁ δ' ἀποστάτης ἐπὶ τῆς τυραννίδος ἀντεῖχε, καὶ ἔτι τὸν χάρακα ἔλυσε, καὶ τὸ ἐν Ἑλλάδι ἐρρυμένον αὐτῷ ναυτικὸν μετεπέμψατο, καὶ τόδε περὶ τὰς Βυρίδας νεωλκυσθέν. ὃ γνόντες οἱ τοῦ στόλου τοῦ Μιχαὴλ, νυκτὸς αὐτοῖς ἐπετίθεντο, καί τινας μὲν ᾑρήκασι τῶν πολεμίων νεῶν, ἑτέρας δὲ διὰ ὑγροῦ πυρὸς κατηνάλωσαν, ὡς ὀλίγας περιλειφθῆναι. κατὰ γῆν δὲ συχναὶ μὲν ἐγένοντο προσβολαί, Θεοφίλου τοῦ υἱοῦ τοῦ βασιλέως τὸν λαὸν προεξάρχοντος, ἀγχώμαλα δὲ τοῖς ἐναντίοις ἦσαν τὰ πράγματα, καὶ οὐδετέρῳ μέρει καθαρῶς ἡ νίκη ἐπεμειδίασεν. ἐν τοσούτῳ δέ τι συμβαίνει, ὃ τῷ Θωμᾷ τὰ πράγματα ἐσφάλη. τῆς γὰρ φήμης πανταχοῦ τὴν τοῦ Θωμᾶ κηρυξάσης ἀποστασίαν, καὶ τὴν πολιορκίαν τῆς πόλεως, Μορτάγων ὁ τῶν Βουλγάρων κατάρχων, σπονδὰς ὑπὸ τοῦ Λέοντος τριακοντούτεις θέμενος, καὶ φιλίως ἔτι Ῥωμαίους ἔχων, αὐτεπάγγελτος ἧκε συμμαχήσων τῷ βασιλεῖ, καὶ στρατοπεδεύεται περὶ τὰ Κηδουκτοῦ. τοῦτο τὸν ἀποστάτην ἐθορύβησεν. ἔκρινε δὲ ἀσύμφορον ἑαυτῷ, ἅμα τε καὶ πολιορκεῖν, καὶ τοῖς Βουλγάροις ἀντιστρατεύεσθαι, μερισθείσης γὰρ αὐτῷ τῆς δυνάμεως, οὐκ ἀξιόμαχον ἑαυτὸν οὐδετέροις τυγχάνειν ᾤετο,

Ὅτι καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν προσβαλὼν ὁ Θωμᾶς τῇ πόλει κατεπολεμήθη, ὅθεν αἰσχύνην ἔχων, ἀλλ' ὅμως ἀντέχων, ὁ ἐν ὀνόματι τῷ τυραννεῖν ἐνέμεινε.

Ὅτι ὁ τῶν Βουλγάρων ἀρχηγὸς σπονδὰς μετὰ Ῥωμαίων θέμενος, καὶ τῷ ἰσχυρῷ ὄντι, ὁ ἄρχων αὐτῶν συνεμάχησεν.

mari'que uicit, profligatis exercitibus, & in demortui filij locum, alium adoptauit, nomine Anastasium, qui sacro monachi habitu abiecto, ciuilem sumpserat, eo'que redegit Michaelem, ut ferrea cathena ex arce in oppidulum è regione situm extenta, tyrannum prohibere conaretur, ne intrò penetraret. Sed Thomas terra mari'que simul, impetu in urbem facto, cathenaq; facillimè rupta: putabat, si à ciuibus tantum conspiceretur, forè sibi ob Imperatoris odium aperta omnia. Quum autem uiros fortès se præberent, qui urbem tuebantur, spe deiectus, tum quidem recessit, ac uallum muniit circa sacrosanctam diui Anargyrorum ædem, qui locus Paulini uocatur. Diebus aliquot elapsis, urbem denuò terra mariq; oppugnat, machinis & scalis adhibitis. Vt uerò se omnem operam & impensam ludere uidit: tunc frigida Thracia relicta (nam hyems erat) exercitus in prouincias distribuit, ut ibi ocio recreati, hyemis sæuitiam euitarent. Sub ueris initium, legiones denuò utrinque contra urbem adduxit, eamq; & pedestribus & naualibus copijs circumdedit. Sed & Michael interea & classem & milites comparat, suosq; cohortatus, pluribus portis ex improuiso impetum in tyranni populum fecit. Illi uerò & inexpectata aggressione, & audacia hostium territi, terga dederunt, multisq; cæsis uictoria penes urbanos fuit. Ac terra sic actum est cum desertore, mariq; nihilo melius. Nam tyranni naues, quum Imperatoriam classem contra se ire uidissent, non restiterunt, sed congressu euitato, assidua remigatione ad continentem appulerunt, ibi alij diffugerunt, alij ad Michaelem defecerunt. Verum desertor tyrannidem adhuc urgebat, neque uallo soluto, & classe quam in Græcia paratam habebat, accersita. Quæ quum uenisset, & iuxta Berydas, naues subductæ essent, Michaelis classiarij ea re cognita, noctu eas aggrediuntur, & quasdam hostilium nauium cœperunt, & quasdam igni Græco incenderunt, ut perpaucæ admodum superessent. Terra autem crebra prælia fiebant, Theophilo Imperatoris filio duce, sed æquo ferè Marte pugnabatur, uictoria ad neutram partem inclinante. Interea uerò aliquid accidit, quo res illius Thomæ labefactatæ sunt. Nam rumore defectionis Thomæ, & urbis obsidionis passim sparso: Mortagon Bulgarorum Princeps, qui annorum triginta inducias cum Leone fecerat, Romanis amicus, ultro suppetias Imperatori uenit, castris ad Cedoctum locatis. Ea res desertorem turbauit, Nam quum è re sua esse non putaret, ut simul & urbem oppugnaret, & cum Bulgaris dimicaret, quòd diuisis copijs, neutris par futurus esset: contra Bulgaros cum omni exercitu est profectus,

Thomas à Michaele terra mariq; uincitur.

Bulgari ultro Thomã inuadunt.

pugnaq; commissa uictus, multos suorum amisit partim cæsos, partim captos. Qui uerò & Barbaricum ensem, & captiuitatem effugerant, expectatione rerum futurarum suspensi, quieuerunt. Bulgari captiuis & magna præda adducta, elati uictoria, recesserunt. Ea clade desertoris cognita, classis eius reliquiæ ad Michaelem defecerunt. Eo rerum statu tyrannus, etsi uires eius undique minuebantur, tamen ab obsidione non recedebat: sed cum ne tum quidem quicquam proficeret, omissa urbe longius abscedit, & locum opportunum nactus, uallum communit, atque inde suburbana diripit, eorumq; amœnitatem uastat. Sed Michaele eum aggresso: commissaq; pugna, Thomæi de industria in fugam uersi, partim ad Imperatorem se contulerunt, partim ad sua redierunt. Tyrannus cum paucissimis Adrianopolim abit. quem Michael è uestigio insecutus, urbem non machinis, sed annonæ penuria oppugnat. Ciues urgente fame, petita delictorum ab Imperatore uenia & impetrata, Thomam uinctum ei tradunt. Is ei & manus & pedes amputat, & asino impositum ignominioso triumpho circumducit. Postea de conscijs quærit, quorum ille multos nominasset, nisi Hexabulius patricius Imperatoris impetum hoc dicto repressisset. inimicis amicos deferentibus non habendam esse fidem. Thomas uerè alias alijs tormentis excruciatus, miserrimè expirauit. Adoptiuus item eius filius, quum in Bizyam oppidum confugisset, à castelli habitatoribus uinctus, ad Imperatorem est adductus, & eodem quo fictitius pater supplicio affectus, uiolenter & ipse perijt. Thomæ seditione ad hunc modum compressa, maritimæ Thraciæ ciuitates nihilominus, etiam illo sublato, motum eum urgebant, ac præ cæteris Panium & Perinthus. Sic enim Heraclea olim appellata est, idq; Imperatoris odio factum. Cæterum, Panium mœnibus terræ motu collapsis, captum est, Heraclea mari expugnata. Michael his rebus bene gestis, triumphans in urbem redijt, & ludis Circensibus Michaelis adiutores asinis insidentes in theatrum introductos, sola relegatione contentus grauioribus supplicijs non affecit, duobus exceptis Chærea & Zagoreno, qui quum castella quibus præerant, ne post Thomæ interitum quidem tradere uellent, ijs expugnatis, in crucem acti sunt. Dum Romanæ copiæ, Thomæ defectione, bellisq; ciuilibus occupantur, Agareni occidentales, sinus Iberici incolæ, qui Hispani uocantur, arrepta occasione, à suo Duce, quem Amermumnem uocat, locorum coacti angustijs, petierunt, ut coloniam deduceret. Annuit ille, & cum eis trimeribus impositis soluit, insulasq; Romanas obiẽs populatur. Vt autem in Cretam quoq; uenit, eius fertilitate

Thomæ crudelis interitus.

Panium & Heraclea captæ à Michaele.

Agareni ex Hispanis in Cretam traijciunt.

κατὰ τῶν Βουλγάρων ἐχώρει παντὶ τῷ στρατεύματι, καὶ συμβαλὼν ἡττᾶται, καὶ πολλοὺς μὲν ἀπέβαλε τῶν ἑαυτοῦ, τοὺς μὲν φθαρέντας, τοὺς δὲ καὶ ἁλόντας. ὅσοι δέ γε τήν τε βαρβαρικὴν ἀναίρεσιν ἐξέφυγον, καὶ τὴν αἰχμαλωσίαν διέφυγον, τὸ μέλλον καραδοκοῦντες, ἡσύχαζον. οἱ Βούλγαροι δὲ σὺν αἰχμαλώτοις καὶ λείᾳ πολλῇ ἐπαγόμενοι, ἀνεζεύγνυον, τῇ νίκῃ γαυρούμενοι. ταύτην τὴν ἧτταν τοῦ ἀποστάτου ὅσον ἐκ τοῦ στόλου αὐτοῦ περιλέλειπτο ἐγνωκὸς, πρὸς τὸν Μιχαὴλ ηὐτομόλησεν. οὕτως δὲ ὁ τύραννος γεγονὼς, καὶ πάντοθεν ἐξασθενήσας, ὅμως ἔτι τοῦ πολιορκεῖν οὐκ ἐπαύετο. ἀλλὰ καὶ αὖθις μηδὲν ἀνύων, ἀπανίσταται μὲν τῆς προσεδρείας τῆς πόλεως, ἄπεισι δὲ πορρωτέρω καί τινα τόπον ὀχυρὸν αὐτόθεν, καὶ τοῦτον βάλλεται χάρακι, κἀκεῖθεν ὁρμώμενος ἐληίζετο τῆς πόλεως τὰ προάστεια, καὶ τὰς τούτων ἐκαρπίζετο χάριτας. ἐπελθόντος δὲ τούτῳ ὁ Μιχαὴλ, καὶ μάχης συγκροτηθείσης, οἱ τοῦ Θωμᾶ ἑκόντες ἐτράποντο εἰς φυγὴν, καὶ οἱ μὲν τῷ Μιχαὴλ προσερρύησαν, οἱ δ' εἰς τὰ ἑαυτῶν ἀπῄεσαν ἕκαστοι. ὁ δέ γε τύραννος μετὰ βραχέων εἰς Ἀδριανούπολιν ἄπεισι, καὶ ὁ Μιχαὴλ αὐτῷ κατ' ἴχνος ἀκολουθεῖ, καὶ πολιορκεῖ τὴν πόλιν οὐχ ἑλεπόλεσιν, ἀλλὰ σπάνει τῶν ἀναγκαίων. καὶ οἱ τῆς πόλεως ὑπὸ λιμοῦ πιεζόμενοι, ἀμνηστίαν τῶν ἐπταισμένων ἐκ τοῦ βασιλέως ᾐτήσαντο, καὶ ταύτης τυχόντες, δεσμοῦσι τὸν Θωμᾶν, καὶ παραδιδόασι τῷ Μιχαήλ. ὁ δὲ ἀφαιρεῖται αὐτοῦ χεῖρας καὶ πόδας, καὶ ὄνῳ ἐπιβιβάσας, θριαμβεύει τὸν ἄτιμον θρίαμβον. εἶτα περὶ συνειδότων ἀνεκρίνετο, καὶ πολλοὺς ἂν ἐκεῖνος ἐξέφηνεν, εἰ μὴ ὁ Ἑξαβούλιος ὁ πατρίκιος τὴν ὁρμὴν τοῦ βασιλέως ἀνέκοψε, φάμενος μὴ χρῆναι πιστεύειν κατὰ τῶν φίλων ἐχθροῖς. ὁ δέ γε Θωμᾶς ἄλλοτε ἄλλαις τιμωρίαις ὑποβαλλόμενος, βιαιότατα καταλύει τὴν ζωήν. καὶ ὁ τούτου δὲ ἀναποίητος υἱὸς εἰς τὸ τῆς Βιζύης πολίχνιον προσφυγὼν, παρὰ τῶν οἰκητόρων τοῦ φρουρίου δέσμιος προσήχθη τῷ βασιλεῖ, καὶ ὁμοίως τῷ πεπλασμένῳ πατρὶ κολασθεὶς, βιαίως καὶ αὐτὸς ἀπέρρηξε τὴν ψυχήν. ἡ μὲν οὖν τοῦ Θωμᾶ ἐπανάστασις τοῦτον τὸν τρόπον κατηύναστο, αἱ δὲ Θρακικαὶ πόλεις αἱ παράλιοι, κἀκείνου παρελθόντος, ἐπὶ τῆς στάσεως εἴχοντο, καὶ μᾶλλον τῶν ἄλλων τὸ Πάνιον καὶ ἡ Πέρινθος. οὕτω γὰρ πάλαι ὠνόμαστο ἡ Ἡράκλεια. ἐστασίαζον δ' ἔτι μίσει τῷ πρὸς τὸν αὐτοκράτορα. ἀλλὰ τὸ μὲν Πάνιον σεισμῷ τοῦ τείχους αὐτοῦ πεσόντος, ἑάλω, ἡ δ' Ἡράκλεια διὰ τῆς θαλάσσης γέγονεν ἁλωτή. ταῦτα τοίνυν κατορθώσας ὁ Μιχαὴλ, ἐπάνεισι τροπαιοφορῶν, καὶ ἱππικοῦ τελουμένου ἀγῶνος, τοὺς τῷ Θωμᾷ τὴν τυραννίδα συμπράξαντας ὄνοις ἐφεζομένους εἰσαγαγὼν εἰς τὸ θέατρον, ὑπερορίαν αὐτῶν κατεδίκασε, μή τι πλέον κολάσας αὐτοὺς, εἰ μή τινας δύο τὸν Χοιρέαν καὶ τὸν Γαζαρηνὸν, μὴ πειθομένους μηδὲ μετὰ τὴν κατάλυσιν τοῦ Θωμᾶ παραδοῦναι τὰ φρούρια, ἃ κατεῖχον, ἑλὼν, καὶ ἀνασκολοπίσας ἀπέκτεινε. τῇ γοῦν ἀποστασίᾳ τῇ τοῦ Θωμᾶ καὶ τοῖς ἐμφυλίοις πολέμοις τῶν ῥωμαϊκῶν ἀσχολουμένων δυνάμεων, ἄδειαν εὑρηκότες πᾶσαν οἱ πρὸς ἑσπέραν Ἀγαρηνοί, οἳ τὸν τῆς Ἰβηρίας οἰκοῦσι κόλπον, καὶ λέγονται Ἱσπανοὶ, τῷ σφετέρῳ προσίασιν ἀρχηγῷ, ὃν αὐτοὶ καλοῦσιν Ἀμερμουμνῆ, καὶ ἐκ τούτου ἀποικίαν στέλλεσθαι, διὰ πλῆθος στενοχωρούμενοι. κἀκεῖνος κατένευσε, καὶ τούτους τριήρεσιν ἀναλαβὼν σὺν ἐπέπλευσε, τὰς ὑπὸ Ῥωμαίοις νήσους περιελθὼν καὶ ληιζόμενος. ὡς δ' ἦλθε καὶ εἰς τὴν Κρήτην, καὶ τὸ ταύτης ἔγνωκε

πάμφορον

κατάλυσις τοῦ Θωμᾶ.

περὶ τῶν ἀποστασιῶν τοῦ Πανίου καὶ Ἡρακλείας μετὰ τὴν κατάλυσιν τοῦ Θωμᾶ τῆς ἀποστασίας ἀφισταμένων.

ὅπως ἡ Κρήτη γίνεται ὑπὸ τοὺς Ἀγαρηνούς.

περίφορον, τὰ μὲν πλείστα εἰς λείαν ἐξέπεμψεν, αὐτὸς δὲ μετ' ὀλίγων εἰς φυλακὴν δῆθεν καταλειφθεὶς τῶν νηῶν, πῦρ ἐνέβαλε κατ' αὐτῶν καὶ πάσας ἐνέπρησε. θορυβουμένων δὲ τῶν ἀγαρηνῶν διὰ τοῦτο, καὶ τὴν αἰτίαν ζητούντων, ὁ ἄποψ (οὕτω γὰρ ὁ σφῶν ὠνόμαστο ἀρχηγὸς) ἀποικίαν ἐνταῦθα φησίν. ἰδοὺ τοίνυν χώρα ῥέουσα μέλι καὶ γάλα. καὶ ταύτην κατασχόντες οἰκήσατε. ἐκείνων δὲ εἰπόντων, καὶ τὰ φίλτατα ποῦ; ὁ ἄποψ, γυναῖκες αἱ ἐνταῦθα εἰσὶν, αὐθυπέτυχεν, ἐξ ὧν γεννήσονται καὶ παῖδες ὑμῖν οὐ μετὰ μακρόν. τούτοις πεισθέντες οἱ ἐκ τῆς ἄγαρ, τήν τε νῆσον ὑφ' ἑαυτοὺς ἐποιήσαντο, καὶ τοὺς αὐτόχθονας ἐδουλώσαντο. ὅτε καὶ κύριλλος ὁ γορτυνίας ἐπίσκοπος, ἀθλήσας ὑπὲρ χριστοῦ, μαρτυρίου ἐκομίσατο στέφανον. θανούσης δὲ τῆς συζύγου τοῦ βασιλέως, ἐκεῖνος ὑποκρίνεται μὲν εἰς τὸ προφανὲς, δευτέροις ὁμιλῆσαι γάμοις μὴ βούλεσθαι, κρύβδην δὲ πρὸς τοὺς ἐξόχους τῆς γερουσίας διαπεμπόμενος ἀξιοῦσθαι παρ' αὐτῶν παρεσκεύαζεν ἑτέραν τοῦ βίου κοινωνὸν ἀσπάσασθαι. καὶ ἡ σκῆψις ἦν εὐπρεπής. δεινὸν γὰρ ἔφασκον εἶναι ἡμᾶς μὲν βασιλεύεσθαι παρὰ σοῦ, τὰς δ' ἡμῶν συνοίκους βασιλίδος στερίσκεσθαι. ὁ δὲ πρότερον μὲν ἀπωθούμενος, τὴν ἀξίωσιν ἀπεποιεῖτο. λιπαρούντων δ' ἐκείνων πίστεις ᾔτει παρ' αὐτῶν ἐγγράφους, εἰ βούλοιντο ἀγαγέσθαι αὐτὸν βασιλίδα, ὡς καὶ μετὰ θάνατον αὐτοῦ βασιλίδα ταύτην ἕξουσι, καὶ τὰ ἐκ ταύτης αὐτῷ φυησόμενα ὡς βασιλέας τιμήσουσι. ταῦτα δὲ τῆς συγκλήτου ἐγγράφως αὐτῷ ἐπαγγειλαμένων, κἀκεῖνος ἐπιδείξας δῆθεν τῆς πεπλασμένης φιλίας, καὶ συνοικίζεται μοναχήν τινα, θυγατέρα λεγομένην γενέσθαι τοῦ βασιλεύσαντος κωνσταντίνου, ὃν ἡ μήτηρ εἰρήνη ὡς προείρηται ἐτύφλωσε. ἦν δ' ἡ γυνὴ κεκαρμένη τοῦ πλείονος, καὶ ἐν τῇ νήσῳ τῇ πριγκήπου ταῖς ἀσκουμέναις ἐκεῖ μοναχαῖς, ἐκ πρώτης τριχὸς συγκατείλεκτο, καὶ ἐκαλεῖτο αὐτῇ εὐφροσύνη. τοῦ πατριάρχου δὲ θεοδότου θανόντος, ὃς ἓξ ἔτη ἀσεβῶς τῆς ἐκκλησίας ἐκράτησεν, ἀντώνιος προχειρίζεται, ᾧ κασσυματᾶς τὸ ἐπώνυμον, καὶ οὗτος δὲ τὴν περὶ τὴν πίστιν δόξαν διέστραπτο. ὁ μέντοι βασιλεὺς στόλον ἐκπέμψας κατὰ τῶν τὴν κρήτην κατασχόντων ἀγαρηνῶν, ἥττητο δὲ, καὶ οἱ περιλειφθέντες ἐπανῆλθον τῆς ἥττης αὐτάγγελοι. εἶτ' αὖθις ἕτερον πολὺ ναυτικὸν ἑτοιμασάμενος ἔσταλε, τούτου στρατηγὸν ἐπιστήσας τὸν κρατερὸν, ὃς συμβαλὼν τοῖς ἐν κρήτῃ ἀγαρηνοῖς πρότερον μὲν εὐτύχησε, πολλοὺς ἐκείνων καὶ ζωγρήσας καὶ ἀνελών. εἶτα τῇ νίκῃ τεθαρρηκὼς ἐκεῖνος, καὶ ὁ ὑπ' ἐκεῖνον λαὸς, ὡς ἤδη τῶν ἐναντίων ἐκνενευρισμένων, καὶ μὴ ἄν ποτε προσβαλεῖν αὐτοῖς τολμησάντων, ἀνέσει ἑαυτοὺς καὶ πότοις ἐξέδωκαν, καὶ ἀφυλάκτως ἐχρῶντο ὕπνῳ τε κατὰ τὴν νύκτα ἐκείνην σὺν ῥᾳστώνῃ πολλῇ. ὅπερ κατανοήσαντες οἱ πολέμιοι, νυκτὸς αὐτοῖς ἐπῆλθον μετὰ μεγίστου ἀλαλαγμοῦ, καὶ πάντας διέφθειραν, ὡς μικροῦ μὴ δ' ἄγγελον περιλειφθῆναι τῆς συμφορᾶς. καὶ αὐτὸς γὰρ ὁ τοῦ στόλου ἐξάρχων ὁ κρατερὸς ἐν πλοίῳ ἐμπορικῷ φυγὰς ἀπιὼν, κατελήφθη, καὶ ἀνεσκολοπίσθη. ἕτερος δέ τις αὖθις ὠορυφᾶς καλούμενος ναυτικὸν πιστευθεὶς ἕτερον, ἐπῄει τὰς νήσους. καὶ ταῖς πειρατικαῖς ναυσὶ τῶν ἀγαρηνῶν συνεπλέκετο, καὶ τὴν τέως ὁρμὴν τὴν πρὸς τὰς νομὰς ἀνέκοψε, καὶ τοὺς ἐν τῇ κρήτῃ τοῦ πρότερον θράσους ἀνέστειλε. καὶ κατὰ σικελίαν δὲ στάσις ἑτέρα ἐκίνητο. ἀνὴρ γάρ τις εὐφήμιος λαοῦ κατάρχων τινὸς, ἔρωτι περιμανεῖ μοναζούσης ἐλήφθη τινὸς, καὶ ταύτην ἅρπαγμα τίθεται

ὅπως τὴν δευτέραν γαμετὴν ἀγάγοιτο ὁ μιχαήλ.

περὶ πατριαρχῶν.

περὶ τῶν ἐν κρήτῃ ἀγαρηνῶν.

cognita, maximam partem prædatum misit, ipse cum paucis ad nauium custodiam relictus, igne iniecto omnes cremat. Ob quod factum Agarenis tumultuantibus, & causam eius requirentibus, Achaps (id enim duci eorum nomen erat) Coloniam inquit peruenistis. En regionem lacte & melle manantem. Hanc occupate & incolite. Cum uerò illi dicerent, Nostra uerò charissima ubi sunt? Respondit, Mulieres sunt, è quibus paulò post liberos suscipietis. His Agareni persuasi, insula subacta indigenas in seruitutem redegerunt. Quo tempore Cyrillus Gortynius episcopus pro Christi defensione Martyrij coronam accepit. Interea Imperator, uxore mortua, se à secundis nuptijs abhorrere palàm præ se ferens, clàm ad senatus principes missitando perfecit, ut ipsi peterent, ut alteram duceret uxorem. Ea simulatio, honesta specie non carebat. Neq; enim conuenire, ut ipsi ab imperatore regerentur, uxores uerò suæ Imperatricem nō haberent. Michael eam petitionem principiò tergiuersando repulit, sed illis instantibus, fidem sibi dari petijt, si uellent ut imperatricem duceret, ut eam se quoq; mortuo imperatricem agnoscerent, & liberos ea natos ut imperatores honorarent. Quæ cum senatus scripto promisisset, & ipse de ficta illa percinatia decessit, uxore ducta Euphrosyna, quæ filia Constantini Imperatoris, quem mater Irene (ut diximus) excæcauit, esse dicebatur, & multò ante tonsa inter monachas religioni in Insula principis dedita, à primò capillo uitam agebat. Patriarcha Theodoto mortuo, qui sex annos Ecclesiæ impiè præfuerat, Antonius cognomento Cassimatas in eius locum est suffectus, peruersa & ipse religione præditus. Imperator missa contra Agarenos in Cretam classe, uictus est, quiq; cladi superfuerant, ipsi nuncium eum attulerunt. Post, aliam ingentem classem contra eosdem mittit, duce Cratero, qui principiò rem contra Agarenos benè gessit, multis eorum captis & interfectis. Deinde & ipse & eius milites uictoria freti, quasi aduersarijs iam eneruatis, neq; unquam ausuris ipsos aggredi, se uoluptati & poculis dediderunt, eaq; nocte sine excubijs comessati ociosè dormierunt. Quo hostes intellecto, noctu eos cum maximo clamore adorti, omnes ita ceciderunt, ut uix nuncius cladis superesset. Nam & ipse classis præfectus Craterus, quum in naue mercatoria fugisset, captus, atque in crucem actus est. Post hæc, alia classis Ooriphæ cuidam est commissa, qui insulas obiens, piraticarum nauium impetum, ijs spoliandis, repressit, & Cretensium quoque priorem ferociam compescuit. In Sicilia quoque, alia mota est seditio. Nam quidam populi princeps Euphemius, monacham quandam, cuius insano amore

D. Cyrillus Gortynius.

Michaelis secundæ nuptiæ.

Antonius Cassimatas Patriarcha.

Agareni Cretenses imperatoris classes profligant.

Ooryphas Agarenos coercet.

Sicilia per Euphemium Agarenis prodita.

amore flagrabat, rapuit. Qui cum à prætore ad supplicium quæreretur, ad Africæ Amyram cõfugit, cip pollicitus est, se Siciliã proditurũ, et magna tributa pensurũ, si Romanorũ Imperator appellaretur. Ille hominem uoti eom potem facit, magnis copijs datis, quibus Euphemius acceptus Siciliam ei prodit. Sic illa in potestatem Agarenorum uenit. Tyrannus autem non multò post sui sceleris & desperationis dat pœnas, crudelissimè interfectus.

Michaelis obitus. Michael porrò Imperator, cum octo annos & nouem menses imperasset, phrenitide & retentione urinæ siue intestinorum dolore (Nam utrunq; fertur) obijt, imperio filio Theophilo

Dalmatiæ defectio. relicto. Sub illo etiam Dalmatia Romani imperij iugum excussit, idq; uetusto hoc oraculo prædictum ferunt:

Babylone quando Balbus imperauerit,
Draco subactus auri amore perdito,
Tellus malorum sentiet primordia.

Fuit autem Michael omnino auarissimus.

ται, ἐζήτει τούτου τυχεῖν ὁ στρατηγός, διὰ τὸ ἁμάρτημα κολασθησόμενον. ὁ δὲ διὰ τοῦτο ἐπὶ τὸν τῆς Ἀφρικῆς ἀμηρᾶν πρόσφυγον προσελήλυθε, καὶ εἰ προδοῦναι τὴν Σικελίαν ὑπισχνεῖτο, καὶ φόρους αὐτῷ παρέχειν πολλούς, εἰ βασιλεὺς ἀναρρηθείη Ῥωμαίων. καὶ ὁ μὲν τὴν ἐφέσεως τοῦ πληροῖ, καὶ δύναμιν αὐτῷ δίδωσι βαρεῖαν. ὁ δ' Εὐφήμιος αὐτῷ τὴν Σικελίαν προδίδωσι. καὶ ἡ μὲν ὑπὸ τοὺς Ἀγαρηνοὺς τὸν τρόπον τοῦτον γέγονεν. ὁ δ' Εὐφήμιος οὐ μετὰ μακρὸν δίκην ἐκτίνει τῆς οἰκείας παρανομίας καὶ ἀπονοίας, καὶ στερίσκεται τῆς ζωῆς, ἀναιρεθεὶς βιαιότατα. ὁ βασιλεὺς δὲ Μιχαὴλ ἤδη ἔτη ὀκτὼ καὶ μῆνας ἐννέα ἀπολαύσας τῆς βασιλείας, φρενιτικῇ νόσῳ καὶ ἰσχουρίᾳ τῶν οὔρων ἢ δυσεντερίᾳ (λέγεται γὰρ καὶ ἄμφω) κατέστρεψε τὴν ζωήν, ἐπὶ υἱῷ Θεοφίλῳ τὴν βασιλείαν καταλιπών. ἐπ' ἐκείνου δὲ καὶ Δαλματία τῆς τῶν Ῥωμαίων ἀρχῆς ἀφηνίασε. λέγεται δὲ καὶ ἀρχαῖον εἶναι χρησμὸν οὑτωσὶ προλέγοντα:

ἀρχὴ κακῶν γε προσαπαντήσει τῇ χθονί,
ὅταν κατάσχῃ τῆς Βαβυλῶνος δράκων
δυσγλωττός τις, καὶ φιλόχρυσος λίαν.

καὶ ἦν ὡς ἀληθῶς ἐκεῖνος λίαν φιλοχρυσότατος.

IMPERIVM THEOPHILI.

Theophilus de Leonis percussoribus supplicium sumit. Imperio potitus Theophilus nihil prius habuit, quàm ut eos qui patri ad regnum obtinendum adiumento fuerant, Leonemq; interfecerant, supplicijs afficeret. Quorum ne quis lateret, toto senatu in Regiam conuocato, se mandatum paternum exequi uelle dixit. Nam cum is imperij parti adiutores pro dignitate remunerari cuperet: tempus ei defuisse, quò minus id re ipsa præstaret, primum bellis impedito, deinde morbo & obitu. Sibi igitur mandasse, ut id debitum liberaliter persolueret. Proinde hortabatur eos, qui patri ad Leonem tollendum operam nauassent, ut à cæteris segregarentur. Illi dolo non intellecto, seorsim steterunt, se professi eos esse, qui patri eius opem tulissent. Tum is statim persona simulationis deposita: Cur, inquit, uncto Domini sceleratas manus attulistis, neque homicidæ duntaxat, sed & Imperatoris parricidæ exstitistis? Ermox ad præfectum conuersus, iubet, ut eos abductos

Euphrosyne in monasterium redit. digna facinore pœna afficeret. Illi igitur pro homicidis sunt mulctati. Theophilus uerò etiã nouercam Regia eiectã, in pristinum eius monasterium in insula Principis inclusit, neq; quicquam ei iusiurandum, quod Michael à

Theodora Theophilo nubit. Senatu exegerat, profuit. Vxorem ducturus multas formosas puellas undeciq; accersiuit, inter quas & Icasia uirgo fuit, tum forma præstantior cæteris, tum erudita, tum genere illustri nata. Dũ igitur eas spectãs circuit, aureum pomũ manu tenẽs, quod ei quæ placuisset, cõiugi pignus daret cũ ad Icasiã uenisset, pulchritudinẽ eius admiratus, A muliere, inquit, emanarũt mala. cui illa placidè & cũ honesto rubore solerter respõdit, Sed et res meliores è mulie

ΒΑΣΙΛΕΙΑ ΤΟΥ ΘΕΟΦΙΛΟΥ.

Ὑπερχόμενος δὲ ὁ Θεόφιλος πρῶτον ἐποιήσατο ἔργον, τὴν κόλασιν τῶν ἐπὶ πατρὶ αὐτοῦ συναραμένων εἰς τὸ τῆς βασιλείας τυχεῖν, καὶ ἀνελόντων τὸν Λέοντα. καὶ ἵνα μή τις αὐτῶν διαλάθοι, ἀθροίσας τὴν γερουσίαν ἅπασαν πρὸς τὰ βασίλεια, ἐθέλειν ἔφη ἀποπληροῦν ἐντολὴν πατρικήν. ἐκεῖνον γὰρ βουληθῆναι μὲν ἀξίως ἀμείψασθαι τοὺς συνεργοὺς καὶ συμπράκτορας τῆς βασιλείας αὐτοῦ, μὴ μέντοι καιρὸν ἐσχηκέναι, ὥστε τελέσαι ποιῆσαι τὸ βούλευμα, πρότερον μὲν πολέμοις ἀπασχολούμενον, εἶτα νοσήσαντα καὶ τὸν βίον ἐκλελοιπότα. ἐντείλασθαι δέ οἱ, τὴν ὀφειλὴν αὐτοῖς ἀποδοῦναι φιλότιμον. καὶ προτρέπεται τοὺς ἐπὶ πατρὶ ἤδη τῇ καθαιρέσει τοῦ Λέοντος συμπονήσαντας, τῶν ἄλλων διακριθῆναι. οἱ δὲ μὴ συνιέντες τὸ σκαιωρούμενον, ἰδίᾳ στάντες, ἡμεῖς ἐσμέν, εἶπον, οἱ ἐπὶ πατρὶ ἐπὶ σοῦ συμμαχήσαντες. καὶ ὃς αὐτίκα τὸ τῆς ὑποκρίσεως περιελὼν προσωπεῖον, καὶ ἵνα τί τῷ χριστῷ κυρίου φονίους ἐπηνέγκατε χεῖρας ἔφη, καὶ οὐ μόνον ἀνθρωποκτόνοι γεγόνατε, ἀλλὰ καὶ βασιλέως αὐτόχειρες; αὐτίκα τοίνυν ἐπιστραφεὶς πρὸς τὸν ἔπαρχον, τούτους, εἶπε, παραλαβών, ἀπόδος αὐτοῖς ἀξίας ἀμοιβὰς τῶν τολμημάτων. καὶ οἱ μὲν παρὰ τοῦ ἐπάρχου κολασθέντες, ἀνδροφόνων ἔδοσαν δίκας. ὁ Θεόφιλος δὲ καὶ τὴν μητρυιὰν ἀπελάσας τῶν βασιλείων, εἰς τὴν πατρῴαν αὐτῆς μονὴν ἐν τῇ τοῦ πρίγκιπος νήσῳ ἀπήγαγε, μηδὲν ὠνησαμένην τὸν ὅρκον, ὃν ὁ Μιχαὴλ περὶ αὐτῆς ἐκ τῆς συγκλήτου ἀπῄτησε. γυναῖκα δ' ἑαυτῷ εἰσαγαγεῖν βουληθεὶς ὁ Θεόφιλος, πολλὰς πολλαχόθεν ὡραίας κόρας συνήγαγε, ἐν αἷς ἦν καὶ ἡ Εἰκασία, παρθένος τό τε εἶδος καλὴ καὶ τῶν λοιπῶν ὑπερφέρουσα, καὶ λόγοις ὡμιληκυῖα, καὶ τὸ γένος ἐπίσημος. περιῄει γοῦν ταύτας θεώμενος, καὶ μῆλον κατέχων χρυσοῦν, ὃν αὐτὸς ἔμελλε δοῦναι μνῆστρον τῇ δοξάσῃ αὐτῷ ἀρίστῃ. ἐπεὶ δ' ἦλθε πρὸς τὴν Εἰκασίαν προσιὼν θαυμάσας ἐκείνην τῆς ὡραιότητος, ἔφη, ἐκ γυναικὸς ἐρρύη τὰ φαῦλα. ἡ δ' ἠρέμα καὶ μετὰ σεμνοῦ ἐρυθήματος ὑπολαβοῦσα τάδε ἀπεκρίνατο. ἀλλὰ καὶ διὰ γυναικὸς πηγάζει τὰ κρείττω.

[illegible]

[illegible]

ὁ δὲ βα-

ὁ δὲ καταπλαγεὶς ὥσπερ ὑπὸ τοῦ παρθενίου λόγου, τὴν μὲν παρῆλθεν, τὸ μῆλον δὲ τὸ χρυσοῦν τῇ ἐκ Παφλαγονίας Θεοδώρᾳ παρέσχετο. ἡ δὲ Εἰκασία τῆς βασιλείας ἀποτυχοῦσα, μονὴν ἐδείματο, ἣ τὴν ἐκείνης ἔχει ἐπίκλησιν, καὶ ἐν αὐτῇ μονάζουσα ἑαυτῇ ἔζη καὶ θεῷ, τῆς λογικῆς παιδείας μὴ ἀλογήσασα. ὅθεν καὶ συγγράμματα ἐκείνης εὑρίσκονται, εὐπαιδευσίας καὶ χαρίτων οὐκ ἄμοιρα. καὶ ἡ μὲν οὕτω διέθετο τὰ καθ' ἑαυτήν, καὶ ἀποτυχοῦσα βασιλέως φθαρτοῦ, τῷ παμβασιλεῖ ἑαυτὴν ἐμνηστεύσατο, καὶ ἀντὶ γηραιᾶς βασιλείας τὴν ἐπουράνιον ἐκληρώσατο. ὁ βασιλεὺς δὲ Θεόφιλος τὴν Θεοδώραν ἑαυτῷ συνῴκισε, καὶ ὁμοῦ ταύτην καὶ τῷ γαμηλίῳ στεφάνῳ καὶ τῷ βασιλικῷ ταινιοῖ διαδήματι, καὶ τοὺς γάμους τελεῖ. δικαιοσύνην δὲ μετιών, τοῖς ἀδικοῦσιν ἦν ἐπαχθής, καὶ κολαστὴς αὐτῶν ἀπαραίτητος. ἑκάστης οὖν ἑβδομάδος ἀπῄει διὰ τῆς ἀγορᾶς ἔφιππος, μετὰ δορυφορίας βασιλικῆς, εἰς τὸν ἐν Βλαχέρναις τῆς θεοτόκου ναόν. εἰ γὰρ καὶ ταῖς θείαις εἰκόσιν οὐκ ἀπένεμε τιμήν, ἀλλά γε τῷ σωτῆρι Χριστῷ καὶ τῇ θεομήτορι πίστιν ἐτήρει, ὡς ἔλεγεν. ἀπιὼν οὖν καὶ οὕτω δημοσιεύων, παρεῖχεν ἑαυτὸν τοῖς προσιοῦσιν εὐπρόσιτον, καὶ περὶ τῶν ὠνίων ἐφρόντιζε, καὶ ὅπως ἕκαστον τούτων πιπράσκεται, ἐπολυπραγμόνει καὶ ἐπυνθάνετο. καὶ εἰ πολλοῦ τινα πιπρασκόμενα εὑρίσκετο, τὸν ἔπαρχον περὶ τούτων ἀνέκρινε, καὶ ἢ καταγινώσκων τούτου ἔπαυε τῆς ἀρχῆς, ἢ ἐπιπλήττων διώρθου. οὕτω γοῦν ποτε διιόντι αὐτῷ προσῆλθε γυνή, ἀδικεῖσθαι λέγουσα παρὰ τοῦ δρουγγαρίου τῆς βίγλας (οὗτος δ' ἦν συγγενὴς τῆς αὐγούστης, καλούμενος Πετρωνᾶς) οἰκῶν γὰρ αὐτῇ ἐγγειτόνως, τὸν δὲ τὰς ἑαυτοῦ διαίτας ὑψοῦντα, τῇ αὐτῆς οἰκίᾳ ἐπισκοτεῖν. ἡ μὲν οὖν ταῦτα ἐνεκάλει τῷ Πετρωνᾷ. ὁ δὲ παρὰ τοῦ βασιλέως μετακληθείς, καὶ τί ἂν λέγοι τὸ γύναιον ἐρωτώμενος, ματαιάζειν ἔφη αὐτό. καὶ ὁ βασιλεύς, μηκέτι ἀκούσω μου περὶ τούτου φησί, καὶ οὐκ ἔσται σοι πρὸς καλόν. καὶ τῇ γυναικὶ ἐνετείλατο πρὸς τὸν Πετρωνᾶν ἀφικέσθαι, καὶ εἰ μὴ τὴν βλάβην θεραπευθείη, αὖθις αὐτῷ προσελθεῖν. προσίει τῷ Πετρωνᾷ ἡ γυνή. ὁ δὲ οὐδὲν αὐτῇ τοῦ καινοῦ θεραπεύματος ἔθετο. ἡ δ' ἀπογνοῦσα, διὰ ὄχλου γίγνεται καὶ αὖθις τῷ βασιλεῖ. καὶ ὃς αὐτίκα τῶν τῆς συγκλήτου τισὶν ἀπελθεῖν ἐπέταξε, καὶ κατασκοπῆσαι, εἰ βλάπτοιτο ἡ γυνή. οἱ δὲ ἀπῆλθον εὐθύς, καὶ τὴν βλάβην ἔγνων, καὶ ταύτην ἀπήγγειλαν. καὶ ὁ βασιλεὺς ἐπὶ τῆς ἀγορᾶς προϊών, αὐτοῦ που στάς, γυμνωθῆναι τὸν Πετρωνᾶν καὶ τυφθῆναι καὶ στέρνα καὶ νῶτα προσέταξε, τὰ δ' ὑπ' αὐτοῦ δομηθέντα πρὸς βλάβην τῆς γυναικὸς καθαιρεθῆναι, καὶ ταύτῃ προσκληρωθῆναι καὶ τὰς ὕλας καὶ τὸν τόπον αὐτόν. τοῦτο μὲν οὖν τοῦ περὶ τὸ δίκαιον ζήλου τοῦ Θεοφίλου ἀρκεῖ γνώρισμα. ῥηθήτω δέ τι καὶ ἕτερον τῆς τε δικαιοπραγίας ἐκείνου, καὶ τῆς περὶ τὸ δίκαιον καὶ ὑπήκοον προνοίας σημαντικόν. προσώρμει ποτὲ τῷ περὶ τὰ ἀνάκτορα λιμένι φορτὶς βαρεῖα τῶν ἀγωγίμων πεφορτισμένη, καὶ τούτῳ μέχρις ἐσχάτου ζωστῆρος καταβεβαπτισμένη. ἔτυχε δὲ παρακύψας ὁ βασιλεὺς ἄνωθεν, καὶ θαυμάσας τὴν ναῦν, διά τινος τῶν αὐτῷ ἑπομένων, τίνος ἂν εἴη ἐπυνθάνετο· ὡς δὲ τῆς αὐγούστης εἶναι μεμάθηκε, καὶ ὡς ἄρτι ἀνήχθη ἐξ ἐμπορείας, ἣν ἐν τοῖς τῆς Συρίας οἱ πρὸς τῆς βασιλίσσης σταλέντες ἐποιήσαντο μέρεσιν,

Ἴσως περὶ τῶν ἀδικούντων δεινότατος ὁ Θεόφιλος, τῶν ἄλλων ἔλαττον εὐσεβείας τῆς ὁσίας ἐφρόντισε.

Περὶ τοῦ ἀδελφοῦ τῆς αὐγούστης τοῦ Πετρωνᾶ.

Περὶ τοῦ πλοίου τῆς αὐγούστης.

re exuberant. At ille uirginis oratione ueluti attonitus, ea præterita, malū aureum Paphlagoniæ Theodoræ dedit. Icasia uerò cum regno excidisset, monasterium de suo nomine condidit, in quo sibi & Deo uixit, eruditione literarum non neglecta. Vnde & scripta eius reperiuntur, in quibus neque doctrinam, neque gratiam desideres. Et sic illa res suas administrauit, & mortali rege frustrata, Regi omnium nupsit: pro terreno imperio, cœleste sortita. Imperator uerò Theodoram simul & nuptiali corona & regio diademate ornat, nuptiásque celebrat. Et quia iustitiæ cultor erat, grauem se & inexorabilem delinquentibus præbebat. Singulis igitur hebdomadibus eques per forum cum satellitibus imperatorijs in ædem Deiparæ Blacherniam iuit. Etsi enim sacris imaginibus honorem non habebat, Seruatori tamen & Dei matri se fidem seruare profitebatur. Cum autem sic in publico uersaretur, facilis aditu fuit, rerumque uænalium curam habuit, & quanti quæque uenderentur, curiosè indagauit. Quòd si qua magno uænirent, præfecto de ijs interrogato uel Magistratum abrogabat, si peccasset, uel obiurgato eo, quid agendum esset, præscribebat. Sic igitur aliquando prætereuntem mulier quædam accessit, quæ sibi iniuriam fieri à Drungario Biglæ querebatur (is Augustæ frater erat, nomine Petronas) qui cum in uicina habitaret, ædibus in altum educendis, suis luminibus obstrueret. Ac illa sic Petronam accusabat. Is uerò ab Imperatore accersitus, & quid mulier diceret interrogatus, nugas eam agere dixit. Tum Imperator: Caue, inquit, ne denuo eadem de re me appellet, quod tibi bono non est futurum, ac mulierem ad Petronam abire iussit, & nisi ei damnū resarciretur, ad se redire. Quod cum illa fecisset, neque à Petrona quicquam impetrasset, re desperata rursus Imperatorē interpellauit. Is statim quibusdā senatoribus mādauit, ut uiderent, num damnum mulieri daretur? Abiere illi statim, damnumque cognitum Imperatori renunciarunt, qui in forum progressus, atque ibi certo loco stans, Petronam uestibus direptis & in tergo & in pectore uerberari iussit, & quæ in fraudem mulieris struxerat, destrui, materiamque & solum ipsum mulieri attribui. Atque hoc specimen esto quantopere iustitiæ studuerit Theophilus. Sed & aliud referatur, quo & eius obseruantia æqui, & solicitudo de subditis declaretur. Appulit aliquando ad Regiæ portum nauis oneraria pondere sarcinarum grauis, eoque usque ad extremum uinculum demersa. Imperator supernè prospectans, nauemque admiratus, per pedissequum cuius ea sit percontatur? Vt Augustæ esse cognouit, recens à mercatura reductam, quam ab imperatrice missi in Syriæ partibus fecissent:

Icasia fit monacha, nuptijs imperatoris frustrata.

Theophili iustitia et seueritas.

Petronæ Drungarij mulcta.

Augustæ merces incensæ.

Si quid sarcinarum in naui haberent, id statim efferre iussit, & nihil quod ad Augustam pertineret, attingere. Quo facto pulsis inde nautis, Græco igni iniecto, nauim cum ipsis sarcinis cremauit, Imperatricem maledictis insectatus. Nam cum me Deus, inquit, Imperatorē designarit, tu me nauclerū facere contendis. Scito autem mercaturam priuatis hominibus esse attributam, ut ea tolerādæ uitæ occasionem habeant. Quòd si nos præter imperij opes, etiam mercaturæ emolumēta interceperimus, undenam fortunæ tenuioris homines uictum cōparabunt? Imperatrici patria fuit Paphlagonia, parentes Marinus & Theoctista, ex nobili illius prouinciæ familia, ambo pij & sacrarum imaginū adoratores. Theodora uerò Imperatori desponsa, etiam mater eius Theoctista, Florina cognomēto, Zostæ & patriciæ dignitatem est cōsecuta. Habitauit autem iuxta Gastria monasterium, idq;, ut quidam asserūt, condidit. Filiolæ igitur Imperatoris numero quinq;, ad eam ut auiam aliquando adducebantur, quarum nomina fuerunt, Thecla, Anna, Anastasia, Pulcheria & Maria. illa puellas munusculis sibi cō ciliabat, ac seorsim hortabatur ad sacrarum imaginū uenerationē, curabatq; ut sacras effigies, quas è cistella proferebat, neptes adorarent ac deoscularētur, earūq; capitibus et faciebus eas admouebat. Puellas aliquādo inde reuersas rogat Imperator, ut ab auia tractatæ essent, et quid illa diceret? Cæteris tacentibus Pulcheria adhuc infantula cū cætera balbutienti uoce refert, tum addit, auiam in cistellam pupas habere (sic enim imagines uocabat) quas ipsarū capitibus et faciebus admoueret atq; osculandas præberet. Ex eo cum cognouisset filiolas ab auia cultum sacrarum imaginum doceri: eas non amplius ad illā accedere passus est, neq; alia molestia Theoctistam affecit, quam & propter affinitatem et magis etiam ob uirtutem uerebatur: cum quidē sæpe ab ea reprehenderetur, quod orthodoxos puniret, & sacris imaginibus contumeliā faceret, ijsq; rebus omnium subditorum odia susciperet. Simile quiddam etiam imperatrici accidit. Erat in Regia quidam homuncio delirus et impedita lingua, quem Imperator in delicijs habebat, cui etiā in gynæconitidem patebat aditus. Aliquando igitur in Imperatricis thalamum ingressus, cum illa sacras imagines oscularetur & adoraret. (Eas enim clam marito supra modum honorabat) sacras effigies conspicatus, quid essent, rogat: respondet illa simpliciter, Pulchras suas pupas esse. Egressus uæcors homuncio, Theophilum in conuiuio reperit: interrogatus unde ueniret? à Manna respondit, sic enim dominam uocabat, eamque pulchras pupas habere dixit. Imperator autem pupas imagines esse suspicatus, commotus & ira æstuans Imperatricem accedit, & contumeliosis dictis insectans, idololatram

Marinus et Theoctista parētes Theodoræ.

Theodora Imperatoris iracundiā callido cōmento eludit.

ἔτι μὲν τοῖς τοῦ πληρώματος τῆς νηὸς προσέταξεν, ἐξενεγκεῖν αὐτοῖς αὐτίκα ἐκέλευσε, τῶν δὲ τῆς αὐγούσης ἅψασθαι μηδενός. ὡς δὲ τοῦτο γέγονε, καὶ οἱ ἄνδρες ἐκεῖθεν ἀπήλασαν, ὑγρὸν κατ' αὐτῆς ἐπέταξε πῦρ, καὶ αὐτόφορτον κατενέπρησε, καὶ τῇ βασιλίσσῃ λοιδορεῖσθαι ἤρξατο. βασιλέα με, λέγων, ἀναδείξαντος τοῦ θεοῦ, σὺ βιάζῃ με ποιῆσαι ναύκληρον. ἴσθι δὲ ὅτι τοῖς ἰδιώταις τὸ ἐμπορεύεσθαι προσκεκλήρωται, ἵν' ἐκεῖθεν τὰς πρὸς τὸ ζῆν πορίζοιντο ἀφορμάς. εἰ δ' ἡμεῖς μετὰ τῆς βασιλικῆς εὐπορίας, καὶ τὰ ἐξ ἐμπορείας ἑαυτοῖς περιποιεῖσθαι πειρώμεθα, πόθεν ἂν οἱ τῆς τύχης τῆς ἰδιωτικῆς τὰ ζωαρκῆ συμποριζοίσαιντο; τῇ δὲ βασιλίσσῃ πατρὶς ἦν ἡ χώρα τῶν Παφλαγόνων, πατὴρ δ' αὐτῇ Μαρῖνος καὶ Θεοκτίστη τῶν εὖ γεγονότων ἐν τῇ χώρᾳ τῇ κατ' αὐτούς, εὐσεβεῖς δὲ ἄμφω, καὶ τῶν σεβασμίων εἰκόνων προσκυνηταί. τῆς δὲ Θεοδώρας τῷ βασιλεῖ συζυγείσης, καὶ ἡ μήτηρ αὐτῆς Θεοκτίστη, ἣ καὶ Φλωρίνα ἐπωνομάζετο, ζωστὴ καὶ πατρικία τετίμητο. ᾤκει δὲ κατὰ τὴν μονὴν τῶν Γαστρίων, ὡς δέ τινες λέγουσι, καὶ τὴν μονὴν αὐτὴν ἐκείνη ἐδείματο. ὡς οὖν πρὸς μάμμην ἀπήγοντο πρὸς αὐτὴν ποτὲ τὰ τοῦ βασιλέως θυγάτρια, ἦσαν δὲ πέντε, καὶ αἱ κλήσεις ἐκείνων αὗται, Θέκλα καὶ Ἄννα, Ἀναστασία τε καὶ σὺν Πουλχερίᾳ Μαρία, ἡ δὲ δωρήμασι τὰς παῖδας ἐδεξιοῦτο, καὶ ἰδίᾳ παραλαμβάνουσα, παρῄνει τὰς ἁγίας εἰκόνας σεβάζεσθαι, καὶ ἐκ κιβωτίου σεβάσμια ἐκφέρουσα ἐκτυπώματα, προσκυνεῖν αὐτὰ παρεσκεύαζε τὰς θυγατριδᾶς καὶ ἀσπάζεσθαι, καὶ ταῖς κεφαλαῖς αὐτῶν ἐπετίθει καὶ τοῖς προσώποις. καί ποτε ἐκεῖθεν ἐπανηκούσας τὰς παῖδας ἤρετο ὁ βασιλεύς, τί παρὰ τῇ μάμμῃ αὐταῖς γέγονε, καὶ τίνα παρ' ἐκείνης αὐταῖς λέγοιντο; αἱ μὲν οὖν λοιπαὶ ἐσιώπων, ἡ Πουλχερία δὲ νηπιάζουσα ἔτι, τἄλλα τε διηγεῖτο ψελλιζομένῃ φωνῇ, καὶ προσεπῆγεν, ὡς ἂν τῇ μάμμῃ νινία ἐν κιβωτίῳ, τὰς ἁγίας εἰκόνας οὕτω καλοῦσα, καὶ ταῦτα ταῖς κεφαλαῖς καὶ τοῖς προσώποις ἡμῶν ἐπιτίθησι, καὶ ἀσπάζεσθαι δίδωσιν. γνοὺς οὖν ἐκείνης τὰς σεπτὰς εἰκόνας γνοὺς διδάσκεσθαι προσκυνεῖν τὰς αὐτοῦ θυγατέρας παρὰ τῆς μάμμης, οὐκέτι πρὸς αὐτὴν ἀπάγεσθαι τὰς παῖδας παρακεχώρηκεν, ἕτερον δὲ οὐδὲν λυπηρὸν εἰς τὴν Θεοκτίστην εἰργάσατο, αἰδούμενος ἐκείνην διὰ τὸ κῆδος, καὶ πλέον διὰ τὴν ἀρετήν, ἣ καὶ πολλάκις ἤλεγχεν ἐκεῖνον, ὅτι τοὺς ὀρθοδόξους ἐκόλαζε, καὶ ταῖς ἱεραῖς εἰκόσιν ἐνύβριζε, καὶ διὰ ταῦτα ἀπεχθῶς διακεῖσθαι πρὸς αὐτὸν ἐπληροφόρει πᾶν τὸ ὑπήκοον. τοιοῦτον δέ τι καὶ πρὸς τὴν βασιλίδα ἐγένετο. ἦν τι παρὰ τοῖς ἀνακτόροις ἀνθρώπιον καὶ τοῦ νοῦ παράφορον καὶ τῆς γλώσσης παρακοπήν, καὶ ἦν οἷον ἄθυρμά τι τῷ βασιλεῖ, τῷ δὲ τοιούτῳ τυγχάνοντι ἦν, καὶ ἡ γυναικωνῖτις βατή. καί ποτε τὸν τῆς αὐγούσης εἴσεισι θάλαμον. ἡ δ' ἔτυχε τότε ἁγίας εἰκόνας ἀσπαζομένη καὶ προσκυνοῦσα (ἐτίμα γὰρ διαφερόντως αὐτὰς ἀγνοίᾳ τοῦ συνευνέτου) τὸ δὲ παρακυψάμενον ἐκεῖνο ἀνθρωπάριον τὰ θεῖα βλεψάμενον ἐκτυπώματα, τί ταῦτα ἤρετο τὴν βασίλισσαν; ἡ δὲ ἀφελῶς πως πρὸς ἐκεῖνο εἶπε, ταῦτα τὰ καλά μου νινία. ἐκεῖθεν οὖν ἐξελθὸν τὸ παράφορον ἐκεῖνο ἀνδράριον, εὗρε τὸν Θεόφιλον ἑστιώμενον. ἤρετο γοῦν ὁ βασιλεὺς αὐτόν, ὅθεν ἥκοι; ὁ δὲ παρὰ τῇ Μάννᾳ προσεδρευκέναι ἀντέφησεν, οὕτω γὰρ ἐκάλει τὴν δέσποιναν, καὶ ἔχειν αὐτὴν ἔλεγε νινία καλὰ. εἰκόνας οὖν εἶναι τὰ νινία ὑποτοπήσας ὁ βασιλεύς, ἐξώργιστο, καὶ πρὸς τὴν βασιλίδα παραγένεται πνέων θυμοῦ, καὶ ὕβρεις κατέχεεν ἐκείνης, καὶ εἰδωλο-

περὶ τῶν γονέων τῆς Θεοδώρας, ἤγουν περὶ τῆς μητρὸς αὐτῆς, καὶ τῶν θυγατέρων τοῦ Θεοφίλου.

περὶ τοῦ Δενδερῆ τοῦ παραφόρου ὄντος.

εἰδωλολάτρην ὠνόμαζε, τὰ ἀκουσθέντα παρὰ τοῦ Δενδερῆ διηγούμενος (οὕτω γὰρ τὸν παρακεκομμένον ἐκεῖνον ἐκάλουν ἄνθρωπον) ἡ δὲ σοφῶς τὸν ἄνδρα κατεσοφίσατο. οὐ γὰρ εἰκόνας ὡς φησιν ὁ Δενδερῆς ἔλεγεν, ἀλλὰ ἐν κατόπτρῳ μου φαντασιζούσας, τὰς ἐκεῖθεν ἀντανακλωμένας ὡραίας μορφάς, καὶ ταύτας νινία ὠνόμασεν. οὕτω πιθανῶς τὸν λόγον συμπλέξασα, τὴν ὀργὴν τοῦ βασιλέως ἐμάλαξε, καὶ τὸν θυμὸν κατεστόρεσεν. ἦν δὲ τοῖς εὐσεβοῦσι λίαν βαρύς, ἀνδίδων πάντας τῆς οἰκείας δυσσεβείας ποιήσασθαι κοινωνούς, καὶ ὥσπερ τοῦ δικαίου διάπυρος ἦν ζηλωτής, οὕτω καὶ τῆς δυσσεβείας, ὡς ᾤετο, καὶ ἀποσπᾶσαι τῆς τῶν εἰκόνων τιμῆς ἐφιλονείκει παραμανῶς τὸ ὑπήκοον. ταῦτ' οὖν ἐκόλαζε πλείστους τῆς εἰδωλομανίας, ὡς ἔλεγε ἀκολάστῳ γλώσσῃ, αὐτοὺς ἀφιστῶν, καὶ πολλοὺς εἰργάσατο ὁμολογητάς. ἰωάννην δὲ τὸν σύγκελλον, ὃς αὐτῷ διδάσκαλος γέγονε, καὶ τῆς δυσσεβείας ἦν κοινωνός, πρὸς τοὺς ἀγαρηνοὺς ἐξαπέστειλεν, ἐνδείξασθαι σφίσι τὸν πλοῦτον τῆς βασιλείας ῥωμαίων βουλόμενος. εἴληφε δ' αὐτὸν σὺν χρήμασι μάλα πολλοῖς, ὧν τὰ μὲν δῶρα πέπομφε τῷ τῶν ἀγαρηνῶν ἀρχηγῷ, τὰ δὲ εἰς ὑπηρεσίαν τῷ πεμφθέντι ἀπένεμεν· ἐν οἷς καὶ δύο ἐτύγχανον χερνιβόξεστα χρύσεα τοῖς λίθοις διαλαμπόμενα καὶ τέχνης ἀκριβοῦς φανερούμενα χάριτας. τούτων δὲ πάντων ἐπέκεινα λέγεται δοῦναι αὐτῷ καὶ χρυσοῦ χαράγματα κεντηνάρια τεσσαράκοντα, ἵν' ἔχοι δωρεῖσθαι τῶν ἐκ τῶν ἀγαρ οἷς βούλοιτο φιλοτίμως τε καὶ δαψιλῶς, καὶ ταύτῃ τοὺς βαρβάρους ἐκπλήττοι, λογιζομένους, ὡς εἰ τοσοῦτον οἱ τοῦ ἄνακτος ὑπηρετοῦσι, αὐτὸς ἐκεῖνος πόσου ἂν εἴη κύριος πλούτου; ἀφικόμενος οὖν εἰς τὴν τοῦ Βαγδᾶ πόλιν ὁ σύγκελλος (αὕτη δ' ἐστὶν ἡ παλαιὰ Βαβυλὼν) καὶ τῷ τῶν ἀγαρηνῶν ἀρχηγῷ εἰς θέαν ἐλθὼν, καὶ διαλεχθεὶς, καὶ τὰ τοῦ βασιλέως δῶρα προσαγαγὼν, καὶ διὰ ταῦτα, καὶ διὰ τὴν τοῦ λόγου δύναμιν (ἦν γὰρ εἰς διάλεξιν πολυδέξιος) καὶ ἐτιμᾶτο καὶ ἐθαυμάζετο. πλέον δ' ἐξεθάμβησε τοὺς βαρβάρους, φιλοτιμότατα πρὸς αὐτοὺς διακείμενος. εἰ γάρ τινες ἐκείνῳ προσῄεσαν, ἢ παρὰ τοῦ σφετέρου σταλέντες ἄρχοντος, ἢ κατά τινα χρείαν ἄλλην, χρήμασιν αὐτοὺς ἐδεξιοῦτο μεγάλοις, ὡς καὶ χαίρειν καὶ τεθηπέναι τοὺς ταῦτα λαμβάνοντας. ἑστιῶν δέ ποτε καὶ ὁμοδίαιτον τοῦτον τοῦ ἀμερμουμνοῦ ποιουμένου, τὸ ἓν τῶν χρυσῶν ἐκείνων χερνιβοξέστων εἶχεν ἐκεῖ, ὕδωρ αὐτῷ ἐπιχέων κατὰ χειρὸς τοῦτο γοῦν ἀμελῶς κείμενον (οὕτω γὰρ ποιῆσαι τοῖς αὐτοῦ θεράπουσιν ἐντέταλτο, ἵν' ἀπόληται) παρά του ἐκλάπη. ὡς δὲ ζητούμενον οὐκ ἦν, οἱ βάρβαροι θροῦν ἤγειραν, καὶ τὸ πολύτιμον ἐκείνου καὶ τὸ κάλλος θαυμάζοντες. ὁ δὲ μὴ μέλειν αὐτῷ περὶ τοῦ ἀπολομένου εἰπὼν, τοῖς μὲν βαρβάροις ἔκπληξιν ἐνεποίησε, τοιούτου χρήματος ἀφειδοῦντα ὁρῶσιν αὐτὸν, τοῖς δ' ἑαυτοῦ θεράπουσι τὸ ἕτερον ἐνεγκεῖν προσετάξατο, ὃ κομισθὲν ὡς πλέον θάμβος τοὺς βαρβάρους ἐνῆκεν. ἀντιφιλοτιμούμενος δὲ καὶ ὁ τῶν ἀγαρηνῶν ἀρχηγὸς, πολλοῖς τὸν ἰωάννην ἐδεξιοῦτο δωρήμασι, καὶ ἐπὶ πᾶσιν αὐτῷ αἰχμαλώτους παρέσχετο ἑκατὸν, ἀμφιέσεσι λαμπροτέροις ἐσθήμασιν. ἐπανελθὼν οὖν ἐκεῖθεν ὁ ἰωάννης, καὶ τῷ

Idololatram appellat, eaque refert quæ à Dendere (id enim fatuo nomen erat) audiuisset. Verum illa maritum solerter decepit. Neque enim, inquit, imagines uidit Denderis, sed quum speculum intueret, formas quæ in eo repræsentabantur, pupas appellauit. Eo probabili commento, Imperatoris iram declinauit, furoremque leniit. Nam quum omnes in suam impietatem pertrahere studeret, sæuus admodum erga pios fuit, & ut iustitiæ, sic & eius quam ipse probabat pietatis acerrimus defensor, subditos à cultu imaginum abducere insano studio contendebat, eaque de causa multos puniebat: ut eos, quemadmodum intemperanti lingua dicebat, ab idolomania depelleret, ac multos confessores fecit. Ioannem Syngellum, quo magistro usus fuerat, impietatis suæ socium, ad Agarenos cum maximis opibus ablegauit, imperij Romani diuitias ostentaturus, quarum nonnullas eorum principi dono misit, nonnullas Ioanni ad ministerium assignauit, inter quas duo quoquè malluuia aurea, gemmis distincta fuerunt, exquisitæ artis elegantia adornata, prætereà cætera omnia signati auri centenarios quadraginta ei dedisse perhibetur, ut Agarenos quos uellet, liberaliter & magnificè donaret, itaque percelleret Barbaros, qui quum tantas opes ministrorum Imperatoris esse cernerent, cogitarent, quantis ipse diuitijs potiretur. Syngelus igitur in urbem Bagdam profectus (ea uetus Babylon est) quum in Principis conspectum uenisset, oblatisque Imperatoris muneribus cum eo collocutus esset, quum ob hæc, tum propter dicendi uim (erat enim in congressibus perquàm disertus) & in honore & in admiratione fuit. Barbaros tamen sua erga eos munificentia magis obstupefecit. Nam si qui eum conueniebant, siue à suo Principe missi, siue alijs de causis: eos magna pecunia donabat, ut qui eam acciperent, & gauderent, & mirarentur. Quum autem ipse aliquando ab Amermumne ad conuiuium in ædes illius inuitatus esset: alterum ex aureis illis mallurijs secum attulit, ut aquam manibus illius affunderet. Quod quum negligenter alicubi positum esset (ita enim ministris suis Ioannes mandarat, ut periret) à quodam est surreptum, quæsitumque nusquam comparuit. Barbari igitur murmurarunt, & precium illius & elegantiam exaggerantes: ipse uerò cum eam iacturam sibi curæ non esse dixisset, eos obstupefecit quem tantam rem negligere cernerent, & à ministris alterum afferri iussit, quo allato magis etiam admirati sunt. Sed & Agarenorum princeps uicissim magnificentiam ostentans, Ioannem magnis muneribus affecit, & post cætera omnia centū ei captiuos dedit, splendidis uestibus exornatos. Qui ex ea legatione reuersus, cum Imperatori

ἐν καιροῖς δὲ [illegible] τῶν εἰδώλων [illegible] φόρος.

περὶ τοῦ συγκέλλου ἰωάννου καὶ ἕως πρὸς ἀγαρηνοὺς ἀπεστάλη καὶ [illegible].

Theophili legatus ad Agarenos Ioannes Syngelus.

Bagda, uetus Babylon.

Theophili substructiones.

Imperatori quid actũ esset, exposuisset, ac principalium ædium figuras & uarietatem narrasset: cupiditatem eius excitauit eiuscemodi Regiæ ædificandæ, ac iussu illius in Bryante Regiam Syriacæ per omnia similẽ, auspicatus est, & architectis, figuris mensurisq́ latitudinis, lõgitudinis & altitudinis demonstratis, opus celeriter absoluit. Idem Imperator etiam maritima mœnia cum uetustate tũ ob alios casus ruinosa, magnificè instaurauit, in maiorem educta altitudinem, & maximum hospitium de suo nomine condidit, quo in loco prius impudicarum mulierũ diuersoriũ fuerat. In libidinibus fuit continens, cumq́ semel amore puellæ formosissimę, quæ Imperatrici inseruiebat, captus esset, idq́ Theodora ægrè ferret: eum deierasse ferunt, se nunquam alias alterius mulieris notitiam habuisse, eoq́ lapsu dolentem, ueniam ab illa petijsse. Sed furore eius contra sacras imagines effecit, ut illa pro nihilo putentur. Prorsus enim insania quadã & rabie maiore quàm superiores Imperatores, cultores atq́ etiam pictores sacrarum imaginũ persequebatur, eaq́ de causa monachum quendam Lazarum, pictorem tum celeberrimum, crudeliter excruciatum in carcerem coniecit. Qui cum ex plagis illis recreatus, iterum manus sacrarum imaginum picturæ admoueret, ignitas laminas tyrannus eius manibus admoueri iussit, ne labores manuum eius pij adorare possent. Ac is quidem id supplicium ea de causa tolerauit, tyrannus autem spe sua frustratus est. Fertur enim cõfessor ille, post ea tormenta carcere eiectus, plagas adhuc in manibus gestans, diuina adiuuante gratia, uenerandas imagines depinxisse, ac post tyranni interitum, Seruatoris imaginem in Chalce pinxisse, ac qualis nunc cernitur, restituisse, quum prius imago iam olim erasa fuisset. Idem fratres Theophanem, & Theodorum utrumque confessorem, ob suam impietatem Prophetarum oraculis & scripturarum testimonijs reprehensam, primum grauiter excruciauit. Deinde facies eorum compunxit, ac notis illis hos iambicos uersus atramento infuso expressit:

Lazarus monachus pictor.

Theophanes. Theodorus.

Theophili castitas, & simulacrorum odium.

Cunctis eam urbem uisere exoptantibus,
Purissimi quam Christi presserunt pedes
Totius orbis unde manauit salus:
Sacro loco isti uasa conspecti improba
Superstitionis errore ex incredulo
Multisq́ factis inquinati turpibus
Apostatæ uelut reiecti inde procul,
Se contulere mox in urbem regiam:
Tamen nefanda non relicta amentia,
Notis perusta fronte, more sontium,
Condemnatiq́ rursus uerterunt solum.

Sed & alios multos persequutor hic confessores fecit, & in martyrum numerum retulit, quos enumerare alterius & operis & temporis fuerit.

βασιλεῖ διηγούμενος τὰ ἐκεῖ, καὶ τῶν ἀρχικῶν οἰκιῶν τὰ σχήματα καὶ τὸ ποικίλον, εἰς ἔρωτα ἐκίνησε τοιαῦτα δομήσασθαι. καὶ μέντοι αὐτῷ ἐπιτάξαντι ἐν τῷ Βρύαντι διαμαθεῖν οἱ ἀρχιτέκτονες τοῖς ἐν Συρίᾳ ἐοικότα ἐν ἅπασι, καὶ ὡς ἐπέταξε τοῖς τούτων δομήτορσι, καὶ σχήματα διδάσκων καὶ μέτρα πλάτους τε καὶ μήκους καὶ ὕψους, ταχὺ τὰς οἰκοδομὰς ἐξεπέρανεν. οὗτος ὁ βασιλεὺς καὶ τὰ παράλια τείχη τῆς πόλεως πεπονηκότα τότε, καὶ ἐκ τῆς τοῦ χρόνου παραδρομῆς, καὶ ἐκ τινων συμπτωμάτων ἑτέρων, ἀνεκαίνισε μεγαλοπρεπῶς, εἰς ὕψος πλέον ἢ πρότερον ἦσαν, ἐπάρας αὐτά, καὶ ξενῶνα μέγιστον εἰς ὄνομα οἰκεῖον ἀνήγειρεν, ἐν τόπῳ ὃ πρότερον ἦν ἑταιρουσῶν γυναικῶν καταγώγιον. ἦν δὲ καὶ πρὸς τὰ ἀφροδίσια ἐγκρατής, ὡς ἅπαξ ποτὲ ἔρωτι παιδίσκης ἁλῶναι, ὑπηρετουμένης τῇ βασιλίδι, τὴν ὥραν διαπρεποῦς. τῆς Θεοδώρας δὲ διὰ τοῦτ' ἀλγούσης, ὑπομνυσθαι φασὶν ἐκεῖνον, μὴ ἄλλοτε μὴ δ' ἑτέρας πώποτε ἀπολαβεῖν γυναικός, καὶ ἐπὶ τῷ ὀλισθήματι λυπεῖσθαι, καὶ συγγνώμην ἐξαιτῆσαι αὐτήν. ἀλλὰ ταῦτα ἡ περὶ τὰς σεπτὰς εἰκόνας αὐτοῦ μανία εἰς οὐδὲν ἐποίει λογίζεσθαι. ἐλύττα γὰρ ἀκράτως καὶ πλέον ἐμεμήνει τῶν πρὸ αὐτοῦ, καὶ ὠμότερος τὴν λατρείαν τῶν ἱερῶν ἐκτυπωμάτων ἀπηλαύνεσε, ἀλλὰ μὴν καὶ τοὺς γραφεῖς τούτων αὐτά. ὅθεν ἐκόλασε μοναχὸν Λάζαρον, περιβόητον ὄντα τηνικαῦτα περὶ τὴν γραφικὴν, ἀπηνῶς αἰκισάμενος, καθεῖρξεν εἰς δεσμωτήριον, ὡς δ' ἐκ τῶν πληγῶν ἐκεῖνος ῥαΐσας, αὖθις τὰς χεῖρας ἁγίων εἰκόνων ἐδίδου γραφαῖς. πέταλα ὁ τύραννος ἐκέλευσεν ἐκπυρωθέντα σιδήρεα ταῖς τοῦ Λαζάρου ἐπιτεθῆναι χερσὶν, ἵνα μὴ δὲ οἱ πόνοι τῶν χειρῶν αὐτοῦ οἱ δὲ σέβοντες ἔχοιεν προσκυνεῖν. ὁ μὲν οὖν ὑπέστη ταύτην ὑπὲρ τῶν σεβασμίων εἰκόνων τὴν κόλασιν, ἐψεύσθη δὲ τῆς ἐλπίδος ὁ τύραννος. λέγεται μὲν γὰρ μετὰ τὴν κόλασιν τῆς εἱρκτῆς ἐκβληθεὶς ὁ ὁμολογητὴς ἐκεῖνος, ἔτι τὰς πληγὰς φέρων ἐν ταῖς χερσὶ, τῆς θείας χάριτος συνεφαπτομένης αὐτῷ, εἰκόνας διαχαράξαι σεπτὰς, μετὰ δὲ τὴν τοῦ τυράννου κατάλυσιν, τὸ ἐν τῇ Χαλκῇ τοῦ σωτῆρος ἐκτύπωμα γράψαι, καὶ οἷον ἄρτι ὁρᾶται, ἀνακαλέσαι αὐτό, τῆς πρώην οὔσης θείας εἰκόνος ἐκεῖ πάλαι ἀποξυσθείσης. οὗτος καὶ τοὺς αὐταδέλφους ἄμφω, τὸν Θεοφάνην τε καὶ Θεόδωρον τοὺς ὁμολογητὰς, ἐλέγξαντας τὴν ἐκείνου δυσσέβειαν, ἐκ ῥήσεων προφητικῶν τε καὶ γραφικῶν, πρῶτον μὲν σφοδρῶς ᾐκίσατο, εἶτα καὶ τὰς ὄψεις αὐτῶν κατέστιξε. καὶ τοῖς στιγμοῖς μέλαν ἐπέχεε, γράμματα δ' ἐτύπου τὰ στίγματα, τὰ δ' ἦσαν ἴαμβοι οὗτοι,

περὶ τῶν παραλίων τειχῶν.

περὶ ξενῶνος τοῦ θεοφίλου.

περὶ τοῦ μοναχοῦ Λαζάρου τοῦ ζωγράφου.

περὶ τῶν αὐταδέλφων Θεοφάνους καὶ Θεοδώρου, τῶν γραπτῶν.

πάντων ποθούντων προστρέχειν πρὸς τὴν πόλιν,
ὅπου πάναγνοι τοῦ θεοῦ λόγου πόδες
ἔστησαν εἰς σύστασιν τῆς οἰκουμένης
ὤφθησαν οὗτοι τῷ σεβασμίῳ τόπῳ
σκεύη πονηρὰ δεισιδαίμονος πλάνης
ἐκεῖσε πολλὰ λοιπὸν ἐξ ἀπιστίας
πράξαντες αἰσχρὰ δεινὰ δυσσεβόφρονα.
ἐκεῖθεν ἠλάθησαν ὡς ἀποστάται,
πρὸς τὴν πόλιν δὲ τοῦ κράτους πεφευγότες,
οὐκ ἐξαφῆκαν τὰς ἀθέσμους μωρίας
ὅθεν γραφέντες ὡς κακοῦργοι τὴν θέαν
κατακρίνονται καὶ διώκονται πάλιν.

πολλοὺς δὲ καὶ ἄλλους ὁ διώκτης οὗτος ἀπέδειξεν ὁμολογητὰς, καὶ τάξει μαρτυρικῇ παραδέδωκεν, οὓς ἀπαριθμεῖν ἑτέρας ἂν εἴη πραγματείας καὶ ἄλλου καιροῦ ἐφόλου.

ἐφιλοτιμεῖτο δὲ καὶ μελῳδεῖν. λέγονται μὲν οὖν καὶ ἕτερα ἐκείνου τοῦ ἀνδρὸς ποιήματα, πρὸς τοῖς ἄλλοις δὲ ὁ ἐν τῇ τῶν Βαϊοφόρων ἑορτῇ ᾀδόμενος στιχηρὸς, τὸ ἐξέλθετε ἔθνη, ἐξέλθετε καὶ λαοί. πέντε δὲ θυγατέρων πατὴρ γεγονὼς, παιδὸς ἔτι οὐκ ἐτύγχανεν ἄῤῥενος, τῶν δὲ θυγατέρων ὑπερηγάπα τὴν νεωτέραν μαρίαν ὀνομαζομένην, ἐφ᾽ ᾗ καὶ ἐκδέδωκε ὑπεζεύξατο ἀλέξιον τὸν λεγόμενον μωσηλὲ, ἄνδρα δ᾽ ἀρμένιον, τοῦ γένους τῶν κρινιτῶν, ἐν ἀκμῇ δὲ ἡλικίας ὄντα, καὶ τὴν ὄψιν χαρίτων μεστὸν, ὃν πρότερον μὲν ἄλλοις ἐτίμησεν ἀξιώμασιν, ὕστερον δὲ καὶ καίσαρα. συνοψίσας δ᾽ ἐκεῖνον τῇ θυγατρὶ καὶ οὕτω τιμήσας, σὺν στρατεύμασι πρὸς λογγιβαρδίαν ἐξέπεμψε. οὕτω δὲ ὁ μωσηλὲ ὑψωθεὶς, οὐκ ἴσχυσε τὸν φθόνον διαφυγεῖν. διεβέβλητο γοῦν πρὸς τῶν βασκαινόντων, ὡς καὶ τῆς βασιλείας ἐρῶν. οὐκ ἴσχυσε δὲ ἡ τοῦ καίσαρος διαβολὴ, ἕως ἡ τοῦ βασιλέως θυγάτηρ τοῖς ζῶσιν ἐνέκειτο. ἐπεὶ δ᾽ υἱὸς ὁ μιχαὴλ ἐτέχθη τῷ βασιλεῖ, καὶ ἡ τοῦ καίσαρος ἐτελεύτησε σύνευνος, ἐκεῖνος εὐθὺς μετετάξατο, καὶ κείρεται μὲν τὴν τρίχα ἑκὼν, ἀμφιέννυται δὲ τριβώνιον, καὶ τοῖς μονάζουσι κατατάττεται, καὶ τὸ τοῦ ἀνθεμίου λεγόμενον ἐδείματο ἀσκητήριον, ἐν ᾧ διαγαγὼν, τὸν βίον κατέλυσε, καὶ ἐτάφη ἐκεῖ. τῶν δὲ ἀράβων ταῖς ῥωμαϊκαῖς ἐπελθόντων χώραις, ὁ θεόφιλος ἐκστρατεύει κατ᾽ αὐτῶν, ἔχων μεθ᾽ ἑαυτοῦ τὸν θεόφοβον καὶ τὸν μανουήλ. τὼ δ᾽ ἤστην ἄμφω καὶ γενναίω καὶ ἀγαθὼ τὰ πολέμια, ὧν ὁ μὲν μανουὴλ δῆλος ἅπασιν ἦν, καὶ τοῖς ἐναντίοις αὐτοῖς πολλάκις τε στρατηγήσας, καὶ ἀριστεύσας καὶ πρωτοστράτωρ τοῦ βασιλέως μιχαὴλ τοῦ ῥαγγαβὲ γεγονώς. ὁ δὲ θεόφοβος γένος μὲν κατήγετο περσικοῦ, ἐτράφη δ᾽ ἐν τῇ βασιλίδι τῶν πόλεων, καὶ παρ᾽ αὐτῇ διῆγεν, ἀφανὴς ὢν καὶ μὴ διαγινωσκόμενος. λέγεται δὲ τὸν πατέρα αὐτοῦ ἐκ τῆς παρὰ πέρσαις βασιλικῆς ἐκφῦναι φυλῆς. ἐκλελοιπότων δὲ τοῖς πέρσαις τῶν ἐκ τοῦ βασιλείου γένους, μαθεῖν αὐτοὺς, ὡς ἔστι παρὰ ῥωμαίοις ἀνὴρ, ἐκ γένους ἕλκων βασιλικοῦ τὴν σειράν. καὶ ἀφικέσθαι ζήτησιν ποιουμένους αὐτοῦ. ὡς δ᾽ εὑρέθη ζητούμενος, γέγονεν ἐντεῦθεν γνωστὸς καὶ τῷ βασιλεῖ. καὶ εἰς μέγα τύχης ἀνήχθη, πατρίκιος τιμηθεὶς, καὶ τῇ τοῦ βασιλέως συνοικισθεὶς ἀδελφῇ. τούτοις οὖν τοῖς εἰρημένοις ἀμφοῖν ἀνδράσι πεποιθὼς ὁ θεόφιλος, ἀντεπῆλθε τοῖς ἐναντίοις. ὡς οὖν ἀλλήλων ἔγγιστα ἐποιήσαντο τοὺς χάρακας τὰ στρατεύματα, ὁ τῶν σαρακηνῶν ἀρχηγὸς ἰμβραὴλ, ἕνα τῶν ὑπ᾽ αὐτὸν στρατηγῶν μετὰ λαοῦ μυριάδων ὀκτὼ ὡς ἀντιπαράταξιν τοῦ ῥωμαϊκοῦ στρατεύματος καταλελοιπὼς, αὐτὸς μετὰ τῶν ἄλλων ἀνεχώρησεν, ἢ δειλανόμενος, ἢ ἀλαζονευόμενος. συμβαλόντων δὲ τῶν στρατευμάτων, πολλοὶ μὲν ἑκατέρωθεν ἐπεπτώκεσαν. τέλος δὲ πρὸς ὑπαγωγὴν ἐκλίθησαν αἱ φάλαγγες, καὶ κἂν ἑάλω καὶ ὁ βασιλεὺς αὐτὸς, εἰ μὴ θεόφοβος μετὰ τοῦ περὶ αὐτὸν περσικοῦ στρατεύματος, καὶ χειρὶ ἐβοήθησε, καὶ στρατηγήματι τοὺς βαρβάρους κατηγωνίσατο. τότε μὲν οὖν ἐπανέζευξεν εἰς τὴν κωνσταντίνου ὁ βασιλεὺς, τῷ δ᾽ ἐφεξῆς ἔτει πάλιν στρατεύει, καὶ συμμίξας τοῖς ἐκ τῆς ἄγαρ, ἐπικρατέστερος γίνεται, καὶ πολὺ μὲν πλῆθος αὐτῶν πέπτωκε, πλείους δ᾽ ἑάλωσαν δορυάλωτοι, ἐν οἷς ἦν καί τις ἀνὴρ ὑπὸ τῶν σχολῶν δομεστίκῳ γνώριμος, καὶ μαρτυρούμενος ὑπ᾽ αὐτοῦ, ὡς καὶ τὴν χεῖρα γενναῖος καὶ περιδέξιος, καὶ εὐφυῶς ἱππαζόμενος, καὶ δύο μεταχειριζόμενος δόρατα.

Studuit etiam melodijs componendis, ac praeter caetera illud etiam carmen, quod in festo Palmarum canitur, Exite Gentes, exite populi: eius esse fertur. Quum quinque filiarum pater esset, filium nondum susceperat. filiamque Mariam natu minimam supra modum dilexit, & Alexio Mosoli despondit, uiro Armenio, ex genere Crinitarum, florenti aetate, & uultu uenustatis ac gratiae pleno, quem prius alijs quoque dignitatibus honestatum, progressu temporis etiam Caesarem salutauit, ac deinde cum exercitu in Longobardiam misit. Sic euectus Mosoles inuidiam effugere non potuit. Criminati autem eum sunt inuidi, ut Imperij cupidum, sed filia Imperatoris superstite, calumnia contra eum nihil ualuit. Filio autem Michaele Imperatori nato, & coniuge sua defuncta: statim uitae ratione mutata, ultro comam tondet, uiliq; pallio indutus, monachorum institutum amplectitur, aedificato Anthemij monasterio, in quo uita exacta sepultus est. Quum autem Arabes Romanas prouincias inuasissent, Theophilus expeditione contra illos suscepta, secum eduxit Theophobum & Manuelem, uiros strenuos & bellicosos, quorum Manuel nobilis erat apud omnes, ipsosq; hostes, ut qui & exercitum saepe duxisset, & rem bene gessisset, & Michaelis Rangabis protostrator fuisset. Theophobus autem genus à Persis ducebat, & in urbe Imperatoria, ubi educatus est, obscurus uiuebat atque ignobilis. Fertur autem pater eius ex regia Persarum tribu fuisse ortus, quumq; Regiae familiae apud Persas defecissent, cognouisse dicuntur, apud Romanos esse uirum regio genere oriundum, & ad eum inquirendum uenisse. Vt inuentus fuit, in notitiam Imperatoris quoque peruenit, & amplissimas fortunas est consequutus, patricij honore ornatus, & Imperatoris sorore in matrimonium accepta. His igitur ambobus fretus Theophilus, hostes aggressus est. Cum autem proximè inter se castra communissent exercitus, Saracenorum dux Imbrael, uno ex suis Satrapis cum nonaginta millibus ad decernendum cum Romanis relicto, ipse cum caeteris siue ex metu siue per arrogantiam recessit. Exercitibus congressis, multi utrinq; ceciderunt. Sed tandem legionibus ad fugam inclinatis, ipse etiam Imperator captus fuisset, nisi Theophobus eum suo Persico exercitu, & manu opem tulisset, & strategemate Agarenos circumuenisset. Ac tum Constantinopolim reuersus est Imperator, anno uerò sequẽte iterũ cum Agarenis congressus, fit superior, magna hostium multitudine caesa, & pluribus captis, inter quos uir fuit legionum Domestico notus, cui is testimonium perhibebat, ut & manu prompto, & ambidextro, & solerti equiti, & qui binas hastas tractare sciret.

Cum

Theophili melodiae.

Alexius Mosoles ex genere Imperatoris & Caesaro fit monachus.

Theophili contra Arabes expeditio.

Theophobus Manuel.

Theophili quinque expeditiones contra Arabes.

Agarenus ambidexter à Cratero Theodoro superatus.

ἐν ἑνὶ θυγατέρων ... μαρίαν ... ἀλέξιον τὸν μωσηλὲ, ἐν τῷ καίσαρι ... τίμησι.

περὶ τοῦ μανουὴλ καὶ τοῦ θεοφόβου.

ἐν ταῖς πέντε μάχαις ... ὁ θεόφοβος ...

περὶ τοῦ περιδεξίου ἀγαρηνοῦ, καὶ τοῦ κρατεροῦ θεοδώρου τοῦ στρατηγοῦ.

Cũ igitur ludis Circẽsib. ob uictoriã triũphus duceretur, Imperator laudatũ illũ Agarenũ, equitare, & bina hastilia tractare iussit. Ostentauit ille, ut iussus erat, dexteritatẽ suã spectatoribus. Eũ Imperator & laudauit & admiratus est. At Craterus Theodorus, qui paulò pòst corona martyrij est ornatus, unus e XLII. martyrum numero Theophilo astans, Agarenũ subsannabat. Qua de causa iratus Theophilus: Tu uerò inquit, effœminate (nam eunuchus erat Craterus) tale aliquid præstabis? Tũ Craterus, Binis quidẽ, inquit, hastilib. uibrãdis me nõ exercui, qđ in prælio nõ luditur, sed res seria agitur: unà uerò hasta, Deo annuẽte, eum ꝓsternã. Imperator ob ea uerba furore percit⁹, per se ipsum iurauit, se statim eũ occisurũ, nisi è uestigio illum prostrauisset. Ibi Crater⁹ nihil cũctat⁹, hasta sine ferro Agarenũ equo deiecit. Cũ aũt Imperator denuo expeditiõe suscepta cũ Agarenis pugnasset, euẽtus prælij Romanis parũ auspicatus fuit. Parũ enim abfuit, quin & Imperator ab hostib. circũuẽtus captiuus adduceret. Quo Manuel cognito suis inclamatis in confertissimos hostes inuect⁹ Imperatorẽ se sequi iubet: stabat enim metu attonit⁹, sed ad uelãdã ignauiã serelicto populo nolle fugere dicebat. Cũ aũt sæpè monitus, ut pugna excederet, timore tãq̃ cõpedib uinct⁹ staret, Manuel stricto ense, Nisi me, inquit, secutus fueris, te perimã. Præstat enim te mori, quã ab hostib. captũ, Romanæ reipublicæ tantũ imprimere dedecus. Iis Manuelis minis ægrè soluto metus stupore, eumq̃ secutus, euasit: qua de causa uirũ seruatorẽ appellauit, munificeq̃ remuneratus est. Verũ nõ multò pòst, inuidorũ linguæ eius animũ in contrariũ uerterunt, eoq̃ redegerunt affectati regni calumnijs, ut Manuelẽ excæcare in animo haberet. Quo ille cognito in Agarenorũ uiciniã aufugit, eorũq̃ duci significat, quis sit: quòd si fides sibi detur, non coactum iri se religionem eiurare: se ad ipsum defecturũ. Ille statim data fide lætus eũ suscipit. Manuel dũ ibi uersaretur, præpositus exercitui, sæpe rẽ bene gessit cõtra Persas, magnosq̃ triũphos adeptus, Agarenis & charus & admiratiõi fuit. Theophilus autẽ Manuelis fugã ægrè ferens, de eo reuocãdo cogitabat. Scribit igitur ad eũ literas, quibus iurãdo fidẽ suã ei obstringebat, easq̃ aureo sigillo confirmatas, per monachũ quendã ad eũ mittit, hortãs ut redeat. Ille redit, sed qua ratione, id uerò referre est operæpreciũ, habet enim expositionẽ nõ iniucundã. Cõgressus cũ Monacho, qui fidem ab Imperatore afferebat, seq̃ reuersurum pollicitus, Ismaelitarum principẽ adit, petens exercitum sibi dari, ut profectus in Cappadociã, delatores suos (ibi enim eos habitare) ulcisceretur, eiusq̃ filium unà mitti, ut in re militari exerceretur. Princeps Manueli morem gerit, et quia fidem ei habebat, suum filiũ unà mittit: ita discedit Manuel. cũq̃ prope fines Romanos uentũ esset, assumpto principis

Theophilus Manuelis opera Agarenis ereptus malam seruatori gratiam refert.

Manuelis fuga ad Agarenos & reditus solerti commento impetratus.

θριαμβεύειν ἐπὶ τῇ νίκῃ κατὰ τὸ γενόμενον ἐν ἱππηλασίας ἀγῶνι, τὸν ἐπαινούμενον ἐκεῖνον Ἀγαρηνὸν ἱππάσασθαι, καὶ τὰ δύο μεταχειρίσασθαι δόρατα ἐκέλευσεν ὁ κρατῶν. ὁ δὲ ὡς ἐπεδείκνυτο κατὰ τὸ κέλευσμα τοῖς ὁρῶσι τὸ ἀμφοτερόδεξιον, καὶ ὁ βασιλεὺς τοῦτον ἐπῄνεσε καὶ ἐθαύμαζεν. ὁ γοῦν Κρατερὸς Θεόδωρος, ὃς μετ' ὀλίγον μαρτυρικῷ κατεκοσμήθη στεφάνῳ, τῶν τεσσαρακονταδύο μαρτύρων ὤν, παρεστὼς τότε τῷ Θεοφίλῳ, ἐχλεύαζε τὸν Ἀγαρηνόν. ὀργισθεὶς δ' ἐπὶ τῇ χλεύῃ πληγεὶς ὁ κρατῶν, σὺ δ', ἔφη, ὦ θηλυδρία (εὐνοῦχος γὰρ ὁ Κρατερὸς ἐτύγχανεν ὤν) δράσεις τοιοῦτόν τι; καὶ ὁ Κρατερός, δύο μὲν ἔφη δόρατα στρέφειν οὐκ ἤσκησα, ὅτι μηδὲ δεῖ τῇ μάχῃ παιγνίων, ἀλλὰ σπουδῆς, ἓν δὲ μεταχειριζόμενος, σὺν Θεῷ δ' ἀρήξω, τοῦτον καταβαλῶ. ἐκμανεὶς δ' ἐπὶ τῷ λόγῳ ὁ βασιλεύς, καὶ ὀμόσας καθ' ἑαυτοῦ, ἦ μὴν ἔφη τεθνήξῃ, εἰ μὴ αὐτίκα τοῦτον καταβαλεῖς. ὁ δὲ μὴ ὑποστειλάμενος, καὶ συνωμάχισε τῷ Ἀγαρηνῷ, δόρατι ἀσιδήρῳ, καὶ τοῦ ἵππου κατέβαλε. πάλιν οὖν τοῦ βασιλέως στρατεύσαντος κατὰ τῶν Ἀγαρηνῶν, καὶ πάλιν μάχης, καὶ τὸ τῆς μάχης τέλος τοῖς Ῥωμαίοις οὐκ ἀγαθόν. μικροῦ γὰρ ἀπήχθη ἂν καὶ ὁ βασιλεὺς δορυάλωτος ὑπὸ τῶν Ἰσμαηλιτῶν κυκλωθείς. ὡς δ' ἔγνω τοῦτο ὁ Μανουήλ, ἐμβοησάμενος τοὺς περὶ αὐτὸν εἰς μέσον εἰσελαύνει τῶν πολεμίων, καὶ τῷ βασιλεῖ φησιν, ἀκολούθει μοι. ἑστήκει γὰρ ἐκ δειλίας ἀπεγνωκώς. ὁ δὲ τὴν δειλίαν ὑποκρινόμενος μὴ βούλεσθαι φυγεῖν, ἔφη, καταλιπὼν τὸν λαόν. ἐπεὶ δὲ πολλάκις ἐξελθεῖν τῆς μάχης παρακαλούμενος, ὥσπερ τισὶ πέδαις δεθεὶς τῷ δέει ἱστήκει, ὁ Μανουὴλ τὸ ξίφος σπασάμενος, εἰ μὴ ἕπου μοι φησίν, αὐτίκα σε ἀνελῶ. κρεῖσσον γάρ σε θανεῖν, ἢ ληφθῆναι τοῖς ἐναντίοις αἰχμάλωτον, καὶ τοιοῦτον αἶσχος τῇ πολιτείᾳ Ῥωμαίων περιάψασθαι. ταύταις οὖν ταῖς τοῦ Μανουὴλ ἀπειλαῖς μόλις τι ἐκ τοῦ φόβου ἀναρρωσθείς, καὶ ἀκολουθήσας αὐτῷ, διεσώθη. ὅθεν καὶ σωτῆρα τὸν ἄνδρα ἐκάλει, καὶ ταῖς δωρεαῖς δαψιλῶς ἀντημείβετο. οὐκ εἰς μακρὰν δὲ αἱ τῶν βασκάνων γλῶσσαι τὴν γνώμην τοῦ βασιλέως περὶ τὸν Μανουὴλ εἰς τοὐναντίον ἔστρεψαν. διέβαλον γὰρ αὐτὸν ὡς τυραννίδι ἐπιχειροῦντα, καὶ ἤδη ταῖς διαβολαῖς ἐπίστευσεν ὁ Θεόφιλος, καὶ τὸν Μανουὴλ ἐκτυφλῶσαι διενοεῖτο. γνοὺς δ' ἐκεῖνος τὸ μελετώμενον, ἀποδρὰς καὶ ἀγχοῦ που γενόμενος τοῖς Ἀγαρηνοῖς, δηλοῖ τῷ αὐτῶν ἀρχηγῷ ὅστις εἴη, καὶ ὡς εἰ λάβοι πίστεις μὴ βιασθῆναι τὴν οἰκείαν θρησκείαν ἐξομόσασθαι, προσελεύσεταί οἱ. ὁ δ' αὐτίκα πίστεις τε δίδωσι, καὶ περιχαρῶς αὐτὸν ὑποδέχεται. καὶ ὁ Μανουὴλ ἐκεῖσε γενόμενος, καὶ στρατεύματα πιστευθείς, πολλὰς ἀριστείας κατὰ Περσῶν εἰργάσατο, καὶ μεγάλα τρόπαια ἔστησε, καὶ ἐφιλεῖτο παρὰ τῶν τῆς Ἄγαρ καὶ ἐθαυμάζετο. ὁ δὲ Θεόφιλος καὶ ἐλυπεῖτο διὰ τὸν Μανουήλ, καὶ ἐφρόντιζεν ὅπως αὐτὸν ἐκεῖθεν μετακαλέσηται. πίστεις οὖν αὐτῷ καὶ δι' ὅρκων καὶ δι' ἐγγράφου χρυσοσφραγίστου μετά τινος μοναχοῦ στέλλει, ἐπανελθεῖν προτρεπόμενος. καὶ ὃς ἐπανῆλθε, τὸ δ' ὅπως, διηγητέον, ἔστι γὰρ οὐκ ἄχαρι πρὸς διήγησιν. ἐντυχὼν τῷ τὰς πίστεις ἐκ βασιλέως αὐτῷ κομίζοντι μοναχῷ, καὶ συνθέμενος ὑποστρέψαι, πρόσεισι τῷ τῶν Ἰσμαηλιτῶν ἀρχηγῷ, καὶ αἰτεῖται στρατεύματά οἱ δοθῆναι, ἵνα περὶ τὴν Καππαδοκίαν γενόμενος, ἀντεκδικήσῃ τοὺς εἰς τὸν βασιλέα κατειπόντας αὐτοῦ (ἐκεῖ γὰρ ἔλεγεν οἰκεῖν τοὺς κατηγόρους αὐτοῦ) ἠξίου δὲ τὸν ἀρχηγὸν τῶν Ἀγαρηνῶν καὶ τὸν υἱὸν αὐτοῦ συνεκπέμψαι αὐτῷ, ἵνα σὺν τούτῳ λέγων γυμνάσοιτο πρὸς τὰ πολέμια. ὁ δὲ πείθεται, καὶ τὸν οἰκεῖον αὐτῷ συνεκπέμπει υἱόν. ὁ δὲ ἐξῆλθε γὰρ σὺν τῷ Μανουὴλ καὶ ἐπιστεύθη. ἐγγίσας αὐτῷ, καὶ ἤδη τοῖς Ῥωμαϊκοῖς ἐγγίσας ὁρίοις, τὸν τοῦ ἄρχοντος τὸν υἱὸν τῶν

Ἄγαρ

ἡττᾶται ὑπὸ τῶν ἀγαρηνῶν καὶ σώζεται ὁ βασιλεύς.

ὅτι αὐτομολεῖ μανουὴλ ἐκ τοῦ βασιλέως, αὖθις ἐπανῆλθε λαβὼν τὸν υἱὸν τοῦ τῶν ἀγαρηνῶν ἀρχηγοῦ.

ἄγρας ἕνεκεν συμπαραλαβὼν μετ᾽ ὀλίγων σαρακηνῶν, ἐξῆλθε δῆθεν πρὸς κυνηγέσιον, πολλῶν αὐτῷ θεραπόντων συνεπομένων, ὡς οὖν ἐν ταῖς χώραις ῥωμαίων ἐγένετο, τὸν υἱὸν τοῦ ἰσμαηλίτου περιπλακεὶς, σὺ μὲν, ἔφη, τέκνον, ὑπόστρεφε πρὸς τὰ σά· ἐγὼ δὲ πρὸς ῥωμαίους πορεύσομαι. ἐπανελθὼν δ᾽ εἰς τὴν μεγαλόπολιν, περιχαρῶς ἐδέχθη παρὰ τοῦ αὐτοκράτορος, καὶ μάγιστρος αὐτίκα τετίμηται, καὶ ἐκ τοῦ ἁγίου βαπτίσματος τὸν τοῦ βασιλέως υἱὸν μιχαὴλ ἐδέξατο, ὃν ὁ πατὴρ καὶ διαδήματι ἔστεψε, καὶ βασιλέα ῥωμαίων ἀνεῖπε. τοῦ πατριάρχου δὲ ἀντωνίου τὴν ζωὴν καταστρέψαντος, ὃς ἔτη τῆς ἐκκλησίας ἐκράτησε δεκατρία, ἰωάννης ὃν ὁ λόγος ἤδη προέφησε διδάσκαλον γενέσθαι τοῦ θεοφίλου καὶ συναιρετιστὴν, προχειρίζεται πατριάρχης, ὃν καὶ ἰαννὴν ἐκάλουν οἱ τότε, καὶ διὰ τὴν αἵρεσιν, καὶ διὰ γοητείας, ἦν γὰρ αὐταῖς ἐντριβής. τὸν δὲ ἱερώτατον μεθόδιον, ὃς ὕστερον καὶ τὸν πατριαρχικὸν ἐκόσμησε θρόνον, μὴ πειθόμενον συνθέσθαι τῇ κακοδοξίᾳ αὐτοῦ, μετὰ πολλὰς αἰκίας καὶ τῶν σιαγόνων αὐτοῦ σύνθλασιν, καὶ τῶν ὀδόντων ἐκρίζωσιν, εἰς τὴν πάνορμον νῆσον, ἣ νῦν τοῦ ἀντιγόνου καλεῖται, ὁ δυσσεβὴς ἐξορίζει θεόφιλος, καὶ ἐν τῷ καθείργνυσι μνήματι μετὰ δύο λῃστῶν. ὧν τοῦ ἑνὸς θανόντος, ὅσην ὁ ἅγιος ἐκ τῆς δυσώδους τοῦ τεθνεῶτος ἐκφορᾶς ὑπήνεγκε βίαν καὶ ἀηδίαν, οὐκ ἄν τις λόγος ἱκανῶς διαγράψαιτο. ἐκεῖ τοίνυν ἐγκεκλεισμένου τοῦ ἀοιδίμου ἐκείνου πατρὸς, καὶ οἱ αὐταδελφοὶ, ὅ τε θεοφάνης καὶ θεόδωρος, μετὰ τὴν τῶν προσώπων κατάστιξιν ἐξοριζόμενοι, καὶ κατὰ τὸν κάρτα λιμένα κατακλύσαντες, διά τινος ἁλιέως, συνήθους τῷ ἱερῷ μεθοδίῳ, ἐπιστέλλουσι ταῦτα,

περὶ πατριαρχῶν.

ὅτι τὸν ἱερὸν μεθόδιον [illegible], καὶ [illegible].

τῷ ζῶντι νεκρῷ καὶ νεκρῷ ζωηφόρῳ
ναίοντι τὴν γῆν καὶ πολεῦντι τὸν πόλον
γραπτοὶ γράφουσι δέσμιοι τῷ δεσμίῳ.

εἰς πάλιν διὰ τοῦ αὐτοῦ ἁλιέως ὁ ὅσιος ἀντεπέστειλε,

ὧν ταῖς βίβλοισιν οὐρανοῦ κληρογράφοις
καὶ πρὸς μέτωπα σωφρόνως ἐστιγμένοις
προσφωνεῖ ὁ ζῶν θαπτὸς ὡς συνδεσμίοις.

ἕβδομον δ᾽ ἔτος διανύσας ἐν τῷ τάφῳ ὁ ἅγιος, εἶτα ἐκεῖθεν ἐκβληθεὶς, ἐν τοῖς ἀνακτόροις κατεκέκλειστο, μηδενὸς αὐτὸν ὁρῶντος, εἰ μὴ μόνον τοῦ ὑπηρετοῦντος αὐτῷ, καὶ τοῦ βασιλέως. φιλοπονῶν γὰρ ὁ θεόφιλος καὶ ἀναγινώσκων, ἠρώτα τὸν ἱερὸν μεθόδιον περὶ ὧν ἀμφιβάλλων ἦν, διὸ καὶ ἐν ταῖς ἐκδημίαις ἀεὶ συνόντα εἶχεν αὐτῷ. ἔαρος δ᾽ ἐπιστάντος, κατὰ τῶν ἀγαρηνῶν ὁ βασιλεὺς, καὶ πάλιν ἦρε τὰ ὅπλα, καὶ πολλὰ τῆς συρίας ἐξεπόρθησε, καὶ πόλιν ἐκράτησε, καὶ αὐτῆς σωζόπετρας, ἣ πατρὶς ἐτύγχανε τοῦ ἀμερμουμνῆ, καὶ ταῦτα πολλὰ δεομένου ἐκείνου, φείσασθαι τῆς πατρίδος αὐτοῦ. ὁ μὲν οὖν βασιλεὺς ἀνέζευξεν εὐτυχῶς. ὁ θεόφοβος δὲ καταλειφθεὶς, ὥστε τὰ τῶν στρατευμάτων οἰκονομήσασθαι, ἐπεὶ τὸ τῶν περσῶν ὑστέρησε σιτηρέσιον (στράτευμα γὰρ ἦν τοῦ βασιλέως περσικὸν) περιαλγησάντων διὰ τοῦτο τῶν περσῶν, βασιλεὺς παρ᾽ αὐτῶν ἀνερρήθη καὶ ἄκων, μᾶλλον δὲ καὶ παρακαλῶν αὐτοὺς μεθεῖναι τῆς ἀπονοίας, μὴ καὶ ἑαυτοὺς, καὶ ἑαυτὸν ἐσχάτοις κακοῖς περιβάλλωσιν. ἀλλ᾽ οὐκ ἔπεισε. στέλλει γοῦν πρὸς τὸν βασιλέα, τοῦτο τοὺς πέρσας ἀποκρυψάμενος, γνωρίζων τὸ γεγονὸς, καὶ μηδέν τι κατ᾽ αὐτοῦ ὑποπτεύειν πληροφορῶν

ὅτι κατὰ τῶν ἀγαρηνῶν ἐστράτευσεν ὁ θεόφιλος, δ᾽ [illegible].

ὅτι παρὰ τῶν περσῶν ὁ θεόφοβος βασιλεὺς [illegible].

Agareni filio cum paucis Sarracenis, se uenatum ire simulat, multis ministris comitatibus, cumque iam in Romana prouincia uersaretur, adolescentem amplexus: Tu quidam, inquit, fili, ad tua reuertere: ego uero ad Romanos proficiscor. Constantinopolim reuersus, magna cum lætitia est exceptus ab imperatore, statimque Magistri honore ornatus, Imperatoris filiũ Michaelẽ è sacro baptismate suscepit, quẽ pater diademate cinxit, et Romanorũ Imperatorẽ declarauit. Antonio patriarcha mortuo, cũ XIII annos Ecclesiæ præfuisset, Ioannes quẽ suprà diximus Theophili præceptorẽ & suffragatorẽ fuisse, patriarcha designatur, quẽ et Iannem uocabant, tũ ob hæresin, tũ propter præstigias, in quibus uersatus erat. Sanctissimũ uerò Methodiũ, qui deinde patriarchicã ornauit sedem, peruersæ opinioni refragantẽ, post multos cruciatus, malarũque contusionẽ et dentiũ euulsionẽ, in insulã Panormũ, quæ nũc Antigoni cognomẽtũ habet, impius relegat Theophilus, et intra monumentũ cum duobus latronibus concludit: quorũ altero mortuo, quantam uiolentiam, & molestiam uir sanctus ex teterrimo cadaueris fœtore tolerarit, nulla quisquam oratione consequi potest. Illic igitur inclyto illo patre incluso, fratres illi confessores Theophanes & Theodorus, post facierum compunctionem relegati, cum ad Cartæ portũ appulissent, per quendã piscatorem Methodio familiarem hæc scripserunt:

Michael Theophili filius.

Ioãnes Syngelus Patriarcha.

Methodij excarnificatio et Theophanus uersiculi.

Viuenti mortuo, atque mortuo simul
Vitam ferenti, qui cum tellurem colat
Polos pererrat, litterati litteras
Vincti misere uinculis adobruto.

(psit,
Quibus per eundẽ piscatorẽ uir sanctus rescri

Quorum notata nomina in cælestibus
Libris leguntur, & decentibus uotis
Compunctæ frõtes, uinculo oppressis pari
Dicit salutem, qui uiuens sepultus est.

Cum autem septimum annum in sepulchro exegisset, inde eiectus atque in regia conclusus est, nemine eum uidente, præter ministrum eius & Theophilum: qui cum studiosè legeret, diuinum uirum de locis dubijs interrogabat, eáque de causa etiam in peregrinationibus semper habebat secum. Vere incipiente Imperator rursus Agarenis arma intulit, & magna Syriæ parte uastata, urbibus est potitus, ipsáque Sozopetra, patria Amermumnis: quamuis ille multum, sed frustra, oraret, ut patriæ suæ parceretur. Ac Imperator feliciter domum rediit. Theophobus autẽ ad gubernãdas legiones relictus, cum Persarum stipendia tardius soluerentur (habebat enim Imperator exercitum Persicum) ab illis indignantibus uel inuitus, atque ab ea desperatione frustra dehortans, ne & se & semetipsos in extrema mala conijcerent, Imperator salutatur. Quo facto, clã Persis, id Imperatori significat, eique fidem facit, ne quid sinistri de se suspicet,

Theophili quarta contra Agarenos expeditio.

Perse Theophobum per seditionem imperatorem salutans.

Reuersus Imperatorẽ accedit, & cupidissimè excipitur, pristina felicitate recepta. Et & Persis omnibus data uenia, nec alia irrogata pœna, nisi quòd unà esse siti non sunt, sed cum tricies mille essent, diuisi ac dispersi sunt, cuilibet prouinciæ binis millibus attributis, earumque Prætoribus subesse ac parere iussi. Atque hæc cum Persis & Theophobo acta sunt.

Amermumnes patriæ suæ cladem Amorij excidio ulciscitur.

Amermumnem autem patriæ suæ uastatio tanto dolore affecit, ut uitam sibi acerbam putaret, nisi Theophilum ulcisceretur, cuius patriam esse Amorium ubi cognouisset, eam urbem oppugnare constituit. Sed Imperator præmonitus, eam cum structuris tum exercitibus missis cõmuniit, quibus Theodorus Craterus, cuius suprà facta est mẽtio, præerat, cæteriq; qui apud Agarenos in martyrij stadio decurrerunt, numero XLII.

Theophili clades.

Exijt & Imperator Agarenis occursurus, & cum Amermumnis filio cum iustis copijs aduentante congressus, in fugã uertitur.

Persarum proditio.

Nocte insecuta Manuel dum uigilias obit, quosdam Persas (nam linguam eorum intelligebat) audit de proditione cum Agarenis colloquentes, eoq; nunciato Imperatori persuadet, ut sub diluculum castris excedat. sic ille discessit, toos habenis equo laxatis. Amermumnes autem ex eo securus, Amorij obsidionem aggressus, cum crebras impresiones faceret, nihil proficiebat, ijs qui intus erant, fortiter resistentibus, adeò ut Agareni expugnationis spe abiecta discessuri fuerint, & urbs incolumis permansura, nisi quidã intus cognomento Boiditzes ob contentionẽ quandã furore percitus, eã prodidisset. Vrbe capta, quantus populus cæsus fuerit, dici nõ potest. Mulierum uerò puerorũ & adolescentiũ multa millia, & duces primarij, Callistus, Constantinus, Craterus Theodorus, patricij, alijq; multi partim præturis insignes, partim dignitatũ honoribus illustres, in captiuitatẽ sunt abducti.

Theophilo mæror ob captiuos nõ receptos fit morbi & mortis occasio.

His Theophilus, qui Dorylæi tum agebat, cognitis, missis ad Ismaelitarum principem legatis, illustres captiuos et genere sibi iũctos, XXIIII centenarijs sibi reddi petijt. Quos ille arrogãter dimisit, se fatuum fore dicens, si captiuos tantilla pecunia restitueret, cum sibi expeditio circiter mille centenarijs constitisset. Legatis re infecta calamitas illa sic Theophili animum perculit, ut ei nulla consolatio adhiberi posset, sed & cibo abstineret, neque ullum potum admitteret, nisi aquam gelidissimam, cuiusmodi est niualis: cuius frequenti usu læsis interioribus, in dysenteriam incidit. Itaq; in Regiam reuersus, desperata iam salute, senatum accersit, petens ut uxori suæ & filio fidem seruarent, ijsq; imperium tuerentur.

Theophili cædes.

Quòd cum illi se facturos promisissent, Imperator, qui Theophobum iam antè, ex quo à Persis Imperator salutatus fuerat, suspectum haberet, magis etiam ei suspicioni indulsit, ob proditionem quam Persæ,

καὶ ἐπανελθὼν πρὸς τὸν βασιλέα, αὐτὸς μὲν ἀπεδέχθη εὐμενῶς, καὶ τὴν προτέραν εὐτυχίαν ἀπείληφε. καὶ οἱ Πέρσαι δὲ συγγνώμης πάντες ἠξιώθησαν, καὶ οὐδὲν ἐπηνέχθη αὐτοῖς ἕτερον, ἢ ὅτι οὐχ ὁμοῦ πάντες εἶναι εἰάθησαν, ἀλλ' εἰς μυριάδας συνηγμένοι τρεῖς, διῃρέθησάν τε καὶ διεσπάρησαν, καὶ ἑκάστῳ θέματι χιλιάδες δύο ἀπενεμήθησαν, ὥστε τοῖς τῶν θεμάτων στρατηγοῖς καὶ ὑποκεῖσθαι καὶ πείθεσθαι. τὰ μὲν οὖν περὶ τοὺς Πέρσας καὶ τὸν Θεόφοβον οὕτω γε τέως. τὸν δὲ Ἀμερμουμνῆν οὕτω καθήψατο ἡ τῆς αὐτοῦ πατρίδος ἐκπόρθησις ὡς μὴ ἀνεκτὴν εἶναι αὐτῷ τὴν ζωὴν, εἰ μὴ ἀμύναιτο δὲ αὐτὸν τὸν Θεόφιλον. μαθὼν οὖν πατρίδα εἶναι αὐτοῦ τὸ Ἀμόριον, ἐπ' αὐτὸ στρατεύσασθαι ἔγνωκε. καὶ ὁ βασιλεὺς τοῦτο γνοὺς, αὐτὸ κατωχύρωσεν, ἄλλως τε καὶ στρατεύματα ἀποστείλας, ὧν ἦρχε Θεόδωρος ὁ Κρατερὸς, οὗ πρὸ μικροῦ ἡ ἱστορία ἐμνήσθη, καὶ οἱ λοιποὶ οἱ καὶ τὸν τοῦ μαρτυρίου δρόμον διήνυσαν παρὰ τοῖς Ἀγαρηνοῖς, τεσσαράκοντα καὶ δύο πάντες τυγχάνοντες. ἐξῆλθε δὲ καὶ ὁ βασιλεὺς ὑπαντιάσων τοῖς ἐκ τῆς Ἄγαρ, καὶ ὁ μὲν τῷ τοῦ Ἀμερμουμνῆ υἱῷ συμβαλὼν, μετὰ στρατιᾶς ἀξιομάχου ἐπιόντι, τρέπεται. νυκτὸς δ' ἐπιγενομένης ὁ Μανουὴλ τὰς φυλακὰς τοῦ στρατοπέδου περιιὼν, ἤκουσεν ἐνίων Περσῶν περὶ προδοσίας τοῖς Ἀγαρηνοῖς διαλεγομένων (συνίει γὰρ τὴν τούτων διάλεκτον) καὶ τοῦτο τῷ βασιλεῖ ἀπαγγέλλει, καὶ πείθει αὐτὸν ἐξαναστῆναι τοῦ στρατοπέδου περὶ τὸν ὄρθρον. καὶ ὁ μὲν ἀπῄει, ὅλον ἐνδοὺς τῷ ἵππῳ τὸν χαλινόν. ὁ δὲ Ἀμερμουμνῆς ἐξ ἐκείνου ἀμερίμνως τῇ τοῦ Ἀμορίου ἐπεχείρει πολιορκίᾳ, καὶ ἐνδελεχέστατα τὰς προσβολὰς τῇ πόλει πεποίηκεν. ἤνυε δ' οὐδὲν, τῶν ἔνδον εὐρώστως ἀνταγωνιζομένων, ὥστε καὶ ἀπελπίσαι τὴν ταύτης ἅλωσιν τοὺς Ἀγαρηνοὺς, καὶ ἀπανέστησαν ἂν, καὶ ἡ πόλις οὐκ ἂν ἐπεπόρθητο, εἰ μή τις τῶν ἔνδον δι' ἔριν τινὰ ἐκμανεὶς, προδότης ταύτης ἐγένετο, ᾧ Βοϊδίτζης ἦν τὸ ἐπώνυμον. ἁλόντος δὲ τοῦ ἄστεος, ὅσος μὲν ἀνῃρέθη λαὸς, οὐκ ἔστιν εἰπεῖν. γυναῖκες δὲ καὶ παῖδες καὶ μειρακίσκοι εἰς πολλὰς χιλιάδας συναθροιζόμενοι ἀπήχθησαν δορυάλωτοι, καὶ οἱ τῶν ἐκεῖ στρατηγούντων ἔξοχοι, Κάλλιστός τε καὶ Κωνσταντῖνος καὶ ὁ Κρατερὸς Θεόδωρος, οἱ πατρίκιοι, καὶ ἄλλοι πολλοὶ τῶν ἐν στρατηγίαις διαπρεπόντων, καὶ περιφανῶν διὰ ἀξιωμάτων τιμάς. ταῦτα μαθὼν ὁ Θεόφιλος (ἐν γὰρ τῷ Δορυλαίῳ διῆγε) πρέσβεις πρὸς τὸν τῶν Ἰσμαηλιτῶν ἐκπέπομφε βασιλέα, ἀποδοθῆναι αὐτῷ τοὺς περιφανεῖς τῶν ἁλόντων αἰτῶν, καὶ τοὺς αὐτῷ κατὰ γένος προσήκοντας, κεντηνάρια πρὸς τέτρασιν εἴκοσι δοῦναι αὐτῷ ὑπισχνούμενος. ὁ δὲ τοὺς πρέσβεις ἀτίμως ἀπέπεμψεν, εἰπὼν ἂν εἶναι ἄτοπον, εἰ περὶ χίλια μοι τῆς ἐν τῇ στρατείᾳ κεντηνάρια γεγονυίας, αὐτὸς τοσαῦτα λαβὼν ἀποδοίην τοὺς αἰχμαλώτους. ὡς δ' ἐπανῆλθον οἱ πρέσβεις ἄπρακτοι, οὕτως ἡ συμφορὰ καθίκετο τῆς τοῦ Θεοφίλου ψυχῆς, ὡς μηδὲν αὐτῷ πρὸς ταύτην εὑρίσκεσθαι παρηγόρημα, ἀλλὰ καὶ τροφῆς ἀπέχεσθαι, καὶ μήτι πόμα προσίεσθαι, ἢ μόνον ὕδωρ ψυχρότατον, καὶ οἷον τὸ ἐκ χιόνος, τούτῳ δὲ χρώμενος συνεχῶς, ἐπὶ πλεῖον τὰ ἐντὸς, καὶ εἰς δυσεντερίας νόσον ἐνέσκηψε. καταλαβὼν δὲ τὰ βασίλεια, καὶ ἤδη γνοὺς ἑαυτοῦ τὴν σωτηρίαν δυσέλπιστον, μετακαλεῖται τὴν σύγκλητον, καὶ ἠξίου πίστιν αὐτοὺς εἰς τὴν σύζυγον καὶ τὸν παῖδα ἐνδείξασθαι, καὶ διατηρῆσαι σφίσι τὴν ἀρχὴν τὴν βασίλειον. οἱ δὲ κατετίθεντο. τούτου δὲ γεγονότος οὕτως, ὁ βασιλεὺς, καὶ πρώην διότι ἀνῃρέθη παρὰ τῶν Περσῶν ὁ Θεόφοβος βασιλεὺς, ὕποπτον αὐτὸν ἡγούμενος, ἔτι μᾶλλον τῇ ὑπονοίᾳ καὶ διὰ τὴν προδοσίαν, ἣν ἐμελέτησαν οἱ Πέρσαι, προσέσχεν,

ὅτι ὁ Θεόφοβος προσῆλθε τῷ βασιλεῖ.

περὶ τῆς ἀμορίου ἁλώσεως.

ὅτι προεδόθη τοῖς ἀγαρηνοῖς τὸ ἀμόριον.

ὅτι ἀνεπρεσβεύσατο πρὸς τὸν τῶν ἀγαρηνῶν ἀρχηγὸν ὁ βασιλεὺς τοὺς ἁλόντας [illegible], καὶ ὅτι λυπήσας ὁ βασιλεὺς εἰς δυσεντερίαν [illegible].

ὅτι θεόφοβος [illegible]

ὡς ἤδη μοι γέγραπται, τῶν φίλων βαλλόντων τὸν ἄνδρα, ὑποθήκαις ἐκείνου ταῦτα τοὺς πέρσας δρᾶν ἐγχειριζομένων. ὡς οὖν ὅλον τῇ νόσῳ τὸ σῶμα τοῦ αὐτοκράτορος διεφθάρη, καὶ ἐξέλειπεν ἡ ἰσχὺς αὐτοῦ, δείσας μὴ αὐτοῦ θανόντος τυραννίδι ἐπίθοιτο ὁ θεόφοβος, καθείργνυσιν αὐτὸν περὶ τὰ βασίλεια, καὶ ἐπεὶ τὴν ζωὴν ἑαυτοῦ ἐκλείπουσαν ἤδη μόνον ἐγνώκει, καὶ ἄρτι ἐκλείπειν, ἀναιρεθῆναι κεκέλευκε τὸν θεόφοβον, καὶ κομισθῆναί οἱ τὴν αὐτοῦ κεφαλήν, ἧς κομισθείσης, ἐπιθεῖναι λόγος αὐτῇ τὴν χεῖρα τὸν βασιλέα, καὶ ἐφαψάμενον τῶν ταύτης τριχῶν, εἰπεῖν· ὡς οὐκ ἔτι ἐγὼ θεόφιλος, οὔτε σὺ θεόφοβος, καὶ ἅμα τούτοις ἀπηρεύξατο τὴν ψυχήν, βασιλεύσας ἐνιαυτοὺς δυοκαίδεκα καὶ μῆνας τρεῖς, πολλὰ τὴν σύμβιον καὶ τὸν ἐπὶ τοῦ κανικλείου θεόκτιστον παρακαλέσας τότε ἐξορκώσας, μὴ παραχωρῆσαι τὰς σεπτὰς ἀναστηλωθῆναι εἰκόνας, μηδὲ τὸν πατριάρχην ἰωάννην τῆς ἐκκλησίας ἐκδιωχθῆναι.

θάνατος θεοφίλου.

ΒΑΣΙΛΕΙΑ ΜΙΧΑΗΛ ΤΟΥ ΥΙΟΥ θεοφίλου καὶ θεοδώρας τῆς μητρὸς αὐτοῦ.

Ὁ μὲν οὖν θεόφιλος ὧδε τούτοις ἀπεβίω, ὁ δὲ τῆς βασιλείας ἀρχὴ πρὸς τὸν ἐκείνου μεταβιβάζεται παῖδα τὸν μιχαήλ, ἔτι παιδίον τυγχάνοντα, ᾧ καὶ ἐπιτρόπους ὁ πατὴρ καταλέλοιπε, τὸν μάγιστρον μανουήλ, καὶ τὸν πατρίκιον θεόκτιστον. τὴν δὲ τῶν πραγμάτων διοίκησιν ἡ βασιλὶς θεοδώρα μετεχειρίζετο, καὶ πρῶτον αὐτῇ γέγονε σπούδασμα, ἡ τοῦ διωγμοῦ τῶν ὀρθοδόξων διὰ τὰ σεπτὰ ἐκτυπώματα λώφησις, καὶ τοῦ πατρικίου θεοκτίστου συνδεδοκηκότος. ὁ γὰρ μανουὴλ τῇ τῆς αἱρέσεως ἐκείνης καθαιρέσει συγκατετίθετο, διὸ καὶ ἀνεβάλλετο ἡ πρᾶξις. ἀλλὰ γὰρ βαρείᾳ νόσῳ τοῦτον ἡ πρόνοια, καὶ ἡ νόσος ἦν κραταιά, καὶ ἀπέγνωστο αὐτῷ ἡ ζωή. μοναχῶν δέ τινων εἰς ἐπίσκεψιν ἀφικομένων αὐτοῦ, καὶ ὅπως ἔχει πυνθανομένων, ἐκεῖνος λεπτῇ τε ἀδρανεῖ τῇ φωνῇ, ὅσον οὔπω ἐκλείπειν, ἀντεπεκρίνατο. οἱ δέ, εἰ συνθοῖο, ἔφησαν, τῇ τῶν εἰκόνων συνδεδοκῆσαι τιμῇ, καὶ τὴν βασίλισσαν εἰς τοῦτο παρακροτῆσαι, οὐκ εἰς μακρὰν ἔσται σοι καὶ ῥῶσις σώματος, καὶ σωτηρία ψυχῆς. καὶ ὁ μὲν ἐπηγγείλατο, ἡ δὲ νόσος ἠτόνει, καὶ ὁ μανουὴλ ἀνεῤῥώννυτο. ἤδη δὲ τὴν ὑγείαν ἀπολαβών, πρόσεισι τῇ βασιλίσσῃ, καὶ περὶ τῶν σεβασμίων εἰκόνων ὡμίλει, καὶ τὴν αὐτῶν κατέπειγεν ἀναστήλωσιν, ταῦτα καὶ τῆς μητρὸς αὐτῆς καὶ τῶν συγγόνων πρεσβευόντων τῶν πατρικίων. ἡ δὲ ξυρὸς ἦν εἰς ἀκόνην. καὶ πρότερον μὲν τοὺς ἐν ὑπερορίαις παραπεμφθέντας παρὰ τοῦ θεοφίλου, καὶ τοὺς καθειργμένους ἐν φυλακαῖς, καὶ τοὺς ἄλλως κακώσεσι προσπαλαίοντας πάντας ἀνῆκεν. εἶτα καὶ ζήτησιν γενέσθαι προσέταξε περὶ τῆς αἱρέσεως, καὶ γενομένης, ἡ τῶν ὀρθοδόξων ὑπερίσχυε πληθύς. πρὸ δὲ ζητήσεως δὲ τὸν ψευδώνυμον πατριάρχην τὸν γόητα ἰωάννην τοῦ ἀρχιερατικοῦ κατασπᾷ θρόνου, ἀθέσμως ἐπιβεβηκότα τούτου ἐπὶ χρόνους ἕξ, ἀντεισάγει δὲ τὸν ἱερὸν καὶ θεῖον μεθόδιον. καὶ αὐτοῦ προεστῶτος τοῦ τῶν ὀρθοδόξων πληρώματος, ἡ ζήτησις γέγονε, καὶ ἡ τῶν ἁγίων ἐκτυπωμάτων εἰς τοὐμφανὲς προσκύνησίς τε καὶ ἀναστήλωσις. ὅτε φασὶ καὶ τὴν βασίλισσαν θερμότατα δεηθῆναι τοῦ τε πατριάρχου, καὶ τῶν ἄλλων ἀρχιερέων καὶ μοναχῶν, κοινὴν προσενεγκεῖν δέησιν ὑπὲρ θεῷ, ὥστε σωτηρίας τυχεῖν τὸν βασιλέα καὶ ξυνευνέτην αὐτῆς. καὶ μὲν·

ὅτι ὁ μανουὴλ μὴ συναινῶν πρότερον τῇ τῆς αἱρέσεως τῶν εἰκονομάχων καθαιρέσει, θεραπευθεὶς καὶ λαβὼν ὑγίειαν συναινεῖ.

ἀπόθεσις ἰωάννου τοῦ πατριάρχου, καὶ ἀνάρρησις τοῦ ἱεροῦ μεθοδίου πατριάρχου, καὶ ὅπως δι' εὐχῶν συγχώρησιν ἁμαρτιῶν ὁ θεόφιλος.

ut iam exposui, moliti fuerant, cum delatores affirmarent, illos id impulsu Theophobi fecisse. Vt igitur corpore morbo consumpto uiribus destituebatur, ueritus, ne se mortuo Theophobus tyrannidem inuaderet, circa Regiam eum in carcerē conijcit, cumq́ iam uitam suā de tenui filo pendêre cerneret & mox defecturam, illo interfecto, caput eius sibi afferri iussit, manuq́ imposita & contrectatis capillis dixisse fert: Iam neq́ ego Theophilus sum, neq́ tu Theophobus. ijsq́ dictis animam exhalauit, cum regnasset annos XII & III menses: uxorem & Caniclio præfectum Theoctistum, qui imperij quodammodo particeps erat, multū obtestatus, ne paterētur uenerādas imagines reponi, aut Ioannem Ecclesia pelli.

IMPERIVM MICHAELIS FILII Theophili & Theodoræ matris.

Theophilo ad hunc modum defuncto, imperium ad Michaelem eius filium est translatū, puerum adhuc, cui pater tutores reliquit, Manuelē magistrum, & Theoctistū Patricium. Rerum autē administratio penes Theodorā Imperatricē fuit, cuius illa prima cura fuit, ut persecutio orthodoxorū ob uenerandas imagines instituta, compesceretur, etiā Theoctisto Patricio assentiente. Nam Manuel euersionem sectæ non probabat, eaq́ de causa res differebatur. Sed eū prouidentia numinis morbo, eoq́ tam uehemēti, ut de uita eius desperaret, frangit. Cum autem Monachi quidam ad eum uisendum uenissent, & ut se haberet, interrogassent: ille tenui & imbecilla uoce respondit, se iamiam deficere. Cui monachi: Si, inquiunt, cultui sacrarum imaginum suffrageris, & Imperatricem ad eundem cohorteris: non multò pôst & corporis uires recuperabis, & animi salutem adipisceris. Quod cum recepisset, & morbus decrescebat, & ualetudo confirmabatur, sanitate recuperata Imperatricem adit, & de uenerandis imaginibus dissèrit, earumq́ restitutionem urget, cum eadem & mater eius & fratres Patricij postularent. Illa uerò erat, quod aiunt, nouacula in cote: cumq́ prius relegatos à Theophilo reuocasset, & uinctos alijsq́ ærumnis conflictantes dimisisset: postea inquisitionem de secta fieri iussit, qua facta, orthodoxorum multitudo superior fuit. Sed ante eam inquisitionem, Patriarchā Ioannem, indignum illum quidem eo nomine, pontificea sede detraxit, quam per sexennium nefariè tenuerat, in eiusq́ locū introduxit sacrum & diuinum Methodium, quo populum orthodoxum gubernante inquisitio facta est, & sacræ effigies palàm & restitutæ & adoratæ. Tum aiunt Imperatricem instantissimè orasse, Patriarcham, alios'que Pontifices & monachos, ut communibus precibus Imperatoris & coniugis sui salutem à Deo exorarent.

Theodora imagines restituit.

Monachi Manueli salutem pollicentur.

Ioanne pulso Methodius fit patriarcha.

Theophilo uenia sanctorū precibus à Deo impetratur.

Quod quum illi feruentibus animis fecissent, Deum preces seruorum suorum non esse aspernatum, sed ignouisse Imperatori Theophilo. Celebrantur hæc, & ab eis qui Dei humanitatem intuentur, & recipiuntur, & creduntur. Neque uerò quisquam eis fidem abrogarit, nisi qui parum posse intercessiones sanctorum apud Deum senserit, & Dei bonitatem cum humanis erratis componere ignorarit. Ita igitur sacræ imagines restitutæ sunt, Ioannes uerò Patriarcha eiectus, aut Iannes potius, & in monasterium quoddam relegatus, quum illic Christi imaginem, & eius quæ eum sine semine peperit, repperisset, oculos sacrarum effigierum effodit. Quo Imperatrix cognito, sancto zelo incitata, impio homini oculos erui iussit, sed mandatum eius non est peractum, iusta illius ira à nonnullis mitigata: nihilominus tamen eum flagris cædi iussit, plagis ducentis illatis. Sed eo quoque statu impostor eiusque suffragatores, eodemque modo suis priuati dignitatibus, quiescere non potuerunt, sed facinus contra S. Methodium machinati sunt, sua desperatione & uæcordia dignum. Mulierculam quandam multo auro corruptam subornarunt, quæ se corruptam esse ab inclyto illo uiro quereretur. Eius accusationis principes senatus quæsitores fuêre: astitit muliercula, eáque dixit, quæ ab impijs illis sycophantis edocta fuerat, uirúmque sanctum in faciem scilicet arguit. At ille ad tempus quietus, quum Ecclesiæ frequentiam tristem uideret, ac præ cæteris Manuelem magistrum: surgit, & in conspectu omnium fimbria uestis sublata, pudenda detegit, quæ omnino erant frigefacta & contabuerant: ut satis appareret, ea inutilia esse ad rei Venereæ usum. Ea res rectè sentientibus lætitiæ & stupori fuit, sycophantis pudori & desperationi magnæ. Quum autem uir sanctus rogaretur, unde uerenda contabuissent, reuera uerendus ille ad hunc modum respondit: Profectus aliquando sum Romam, negocij cuiusdam conficiendi causa, ibi degenti mihi carnis inflammationem intulit dæmon, & fuit affectus ille uehementissimus, neque amoris desinebat ardor, sed indies uehementius incendebatur. Igitur de sana mente solicitus, ne fortè necessitate carnis opprimeretur: principes Apostolorum Petrum & Paulum adeò oraui, ut mihi periclitanti succurrant. Noctu dormiens, illos astantes uidi, ac Petrus mihi uisus est pudenda mea contrectare digitis, mihique dicere, ne terrerer: ego uerò putabam igni uirilia mea consumi, adeò ut præ dolore expergiscerer. Ab eo tempore mihi partes hæ sunt mortuæ, neque ulla mihi flamma libidinis molesta fuit. Manuel magister his uisis & auditis, statim mulierem in medium productam interrogat,

Ioannes flagris cæditur ob uiolatas imagines.

D. Methodius stupri calumniam re ipsa refutat.

Methodius à flamma libidinis miraculo liberatus.

τοι θερμότατα δεηθῆναι αὐτοὺς τοῦ θεοῦ, καὶ τὴν μὴ παριδεῖν τὴν αἴτησιν τῶν θεραπόντων αὐτοῦ, ἀλλ' ἀξιῶσαι συγγνώμης τὸν βασιλέα θεόφιλον. ἔδοξε ταῦτα καὶ τοῖς ἀφορῶσι πρὸς τὸ φιλάνθρωπον τοῦ θεοῦ, καὶ δέχεται, καὶ πιστεύεται. ἀπιστήσει δ' οὐδεὶς ἢ ὅστις, οὐ μέγα οἴεται δύνασθαι τὰς τῶν ἁγίων ἐντεύξεις τὰς πρὸς τὸν θεὸν, οὐδ' ἀντιμετρεῖν οἶδε τὴν τοῦ θεοῦ ἀγαθότητα πρὸς τὰ ἀνθρώπινα ἀγνοήματα. ἡ μὲν οὖν τῶν ἁγίων εἰκόνων οὕτω γέγονεν ἀναστήλωσις, ὁ δὲ καθαιρεθεὶς πατριάρχης ἰωάννης, ἢ ἰαννῆς, ἐν μονῇ τινι περιορισθεὶς, καὶ εὑρηκὼς ἐκεῖ εἰκόνα τοῦ σωτῆρος χριστοῦ, καὶ τῆς αὐτὸν ἀσπόρως τεκούσης, τὰ ὄμματα τῶν σεβασμίων ἐκτυπωμάτων ἐξώρυξεν. ὃ μαθοῦσα ἡ βασιλὶς, καὶ ζῆλον θεῖον ζηλώσασα, τοὺς τοῦ ἀσεβοῦς ἐκείνου ἐκκοπῆναι προσέταξεν ὀφθαλμοὺς, ἀλλ' οὐκ εἰς ἔργον ἐξέβη τὸ πρόσταγμα, τῇ βασιλίδι τὴν δικαίαν ὀργὴν καταπραϋνάντων τινῶν. πέμψασα δὲ σκυτάλῃ τοῦτον ἐκέλευσε τῶν αἰκισμῶν παραταθέντων μέχρις ἑκατοντάδος διπλῆς. ἀλλὰ καὶ οὕτως ἔχων ὁ γόης καὶ οἱ ὁμοδοξοῦντες αὐτῷ, καὶ τῇ αὐτοῦ καθαιρέσει ἀποβληθέντες, οὐκ ἀνέχοντο ἠρεμεῖν, συσκευάζουσι δὲ κατὰ τοῦ ἱεροῦ μεθοδίου σκευώρημα, τῆς αὐτῶν ἀπονοίας ἢ κακονοίας μᾶλλον ἐπάξιον. γύναιον γάρ τι χρυσίου δόσει πολλοῦ ὑποφθείραντες, κατηγορῆσαι πεπείκασι τοῦ ἀοιδίμου ἐκείνου ἀνδρὸς, ὡς συμφθαρέντος αὐτῇ. καὶ τῆς κατηγορίας οἱ πρωτεύοντες τῆς συγκλήτου παρῆσαν δικασταί. καὶ παρῆκτο τὸ γύναιον, λέγον, ὅσα παρὰ τῶν ἀσεβῶν ἐκείνων συκοφαντῶν προεισετύχετο, καὶ εἰς πρόσωπον ἐλέγχον δῆθεν τὸν ἅγιον. ὁ δὲ τέως μὲν ἡσυχίαν ἦγε, ὡς δὲ σκυθρωπάζον ἑώρα τῆς ἐκκλησίας τὸ πλήρωμα, καὶ πρὸ τῶν ἄλλων τὸν μάγιστρον μανουὴλ, ἀνίσταται μὲν, αἴρει δ' ἐπ' ὄψει πάντων ταῖς χερσὶ τὸ κράσπεδον τῆς περιβολῆς, καὶ ἀπογυμνοῖ τὴν αἰδῶ, ἣ δὲ ἦν κατεψυγμένη πάντῃ, καὶ μαρασμὸν ἀπό τινος συμβάματος ὑπομείνασα, ὡς δῆλον εἶναι, μὴ δύνασθαι ταύτην πρὸς ἀφροδίσια ἐνεργεῖν. τοῦτο τοῖς μὲν ὀρθόφροσι χαρμονῆς καὶ θάμβους ἐγένετο αἴτιον, τοῖς δὲ συκοφάνταις αἰσχύνης καὶ ἀθυμίας πολλῆς. ὡς δ' ἠρωτᾶτο ὁ ἅγιος, ὅθεν ὁ τῶν αἰδοίων αὐτῷ μαρασμὸς, ὁ αἰδέσιμος ὄντως ἐκεῖνος, ἐστάλην, εἶπε, ποτὲ κατά τινα χρείαν εἰς ῥώμην, κἀνταῦθα διάγοντι πύρωσίν μοι τῆς σαρκὸς ὁ δαίμων ἐπήνεγκε, καὶ ἦν τὸ πάθος σφοδρότατον, καὶ ὁ τοῦ ἔρωτος οὐκ ἔληγε φλεγμονὴ, ἀλλ' ὁσημέραι ἀκμαιότερον ἐξεκαίετο. δείσας οὖν περὶ τῷ σώφρονι λογισμῷ, μήποτε τῆς σαρκὸς ἀνάγκῃ ὑποσυρῇ, πρέσβεις τῇ κορυφαίᾳ τῶν ἀποστόλων δυάδι πέτρῳ καὶ παύλῳ, καὶ ἐδεόμην ἀμῦναί μοι κινδυνεύοντι. ὑπνώττων τοίνυν νυκτὸς, ὁρῶ τοὺς ἄνδρας καθ' ὕπνους μοι ἐφεστῶτας, καὶ ὁ πέτρος ἔδοξέ μοι τοῖς δακτύλοις ἅψασθαι τῆς αἰδοῦς, καὶ λέγειν μοι, μὴ πτοεῖσθαι, πῦρ δέ μοι ἐδόκει τὰ παιδογόνα μόρια βόσκεσθαι, ὡς ἐκ τῆς ἀλγηδόνος, καὶ τὸν ὕπνον ἀφεῖναί με. ἐκ τότε γοῦν μοι τὰ μόρια ταῦτα νενέκρωται, καὶ πύρωσις οὐκέτι μοι παρηνώχλησε. ταῦτα ὁ μάγιστρος μανουὴλ καὶ θεασάμενος καὶ πυθόμενος, αὐτίκα τὴν γυναῖκα παραστησάμενος, ἐρώτα

ἰω. ἀφὶ τὸ καθαιρεθὲν τὰς ἰκόνας ἐ κατασφαγῆ.

περὶ δὲ κατηγορίας τοῦ μεθοδίου ἐ πατριάρχου, ἥλωσε ψευδεῖς.

ὁρμήσασα ἦλθεν εἰς τὴν κατὰ τοῦ ἁγίου συκοφαντίαν ὡρμήσατο, καὶ ἠπείλει, εἰ μὴ πᾶσι δείξοι τὴν ἀλήθειαν ἔκδηλον, αὐτίκα βασάνοις αὐτὴν παραδοῦναι, δι' ὧν ἐκβιασθεῖσαν ἀνακαλύψαι λαμπρῶς τὸ σκευώρημα. ἡ δὲ οὐδὲν ἀπεκρύψατο, ἀλλὰ καὶ τοὺς τοῦ δράματος ἀπήγγελλε πρωτουργοὺς, καὶ τὴν ἑαυτῆς ἀπάτην, καὶ τοῦ χρυσίου τὸ μὲν τὴν δόσιν, τοῦ μὲν δόσιν, τὸ δὲ τὴν ὑπόσχεσιν. ἔμελλον οὖν οἱ κακοῦργοι ταῖς τῶν συκοφαντῶν ὑποβληθῆναι ποιναῖς, ἀλλ' ὁ μέγας Μεθόδιος αὐτοὺς τῆς τιμωρίας ἐῤῥύσατο, καὶ ταῦτα μὲν οὕτω γέγονεν. ὁ δὲ τῶν Βουλγάρων ἄρχων γυναικὶ τὴν τῶν Ῥωμαίων βασιλείαν καὶ παιδὶ νηπίῳ κυβερνωμένην μαθὼν, στέλλει τινὰς τῶν αὐτοῦ, ἀπειλῶν, ἀφίστασθαι τῶν σπονδῶν, καὶ ἄρασθαι ὅπλα κατὰ τῆς Ῥωμαίων ἀρχῆς. πρὸς ταῦτα τοίνυν δηλοῖ αὐτῷ ἡ βασίλισσα, ὡς ἀντιτάξομαί σοι πάντως κἀγὼ, καὶ εἰ μὲν θεοῦ διδόντος ὑπερίσχω, ἔσῃ νικηθεὶς ὑπὸ γυναικὸς, καὶ ὅσον σοὶ τὸ τῆς αἰσχύνης ὑπόγυον λόγισαι, εἰ δὲ καὶ νικήσεις ἴσως αὐτὸς, οὐκ ἔστι σοι σεμνὸν τὸ ἐπιτύχημα. γυναῖκα νικήσαντι. ὡς οὖν ταῦτα τῷ βαρβάρῳ ἠγγέλθησαν, ἀνέστειλαν αὐτοῦ τὴν ὁρμὴν, καὶ συμφέρον ἔκρινε δεῖν ἀνανεώσασθαι τὰς σπονδὰς, καὶ αὗται ἀνεκαινίσθησαν. ἀδελφὴ δὲ τοῦ ἄρχοντος Βουλγαρίας αἰχμαλωτισθεῖσα ποτὲ, καὶ ἐν τοῖς βασιλείοις διάγουσα, τῷ θείῳ τε ἐπελάβετο βαπτίσματι, καὶ γραμμάτων ἐν μυήσει ἐγένετο. ταύτην ὁ ἀδελφὸς ἀνακληθῆναί οἱ ἠξίωσε, καὶ ἡ μὲν ἐδόθη αὐτῷ. ὁ δὲ ἀντέδωκεν ἄνδρα τῶν λογίμων, Θεόδωρον τὸν Κουφαρᾶν. ἡ δὲ τοῦ τῶν Βουλγάρων ἄρχοντος ἀδελφὴ ἀφικομένη πρὸς τὸν ὅμαιμον, ἐνῆγεν αὐτὸν εἰς τὴν τῶν Χριστιανῶν θρησκείαν, διὰ παντὸς αὐτῷ περὶ αὐτῆς διαλεγομένη, καὶ τὰ Χριστιανῶν μυστήρια ἐκθειάζουσα. ὁ δὲ ταῦτα καὶ πρὸς τοῦ Κουφαρᾶ προκατέχητο, ἀλλ' οὔπω ἐπέπειστο τῶν πατρίων ἀποστῆναι ἐθῶν. λιμὸς δὲ τοῖς Βουλγάροις συμβὰς, καὶ αὐτὸν καὶ τὸ ἔθνος εἰς θεοσέβειαν μετεῤῥύθμισεν. ὁ μὲν γὰρ τὸ ἔθνος ἅπαν ἐπίεζε, καὶ οὐκ ἦν ἀποφυγὴ τοῦ κακοῦ, φθορὰ δὲ τοῦ ἔθνους ἐγίνετο, καὶ ὁ σφῶν ἀρχηγὸς ἦν διὰ τοῦτο πολυαλγὴς, καὶ ἀπορήσας, ὡς τὸν παρὰ τῆς ἀδελφῆς αὐτοῦ καταγγελλόμενον καταφεύγει, καὶ τοῦτον τοῦ λιμοῦ λυτῆρα, καὶ τῆς τοῦ ἔθνους φθορᾶς ἐπεκαλεῖτο. ὡς δὲ ἐνεργὴς ἦν ἡ ἐπίκλησις, καὶ τῶν κακῶν ἀπηλλάγησαν, ἔγνω τοῦ ἐπικληθέντος τὴν δύναμιν, καὶ ἀξιοῖ σταλῆναι αὐτῷ τινὰ, τὸν τὸ μυστήριον αὐτὸν μυήσοντα τῶν Χριστιανῶν, καὶ τελέσοντα τῷ θείῳ βαπτίσματι. καὶ ἀποστέλλει μὲν ἀρχιερεὺς πρὸς αὐτὸν, ὁ δὲ καὶ ἐμυήθη καὶ ἐβαπτίσθη. οἱ Βούλγαροι δὲ ὡς τῆς πατρίου τιμῆς καὶ δόξης ἀποστάντος, κατεξανίσταντο τοῦ σφῶν ἀρχηγοῦ, καὶ ἐζήτουν αὐτὸν ἀνελεῖν. ὁ δὲ τῷ τοῦ σταυροῦ σημείῳ θαῤῥήσας προπορευομένῳ αὐτοῦ, νικᾷ τοὺς ἀντιστάντας αὐτῷ, καὶ οὕτω πάντες εἵλοντο τὰ Χριστιανῶν. εἶτα διαπρεσβεύεται ὁ τούτων ἔξαρχος πρὸς τὴν βασίλισσαν, αἰτῶν γῆς αὐτῷ παραχωρηθῆναι Ῥωμαϊκῆς, στενοχωρεῖσθαι γὰρ τὸ ἔθνος αὐτοῦ, καὶ ἀιδίους σπονδὰς πρὸς τοὺς Ῥωμαίους, καὶ ὁμαιχμίαν ἐπαγγελλόμενος. καὶ ἡ βασιλὶς αὐτοῦ τὴν αἴτησιν ἐξεπλήρωσε, καὶ οἱ τῆς ἀπὸ τῆς λεγομένης σιδηρᾶς παραχωρεῖ χώρας, ἣ τὰ Ῥωμαίων, καὶ Βουλγάρων διεῖργε πρὶν, μέχρι τῆς Δεβελτοῦ, ἣν λαβόντες οἱ Βούλγαροι,

ὡς ὁ τῶν Βουλγάρων ἀρχηγὸς ὁ πάλαι σὺν τῇ βασιλίσσῃ, ἡ δὲ ἐκείνου αὐτὴν ἀντεμηνύσατο.

ὅπως οἱ Βούλγαροι ἐχριστιάνισαν διὰ θεὸν τὸ χριστοῦ.

ὅπως γῆς τῷ ἔθει τῶν Βουλγάρων ἡ βασίλισσα παρεχώρησεν.

unde ad uirum sanctum calumniandum impulsa esset: comminatus, nisi ueritatem coram omnibus profiteretur, se mox eam ijs quæstionibus adhibiturum, quibus commentū perspicuè declarare cogeretur. Illa igitur nihil cælat, sed & fabulæ primos inuentores, & suam imposturam, & aurum partim acceptum, partim promissum recenset. Itaque homines malefici pœnas temerè litigantium subijssent, nisi diuus Methodius pro eis intercessisset. Atque hęc ita acta sunt. Bulgarorum autem princeps cum Romanorum imperium à muliere & tenello puero gubernari cognouisset, suorum quosdam misit, se rupto fœdere arma illaturum Romanis minitans. Ei rescribit Imperatrix, se omnino ei resistere uelle: quòd si Deo annuente superior fuerit, eum à muliere fore uictum. Quod quàm ignominiosum ei futurum sit, cogitandum esse. Sin uicta fuerit, successum illum parum fore honestum, muliere superata. Hæc nunciata, impetum Barbari ita represserunt, ut utilius sibi iudicarit renouare fœdus, id'que factum est. Soror porrò Bulgariæ principis aliquando capta, dum in aula degit, sacro baptismate est initiata & literis erudita. Eam frater repetitam recepit, eius loco reddito uiro erudito Theodoro Cuphara. Quæ quum in Bulgariam redijsset, fratrem ad Christianam religionem perducere studuit, assiduè de ea cum illo disserens, & Christianorum mysteria, ut diuina celebrans. Quamuis autem ille eadem è Cuphara quoquè audiuisset, non prius tamen à patrijs moribus recedere uoluit, quàm pestilentia fames, & ipsum & gentem ad pietatem perduxit. Quæ quum populum uniuersum premeret, neque ullum esset mali effugium, plurimis pereuntibus: Princeps ea de causa æger & animi dubius, ad eum confugit, qui sibi à sorore annunciabatur, cum'que depulsorem famis & interitus populi inuocat. Quæ inuocatio quum depulsis malis efficax esset: cognita inuocati numinis potentia, petijt mitti sibi aliquem, à quo arcanis Christianæ religionis erudiretur, & sacro baptismate initiaretur. Id'que misso pontifice factum est. Quum autem eum Bulgari ob deserta maiorum instituta, per seditionem è medio tollere conarentur: ille præcedente crucis signo fretus, uictis aduersarijs, effecit, ut omnes Christianismum amplecterentur. Deinde per legatos ab Imperatrice petijt, ut, quia gens sua locorum angustijs premeretur, Romani agri aliquid sibi concederetur, perpetuam pacem & belli societatem pactus. Annuit Imperatrix, & quicquid inter regionem, quæ Ferrea dicitur, ac prius Romanos & Bulgaricos fines distinguebat, ac Debelzum interiacet, eis cōcessit. Eam regionem Bulgari cum accepissent,

Theodora Bulgaros imperioso responso à perfidia deterret.

Bulgari Christianā religionem amplectuntur.

Bulgarica pax.

Zagoram appellarunt. Hinc pax in Occidente constituta est. Verum in Oriente magna fuit Manichæorum multitudo, qui & Pauliciani uulgò imperitius appellantur, uocabulo ex Paulo & Ioanne composito, qui etsi apud illos celebres, hæresiarchæ tamen & peruersæ opinionis autores non fuerunt, sed eius sectatores & studiosi supra modum, & præcones. Eos Imperatrix quum in animo haberet, à secta ad ueram religionem retrahere, uiros illustres mittit: qui cum negocium nulla dexteritate nulloq́ ingenio administrassent: non modò inanem laborem ceperunt, sed & ad defectionem populum omnem, cuius multa millia numerabantur, impulerunt: ut cum Ismaelitis coniunctus, Romanos oppugnaret, eis'que multas clades inferret. At Imperator Michael, annos pueritiæ egressus, & iam adolescens, iniquo ferebat animo regni administrationem esse penes alios, simulq́ ab auunculo Barda, uno è suis tutoribus, ad principatus, suo arbitratu, gerendi cupiditatem incitabatur. Manuel uerò quodam tempore orta cum Logotheta Dromi Theoctisto controuersia (erant & hi ambo tutores Imperatoris) Regia, in quatum degebat, relicta, in suas ædes remigrat, atq; inde Regiam frequentans, rerum administrationem capessit. Ea res Bardæ singulari uoluptati fuit, & Theoctistum etiam amouere studuit. Nam cum regni cupiditate flagraret, metuebat, ne ab illo impediretur. Imperatori porrò pædagogus erat homuncio uilis & improbus, sed adolescenti adeò gratus, ut eum illustriore dignitate ornatum uellet, eamq́ rem à matre peteret. Verum Theoctistus negabat pædagogo tribuendam dignitatem, quæ illius conditionē superaret, ne dignitates indignitate afficerentur. Ex eo Theoctistus pædagogo inuisus fuit, idq́ Bardæ peropportunum accidit ad desiderium suum exequendum. Per pædagogū igitur uarias contra Theoctistum calumnias imperatoris auribus instillat, eiusq́ facilitatem in illum concitat, deniq; eius etiam amouendi fit autor. Id uerò aliter posse fieri negabat, quàm si occideretur. Nam cum uiuentem ab Imperatrice defensum iri, & autoritate ualiturum. Decreta uiri cæde, obseruatur eius è thalamo Imperatricis egressus. Nam ad eam & quid actum, & quid agendum esset, referebat. Egredienti percussor immittitur. Quum autem ille strictum ensem contra se elatum cerneret, scamnum subijt, percussor ensem in uentre eius defigit, Barda etiam strictum ensem uibrante, & necem ei minitante, qui morienti illi opem ferret. Theoctisto ad hunc modum sublato, Imperatrix facinore cognito, eiulans thalamo exilijt, conuicijs filium & fratrem insectata, & utrique similem interitum imprecata.

Manichæi à Romanis alienantur.

Theoctistus fraude Bardæ occiditur.

ἐκκλήκασι Ζαγοράν. κἀντεῦθεν εἰρήνη γέγονε περὶ τὰ ἑσπέρια. κατὰ τὴν ἑῴαν δὲ τὸ τῶν μανιχαίων πλῆθος ἦν πολύ, οἳ δὴ παυλικιανοὶ ἀγροικότερον παρὰ τοῦ δημώδους ὄχλου καλοῦνται, ἐκ παύλου καὶ ἰωάννου τῆς κλήσεως συγκειμένης αὐτοῖς, τῶν δὲ ἀνδρῶν τούτων παρὰ μανιχαίοις ἐγνώσθην ὀνομαστῶν, εἰ καὶ μὴ ἦσαν αἱρεσιάρχαι, καὶ τῆς κακοδοξίας γεννήτορες, ζηλωταὶ δὲ ταύτης καὶ σπουδασταὶ διαφερόντως καὶ κήρυκες. τούτους τοίνυν ἡ βασιλὶς εἰς νοῦν ἐβάλετο μεταγαγεῖν εἰς ὀρθοδοξίαν ἐκ τῆς αἱρέσεως, καὶ στέλλει τοὺς τοῦτο σπουδάσοντας ἄνδρας τῶν ἐπιφανεστέρων. οἱ δὲ ἀδεξίως τὸ πρᾶγμα, καὶ ἀφυῶς μεταχειρισάμενοι, οὐ μόνον ἀνήνυτον ἔθεντο τὴν σπουδήν, ἀλλὰ καὶ εἰς ἀποστασίαν ὁρμῆσαι τὸ γένος ὅλον εἰς μυριάδας πολλὰς ἀριθμούμενον ἐβιάσαντο. ὃ καὶ τοῖς ἐξ ἰσμαὴλ συμμιγνύμενον, κατὰ ῥωμαίων σὺν αὐτοῖς ἐστρατεύετο, καὶ πολλῶν αἴτιον αὐτοῖς γέγονε συμφορῶν. ὁ δέ γε βασιλεὺς μιχαὴλ τὸν μείρακα παραλλάξας, καὶ νεανίσκοις ἄρτι καταλεγόμενος, ἤσχαλε παρ' ἄλλοις τὴν τῆς βασιλείας βλέπων διοίκησιν, ἠρέθιστο δὲ καὶ πρὸς τοῦ πρὸς μητρὸς θείου τοῦ Βάρδα τῆς αὐταρχίας πρὸς ἔρωτα. ὃς δ' ἦν, καὶ οὗτος τῶν ἐπιτρόπων τοῦ μιχαήλ. διαφορᾶς δέ ποτε τῷ μαγίστρῳ μανουὴλ γενομένης πρὸς τὸν λογοθέτην τοῦ δρόμου θεόκτιστον, καὶ ἄμφω δὲ συνεπιτρόπω τοῦ βασιλέως ἐτυγχανέτην, ὁ μανουὴλ τῶν ἀνακτόρων ὑποχωρεῖ (ἦν γὰρ ἐκεῖ διαιτώμενος) καὶ εἰς τὸν οἰκεῖον οἶκον μεταχωρεῖ, κἀκεῖθεν εἰς τὰ βασίλεια ἐπιὼν, τῶν διοικήσεων ἥπτετο. τοῦτο τῷ Βάρδᾳ θυμηρέστατον ἔδοξεν, ἀποσκευάσασθαι γοῦν καὶ τὸν θεόκτιστον διὰ σπουδῆς αὐτῷ ἦν. βασιλεύειν γὰρ ἐδεδοίκει τοῦτον, ὡς οἱ πρὸς τοὔργον ἀντιστησόμενον. τῷ βασιλεῖ τοίνυν παιδαγωγὸς ἦν, ἀνδράριόν τι φαῦλον καὶ πονηρόν. ὃν δὲ ἐφιέσως εἶχεν ὁ βασιλεὺς ἀξιώματι τῶν λαμπροτέρων τιμῆσαί τινι, καὶ ἐποιεῖτο περὶ τούτου τὴν πρὸς τὴν μητέρα ἀξίωσιν. ὁ δὲ θεόκτιστος μὴ δεῖν ἔλεγε μείζονι τὸν παιδαγωγὸν τῆς ἑαυτοῦ καταστάσεως τιμηθῆναι τιμῇ, ἵνα μὴ ἀτιμοῖντο τὰ ἀξιώματα. ἐντεῦθεν δὲ ἐχθρὸς ἦν τῷ παιδαγωγῷ ὁ θεόκτιστος. τοῦτο τοίνυν ὁ Βάρδας τῆς οἰκείας σπουδῆς προὐξένησε σύστασιν. καὶ διὰ τοῦ παιδαγωγοῦ ποικίλας διαβολὰς ἐνήχει ταῖς τοῦ βασιλέως ὠσί, καὶ τὴν ἐλαφρίαν αὐτοῦ κατὰ τοῦ θεοκτίστου ὑπέκνιζε, καὶ τέλος ἐκ μέσου αὐτὸν ποιήσασθαι ὑποτίθεται. τοῦτο δὲ μὴ ἂν ἄλλως γενέσθαι ἀνυστὸν, εἰ μὴ ἀναιρεθείη ὁ ἄνθρωπος. ζῶντος γὰρ αὐτοῦ δείξεσθαί τι αὐτοῦ τὴν βασιλίδα, καὶ περιέξεσθαι. ὡς οὖν ὁ τοῦ ἀνδρὸς ἐκεκύρωτο θάνατος, ἐπετηρεῖτο ἐκ τῶν τῆς βασιλίδος ἐξιὼν θαλάμων. ἦν γὰρ ἀναφέρων αὐτῇ περὶ ἀναφορῶν τι καὶ διοικήσεων. κἀκεῖθεν ἐξιόντι καθιᾶσιν αὐτῷ τὸν σφαγέα, ὁ δὲ γυμνὸν ἰδὼν τὸ ξίφος ἠρμένον καθ' ἑαυτοῦ, ὑπὸ σκάμνον εἰσέδυ, καὶ ὁ σφαγεὺς κατ' αὐτοῦ τὸ ξίφος ὠθεῖ τῆς γαστρὸς, καὶ τοῦ Βάρδα ξίφος ἐσπασμένον καὶ ἀνασείοντος, καὶ ἀπειλοῦντος πλήξειν εἴ τις τὸν ἀμυνοῦντα τῷ θνήξοντι. ὁ μὲν οὖν θεόκτιστος ἀνῄρητο ὥσπερ εἴρηται, ἡ δέ γε βασιλὶς ὡς ἔγνω τὸ γεγονὸς, ἐξῄει τοῦ θαλάμου γοωμένη, καὶ τῷ υἱῷ λοιδορουμένη, καὶ τῷ ὁμαίμονι, ἐπαρωμένη τε καὶ ἀμφοῖν, τοιούτῳ τέλει τὸν βίον ὑπεξελθεῖν. ὁ δὲ Βάρδας

Ἴσως ὁ μεγα- ἐν τῷ νομο- [illegible]

ὅτι καὶ ὁ μὲν [illegible] Θεοδώρα τῶν ἀνακτόρων [illegible] γνωρίσασα τῆς δὲ βουλῆς [illegible] τὰ χρήματα παρ' ἑαυτῇ ταμιευόμενα.

Βάρδας ἐπισωρεύων κακὸν ἐπὶ κακῷ, καὶ τὰ πρὸς τὴν οἰκείαν μελέτην προκαθιστῶν τε καὶ προοδοποιούμενος, καὶ αὐτὴν τὴν βασιλίδα Θεοδώραν συμβουλεύει τῶν ἀνακτόρων ἐκπεσεῖν. ἡ δὲ συνεῖσα τὸ βουλευόμενον, ἀντιστῆναι οὐχ ἡγήσατο, ἵνα μὴ σφαγαὶ ἀνθρώπων συμβῶσιν ὁμογενῶν. μετακαλεσαμένη δὲ τοὺς τῆς βουλῆς, αὐτὴ μὲν, ἔφη, τῶν βασιλείων ἐξίσταμαι. ἵνα δὲ μὴ ἔχῃ λέγειν ὁ βασιλεὺς, ὡς κενὰ θησαυρῶν τὰ ταμιεῖα εὕρηκε τὰ βασίλεια. διὰ τοῦτο ὑμῖν τὰ τεθησαυρισμένα δηλῶ, καὶ αὐτίκα τοὺς ταμίας εἰπεῖν ἐκέλευσε τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου τὸν ἀριθμόν. οἱ δὲ χίλια μὲν καὶ ἐννενήκοντα χρυσίου ἔχειν κεντηνάρια κατετίθεντο, ἀργύρου δὲ περὶ τρισχίλια κεντηνάρια. ἡ δὲ βασιλὶς πρὸς τούτοις, ἔφη, καὶ ἄλλος πολὺς πλοῦτος, καὶ παντοδαπὸς τεθησαύρισται. καὶ ταῦτα εἰποῦσα, τῶν ἀνακτόρων ἀπῆλθεν. ὁ δέ γε Μιχαὴλ τῆς αὐταρχίας ἐγκρατὴς γεγονὼς, ταχὺ τὸν τοσοῦτον διεσκόρπισε πλοῦτον, μίμοις, καὶ κόλαξι, καὶ ἡνιόχοις τοῦτον καταπροϊέμενος, καὶ ὅλαις ἁμάξαις τὸ τοῦ λόγου, αὐτὸν ἐκχέων. ὡς ἐπεὶ τὰ ταμιεῖα κεκένωτο. ὁ δὲ καιρὸς ἐφίστατο τῆς τοῖς ἀξιώμασιν ἀννωνιαίας διανομῆς, καὶ οὐκ εἶχεν ὅθεν ταύτην ποιήσεται. τὴν πλάτανον τὴν χρυσῆν, καὶ τοὺς δύο τοὺς λέοντας, καὶ τοὺς τοσούτους γρύπας, καὶ τὰ ὄργανα, ἐκ χρυσοῦ ἅπαντα εἰργασμένα, καὶ εἰς κόσμον ὄντα τῆς βασιλείας, ἔκπληξιν δὲ ἐμποιοῦντα τοῖς ἐξ ἐθνῶν, χωνεύσας, διέταξεν εἰς τὸ κοπῆναι νόμισμα δι' αὐτῶν. ἀλλὰ μέντοι καὶ ἐπὶ βασιλικαῖς στολαῖς τοῦτο ἐποίησεν, ὧν τινὰ ἐκείνου φθαρέντος ἔτι περισωζόμενα, ὁ μετ' αὐτὸν βασιλεύσας Βασίλειος ἀνενεώσατο, τρία μόνα κεντηνάρια εὑρηκὼς ἐκ τῆς ἀπηριθμημένης ποσότητος. τὴν ἑαυτοῦ δὲ μητέρα ὁ βασιλεὺς τῶν βασιλείων ὑποχωρήσασαν, οὐκ εἴασεν ἠρεμεῖν, ἀλλ' ὑποθήκαις τοῦ Βάρδα πέμψας ἀπέκειρε, καὶ αὐτὴν, καὶ τὰς ἀδελφὰς, καὶ ἐν τῷ οἴκῳ τοῦ Καριανοῦ περιορίζει, καὶ ὅσα προσῆν αὐταῖς ἀφαιρεῖται. τούτοις ἡ Θεοδώρα πληγεῖσα τὴν ψυχὴν, μεταχωρεῖ πρὸς τὴν ἐκεῖσε μονὴν, ὀλίγον τῇ συμφορᾷ ἐπιζήσασα. αἱ δὲ θυγατέρες αὐτῆς, καὶ τοῦ βασιλέως ὅμαιμοι διήντλουν τὰ αὐταῖς ἐπηρτημένα κακὰ, ἕως ὁ Μακεδὼν μετὰ ταῦτα Βασίλειος τῆς βασιλείας ἐπιλαβόμενος πρὸς τὴν τῆς πρὸς μητρὸς αὐταῖς μάμμης μονὴν, ἣ Γαστρία καλεῖται, ἀπήγαγε. τῆς δὲ τοῦ βασιλέως μητρὸς, ὡς εἴρηται, τῶν ἀνακτόρων ἐκπεσούσης, ἡ πᾶσα τῆς βασιλείας διοίκησις ὑπὸ τὸν Βάρδαν ἐγένετο, τιμηθέντα κουροπαλάτην πρὸς τοῦ ἀνεψιοῦ. εἶτα ἐκστρατεύει ὁ Μιχαὴλ κατὰ τῶν Ἀγαρηνῶν, ἄρτι πρώτως ὑπηνήτης γινόμενος, καὶ πόλιν αὐτῶν τὰ Σαμόσατα (αὕτη δὲ τῷ παρ' Εὐφράτην ἐστὶ) πολιορκεῖν ἐπεχείρησεν. οἱ δ' Ἰσμαηλῖται τὰς τῆς πόλεως πύλας τοῖς πολιορκοῦσιν ἀποζυγώσαντες, φόβον ἔμφρον, δόκησιν διδόντες αὐτοῖς, ὡς δειλιῶντες, διὰ τοῦ περιβόλου συνέκλεισαν ἑαυτούς. τοῦτο τοὺς Ῥωμαίους εἰς θάρσος, γίνεται καὶ ἀπερισκέπτως ἐσκήνωντο, καὶ ἀφυλάκτως διῃτῶντο. ἐπὶ τρισὶ δ' ἡμέραις ὑποκριθέντες δειλίαν οἱ Ἀγαρηνοὶ, ἀθρόον τὰς πύλας ἀναπετάσαντες, μετὰ ῥύμης σφοδρᾶς καὶ ἀλαλαγμοῦ τῷ τῶν Ῥωμαίων ἐπιπεσόντες χάρακι, καὶ οὐδεὶς ὑπέστη τὴν τούτων ὁρμὴν, πρὸς δρασμὸν δ' οἱ πάντες ἀπεῖδον, καὶ καταλαμβανόμενοι,

ὅτι ταχέως ὁ Μιχαὴλ τὰ [illegible] ἐκένωσε τὰ βασιλικά.

ὅτι ὁ Βάρδας [illegible] προβιβάζεται παρὰ τοῦ ἀνεψιοῦ.

ὅτι ἐκστρατεύσας ὁ Μιχαὴλ πολιορκεῖ τὰ Σαμόσατα, καὶ [illegible].

Theodora è Regia cum filiabus in monasterium detruditur.

Bardas uerò malum malo cumulans, & ad cõsilia sua exequenda uiam præparans: ipsam quoque Imperatricem è regia remouendam esse suadet. Quo consilio Theodora intellecto, ad ultandas cognatorum cædes, non resistendum esse illis censuit, sed accersito senatu: Ipsa quidem, inquit, regia cedo. Ne uerò Imperator dicere possit, se thesauris uacua inuenisse conclauia imperatoria: ea de causa repositam pecuniam uobis significo. Et quæstores statim auri argentique numerum referre iussit. Illi, se centenarios auri mille & nonaginta argenti, circiter ter mille habere affirmarunt. Imperatrix uerò, Præter hæc, inquit, multæ omnis generis opes sunt repositæ. His dictis, Regia excessit. Michael uerò rerum potitus, tantas copias breui tempore dilapidauit, in Mimos, adulatores, & aurigas insumptas, cum quidem eas totis plaustris, ut aiunt, effunderet. Thesauris iam exhaustis, quum tempus instaret pecuniæ ijs distribuendæ, qui dignitatibus prædíti sunt, neque haberet unde largiretur: auream platanum, duos leones, totidem'que gryphes, & organa, ex auro facta omnia, quæ & Regiam ornabant, & exteris gentibus admirationi erant, conflauit, atque inde numismata cudi iussit. Idem & in regijs stolis fecit, quarum nonnullas adhuc integras, post illius interitum imperio potitus Basilius recepit, tribus duntaxat centenarijs de tanta summa repertis. Matrem uerò suam Michael Regia digressam, quiescere non est passus, sed Bardæ instinctu, & ipsam & sorores capillis tonsis, in ædibus Cariani includit, ademptis omnibus quæ habuerant. Theodora his rebus animo sauciato, in illius loci monasterium commigrat, neque diu tantæ calamitati superstes manet. Eius uerò filiæ, Imperatoris sorores, mala in quæ coniectæ erant, tolerabant: donec eas Basilius Macedo rerum potitus, in monasterium auiæ maternæ, quod Gastriæ nomen habet, deduxit. Matre Imperatoris è Regia amota (ut dictum est) totius Imperij administratio ad Bardam uenit, cui nepos Curopalatæ honorem detulit. Post hæc Michael prima succrescente lanugine bellum Agarenis infert, eorum'que urbem Samosata ad Euphratem sitam, obsidere aggreditur. Ismaelitæ portis, uectibus occlusis, intra urbem manent, hostibus opinionem afferentes, quasi timerent, eo quod se muris tuerentur. Ea res Romanis auxit audaciam, ut & incircumspectè tentoria figerent, & incautè palarent, Agareni uerò timore per triduum simulato, tandem portis subitò apertis, cum impetu uehementi & clamore Romanorum castra sunt aggressi. Neque uerò quisquam eorum impetum sustinuit, sed fugam fecerunt omnes, atque ab hostibus oppressi,

Michaelis profusiones & impietas erga matrem & sorores.

Michaelis expeditiones Arabica.

partim cæduntur, partim capiuntur. Manichæi quoque Ismaelitis opem ferentes, multos illustres duces captos magna pecunia uendiderunt. Nec multum abfuit quin Imperator ipse caperetur, nisi equi uelocitate hostibus euitatis, euasisset. Castra & imperatorium tabernaculum cum omni instrumento capta sunt, cæteraque direpta omnia. Ac tum recessit Michael. Cum uerò Agarenos denuo Romanas prouincias inuasisse cognouisset: cum maioribus copiis contra eos proficiscitur. Illi uerò per inuia cōpendia subitò Romanos aggressi, in fugam uerterunt, ac ipse captus esset Imperator, nisi Manuel magister legionum Domesticus, eum conseruasset. Cum autem hostes Romanas ditiones uastare non desisterent, Petronas auunculus Imperatoris, cum Romanis copiis contra eos mittitur: qui cum prælium committere nō auderet, sed à bello abhorreret, monachum quendā in monte degentem, uirtute & rerum futurarū præuisione celebrem cōsulit, an Martis aleam experiri debeat. Qui cū annueret, eique uictoriam polliceretur: cum hostibus congreditur, Agarenorum exercitus succumbit, eiusque princeps Amer cadit. Cuius filius qui prælio non interat (prædatum enim exierat) clade patrisque interitu cognito, fugam capessit, è qua tamen retractus est, & Duci traditus. Fertur autem Amer ante pugnam hanc è captiuo quodam percontatus, quomodo castrorum locus uocaretur? ut amnis præterfluens diceretur? quæ toti ei regioni indita esset appellatio? Quum autem ille respondisset, Regionem Lalacaonem: ualli locum Prosantem, fluuium Gyrem appellari: omine è nominibus sumpto dixisse: inauspicatum sibi belli exitum, iis uocabulis protendi. Nam Lalacaonem, populi afflictionem: Prosantem, casum interpretabatur: è fluuii autem nomine suos ab hostibus circumuentum iri diuinabat. Petronas uictoria parta triumphans Byzantium reuersus, honorificè excipitur, & Legionum Domesticus designatur. Iam enim Manuel magister, in uiuis esse desierat. Neque multò post & ipse naturæ debitum persoluit. Bardas autem his omnibus amotis, suopte arbitratu administrabat omnia. Michael enim nihil curabat, sed theatris tantum & equitationibus uacabat, non aliis habenas moderantibus, sed ipso Imperatore Augusto regente currum, & decertante, ac pro Regia chlamyde aurigæ uestitu induto. Neque uerò malum ibi sistebat, sed uiros etiam dignitatibus & honoribus præstantes, partim à se, partim contra se stare in equorum certaminibus, & currus agitare cogebat. Quum uerò aliquando ipse colore Veneto, Dromi Logotheta Prasino, atque alii uiri illustres, cæteris uestiti coloribus, iam currus ascensuri & decursuri essent: Protonotario Dromi,

Petronas rē bene gerit contra Agarenos.

Ameris de sua clade præsagium.

Michaelis futile ingenium.

οἱ μὲν ἀνῃροῦντο, οἱ δὲ ἐζωγροῦντο. ὅτε καὶ οἱ μανιχαῖοι τοῖς ἰσμαηλίταις συμμαχοῦντες, πολλοὺς τῶν ἐπιφανῶν ἐζώγρησαν στρατηγῶν, καὶ χρημάτων αὐτοὺς μεγάλων ἀπέδοντο. τότε τοίνυν μικροῦ καὶ ὁ βασιλεὺς ἂν ἐλήφθη αὐτός, εἰ μὴ τῇ ταχυτῆτι τοῦ ἵππου, τοὺς πολεμίους ὑπεκδραμὼν, διεσώσατο. ἐλήφθη δὲ τὸ στρατόπεδον, καὶ ἡ βασιλικὴ σκηνή, καὶ ἡ πρὸς ὑπουργίαν τοῦ βασιλέως ἀποσκευή, καὶ τἄλλα πάντα διήρπαστο. τότε μὲν οὖν ὑπέστρεψεν ὁ μιχαήλ. αὖθις δὲ τοὺς ἀγαρηνοὺς ἐπιόντας ταῖς τῶν ῥωμαίων χώραις μαθὼν, ἔξεισι κατ' αὐτῶν μετὰ βαρυτέρας δυνάμεως. οἱ δὲ διὰ δυσόδων τόπων, ἐπιτόμων δὲ, διελθόντες, ἀπροσδόκητοι τῷ ῥωμαίων ἐπῆλθον στρατῷ, καὶ τρέπονται τοῦτον, ἥλω δ' ἂν καὶ ὁ βασιλεύς, εἰ μὴ ὁ μάγιστρος μανουὴλ τῶν σχολῶν τυγχάνων δομέστικος, αὐτὸν διέσωσεν. οἱ δ' ἐναντίοι κακοῦντες τὰ τῶν ῥωμαίων οὐκ ἔληγον. στέλλεται γοῦν κατ' αὐτῶν ὁ τοῦ βασιλέως μητράδελφος ὁ πετρωνᾶς μετὰ ῥωμαϊκῶν δυνάμεων αὐτοῖς ἀντιπαρεξαχθῆναι, ὁ δ' οὐκ ἐθάρρει τὴν συμβολήν, ἀλλ' ἐδειλία τὸν πόλεμον. μαθὼν δ' ἐν ὄρει τινὶ μοναχὸν ἀσκούμενον, τὴν ἀρετὴν διαβόητον, καὶ προορῶντα τὰ μέλλοντα, ἄπεισι πρὸς αὐτόν, καὶ ἐρωτᾷ εἰ τῷ πολέμῳ ἐπιχειρήσειε; καὶ ὃς ἐπιτρέπει, καὶ νίκην αὐτῷ ἐπαγγέλλεται. ἀπῆλθε τοίνυν ὁ πετρωνᾶς, καὶ τοῖς ἐναντίοις προσέβαλε, καὶ ἡττᾶται μὲν ἡ τῶν ἀγαρηνῶν στρατιά, πίπτει δ' ὁ ταύτης κατάρχων ἀμέρ. ὁ δὲ τούτου υἱὸς ἐκ τοῦ πολέμου ἀπὼν (εἰς γὰρ λείαν ἐτύγχανεν ἀποδεδημηκώς) τὴν ἧτταν καὶ τὴν φθορὰν μαθὼν τοῦ πατρός, ἀπεδίδρασκεν, ἀλλὰ καὶ οὗτος ἐν τῷ δρασμῷ συλληφθείς, παρεδόθη τῷ στρατηγῷ. λέγεται δὲ πρὸ τοῦ πολέμου τούτου ὁ ἀμὲρ τῶν αἰχμαλώτων πυθέσθαι τινός, πῶς ὁ τόπος ἐν ᾧ ἡ παρεμβολή, καλεῖται; καὶ ὅπως ὁ παραρρέων λέγεται ποταμός; καὶ τίνος ἡ ὅλη ἐκείνη χώρα ἔτυχε κλήσεως; ὡς δὲ τὴν μὲν χώραν λαλακάωνα ἀπεκρίνατο ἐκεῖνος κεκλῆσθαι, πτώσαντα δὲ τὸν τόπον τοῦ χάρακος, γύρην τὸν ποταμόν, ἐκεῖνος ἐκ τῶν ὀνομάτων τούτων οἰωνισάμενος ἔφη, τὰς κλήσεις ταύτας οὐκ αἴσιον αὐτῷ τὸ τοῦ πολέμου τέλος παραδηλοῦν. λαοῦ μὲν γὰρ κάκωσιν ἐδόκει τὸν λαλακάωνα, πτῶσιν δὲ σημαίνειν τὸν πτώσαντα. γυρωθῆναι δὲ μέλλειν ὑπὸ τῶν ἐναντίων αὐτούς, ἐκ τῆς τοῦ ποταμοῦ κλήσεως ἐμαντεύετο. τὰ μὲν οὖν τῆς νίκης οὕτως ἔσχον τῷ πετρωνᾷ, ὁ δὲ τροπαιοφόρος ἐπανήκει εἰς τὸ βυζάντιον, καὶ ὑπεδέχθη μετὰ τιμῆς, καὶ τῶν σχολῶν προεβλήθη δομέστικος. ἤδη γὰρ ὁ μάγιστρος μανουὴλ ἀπεβίω. μετὰ βραχὺ δὲ καὶ αὐτὸς ἀπέτισε τὸ χρεών. τούτους δὲ πάντας ὁ βάρδας ἀποσεισάμενος, τὴν μὲν τῶν πραγμάτων διοίκησιν, ὡς ἠβούλετο διετίθετο. ὁ γὰρ μιχαὴλ οὐδενὸς ἐπεστρέφετο, μόνοις δὲ θεάτροις καὶ ἱππηλασίαις ἐσχόλαζεν, οὐκ ἄλλων ἡνιοχούντων, αὐτοῦ δ' ἐκείνου τοῦ αὐτοκράτορος καὶ ἁρματηλατοῦντος τοῦ αὐγούστου, καὶ ἀγωνιζομένου τοῦ βασιλέως, καὶ ἀντὶ τῆς βασιλείου στολῆς ἐνδεδυκότος ἡνιόχου στολήν. οὐ τοῦτο δὲ μόνον ἦν τὸ δεινόν, ἀλλ' ὅτι καὶ τοὺς ἐν ἀξιώμασι καὶ τιμαῖς ὑπερέχοντας τοὺς μὲν αὐτῷ συναγωνίζεσθαι, τοὺς δ' ἀνταγωνίζεσθαι ἐν ταῖς τῶν ἵππων ἁμίλλαις καὶ ἁρματηλατεῖν κατηνάγκαζε. ποτὲ τοίνυν αὐτὸς μὲν ἠμφίεστο τὸ χρῶμα τὸ βένετον, ὁ δὲ τοῦ δρόμου λογοθέτης τὸ πράσινον, καὶ ἕτεροι τῶν ἐπιφανεστέρων τὰ ἕτερα, καὶ ἤδη τῶν ἁρμάτων ἐπέβαινον καὶ ὥσπερ πρὸς τὸν δρόμον. ἐν τούτῳ δὲ γράμματα τῷ πρωτονοταρίῳ τοῦ δρόμου,

αὖθις στρατεία κατὰ ἀγαρηνῶν, καὶ αὖθις ἧττα ῥωμαίων.

ὅτι ὁ πετρωνᾶς ἐνίκησε τὰ τῶν ἀγαρηνῶν, ἢ ὅτι συμβαλεῖν αὐτοῖς αἰνέσαντος μοναχοῦ τινὸς τὴν νίκην αὐτῷ προειπόντος.

ὅτι τοῦ μανουὴλ ἀποθανόντος ὁ πετρωνᾶς προεβλήθη δομέστικος τῶν σχολῶν.

ὅτι ἡνιόχει ὁ βασιλεὺς μιχαὴλ καὶ οἱ ἄρχοντες αὐτοῦ.

[illegible] ὁ βένετος βασιλικὸς ἦν.

παρὰ τοῦ

παρελθόντος τοῦ Θεοφίλου αὐτοκράτορος, ἐκ δὲ τῶν χαρίτων ἐστίν, ὡς ἐν τοῖς μελαγγαίοις ἐστρατοπεδεύσαντο οἱ Σαρακηνοὶ, ἀπαγγέλλοντα. τοῦτο δ' ἐστὶν ὃ νῦν ἀγροικότερον καλεῖται Μαλάγινα. ὁ γοῦν πρωτονοτάριος σκυθρωπάσας ἐπὶ τῇ ἀγγελίᾳ προσῆλθε τῷ Βασιλεῖ, καὶ ταῦτα ἐδίδασκε, καὶ ἐπεδείκνυε τὰ γράμματα. ὁ δὲ ὀργίλον τι καὶ μανικὸν αὐτῷ ἐμβλέψας, ἐμοὶ τοιοῦτο, ἔφη, ἀγῶνι, καὶ τὴν μέσον εὐώνυμον κατασπεύσασθαι ἀποδιδόντι, αὐτὸς μάταια περὶ Σαρακηνῶν ἐπιδρομῆς διαλέγῃ μοι; τοιοῦτος ὁ θαυμάσιος ἐκεῖνος ἦν Βασιλεύς, καὶ οὕτω περὶ τῶν κοινῶν πραγμάτων καὶ τῆς Βασιλείας ἐφρόντιζεν. ἐκείνου δὲ τοῦτον διακειμένου τὸν τρόπον, ὁ Βάρδας ἔστρεφε τὰ πράγματα, καὶ ἦγε τὰ πάντα, ὅπῃ ἂν αὐτῷ προσῇ βουλῆς. καὶ εἰς τὴν τοῦ Καίσαρος ἀναβεβήκει τιμήν, καὶ ἑαυτῷ τὴν Βασιλείαν ἐμνᾶτο, καὶ εὐκαιρίαν ἐζήτει, ἵν' αὐτῆς ἐπιλάβοιτο. οὐδὲν δέ οἱ ἄρ' εἰργάσατο ἀγαθόν, ἢ τὸ τῶν λόγων φροντίσαι θεῖα πολλάκις. ἠμέλητο γὰρ τὰ τῆς Φιλοσοφίας, καὶ ἀπέσβη χρόνον ὡς τὸ παντελές, ὡς μηδὲ σπινθῆρά τι περιλειφθῆναι αὐτῆς. τοῦτο δὲ ἡ τῶν κρατούντων ἀγροικία. ὁ δὲ καὶ διατριβὰς ἑκάστῃ ἀφώρισε τῶν ἐπιστημῶν, καὶ διδασκάλους προὐστήσατο, καὶ σιτήσεις δημοσίας τούτων ἑκάστῳ ἀπένειμεν, ἐπὶ πᾶσι δὲ μέγαν καὶ κοινὸν διδάσκαλον ἐγκατέστησε τὸν Φιλόσοφον Λέοντα, οὗ κλέος ἐπὶ σοφίᾳ πολύ, ὃς καὶ ὑπὸ Βασιλεῖ Θεοφίλῳ γέγονεν ἔντιμος ἐκ τρόπου τοιοῦδε. πολλῶν αὐτῷ φοιτητῶν ὄντων, ἕνα συνέβη τούτων κατὰ τὴν ἕω ἀποδημήσαντα τοῖς Σαρακηνοῖς χερσὶ ἁλῶναι, ὃς τὰ τῆς γεωμετρίας μεμύητο ἀκριβῶς, καὶ οὗτος τῶν παρὰ τοῖς Βαρβάροις ἐπισήμων τινὶ δουλείαν ἀπονενέμητο. ἦν δ' ὁ τότε τῶν ἐκ τῆς Ἄγαρ προεστηκὼς φιλολογῶν, καὶ φιλοσόφων θεωρημάτων ἐπιμελῶς ἀκροώμενος, πλέον δὲ τῶν ἄλλων ταῖς γεωμετρικαῖς μεθόδοις προσκείμενος: ἐφοίτα δὲ καὶ ὁ τοῦ αἰχμαλώτου δεσπότης παρὰ τὸ ἀκροατήριον, καὶ ποτε αὐτῷ καὶ ὁ αἰχμάλωτος εἵπετο, καὶ τῶν διδασκόντων ἀκούσας, καὶ σχήματα τούτους ἰδὼν διαχαράττοντας γεωμετρικά, ἀρχήν τε παντὸς τὸ τρίγωνον εἶναι διδάσκοντας σχήματος, ὡς ἐξ αὐτοῦ ἅπαν σχῆμα συνίστασθαι, καὶ εἰς αὐτὸ ἀναλύεσθαι, καὶ ὡς πάντων ὁ κύκλος τῶν ἰσοπεριμέτρων αὐτῷ καὶ ἰσοπλεύρων ἐστὶ πολυχωρητότερος, καὶ ἄλλα τοιαῦτα. ἤρετο τὸν ἑαυτοῦ κύριον ὁ αἰχμάλωτος, ἀναπυθέσθαι τῶν διδασκάλων, περὶ ὧν διδάσκουσι. καὶ ὃς ἐπέτρεψεν, ὁ δὲ τοὺς λόγους τῶν διδασκομένων ἐζήτησεν σαφηνίσαι αὐτούς. εἰ δ' ἠπόρουν πρὸς τοῦτο, καὶ ὁ ἀρχηγὸς τῶν Ἀγαρηνῶν, προσκαλεσάμενος τὸν αἰχμάλωτον, σὺ δ', ἔφη, δύναιο ἂν ἀποδοῦναι τοὺς λόγους τούτους; κἀκεῖνος κατένευσεν. οὐκοῦν λέξον ἔπη, καὶ ἀρξάμενος ὁ αἰχμάλωτος ἐσαφήνιζεν ἕκαστον καὶ λόγους ἀπεδίδου, καὶ τὰς αἰτίας κατέλεγε. καὶ οἱ ἀκούοντες ἐν συνέσει τῶν λεγομένων ἐγίνοντο, καὶ ὀξύτερον ἐπέβαλον τοῖς θεωρήμασι, καὶ σοφίσιν ἠνοίγοντο ἡ διάνοια, καὶ τὸν ἄνδρα ἐθαύμαζον. ἠρώτων τε, εἰ καὶ ἄλλους ἔχει ἡ Κωνσταντινούπολις τοιούτους; ὁ δὲ πολλούς, ἔφη, κρείττους ἐμοῦ κέκτηται, ἕνα δὲ τῶν ἁπάντων διδάσκαλον. ἄνδρα ἐν τοῖς τῆς φιλοσοφίας λόγοις παντὶ ἀπαράμιλλον. ἔρωτι τοίνυν, ἀκούσας ταῦτα ὁ τῶν Ἀγαρηνῶν ἀρχηγός, ἑάλω τοῦ διδασκάλου ἐκείνου, καὶ ἐλθεῖν ἱμείρετο εἰς θέαν τούτῳ καὶ εἰς ἀκρόασιν, καὶ ἐγχαράξας ἐπιστολὴν

Βάρδα περὶ λόγους [illegible].

Περὶ τοῦ φιλοσόφου Λέοντος, καὶ τοῦ αἰχμαλωτισθέντος μαθητοῦ αὐτοῦ.

à quodam qui recens aduenerat, literæ afferuntur, quibus continebatur, Sarracenos in Melangeis castra posuisse. ea sunt quæ nunc minus eleganter Malagina dicuntur. Protonotarius igitur ob eum nuncium tristi uultu Imperatorem adit, rem exponit, & literas ostendit. At ille iracundè & toruè eum intuitus, Cum, inquit, in tali certamine sim, & qui medius est, eum ad læuam propellere propero: tu inepte de Sarracenorum incursione uerba mihi facis? Talis fuit præclarus ille Imperator, itaq; de communibus rebus & Imperio solicitus. Eo autem sic affecto, Bardas uersabat omnia, eoq; pertrahebat, quò erat libitum, & ad Cæsaris fastigium euectus, Imperij inuadendi opportunitatem quæritabat. Nihil autem fecit boni, nisi quòd eruditionis prouehendæ magnum studium habuit. Nam Philosophia neglecta iacebat, ac propè omnino extincta erat, ut ne scintilla quidē eius supereßet: in causa fuerat Imperatorū inscitia. Sed hic cuiq; disciplinæ scholas cōstituit, & doctores designauit, & singulis publica stipendia decreuit, & omnibus magnum & communem doctorem præfecit Leonem Philosophum, cuius doctrinæ inclyta fama erat, etiam ab Imperatore Theophilo honoratum, hac occasione: Cum multos haberet discipulos, accidit ut eorum quidam accuratè in Geometria eruditus, dum in Oriente peregrinatur, à Sarracenis captus, cuidam inter Barbaros illustri in seruitutem traderetur. Agarenorū porrò princeps theoremata erudita & Philosophica studiosè audiebat, præ cæteris tamen geometricis methodis erat deditus. Cum autē captiui herus auditorium frequentaret, aliquando & ipse eum comitatus, auditis doctoribus, qui figuras geometricas delinearant, & triangulū omnis figuræ principiū esse docebāt, omnesq; figuras ex eo & oriri, & in eundem resolui, & circulum omnium figurarū quæ ambitu æquali continerentur, esse capacißimum, & eius generis alia: rogauit dominum, an liceret magistros de ijs quæ docerent, percontari? Quod cum ille permisisset, petijt, rationes eorū quæ docuissent, sibi declarari. Verum illis quod responderent, non habentibus: Agarenorū princeps captiuo accersito, Num ipse id posset, interrogauit: eūq; se scire affirmantē, afferre in medium iussit. Captiuus igitur ab initio declarat singula, rationibus adductis & causis expositis. Auditores uerbis eius intellectis, theoremata acutius perspexerunt, quasi dilatatis ingenijs, uirum'que admirati rogarunt, an Constantinopolis alios similes haberet? At ille: Multos, inquit, me præstantiores habet, sed unum magistrum omnium, uirum in Philosophicis rationibus incomparabilem. His auditis Agarenorum princeps amore illius magistri captus, eum & uidere & audire desiderauit, ac literas, quibus hortabatur ut ad

Bardæ potentia & instaurata Philosophia.

Leonis Philosophi celebritas quomodo aucta.

ut ad se ueniret, suamq́ue sapientiam sibi cōmunicaret, captiuo liberaliter & benignè tractato, ad illum perferendas tradit. At Leo ueritus ne in crimē ueniret, ob missas ab hoste literas, epistolam Dromi Logothetæ tradit, captiuo etiam adducto, qui argumentū eius exponeret. Ex hoc Theophilo innotuit, & beneficijs affectus, publicè docere iussus est. Pòst etiam Thessalonicæ Pontifex designatus. Verùm Theophilo mortuo, inter cæteros Iconomachos pontifices, & ipse ob honorē sacris imaginibus non delatum, est ea dignitate priuatus. Hunc igitur Bardas cum ocium agentem inuenisset, cæteris magistris præposuit, itaq́ue effecit, ut literæ reflorescerent, exiguoq́ue tēpore incrementa caperent. Idem etiam leges ciuiles, quarū cognitio iam penè omnino obsoleuerat, reuocauit, cum ipse iudicia frequētaret. Ob quod disciplinarum & eruditionis studiū ut laude dignus est: sic ob alia supra modū ui-

Bardas Ignatium Patriarchā relegat.

tuperandus & despuendus. Nam cum D. Methodius Ecclesiā annis IIII gubernata, in cœlestes mansiones migrasset: Ignatius Monachus Imperatoris Nicephori generalis, ex filia nepos, Michaelis Rangabis filius, quo regno pulso, à Leone castratus comā detondit & lōgo tempore asceticis sudoribus carnē domuit, ab Imperatrice Theodora rerum potiente, in Pontificiam Constantinopoleos sedē est euectus. Is D. Ignatius Bardam Cæsarē, qui uxorem sine causa dimiserat, & cum sua nuru consueuisse dicebatur, sacrā ædem ingredi uetuit. At ille Pontificē ea de causa Ecclesia pellit, & multis malis exagitatū sepulchro tandem includit. Pòst inde extractū, in Mitylenen Insulam relegat. Neq́ue uerò hunc solū ita tractauit, sed alios etiā Pontifices, qui D. Ignatio, à quo sacris interdictus fuerat, assentiebantur: & in

Photius Patriarcha.

eius locū suffecit Photium uirū insignem, primarium à secretis, & eruditionis nomine celeberrimum. Cum autē Papæ Romani legati

Papæ legati Iconomachis assentiuntur.

contra Iconomachos missi adessent: ijs etiam Bardas persuasit, ut in suam sententiam irent. Igitur in æde Sanctorum Apostolorum congregati, S. Ignatio ab exilio reducto, dignitatem abrogant. Atque hæc ad hunc ferè modum acta sunt.

Rhosi Scythæ Tauri Pontum Euxinum infestant.

Gens autem Scythica Rhosi, Tauri montis accola, classe Euxinum pontum aggressa, ipsi Byzantio agro minabatur. Sed consilium ei non successit, diuina prouidentia impeditum, quæ effecit, ut inuita, uel

Agareni Cycladas prædantur.

potius iram numinis experta, rebus infectis discedere cogeretur. Sed & Cretenses, Agareni Cyclades insulas & oram maritimam prædabantur.

Terræ motus.

Terra etiam sæpius uehementer concussa, maximè autem horrendus is terræ motus fuit, qui in diem Assumptionis Seruatoris nostri incidit.

Michael ineptias incolumitati Imperij antepoint.

Verùm nihil horum Michaelem ab equestribus certaminibus, eorum'que studio abduxit: quò minus ipse in angustijs illis, quæ D. Mamantis appellantur,

πρὸς τὸν ἄνδρα, παρεκελεύσατο ὁ Θεόφιλος, καὶ μεταδοῦναι αὐτῷ τῆς σοφίας αὐτοῦ, διὰ τοῦ αἰχμαλώτου στέλλει αὐτήν. φιλοτίμως τοῦτον δεξιωσάμενος. ὡς δὲ τῷ λέοντι κομισθεῖσα ἡ γραφὴ, δείσας μὴ εἰ παθείη ὡς γράμμα δεξάμενος τῶν ἐχθρῶν, ἐγχειρίζει τῷ λογοθέτῃ τοῦ δρόμου τὸ ἐπιστόλιον, καὶ παρίστησι τὸν αἰχμάλωτον, κἀκεῖνος τὴν ὑπόθεσιν διηγήσατο. γίνεται δῆθεν γνώριμος ὁ φιλόσοφος λέων τῷ θεοφίλῳ ἐγγίζει, καὶ εὐεργετεῖται, καὶ δημοσίᾳ διδάσκειν προτρέπεται, εἶτα καὶ ἀρχιερεὺς χειροτονεῖται θεσσαλονίκης. θανόντος μέντοι τοῦ θεοφίλου, καὶ τῶν εἰκονομάχων ἀρχιερέων καθαιρέσει ὑποβληθέντων, καὶ ὁ λέων τούτοις συγκαθῄρητο, ὅτι μὴ τιμὴν ταῖς θείαις εἰκόσιν ἀπένεμε. τοῦτον οὖν ὁ Βάρδας σχολάζοντα εὑρηκὼς, τῶν λοιπῶν διδασκάλων ἐπέκεινα ἔταξε, καὶ οὕτως ἀναθαλῆσαι τοὺς λόγους ἐποίησε, καὶ εἰς ἐπίδοσιν προήνεγκεν, οὐ διὰ μακροῦ. καὶ τοὺς νόμους δὲ τοὺς πολιτικοὺς ἀνηβῆσαι πεποίηκε, φοιτῶν αὐτὸς εἰς τὰ δικαστήρια, ἤδη καὶ τῆς τούτων γνώσεως σχεδὸν ἐκλελοιπυίας παντάπασιν. ἃ μὲν οὖν περὶ τοὺς νόμους καὶ τὰ μαθήματα τοῦ Βάρδα σπουδὴ ἐξήπτετο, τὰ δ᾽ ἄλλα καὶ λίαν ψεκτὰ καὶ κατέπτυστα. τοῦ γὰρ ἱεροῦ μεθοδίου ἔτη τὴν ἐκκλησίαν ἰθύναντος τέσσαρα, καὶ πρὸς τὰς ἀϊδίους μεταστάντος μονὰς, ὁ μοναχὸς ἰγνάτιος τῆς ἐκκλησίας προΐσταται, ὃς θυγατριδοῦς μὲν ἦν νικηφόρου τοῦ βασιλέως τοῦ ἀπὸ γενικῶν, υἱὸς δὲ μιχαὴλ βασιλέως τοῦ ῥαγγαβὲ, καὶ μετὰ τὴν τῆς βασιλείας ἔκπτωσιν τοῦ πατρὸς αὐτοῦ, παρὰ τοῦ λέοντος ἐκτομίας γενόμενος, ἐκείρατό τε τὴν τρίχα, καὶ ἐπὶ μακρὸν ἀσκητικοῖς ἱδρῶσι τὸ σαρκίον ἐδάμασεν, ὃν ἡ βασιλὶς θεοδώρα τὰ τῆς βασιλείας ἰθύνουσα, εἰς τὸν ἀρχιερατικὸν τῆς κωνσταντινουπόλεως ἀνήγαγε θρόνον. οὗτος τοίνυν ὁ θεῖος ἰγνάτιος τὸν καίσαρα Βάρδαν, τὴν γαμετὴν αἰτίας ἐκτὸς ἀποπεμψάμενον, συμφθείρεσθαι δὲ λεγόμενον τῇ νύμφῃ τῇ ἑαυτοῦ, τῶν ἱερῶν περιβόλων ἐκώλυσεν. ὁ δὲ διὰ τοῦτο τῆς ἐκκλησίας μεθίστησι τὸν ἀρχιερέα, καὶ πολλὰ κακώσας, τέλος ἐγκλείει τάφῳ. εἶτ᾽ ἐκεῖθεν ἐξενεγκὼν εἰς μιτυλήνην τὴν νῆσον ὑπερορίζει. καὶ οὐ τοῦτον μόνον οὕτω διέθετο, ἀλλὰ καὶ πολλοὺς ἄλλους τῶν ἀρχιερέων, ὅσοι τῷ ἰγνατίῳ γεγόνασι σύμψηφοι, αὐτὸν ἀφορίσαντι, προχειρίζεται δὲ πατριάρχην τὸν φώτιον, ἄνδρα τῶν ἐπισήμων πρωτοασηκρῆτις τότε τυγχάνοντα, καὶ ἐν λόγοις ὀνομαστότατον. ὡς δ᾽ ἔτυχε παρεῖναι καὶ τοποτηρητὰς τοῦ πάπα ῥώμης κατὰ τῶν εἰκονομάχων σταλέντας, κἀκείνους ὁ Βάρδας πείθει τῆς ἑαυτοῦ γενέσθαι γνώμης. οἳ γοῦν ἐν τῷ τῶν ἁγίων ἀποστόλων ναῷ ἀθροισθέντες, ἄγουσι καὶ τὸν ἱεράρχην ἰγνάτιον ἐκ τῆς ὑπερορίας, καὶ ποιοῦνται τοῦτον ὑπὸ καθαίρεσιν. καὶ ταῦτα μὲν ὧδέ πως συμβέβηκε. τὸ δὲ ἔθνος τῶν ῥὼς σκυθικὸν ὂν, τῶν περὶ τὸν ταῦρον ἐθνῶν, στόλῳ τε τοῦ εὐξείνου πόντου κατέτρεχε, καὶ αὐτῷ βυζαντίῳ ἐπιθέσθαι διεμελέτα. ἀλλ᾽ οὐκ εἰς ἔργον ἤχθη σφίσι τὸ βούλευμα, κωλυσάσης τοῦτο τῆς προνοίας τῆς ἄνωθεν, ἣ καὶ ἄκοντας αὐτοὺς ἀπράκτους, μᾶλλον δὲ καὶ θείου πειραθέντας μηνίματος, ἀπελθεῖν ᾠκονόμησεν. ἀλλὰ καὶ οἱ ἐκ κρήτης ἀγαρηνοὶ τὰς κυκλάδας νήσους, καὶ τὰ παράλια ἐληΐζοντο. καὶ κλόνοι δὲ σφοδρότατοι τῆς γῆς συμβεβήκασιν, ὧν ὁ φρικωδέστατος τὴν γῆν συνέσεισε κατὰ τὴν ἡμέραν τῆς τοῦ σωτῆρος ἡμῶν ἀναλήψεως. τούτων δὲ οὐδὲν τῶν ἱππηλατῶν ἀγώνων ἀπήγαγε τὸν μιχαὴλ, καὶ τῆς περὶ τούτους σπουδῆς. ἐν τῷ κατὰ τὸ στενὸν προαστείῳ, τῷ τοῦ ἁγίου μάμαντος καλουμένῳ,

περὶ ναυ- τίων.

ἔτι ὁ ἅγιος ἰγνάτιος ἀφορίσας τὸν καίσαρα βάρδαν.

περὶ τῶν ῥὼς

περὶ τῶν ἐκ κρήτης ἀγαρηνῶν.

αὐτοῦ

αὐτοῦ ἐκείνου αὐτουργοῦντος τὰ ἱππηλάσια, ὅθεν καὶ τοὺς φρυκτοὺς ἔπαυσεν, οὓς οἱ πάλαι βασιλεῖς ἐπενόησαν, ἵνα μὴ ἀθρόον οἱ ἐκ τῆς Ἄγαρ τῶν Ῥωμαίων ταῖς χώραις εἰσβάλλοντες, λυμαίνωνται τὰ ἐν ποσὶ, καὶ τοὺς ἀνθρώπους αἰχμαλωτίζωσι. διὰ ταῦτα ἐν τῇ Ταρσῷ ἐπὶ λόφῳ μετεώρου τινὸς ᾠκοδόμηντο φρούριον, Λοῦλον κεκλημένον, καὶ οἱ ἐν τούτῳ πυρσὸν ἀνῆπτον, ἡνίκα ἔγνων ἐπιδρομὴν Ἰσμαηλιτῶν, ὃν ὁρῶντες οἱ ἐν τῷ Ἀργαίῳ βουνῷ, ἄλλον ἐποίουν πυρσὸν, καὶ οἱ ἐπὶ τὸν Ἴσαμον, ἕτερον, τοῖς δὲ ἐπὶ τὸν Αἴγιλον ἐδήλου αὖθις, ἕτερος ἄλλος, καὶ τοῖς ἐπὶ τὸν Μάμαντα αὖ ἐκεῖθεν ἕτερος, καὶ οἱ ἐπὶ τὸν Κύριζον ἕτερον ἐφρυκτώρουν, καὶ οἱ κατὰ τὸν Μώκιλον ὁμοίως ἐπύρσευον, καὶ ἐπὶ πᾶσιν ἐν τῷ τοῦ ἁγίου Αὐξεντίου βουνῷ πυρσὸς ἥπτετο. ὡς ὁρῶντες οἱ ἐν ταῖς χώραις, διὰ βραχέος εἰς ὀχυρώματα συνέκλειον ἑαυτοὺς, καὶ τὰς τῶν βαρβάρων λῃλασίας διέκλειον. ἐκ δὲ τοῦ βουνοῦ τοῦ ἁγίου Αὐξεντίου, τῷ βασιλεῖ ἡ τῆς τῶν ἐχθρῶν ἐπιδρομῆς ἐδίδοτο γνῶσις. ἵνα τοίνυν μὴ ἀνακόπτοιτο τῶν ἱππηλατικῶν ἀγώνων, ἐν καιρῷ τούτων πολλάκις τῶν πυρσῶν αἰρομένων, τῶν τῇ βασιλίδι γειτονούντων πυρσῶν χωλὴν ὁ θαυμάσιος ἐκεῖνος κατεψηφίσατο, κατεγίνωσκε δὲ καὶ τῶν πρὸ αὐτοῦ βασιλευσάντων, ὅτι μὴ λιτότητι ἔχαιρον, περιεπέπτωντο δὲ αὐτοὶ τύφῳ καὶ ὄγκῳ βασιλικῷ. ὅθεν αὐτὸς μετριότητα δοκῶν διὰ ἀβελτηρίας μετιέναι, συναντήσας ποτὲ γυναικὶ ἄρτι λουσαμένῃ, καὶ οἴκαδε ὑποστρεφούσῃ, καὶ τοῦ ἵππου ἐκβὰς, ἀπῄει μετὰ τῆς γυναικὸς σὺν ὀλίγοις τισὶ νεανίαις, οἳ τῶν ἀπορρήτων συμμετεῖχον αὐτῷ, καὶ ἐν τῇ οἰκίᾳ αὐτῆς γεγονὼς, καὶ συμμετασχὼν τραπέζης αὐτῇ, πεζοπορῶν ἀπῆλθε πρὸς τὰ ἀνάκτορα. καὶ ὁ μὲν ἐν τοῖς τοιούτοις ὡς μέγα τι κατορθῶν ἐβρενθύετο, τοῖς δ' ἄλλοις ἀνόητος εἶναι ἐκρίνετο, καὶ μῖσος ἐπισπώμενος κατ' αὐτοῦ. οὐχ ἥκιστα δὲ μισητὸς ἐδόκει διὰ τοὺς παρατρεφομένους αὐτῷ ἐναγεῖς νεανίας, οἳ πρὸς ἅπαν κακὸν αὐτὸν ὑπεξέκαιον. οἳ καὶ ἀρχιερεῖς ἔπλαττον ἑαυτοὺς, καὶ τὴν ἀναίμακτον ἱερουργίαν τελεῖν ὑπεκρίνοντο, καὶ αὐτὸν τὸν Μιχαὴλ συνιερουργοῦντα δῆθεν ἔχοντες ἑαυτοῖς. παίζοντες ἐν οὐ παικτοῖς ἢ μᾶλλον ἐν τοῖς φρικτοῖς, ὄξος τε μιγνῦντες καὶ σίναπι, καὶ ἐν σκεύεσι χρυσοῖς καὶ λιθοκολλήτοις παρ' αὐτοῦ χορηγουμένοις τὸ κέρασμα ἐγχέοντες, μετεδίδουν τοῦτο τοῖς συμμύσταις αὐτῶν καὶ συμπαίστορσιν. ἀλλὰ ταῦτα καταλέγειν τοῦ φορτοῦ χορὸν, οἷς συνθιασώτης καὶ αὐτὸς ὁ βασιλεὺς ἐτύγχανεν ὤν, πολλῆς ἂν εἴη λύμης καὶ ἀηδίας. ἥκει δὲ ὁ λόγος, τὴν τοῦ Βάρδα διηγησόμενος ἀναίρεσιν, καὶ τὴν τοῦ κρατοῦντος αὐτοῦ, καὶ πρὸ τούτων τὴν τοῦ βασιλέως τοῦ Μακεδόνος οἰκείωσιν πρὸς τὸν Μιχαὴλ. ὃς ἐκ Μακεδονίας μὲν ἦν, ἔφυ δὲ πατέρων ἀσήμων καὶ ἀφανῶν, εἰ καί τις τῶν τὰ περὶ αὐτοῦ ἱστορησάντων ἐκ τῶν Ἀρσακιδῶν αὐτὸν γένος κατάγεσθαι τερατεύεται. τοῦ Κρούμου δὲ (τῶν Βουλγάρων δ' ἦν οὗτος ἀρχηγὸς) τὴν Ἀδριανούπολιν κατασχόντος, καὶ οἱ τούτου γεννήτορες αἰχμάλωτοι γεγονότες εἰς τὴν ἐκείνων χώραν μετήχθησαν, ἔτι νήπιον τοῦτον καὶ ὑπομάζιον φέροντες. τοῦ Κρούμου δὲ ἀποβιώσαντος ἤδη, ἕτερος τὴν ἀρχὴν τῶν Βουλγάρων ἐπάλλετο, ὃς πολλάκις ἐν πολέμοις τοῖς πρὸς Ῥωμαίους θραυσθεὶς, σπονδὰς πρὸς τὸν τότε κρατοῦντα Ῥωμαίων πεποίηται, καὶ τοὺς αἰχμαλώτους ἐλευθερῶσαι συνέθετο, καὶ μέντοι καὶ κατὰ τὰς συνθήκας πεποίηκεν. ἔφηβος δ' ἦν ἡλικίας τότε ἀψάμενος ὁ Βασίλειος. νηπιόθεν μέντοι πολλὰ σημεῖα γενέσθαι φασὶ, τὴν βασιλείαν αὐτῷ προμηνύοντα, ὧν ἓν ἦν καὶ τὸ ῥηθησόμενον. νήπιος μὲν ἦν ὁ Βασίλειος, οἱ δὲ τούτου γονεῖς θερισμῷ ἐσχόλαζον, καὶ τὸ νήπιον ὑπαίθριον ὑπὸ τῷ ἡλίῳ ἐκοιμᾶτο, ἀετὸς δὲ πετόμενος

περὶ τῶν τόπων ἐν οἷς ἀνήπτοντο οἱ πυρσοί.

περὶ τῆς αὐτοῦ τοῦ Μιχαὴλ μετριότητος καὶ τῶν αἰσχρουργιῶν αὐτοῦ.

περὶ Βασιλείου τοῦ Μακεδόνος.

σημεῖα περὶ τὸν Βασίλειον γεγονότα πρόδηλα τῆς βασιλείας αὐτοῦ.

exerceretur. Idem etiã ignes sustulit à priscis imperatoribus institutos, ne Agareni Romanas prouincias ex improuiso aggressi, omnibus obuijs uastatis, homines in seruitutẽ abducerent: eaq; de causa Tarsi in edito colle Lulũ castellum ædificarãt, in quo qui erant, cognita Ismaelitarum incursione, ignem incendebant, quo in Argeo colle cõspecto, alius, Ismaijtem alius, atq; inde ad Aegilũ, ad Mimantem, nec nõ Cyzicy & ad Mocilum, ac postremò omniũ in D. Auxentij colle ignis incendebatur. Iis igitur ignibus prouinciales breui conspectis, locisq; munitis occupatis, Barbarorum grassationes declinabant. E colle porrò Auxentij, hostium incursio Imperatori significabatur. Ne igitur ab equestribus certaminibus impediretur, ijs ignibus illorum tempore sæpe elatis: præclarus ille uir ignes locorum Byzantio uicinorum abrogauit. Superiorum temporum Imperatores reprehendere solebat, quòd spreta frugalitate, luxui & fastui regio studuissent. Vnde ipse moderationem præ se ferens, cum aliquando in mulierem incidisset, quæ è balneis domum redibat: de equo descendit, camq; cum paucis adolescentibus arcanorũ suorum conscijs domũ comitatus est, & cũ ea cœnatus, pedes in Regiã est egressus. Huiusmodi nugis quasi re bene gesta gloriari solebat, cum alijs delirare uideretur, atq; odium sibi cõcitaret. Eam tamẽ ob causam maximè inuisus fuit, quòd nefarios adolescentes alebat, à quibus ad mala omnia inflammabatur. Ii Pontificum sibi habitum sumebant, & incruẽtam uictimam se immolare simulabant, ipso etiam Michaele in eo cœtu uersante: ludum minimè ludicrum, sed horrendum potius ludentes, & aceto ac sinapi in uasis aureis & gemmatis temperato, eam potionem sodalibus & collusoribus suis impertiebant. Enimuero illius collegij, cuius & ipse Imperator erat particeps, omnem licentiã recensere, ineptum ac permolestũ fuerit. Quare ad obitum Bardæ & ipsius Imperatoris se conuertat oratio, & ad narrandam occasionem, quæ Basilio fuit contrahendæ cum Michaele familiaritatis. Fuit Basilius ex Macedonia, parentibus obscuris ortus, etsi quidã rerum eius gestarum scriptor, cum genus ab Arsacidis ducere comminiscitur. Occupata uerò à duce Bulgarorum Crumo Adrianopoli: etiam parentes eius capti, in Bulgariam abducuntur, hunc infantem & lactantem adhuc secum gestantes. Crumo defuncto, successor eius multis cladibus à Romanis acceptis, pacem cum Imperatore fecit: captiuis quos habebat (ita enim conuenerat) dimissis: quo tempore adolescens erat Basilius, cui infantili ætate multis ostentis imperium significatum esse ferũt, quorũ id quoq; fuit, quod referam. Cum infans esset, ac parẽtibus messe occupatis sub sole dormiret; aquila prope terrã circum-

Ignes quibus aduentus hostium significatur.

Michaelis inepta comitas.

Adolescentum uecordiũ cœtus, Michaelis deliciæ.

Basilij natales, & occasio adipiscẽdi imperij.

Augurium aquilæ.

circumuolans, expansis alis umbram ei facie-bat: quam mater cum infanti appropinquantem uideret, sublata uoce accurrit, & aquilam lapidibus abegit. Ea ad opus reuersa, eadem aquila idem officiũ infanti dormienti præstans, adest: & mater perterrita, denuo illam abigit. Sed cum idem sæpius fieret, re cogitata, bonũ augurium esse iudicauit. Cum iam adoleuisset, pater eius obijt, mater ultra paupertatis incommoda, uiduitatis etiã malis premebatur: ipse, qui non haberet unde uiueret, decreuit operã suam alicui mercede locare. Profectus igitur in magnam urbem, & uesperi per aurã portam ingressus, iuxta ædem D. Diomedis prostratus obdormiuit. Noctu ædituo (nec dum enim ibi erat monasterium) martyr apparet, & Imperatorẽ introducere iubet. Qui egressus cum Basilium humi dormire uideret, somnium nugas esse ratus est. Cum sanctus idem denuo iubere uideretur, rursus egressus, nemine præter Basilium inuento, eadem opinione rediit. Sed martyr tertiũ ædituo apparet, eumq; introduci iubet, qui foris iaceat, eum enim esse Imperatorem. Egressus igitur Basiliũ excitat, exceptumq; hospitio pro suis copijs, tractat. Erat autẽ ædituo frater medicus, Theophilizi inseruiens, qui Cæsari Bardę & Imperatori Michaeli genere coniunctus erat, & ob staturam breuissimam, per diminutionẽ Theophilizes uocabatur. Ab eo fratre suo æditus, arcano somnio detecto, petit, ut hominẽ principi alicui ad ministerium cõmendet. Is eum ad suũ dominũ deducit. Sed in primis ambo fratres Basilium illo somnij oraculo cõmunicato, iureiurando obstringũt, ut imperio potitus ipsorum meminisset. Theophilizes Basilio delectatus (erat enim procerus, formosus, manu promptus & agilis, promissumq; capillũ alebat, eumq; crispum) suis equisonibus eũ præfecit, quo munere q fungit, uulgò Protostrator dicitur. Quærebat & Imperator equisonẽ strenuum & solertẽ. Allatus enim ei fuerat equus, omnibus ille quidẽ equi uirtutibus prǽditus, sed præfractior, & sessorem ægrè patiens. Ad quem spectandum Imperator cum uenisset, aliquem conscendere iubebat. Quod cum plures tentarent, ille ferox atq; insolens, excutiebat omnes. Id imperatori molestũ fuit, se idoneo equisone carere indignanti. Ibi Theophilizes, ipse talẽ se habere ait, eumq;, si uellet Imperator, affore. Illius igitur iussu Basilius accersitus, freno prehẽso, equũ cum poppysmo demulcet, sese leuiter alleuans conscendit, ac eo principio parum excitato, excurrit toto flagello concitato, excurrit Ea re delectatus Imperator, Basilium inter imperatorios equisones refert, ac progressu temporis Protostratorẽ designat, qui honos insignis est, et à familiaritate Imperatoris non alienus. Tantum autem Imperatoris beneuolentia erga illum indies augebatur, ut & Cæsari inuidiosus esset.

Aedini S. Diomedis somnium.

Basilius fit Michaelis Protostrator.

Theodoræ de Basilio præsagium.

πρόσγειος, ἁπλώσας τὰς πτέρυγας ἐσκίαζε τὸ βρέφος σκιάν. ἡ δὲ μήτηρ ὡς εἶδε τὸν αἰετὸν τῷ παιδὶ προσπελάζοντα, ἦρέ τε τὴν φωνὴν, καὶ προσδραμοῦσα τῷ υἱῷ, καὶ λίθους τὸν αἰετὸν ἀπεδίωκε. τῆς δὲ πρὸς τὸ ἔργον χωρησάσης, αὖθις ὁ αὐτὸς προσῄει τῷ βρέφει κοιμωμένῳ, ἐπιτελῶν τὸ λειτούργημα. καὶ ἡ μήτηρ πάλιν πεθορύβητο, καὶ αὐτὸν ἀπεδίωκεν. ὡς δὲ πολλάκις τοῦτο ἐγέγονε, συνεῖδεν ἐκείνη, καὶ χρηστὸν ὑπέλαβε τὸ πρᾶγμα οἰώνισμα. ἤδη δὲ αὐτοῦ ὑπερβεβηκότος τὴν μείρακα, ὁ πατὴρ μὲν κατέλυσε τὴν ζωὴν, ἡ δὲ μήτηρ αὐτοῦ πρὸς τῇ πενίᾳ καὶ τοῖς τῆς χηρείας κακοῖς ἐπιέζετο. ὁ δὲ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων μὴ εὐπορῶν, ἔγνω μισθοῦ πρὸς ὑπηρεσίαν ἑαυτὸν ἐκδοῦναι τινί. καὶ ἄρας ἔρχεται πρὸς τὴν μεγαλόπολιν. ὀψίας δὲ τὴν τῆς πόλεως εἰσελθὼν πύλην, ἣ καλεῖται χρυσέα, παρὰ τῷ ναῷ τοῦ ἁγίου Διομήδους κατέλυσεν, ὅπου μονῇ τότε τυγχανούσῃ, καὶ πεσὼν ἔξω τοῦ τεμένους, κατέδαρθε. νυκτὸς δὲ ὑπὸ τοῦ ναοῦ νεωκόρῳ ὄναρ ὁ μάρτυς ἐφίσταται, καὶ τὸν βασιλέα τοῦτον εἰσαγαγεῖν ἐγκελεύεται. ὁ δὲ ἐξελθὼν καὶ τὸν Βασίλειον εὑρὼν ἐπὶ ψιλοῦ τοῦ ἐδάφους ὑπνώττοντα, φάντασμα εἶναι τὸν ὄνειρον ὑπέλαβε μάταιον. ὡς δὲ καὶ αὖθις τὸ αὐτὸ ἐδόκει ὁ ἅγιος ἐγκελεύεσθαι, ὁ δὲ καὶ πάλιν ἐξελθὼν, οὐχ ἕτερον εὗρεν ἢ τὸν Βασίλειον, ὑπέστρεψεν ὑπολαβὼν τὰ αὐτὰ ἐκ πρώτου. τρίτον ὁ μάρτυς ὑπὸ νεωκόρῳ ἐφίσταται, καὶ πρὸς τρίτον αὐτὸν εἰσαγαγεῖν τὸν ἐκτὸς κατακείμενον, οὗτος γάρ ἐστιν ἔφη ὁ βασιλεύς. ἐξελθὼν οὖν ὁ νεωκόρος, ἀνίστησι τὸν Βασίλειον, καὶ ξενίζει τοῦτον παρὰ τῇ κατοικίᾳ αὐτοῦ, καὶ μεταδίδωσιν ὧν εὐπόρει. ἦν δὲ τῷ νεωκόρῳ ὅμαιμος τὴν ἰατρικὴν μετιὼν, καὶ ὑπὸ Θεοφιλίτζῃ ὑπηρετῶν, ὁ δὲ Θεοφιλίτζης ὑπὸ τῷ καίσαρι Βάρδᾳ καὶ ὑπὸ βασιλεῖ Μιχαὴλ κατὰ γένος ᾠκείωτο. διὰ τὸ τῆς ἡλικίας βραχύτερον ὑποκοριζόμενος καὶ Θεοφιλίτζης καλούμενος. τούτῳ δὴ οἰνῶν τῷ ἀδελφῷ ὁ νεωκόρος τὸ ἀπόρρητον ἐκκαλύψας ἐνύπνιον, ἀξιοῖ συστῆσαι τοῦτον τινὶ τῶν ἀρχόντων εἰς ὑπηρεσίαν. ὁ δὲ ὑπὸ οἰκείῳ κυρίῳ τοῦτον συνίστησι. πρότερον δὲ τὸ περὶ τῆς βασιλείας δι' ὀνειράτων χρησμῴδημα τῷ Βασιλείῳ αὐτοῖς ἐκκαλύψαι ἄμφω τὼ ἀδελφὼ, καὶ μεμνῆσθαι σφῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ ὅρκοις αὐτὸν προκατέλαβον. ἡσθεὶς οὖν ὁ Θεοφιλίτζης ἐπὶ τῷ Βασιλείῳ (ἦν γὰρ εὐειδής τε καὶ εὐμήκης, καὶ τὴν χεῖρα γενναῖος καὶ περιδέξιος, βαθεῖαν τε ῥίψας κόμην, καὶ ταύτην οὔλην) τοῖς οἰκείοις ἱπποκόμοις τοῦτον ἐπέστησε, πρωτοστράτορα τοῦτον εἴωθεν ὀνομάζειν ἡ διάλεκτος ἡ κοινή. ἐντεῦθεν δὲ καὶ τῷ βασιλεῖ γνωρίζεται ὡς ἱπποκόμος, καὶ πρὸς τὴν ὑπηρεσίαν ταύτην εὐφυὴς δεδειγμένος. κεκόμιστο γὰρ πωλὸς ἵππος τῷ βασιλεῖ Μιχαήλ, εἰς πᾶσαν μὲν ἀρετὴν ἵππου πρέπων καὶ τὸ εἶδος, σκληραύχην δὲ καὶ μὴ ῥᾳδίως ἀναβαινόμενος. τοῦτον εἰς θέαν ἥκων ὁ βασιλεὺς, ἀναβῆναί τινι τοῦτον ἐπιτρέπει. πλειόνων δὲ ἐπιχειρούντων, ἐκεῖνος ἐβρασσώντο τῇ ἰταμίᾳ, καὶ τοὺς ἀναβαίνοντας ἀπεσείετο. ἐχαλέπαινε γοῦν τούτοις ὁ βασιλεὺς, ὅτι μὴ ἔχει ἱπποκόμον περιδέξιον ἤχθετο. τότε δὴ ὁ Θεοφιλίτζης, ἔχω, ἔφη, αὐτὸς τοιοῦτον, καὶ εἰ βούλει, φησὶ, βασιλεῦ, πάρεστι. καὶ ὃς ἐπέτρεψε, καὶ ὁ Βασίλειος μετακέκληται, καὶ τοῦ χαλινοῦ τοῦ ἵππου λαβόμενος, καὶ προσεπιψαύσας καὶ καταψήσας αὐτὸν, κούφως τε μετεωρίσας ἑαυτὸν ἐπιβέβηκε, καὶ περιεκάλπασε μικρὸν, ὥστε καὶ ὅλον αὐτῷ τὸν ῥυτῆρα χαλάσαι, καὶ ἐξιππάσατο. ἥσθη τούτοις ὁ βασιλεὺς, καὶ τὸν Βασίλειον προσελάβετο, καὶ τοῖς βασιλικοῖς ἱπποκόμοις συνέταξε. καὶ προϊὼν καὶ πρωτοστράτορα τὸν ἄνδρα ἐτίμησεν, ἡ δὲ ἀξία τῶν ἐπισήμων καὶ τῶν οἰκειουμένων τῷ βασιλεῖ, καὶ ἐπεδίδου καθ' ἑκάστην ἡ πρὸς τὸν Βασίλειον τοῦ βασιλέως διάθεσις καὶ εὔνοια, ὡς καὶ εἰς φθόνον κινῆσαι τὸν

καίσαρα

περὶ τοῦ ὀνείρου τοῦ φανέντος τῷ νεωκόρῳ τοῦ ναοῦ τοῦ ἁγίου Διομήδους.

ὅτι πρωτοστράτωρ ὁ Βασίλειος τῷ Θεοφιλίτζῃ ἐγένετο.

πῶς καὶ ὅπως ἐγνώσθη τῷ βασιλεῖ ὁ Βασίλειος, καὶ ὅπως ἐτιμήθη.

περὶ δὲ προρρήσεως περὶ τοῦ Βασιλείου δὲ παρὰ τοῦ βασιλέως.

περὶ δὲ προφ- ήτευσε θεο- δώρα περὶ βασιλείου.	καίσαρα. ποτὲ δὲ τῆς βασιλέως μητρὸς συνεστιωμένης τῷ βασιλεῖ, ὁ πρωτοστράτωρ ἐκλήθη Βασίλειος, τοῦτο τοῦ βασιλέως κελεύσαντος. καὶ ἡ βασίλισσα συνεχῶς αὐτῷ ἐνατενίζει, καὶ ἑώρα τὸν ἄνδρα περιεργότερον. ὥστε καὶ ἀποφοιβάσαι τοῦτον εἶναι τὸν ὀλετῆρα τοῦ γένους αὐτῆς, ἔκ τινων σημείων τοῦτο γνοῦσα, ὡς ἔλεγε, πάλαι αὐτῇ γνωρισθέντων ἐκ τοῦ οἰκείου ἀνδρός. ἀλλὰ τῷ Μιχαὴλ ταῦτα λῆρος ἐδόκει, καὶ οὐδὲν ἀπῆγεν αὐτὸν τῆς εὐνοίας τῆς περὶ τὸν Βασίλειον, ἤδη δὲ καὶ παρακοιμώμενον αὐτὸν προεβάλλετο.	Cum uerò Imperator aliquando matrem suã conuiuio excepisset, iussu illius etiam Basilius Protostrator est aduocatus. Eum Imperatrix continenter defixis oculis est intuita, eoq́ curiosius perspecto, ueluti numine afflata, dixit, Illum esse pestem familiæ suæ: idq́ se nosse de signis quibusdam sibi olim à marito indicatis. Verum Michael pro nugis id habuit, nulla re à beneuolẽtia erga Basilium se abduci passus, eumq́ tandem etiam cubicularium fecit.	Theodoræ de Basilio præsagiũ.
ἐπιβουλεύ- ει ἀλλήλοις ὁ καῖσαρ καὶ ὁ βασιλειος.	καὶ τοῦτο δὲ τῆς κατὰ τοῦ Βασιλείου βασκανίας ἐνδόσιμον τῷ καίσαρι γέγονε, καὶ ἐπιβουλεύειν τῷ ἀνδρί, καὶ παρ' αὐτοῦ ἀντεπιβουλεύεσθαι. ἐκστρατείας δὲ κατὰ τῶν τὴν Κρήτην ἐχόντων Ἀγαρηνῶν κηρυχθείσης τῷ Μιχαὴλ, ὁ καῖσαρ πρὸς τὸν τῆς θεοτόκου ναόν, τὸν τῶν ὁδηγῶν καλούμενον, ἀπῆλθε, τῇ θεομήτορι συνταξόμενος, καὶ ἤδη τῷ θυσιαστηρίῳ αὐτοῦ προσεγγίσαντος, ἐξ οὐδεμιᾶς ἐμφανοῦς αἰτίας ἡ χλαμὺς τῶν ὤμων αὐτοῦ ἐξωλίσθησεν. ὅπερ σημεῖον, καὶ τῷ καίσαρι, καὶ τοῖς ἰδοῦσιν ἀπαίσιον ἔδοξε.	quo Cæsaris erga Basilium inuidia aucta est, ut uirum insidijs appeteret, ab eoq́ uicissim appeteretur. Cum autem Imperator Michael expeditionẽ contra Cretenses Agarenos edixisset: Cæsar ad Deiparæ ædem cognomẽto Hodegiam, quasi uiæ ductorum dicas, abijt, Dei genitrici salutẽ dicturus. Cumq́ iam aræ appropinquasset, chlamys nulla euidenti de causa ei humeris delapsa est. Id omen & Cæsari, & alijs qui id uiderunt, inauspicatũ uisum.	Omen Bardæ interitũ portẽdens.
σημεῖον περὶ τὸν καίσαρα γεγονός.			
ὅτι πολλὰ τῶν οἰκονομου- μένων ἀνορθοῖ ὁ βασι- λεύς.	πολλῶν δὲ τὸν βασιλέα κακιζόντων, ὅτι πᾶσαν ἐνδέδωκε τὴν ἐξουσίαν τῷ καίσαρι, ὥστε ἐκεῖνον ἅπερ βούλεται πράττειν, καὶ πολλὰ παρὰ τὸ δέον ποιεῖν, τῇ τῶν ὀνειδῶν συνεχείᾳ ἔδοξέ ποτε μικρὸν ἀνανῆψαι τοῦ βαθυτάτου κάρου ἐκεῖνος ὁ ἀναίσθητος ἄνθρωπος, καί τινα τῶν οἰκονομουμένων τῷ καίσαρι καὶ διωρθοῦτο καὶ ἀνεσκεύαζεν. ὁ δὲ Βάρδας οὐκ ἦν ἀνεκτόν, ἀλλ' ἐπὶ τούτῳ καὶ ἐβαρυθύμει, καὶ ἐμήνιε.	Multis porrò Imperatorẽ uituperantibus, quòd omnem Cæsari potestatem dedisset, ut quiduis ageret, multoq́ contra officiũ faceret: assiduitate reprehensionũ tandem nõnihil è profundissimo ueterno experrectus esse uisus homo ille uæcors, quædam à Cæsare constituta correxit & reuocauit. Id Bardæ intolerabile uisum, autoritatẽ imminutã grauiter & iniquo animo ferenti.	
ἀναιρεῖται ὁ καῖσαρ Βάρ- δας.	ἐκστρατεύσαντι δὲ τῷ βασιλεῖ, ὡς εἴρηται, καὶ ὁ καῖσαρ συνεξεστράτευσε, καὶ πυκνὰς κατ' αὐτοῦ τῷ Μιχαὴλ ὁ Βασίλειος, καὶ οἱ περὶ ἐκεῖνον ἐποιοῦντο τὰς διαβολάς, καὶ ἐκεκύρωτο ἡ κατ' ἐκείνου διὰ ταύτας ἐπιβουλή. πολλὴν δὲ δύναμιν περιβεβλημένου τοῦ καίσαρος, οἱ τὴν ἐπιβουλὴν ἀρτύοντες ἐδειλαίνοντο, πρωΐας δέ ποτε τοῦ Βάρδα ἐκ τῆς οἰκείας σκηνῆς προελθόντος μετὰ λαμπρότητος, καὶ δορυφορίας πολλῆς, καὶ τῷ βασιλεῖ προσελθόντος, συγκαθίσαντός τε καὶ συνομιλοῦντος αὐτῷ. ὁ Βασίλειος ὄπισθεν αὐτοῦ ἑστηκώς, τὴν χεῖρα ἐπέσειεν, ἀπειλῶν ὥσπερ τῷ καίσαρι. ὁ δὲ κατά τινα χρείαν ἑτέραν ἀθρόον ἐπιστραφεὶς, καὶ ἰδὼν τὴν χεῖρα τοῦ Βασιλείου, καὶ συνεὶς τὸ δηλούμενον, τοῖς ποσὶ τοῦ βασιλέως ἐπέρριψεν ἑαυτόν. ὄκνουν δὲ οἱ κατ' αὐτοῦ συνομοσάμενοι τὴν ἐγχείρησιν, μέχρις αὐτὸς ὁ Βασίλειος πρῶτος αὐτῷ τὸ ξίφος ἐνέπηξεν. οὕτω γὰρ καὶ οἱ ἄλλοι ἀναθαρσήσαντες, κυκλόθεν τὸν Βάρδαν περιστάντες συνέκοψαν. καὶ τῷ μὲν τοιοῦτον τὸ τέλος τοῦ βίου συνηνέχθη.	Imperatorem tamen in militiã profectũ, comitatus est, quem Basilius cum suis sæpius apud Michaelem detulit, comparatæq́ iam erant insidiæ: sed ijs quibus id negocij datum erat, Cæsaris opes & potentiam reformidantibus, accidit, ut quodam tempore Bardas mane cum splendore & comitatu magno tabernaculum suum egressus, Imperatorem adiret, atque illi assidens colloqueretur. Tum Basilius à tergo stans, minitabundus manum agitauit. Cum autem Cæsar alia de causa subitò respexisset, manuq́ Basilij uisa, intellexisset, quid is sibi uellet: pedibus Imperatoris aduolutus est, neque coniurati eum prius aggredi ausi fuerunt, quàm Basilius primus ensem in eo defixisset. Tum etiam alij receptis animis circumstetere, & membratim hominem dissecuerunt. Atque ille hunc uitæ exitum est sortitus.	Bardæ cædes.
ἀνάρρησις τοῦ βασιλείου.	ὁ δέ γε βασιλεὺς τῆς ἐκστρατείας ἀφέμενος, εἰς τὸ Βυζάντιον ἐπανέζευξε, καὶ ζεύγνυσι τῷ Βασιλείῳ Εὐδοκίαν τὴν θυγατέρα τοῦ Ἴγγερος, ἥτις αὐτῷ τῷ κρατοῦντι πρώην ἐπαλλακεύετο. εἶτα καὶ βασιλέα ἀναγορεύει αὐτὸν ἐν τῇ μεγάλῃ παραγενόμενος ἐκκλησίᾳ, καὶ διὰ τοῦ πατριάρχου Φωτίου περιτίθησιν αὐτῷ τὸ διάδημα. τίκτεται δὲ τῷ Βασιλείῳ ἐκ τῆς Εὐδοκίας παιδίον ἄρρεν ὁ Λέων, ὃ τοῦ Μιχαὴλ μᾶλλον εἶναι ἔλεγον, ὡς ἐγκύου τῆς Εὐδοκίας οὔσης ὅτε τῷ Βασιλείῳ συνῴκισο.	Imperator autem expeditione omissa Byzantium reuersus, Eudociam Inceris filiam, concubinam dudum suam, Basilio despondet. Pòst, etiam Imperatorem ipse in magna Ecclesia designat, ac per Phonum Patriarcham diademate ornat. Basilio filius Leo ex Eudocia nascitur, qui Michaelis esse potius credebatur, quasi prægnans fuisset Eudocia Basilio collocata.	Basilij cum Eudocia nuptiæ. Leo seu Basilij seu Michaelis filius.
περὶ ὁ βασι- λεὺς ἀναι- ρεῖσθαι τὸν Μιχαήλ.	ἱππηλασίαις δὲ καὶ συμποσίοις ἀεὶ σχολάζων ὁ Μιχαὴλ, καὶ συνεχῶς μεθυσκόμενος, καὶ τῶν φρενῶν ἐξιστάμενος, ὡς οὐδὲ νήφων ἔρρωτο. εἰς φόνον ἑαυτοῦ τὸν Βασίλειον ἐξηρέθισεν. ἐκ γὰρ ἵππων ἀγῶνος ἐν τῷ ἁγίῳ Μάμαντι τελεσθέντος, ἐν ᾧ αὐτὸς ἡνιόχει καὶ οἱ μεγιστᾶνες αὐτοῦ,	Michael porrò, qui omnẽ ætatem equitando & cõpotando cõsumeret, frequenterq́ inebriatus, mente alienaretur, quam ne sobrius quidem sanam admodum habebat: Basilium in sui cædem irritauit. Nam cũ post equestre ad D. Mamantis certamen, in quo ipse cũ proceribus suis aurigarat,	Michaelis occidẽdi occasio uel potius necessitas.

uictor ad cœnam accubuiſſet, eiq; Baſilius & Eudocia intereſſent: Baſilinus quidā dudum Imperatoriæ triremis remex, ſed ob corporis elegantiam in Imperatoris familiaritatem aſcitus, eiq; tum cœnanti aſtans: illius aurigandi ſolertiam & dexteritatem diuinis laudibus extollebat. Quibus laudibus ille, mulſo iam exhauſto mero, & mente turbata, delectatus, calceos purpureos ei tradit, ac induere iubet, & Imperatorem ſalutat. Illo uerecundāte & Baſiliū intuente: Imperator iraſcitur, Baſilius autem ei innuit, ut obtemperet & calceos induat. Qui cum paruiſſet, Imperator Baſilio ira ſus ait: Imperij inſignia iſti aptiora ſunt quàm tibi. An uerò mihi nō licet, quemadmodum te Imperatorē feci, ita & alium facere? Ex eo Baſilius & de Imperio & de uita ſolicitus, uim facere quàm pati maluit, cōſilioq; ſuo cum alijs cōmunicato, cum denuo Michael uino in cœna obrutus torperet, manuq; ductus in cubiculum Regię, quę eſt ad D. Mamantis, ſomno profundiſsimo oppreſſus iaceret: egreſſus, primum clauſtra cubiculi imperatorij confregit, ne fores à cubicularijs claudi poſſent. Deinde cum coniuratis aduenit. Is autem qui ante cubiculum excubabant, pauci adeò, percuſſores aditu prohibere conantibus, orto tumultu Imperator experrectus, quodam cum ſtricto gladio ingreſſo, manus ſuſtulit, quibus ille ambabus reſectis, ad cæteros rediit. At Michael quū ex uino titubans, ebrietate impediente, fugere nō poſſet, miſerabiliter eiulans iacebat: quem alius quidam ex Baſilianis, adhuc uiuere conſpicatus, inſiliit, enſemq; ita in eius pectus adegit, ut uētre etiā traiecto inteſtina elaberētur.

Baſilinus ex remige Imperator.

Michaelis cędes.

IMPERIVM BASILII Macedonis.

Michaele digno acta uita exitio ſublato: Baſilius regia ſtatim occupata, quendam ex cubicularijs miſit, qui funus illi faceret. Is miſerum equino ſago inuolutum, in monaſterio Chryſopolitano ſepeliit. Regnauit cū matre annos XIIII, ſolus XI. Baſilius Imperio firmato, & iam ab omnibus Imperator ſalutatus, ſenatus principibus aduocatis, Imperatorios theſauros aperuit, in quibus nihil præter auri tres centenarios eſt repertum. Re deliberata, conſentientibus ſuffragijs eſt decretum, ut qui nulla probabili de cauſa pecuniam accepiſſent, eam, aut ſaltem eius ſemiſſem, reſtituerent. Cum igitur ex decreto ſemiſsis exigeretur, nō minus CCC centenarijs in fiſcum eſt relatum. Baſilius die feſto magnam Eccleſiam ingreſſus, ut incruentæ uictimæ particeps eſſet, à Photio Patriarcha eſt prohibitus, cum homicidam appellante: ob quam repulſam iratus, indicto concilio, Photiū Eccleſia expulit, quaſi D. Ignatius cōtra leges, à Barda Cæſare ſede pōtifica deiectus eſſet, & ille, non riſè diuinum thronum

Semiſsis profuſæ à Michaele pecuniæ fiſco reſtitutus.

Photio eiecto Ignatius in patriarchatū reſtituitur.

καὶ τὸ δεῖπνον, μετὰ δεῖπνον ἀνακεκλιμένος καὶ ὁ Βασίλειος καὶ ἡ Εὐδοκία συνανεκέκλιντο. Βασιλῖνος δέ τις τῆς βασιλείου τριήρους πρώην ἐρέτης ὤν, διὰ δὲ σώματος ὡραιότητα προσληφθεὶς παρὰ τοῦ κρατοῦντος, καὶ τούτῳ οἰκειωθεὶς, παρεστὼς τότε δειπνοῦντι τῷ βασιλεῖ, ἐξεθείαζεν αὐτὸν ὡς εὐφυῶς ἔχοντα καὶ ἐν τῷ ἡνιοχεῖν ἐπιτυχῶς ἔχοντα. ὁ δὲ (ἤδη γὰρ ἀκρατίσας, καὶ τὸν νοῦν ἐκπεπτωκὼς) ἡσθεὶς τοῖς ἐπαίνοις, ἐδίδου αὐτῷ τὰ φοινικόχροα πέδιλα, καὶ προσέταττεν ὑποδήσασθαι, καὶ βασιλέα ἀνεῖπε. τοῦ δὲ δυσωπουμένου, καὶ πρὸς τὸν Βασίλειον ἀφορῶντος, ὁ βασιλεὺς ἐχαλέπαινε. καὶ ὁ Βασίλειος ἐνένευσεν αὐτῷ πεισθῆναι καὶ ὑποδήσασθαι. καὶ ὃς λαβὼν ὑπεδήσατο. ὁ δὲ βασιλεὺς τῷ Βασιλείῳ ἔφη χολούμενος. τούτῳ μᾶλλον ἢ σοὶ τὰ τῆς βασιλείας πρέπουσι παράσημα ἐπιεικέστερον. ἢ οὐκ ἔξεστί μοι, ὡς σὲ βασιλέα πεποίηκα, ποιῆσαι καὶ ἕτερον; ἐντεῦθεν δεδιὼς ὁ Βασίλειος καὶ περὶ τῇ βασιλείᾳ καὶ τῇ ζωῇ, δρᾶσαι πρὸ τοῦ παθεῖν ἐμελέτησεν, ἑτέροις τε τὸ μελέτημα κοινωσάμενος. ἐπεὶ αὖθις ἐν δείπνῳ ἀκράτῳ πεσιῶν χειρούμενος ὁ βασιλεὺς ἤδη ἐκάθευδε, καὶ τῷ ἑαυτοῦ κοιτῶνι ἐν τοῖς κατὰ τὸν ἅγιον Μάμαντα βασιλείοις χειραγωγούμενος ἀνεκέκλιτο, καὶ ὕπνῳ βαθυτάτῳ κατείληπτο, πρῶτον μὲν ἀξιῶν ὁ Βασίλειος τὰ κλεῖθρα τοῦ βασιλικοῦ κοιτῶνος κατέαξεν, ἵνα μὴ κλεῖσαι τὰς θύρας οἱ περὶ τὸν βασιλικὸν κοιτῶνα στρεφόμενοι δυνηθῶσιν. εἶτα καὶ τοὺς συνωμότας παραλαβὼν ἐπέστη. τῶν δὲ προκοιτούντων ὀλίγων ὄντων καὶ κωλύειν ἐπιχειρούντων, θόρυβος ἤρθη, καὶ διυπνίσθη ὁ βασιλεύς. εἰσελθόντος δέ τινος τῶν σὺν τῷ Βασιλείῳ, καὶ τὸ ξίφος γυμνὸν ἔχοντος, ὁ Μιχαὴλ ἐκείνῳ τὰς χεῖρας ἦρε, καὶ ἀμφοτέρας ὁ ξιφηφόρος πλήξας ἀπέκοψε καὶ ὑπέστρεψε πρὸς τοὺς ἄλλους. ὁ δὲ Μιχαὴλ μὴ φυγεῖν οἷός τε ὤν, ἐκ τοῦ σφαλερῶς ἐκ τοῦ οἴνου βαίνειν, καὶ τῇ μέθῃ συμποδιζόμενος, ἔκειτο δεινῶς ὀλοφυρόμενος, καί τις ἕτερος τῶν περὶ τὸν Βασίλειον ἔτι ζῶντα τοῦτον ἰδὼν, ἐπεπήδησε, καὶ κατὰ τῶν στέρνων αὐτοῦ τὸ ξίφος ὤθησεν, ὡς καὶ τὴν γαστέρα τοῦτον προσπεπαρεῖν, ὡς ἐκπεσεῖν αὐτοῦ καὶ τὰ ἔγκατα.

ἀναιρεῖται ὁ βασιλεὺς Μιχαήλ.

ΒΑΣΙΛΕΙΑ ΒΑΣΙΛΕΙΟΥ τοῦ Μακεδόνος.

Τῷ μὲν οὖν Μιχαὴλ οὕτως ἐπελελοίπει τὸ βιῶναι μὴ ἀξίως τοῦ αὐτοῦ βίου. ὁ δὲ Βασίλειος αὐτίκα εἰς τὰ βασίλεια περιγέγονε, καὶ τούτων γενόμενος ἐγκρατής. ἐπεμψέ τινα τῶν τοῦ κοιτῶνος, κηδεῦσαι τὸν Μιχαήλ. ὃς ἀπελθὼν εὗρε τὸν δείλαιον ἵππου ἐγκεκαλυμμένον στρώματι, καὶ ἀπαγαγὼν αὐτὸν ἐν τῇ μονῇ τῆς Χρυσοπόλεως ἔθαψεν. ὃς σὺν τῇ μητρὶ μὲν ἐβασίλευσεν ἔτη δέκα καὶ τέσσαρα, ἐν δ' ἑνὶ δέκα μόνος ἦρξεν αὐτός. ἤδη δὲ τῆς βασιλείας δραξάμενος ὁ Βασίλειος, καὶ παρὰ πάντων αὐτοκράτωρ ἀναρρηθεὶς, τοὺς βασιλικοὺς, παρόντων τῶν τῆς συγκλήτου λογάδων, ἀνέῳξε θησαυρούς, ἐν οἷς οὐδὲν ἕτερον εὗρε, ἢ μόνα χρυσίου κεντηνάρια τρία. βουλῆς οὖν προτεθείσης ἐψηφίσθη παρὰ πάντων, τοὺς ἐξ οὐδεμιᾶς χρήματα λαβόντας εὐλόγου λαβῆς, ἀναδιδόναι ταῦτα, ἢ τό γε δὴ μετριώτερον, τὰ ἡμίση. καὶ ἀκολούθως τῇ ψήφῳ τὰ ἡμίση εἰσεπράχθη, καὶ οὐ μείω τριακοσίων ἐν τούτῳ κεντηναρίων τὸ ταμεῖον τὸ βασιλικὸν εἰσεκομίσθη. εἰς δὲ τὴν μεγάλην ἐκκλησίαν ἐν ἑορτῇ ἀπελθὼν ὁ Βασίλειος, καὶ τῆς ἀναιμάκτου θυσίας μετασχεῖν βουληθεὶς, ἐκωλύθη παρὰ τοῦ πατριάρχου Φωτίου, ἀνδροφόνον ἀποκαλοῦντος αὐτόν. ὀργισθεὶς οὖν διὰ τοῦτο, σύνοδον συνήθροισε, καὶ τὸν Φώτιον τῆς ἐκκλησίας ἐξέωσεν, ὡς τάχα παρανόμως τοῦ Ἰγνατίου κατασπασθέντος τοῦ θρόνου τοῦ ἀρχιερατικοῦ, παρὰ Βάρδα τοῦ καίσαρος, καὶ αὐτοῦ μὴ κανονικῶς, ἐκείνου ζῶν-

ὅτι τῶν βασιλικῶν ἐκδαπανηθέντων χρημάτων ὁ βασιλεὺς συνάξαι ὅσα ἠδύνατο ἐσπούδασε.

ἵνα ὁ Φώτιος ἐξώσθη τῆς ἐκκλησίας.

τε, τὸ θεῖον τῆς θείας ἐπιβατεύσαντος, * πάτριον αὐτῷ τὴν πρόφασιν προβαλλόμενος, ἀνάγει αὖθις εἰς τὴν τῆς ἀρχιερωσύνης περιωπὴν τὸν θεῖον Ἰγνάτιον. ἄρτι δὲ τῶν σκήπτρων ἐπειλημμένου αὐτοῦ, ἐπανάστασιν αὐτῷ χεῖρα τῶν πατρικίων τινὲς Γεώργιος καὶ Σαββάτιος, οἱ γνωσθέντες ληφθέντες τε, ταῖς εἰς σῶμα ποιναῖς ἐκολάσθησαν. ἔστεψε δὲ βασιλεὺς Κωνσταντῖνον καὶ Λέοντα τοὺς υἱοὺς αὐτοῦ, μετέπειτα δὲ καὶ τὸν τρίτον Ἀλέξανδρον. τὸν δὲ τέταρτον Στέφανον πατριαρχεῖν βουλόμενος προχειρίσασθαι, νέον ὄντα τότε, τῷ κλήρῳ τῆς τοῦ θεοῦ ἐκκλησίας κατέταξε. τὰς δὲ θυγατέρας αὐτοῦ τέσσαρας οὔσας τῇ βασιλικῇ μονῇ τῆς ἁγίας Εὐφημίας κατέταξεν. ἐπὶ δὲ τῶν ἐν τῇ Κρήτῃ Ἀγαρηνῶν ἐκστρατεύσας, ἡττήθη, καὶ πολλοὶ μὲν ἔπεσον, ἑάλω δ' ἂν καὶ αὐτός, εἰ μὴ ὁ ἀβάστακτος Θεοφύλακτος, ὁ πατὴρ τοῦ μετὰ ταῦτα βασιλεύσαντος Ῥωμανοῦ τοῦ Λακαπηνοῦ, αὐτὸν διεσώσατο. ἐπανελθὼν δὲ εἰς τὴν μεγαλόπολιν, τὸν γαμβρὸν αὐτοῦ Χριστοφόρον ἐπὶ τῶν Ἀγαρηνῶν εἰς τὴν Κρήτην ἐκπέπομφεν. ὃς συμβαλὼν αὐτοῖς καὶ τρεψάμενος, τὸ θράσος σφῶν ἐπεπαύκει. ἐξεστράτευσε δὲ καὶ ἐπὶ τῶν ἐν τῇ ἑῴᾳ μοίρᾳ Ἀγαρηνῶν ὁ αὐτοκράτωρ Βασίλειος, καὶ ἐπὶ τῶν Μανιχαίων ὧν ἐξῆρχεν ὁ Χρυσόχειρ καλούμενος, καὶ φρούριά τινα κατασχὼν, καὶ λείαν ἐλάσας, ἐπεχείρησε μὲν πολιορκῆσαι καὶ τὴν Τεφρικὴν τὴν αὐτῶν μητρόπολιν. γνοὺς δὲ ταύτην καὶ προσεδρείας δεομένην πολλῆς, καὶ ἄλλως δυσάλωτον, ἄρας ἐκεῖθεν ἀπῄει. καὶ τὸν Εὐφράτην ἰσχυρῶς πολὺν ῥέοντα, ζεύξας τοῦτον ναυσὶ διεπέρασε, καὶ πολλὰ τῶν ἐκεῖ λῃσάμενος, καὶ φρούρια ἑλὼν ἕτερα, καὶ τοῖς μὲν τῶν βαρβάρων σπεισάμενος, τοὺς δὲ προσχωρήσαντας αὐτῷ δεξάμενος, εἰς τὴν τῶν πόλεων προκαθημένην ἐπανελήλυθε, καὶ θριαμβεύσας διὰ μέσης τῆς πόλεως, εἰς τὰ βασίλεια ἐπανῆκεν. ὁ δὲ τῶν Μανιχαίων προεστηκὼς ὁ Χρυσόχειρ ἐπὶ τὴν Ῥωμαϊκὴν ἐπιὼν χώραν, καὶ αὐτὴν ἐληΐζετο. στέλλεται τοίνυν ὁ βασιλεὺς κατ' αὐτοῦ τὸν δομέστικον τῶν σχολῶν. ὅτι δὲ μὴ ἀξιόχρεων ἐπήγετο δύναμιν ἐπὶ συστάδην αὐτῷ συμβαλεῖν οὐκ ἔκρινε δεῖν. ὅπῃ δὲ παρείκοι, τοῖς αὐτοῦ συμπλεκόμενος σκεδαννυμένοις καὶ ποιουμένοις καταδρομὰς, ἐκάκου αὐτοὺς, καὶ οὐκ ἀδεῶς εἴα ποιεῖσθαι τὰς ἐκδρομὰς καὶ τὰς λεηλασίας. διὸ καὶ ἣν ἤδη εἶχε λαβὼν λείαν ὁ Χρυσόχειρ ἐπαγόμενος, οἴκαδε ἐπανέστρεφεν. ὁ δὲ δομέστικος τῶν σχολῶν, δύο στρατηγοῖς ἐντείλατο παρέπεσθαι οἱ μετὰ τῶν ὑπ' αὐτοὺς ταγμάτων, καὶ μὴ ἐᾶν τοῖς βαρβάροις σκίδνασθαι καὶ λεηλατεῖν. ἑσπέρας δὲ τοῦ μὲν Χρυσόχειρος καὶ τῶν περὶ αὐτὸν αὐλισαμένων ἐν τῇ ὑπωρείᾳ, τῶν δὲ Ῥωμαίων τὰ μετεωρότερα προκαταλαβόντων, ἔρις ἐνέπεσε περὶ πρωτείων, καὶ τοῦ, τίνες ἂν εἶεν ἀγαθοὶ μᾶλλον τὴν ἰσχὺν τοῖς ἀμφοῖν τῶν στρατηγῶν στρατιώταις. ὡς δ' ἕκαστοι ἑαυτοὺς προετίθεσαν τῶν ἄλλων ἐμεγαλαύχουν, εἷς τις λῦσαι τὴν ἔριν σφίσι βουλόμενος, ἵνα τί μάτην συστρατιῶται, φησί, θρασυνόμεθα, ἐξὸν μὴ λόγοις ἀλλ' ἔργοις ἄρτι φανῆναι, τίνες ἄνδρες εἰσὶν ἀγαθοί, τῶν πολεμίων παρόντων; ἐδόκει οὖν ἡ βουλὴ τοῦ ἀνδρὸς ἀγαθή, καὶ αὐτίκα τοῖς πολεμίοις ἐπέθεντο, οἱ δὲ τῷ αἰφνιδίῳ καταπλαγέντες, νῶτα τοῖς βάλλουσιν ἔστρεψαν, καὶ τῆς διώξεως ἐπὶ πολὺ γενομένης, κατεστρώθη τὸ μεταξὺ πεδίον νεκροῖς, καὶ αὐτὸς δὲ ὁ Χρυσόχειρ ἔπεσε τότε, καὶ πολλοὶ δ' ἐζωγρήθησαν, καὶ τῷ βασιλεῖ ἐστάλησαν δέσμιοι, καὶ αὐτὴ δὲ ἡ κεφαλὴ τοῦ Χρυσόχειρος. Ἰγνατίου δὲ τοῦ πατριάρχου μεταστάντος εἰς τὰς ἐκεῖθεν μονὰς, ὃς ἐνδεκαέτη τὰ πάντα τὰ τῆς ἐκκλησίας ἴθυνεν οἴακας, ὁ Φώτιος τὸ δεύτερον παρὰ τοῦ βασιλέως εἰς τὸν τῆς ἀρχιερωσύνης θρόνον ἀνάγεται. ἐπιβουλὴ δὲ συσκευαζομένη ἐπὶ τοῦ βασι-

eo superstite occupasset. * coq; prætextu abusus D. Ignatiũ in Pōtificatus speculam restituit. Basilio recens sceptris potito, quidā ex Patricijs se opposuere, Georgius & Sabbatius, qui deprehēsi et capti, pœnas corporibus dederūt. *Insidiatores occisi.* Filios tres Constantinũ, Leonē & Alexandrũ augustalibus coronis ornauit. *Basilij liberi.* Quartũ natuq; minimum Stephanũ Patriarcham creare uolens, in numerum cleri Ecclesiæ retulit. Filias quatuor in regio monasterio S. Euphemiæ collocauit. Bello contra Cretenses Agarenos suscepto, uictus est, multisq; cæsis, & ipse captus esset, nisi Theophylactus Abastactus Romani Lacapeni, qui pòst imperauit pater, eum eripuisset. *Expeditiones contra Agarenos.* In magnam urbem reuersus, affinē suum Christophorũ in Cretam contra Agarenos misit. qui cum eos acie uicisset, Barbaricā audaciā fregit. Idem Basilius etiam contra Orientales Agarenos & Manichæos, qui cuidā Chrysochiri parebant, est profectus, & castellis quibusdā captis, actaq; præda, etiā Tephricam eorum Metropolim obsidere statuit, sed cum eam & longam obsidionem postulare, et alioqui expugnatu difficilē esse cognouisset, inde discessit: & Euphratē exundantem, nauibus iunctum transiit, ac circumiacentia loca populatus, multis castellis expugnatis, cũ Barbarorum alijs pace facta, alijs in deditionē acceptis; triumphans per mediam urbem inuectus, in Regiam est reuersus. At Manichæorũ principe Chrysochire, Romanas prouincias inuadente, easq; populante: Imperator Domesticum legionum contra eum mittit: qui quia iustas copias nō adducebat, acie cum hoste decernendum esse non putabat, sed ubi res ferebant, in excursionibus palantes & malè tractatos, inhibuit, quo minus securi prædatum exirent. Quare Chrysochir, abducta quā ceperat præda, domum redijt. Ac legionum Domesticus duos duces se cum suis legionibus sequi iussit, neq; pati Manichæos palantes prædas agere. *Domesticus legionũ Chrysochirem & Manichæos cædit.* Vesperi cum Chrysochir cũ suis ad radices montis castra haberet, iugo à Romanis præoccupato: contentio de præcellentia & ui bellica inter utriusque ducis milites est exorta. Vt uerò singuli se præstare alijs gloriabantur: quidam litem sedaturus, "Quid, inquit, commilitones frustra "nos iactamus, cum hoste propinquo, non "uerbis sed factis iam demonstrare liceat, qui sint uiri fortes? Eo consilio probato, statim hostes inuaserunt, quos subita aggressione perculsos terga dantes diu persequuti, tantam eorum stragem ediderunt, ut interiecta planicies cadaueribus impleretur. Cecidit & Chrysochir, multique capti & uincti ad Imperatorem missi, unà cum Chrysochiris capite. Ignatio Patriarcha defuncto, post Ecclesiam undecim annis gubernatam: Photius à Basilio secundum in pontificia sede collocatur. *Photio P[illegible] [illegible] restituitur.* Insidiæ Imperatori structæ

Insidiatorũ pœnæ. non latuerunt, eiusq́ue princeps Romanus Curcuas oculis est priuatus, reliqui flagris cæsi, rasisq́ue pilis relegati. Sub uernũ tempus Imperator unà cum filio Constantino Syriæ bellũ infert, castella quædam capit: quædã, iniecto ex aliorum expugnatione terrore, in deditionẽ accipit. *Basilij bellum Syriacum.* Deinde Germaniciam inuadit, & suburbijs incensis, urbem Adatã obsidet. *Germanicia Adata.* Ciuibus negligenter se defendentibus, Basilio rogante qua re freti se non dederent, urbe iam iam capienda: quidam prouectæ ætatis homo ait, se certò scire, non esse in fans, ut nunc urbs ab ipso capiatur, sed ab alio, qui ex eius lumbis descenderet, nomine Constantino. *Falsum oraculum.* Cum uerò Imperator filio demonstrato, eum esse Constantinum dixisset, & senex eum esse Cõstantinum, à quo sua urbs capienda esset, negaret, sed alium quendam ex eius posteris: Basilius ob eam diuinationem iratus, oppugnationẽ acrius urget, sed cum nihil proficeret, ac frigus exercitum infestaret: soluta obsidione, reditum cogitat, captiuis interfici iussis, ne custodia opus esset, néue opportunitatem nacti, aliquid nouarent. Cum autẽ Tarsenses & Melitenæi Agareni prouincias Romanas incursarent, Dux Andreas eorum insolentiam reprimebat, & missis ad se ab Amera blasphemis literis, quibus scribebat, si ipse illum inuasisset, nihil ei Mariæ filium profuturum, de imagine matris Dei suspensis, dixit: Domina, remunerare fremitum hominis arrogantis. *Andreas Dux Amerum Agarenum cædit.* His dictis contra blasphemum eduxit copias, commissáque pugna, hostes in fugam uersi maxima ex parte cadunt, ipse'que Ameras iugulatur, paucis fuga elapsis Sed Dux ex inuidia delatus, quum Tarsum etiam capere potuisset, noluisse: Imperator ducatum illi ademptum Styppiotæ tradit, & Tarsi excidium pollicenti, & alia magnifica iuueniliter iactanti, qui adeò nihil eorum quæ gloriabatur, effecit, ut etiam ex negligentia & inconsiderata castrametatione in cladem inciderit. *Styppiotes ab Agarenis profligatur.* Nam Barbari castra eius, in quibus nullas agi excubias cognorant, noctu aggressi, multos cædunt, sed plures à sese inuicem obtriti perierunt, itáque superiores fuere Agareni. Eo rerum Orientalium statu, Occidens peius etiam se habebat. Nam Italia quæ Romanis Imperatoribus parebat, & maxima Siciliæ pars, multæ'que gentes aliæ, sub Michaele tributariæ factæ sunt Carthaginensibus. *Agarenorũ Carthaginẽsium in Occidẽte grassationes, Basilij & Francorum auxilijs retunduntur.* Carthaginenses enim Agareni, classe instructa, multis'que oppidulis captis: Ragusium obsident. Ragusinis per legatos auxilia petentibus, Basilius centum naues bellicas subsidio mittit, quas contra se ire Agareni ubi cognouerunt, soluta obsidione Longobardiam inuasere, captáque Bari urbe, eius'que tuto receptu usi, totam Longobardiam occuparunt. Cæteræ quoque gentes quæ ab Agarenis premebantur, cum audissent

λαθεῖν οὐκ ἠδυνήθησαν, ὧν ὁ μὲν ἐξάρχων αὐτῶν ῥωμανὸς ὁ κουρκούας ἐξεκόπη τὰ ὄμματα, οἱ δὲ τούτῳ συνωμοσίαν ἔχοντες αἰκισθέντες, καὶ καρέντες τὴν τρίχα, ὑπερορίαν κατεδικάσθησαν. ἄρτι δὲ τοῦ ἔαρος ἀναλάμποντος, ἐκστρατεύει κατὰ τῆς συρίας, ἔχων τὸν υἱὸν τὸν κωνσταντῖνον μεθ' ἑαυτοῦ, καὶ αἱρεῖ τινὰ φρούρια, ἕτεροι δὲ καὶ προσεχώρησαν αὐτῷ διὰ τὴν τῶν ἄλλων ἅλωσιν δεδιότες. εἶτα τῇ γερμανικείᾳ προσβάλλει, καὶ τὰ προάστεια δῃώσας αὐτῆς, ἀφίκετο πρὸς πόλιν τὴν ἀδάταν, καὶ ταύτην ἐπολιόρκει. *ἐκστρατεία κατὰ συρίας.* ὀλιγώρως δὲ πρὸς τὴν πολιορκίαν διακειμένων τῶν πολιτῶν αὐτῆς, ἤρετο αὐτοὺς ὁ βασιλεύς, ὅτῳ πεποιθότες, οὐ προσέρχονται, εἰ ἄλλως τῆς πόλεως ἁλισκομένης· καί τις τῶν γηραιῶν προβεβηκὼς τὴν φύσιν, ἀκριβῶς εἰδέναι, ὡς οὐχ ὑπὸ σοῦ μέλλει πρὸς τὴν πόλιν ἁλῶναι νυνί, ἀλλ' ὑφ' ἑτέρου τῶν ἐξ ὀσφύος κατηγμένων τῶν σῶν κωνσταντίνου τὴν κλῆσιν. τοῦ δὲ βασιλείου τὸν υἱὸν ὑποδείξαντος, καὶ ὅτι ὁ κωνσταντῖνος οὗτος φήσαντος, ὁ γηραιὸς ἐκεῖνος, οὐχ οὗτος ἔφη ὁ κωνσταντῖνος ἐστίν, ὑφ' οὗ ἡμῶν ἡ πόλις ἁλώσεται, ἕτερος δέ τις τῶν ἐκγόνων τῶν σῶν. μηνίσας οὖν ἐπὶ τοῖς τοῦ πρεσβύτου μαντεύμασιν ὁ βασίλειος, κραταιότερον τῇ πολιορκίᾳ ἐπέθετο. *ὅτι πολιορκοῦντι τὴν ἀδάταν ὁ βασιλεῖ, ἡ ἀκρόπολις τῆς τύχης μὴ φροντίζοντας τῇ πολιορκίᾳ, ἔφη τινὰ γέροντα ἢ ὑπὸ τινός αὐτοῦ.* ἐπεὶ δ' οὐδὲν ἤνυε, καὶ ψύχους δὲ γεγονὸς ἐλύπει σφόδρα τὸ στράτευμα, τὴν πολιορκίαν λιπὼν, ἐπανόδου ἐμέμνητο, τοὺς αἰχμαλώτους ἀναιρεθῆναι προστάξας, ἵνα μὴ φυλακῆς δέωνται, ἤ τι νεωτερίσωσιν ἀδείας λαβόμενοι. οἱ δ' ἐκ ταρσοῦ καὶ μελιτηνῆς ἀγαρηνοὶ τὰς ῥωμαϊκὰς κατέτρεχον χώρας, οἷς ἀντιπαρὼν ὁ στρατηλάτης ἀνδρέας τὰς ὁρμὰς αὐτῶν ἀνέκοπτεν. ἐπιστείλαντος δ' αὐτῷ τοῦ ἀμηρᾶ τῆς ταρσοῦ, ὡς οὐδέν σε ὀνήσει ὁ τῆς μαρίας υἱὸς ἐπιόντι κατὰ σοῦ ἐλθόντος μου, ἐκεῖνος τὴν βλάσφημον ἐπιστολὴν λαβὼν, ἐνώπιον τῆς θεομήτορος ἐξηρτημένης εἰκόνος ἁπλώσας, ἐπὶ σοῦ ἀλαζόνι λέγων ὦ δέσποινα, τὸ φρύαγμα τούτου ἐπίσχες. *ὅτε οἱ ἐκ ταρσοῦ καὶ μελιτηνῆς ἀγαρηνοὶ ἐπλέονασαν.* καὶ τοῦτ' εἰπὼν, ἐχώρει κατὰ τοῦ βλασφημήσαντος, καὶ μάχης κροτηθείσης τρέπονται οἱ πολέμιοι, καὶ γίνεται τούτων φόνος πολύς, καὶ αὐτὸς δὲ ὁ ἀμηρᾶς ἀποσφάττεται, μετρίων διαφυγόντων τινῶν. φθονηθεὶς δὲ ὁ στρατηλάτης διεβέβλητο, ὡς δυνάμενος καὶ τὴν ταρσὸν ἑλεῖν, οὐκ ἐθελήσας. διὸ ἀφαιρεῖται μὲν ὁ βασιλεὺς τὴν ἀρχὴν ἀπ' αὐτοῦ, δίδωσι δὲ ταύτην τῷ στυππειώτῃ ἐπαγγελλομένῳ καὶ τὴν ταρσὸν ἐκπορθῆσαι, καὶ ἄλλα πλείω κατὰ νεοτέραν φρόνησιν νεανιευομένῳ. ὃς οὐ μόνον οὐδὲν ὧν ηὔχει κατώρθωσεν, ἀλλὰ καὶ δυστυχῆμα περιπέπτωκεν ἐξ ἀμελείας καὶ ἀπερισκέπτου στρατοπεδεύσεως. γνόντες γὰρ οἱ βάρβαροι τὸ ἐκείνου στρατόπεδον ἀφύλακτον εἶχεν, νυκτὸς αὐτῷ ἐπιτίθενται, καὶ ἀναιροῦσι πολλούς, οἱ πλείους δ' ὑπ' ἀλλήλων συμπατούμενοι διεφθάρησαν, καὶ οὕτως ὑπερέσχον οἱ ἐκ τῆς ἄγαρ. ἀλλὰ τὰ μὲν ἑῷα τοῦτον εἶχε τὸν τρόπον, χείρονα δὲ διέκειτο τὰ ἑσπέρια. ἥ, τε γὰρ τοῖς ῥωμαίων βασιλεῦσιν ὑπήκοος ἰταλία, καὶ τὰ πλεῖστα τῆς σικελίας, ὑπόφορα τοῖς καρχηδονίοις ἐπὶ τῆς βασιλείας τοῦ μιχαὴλ γεγόνασιν, ἀλλὰ μὴν καὶ ἄλλα τῶν ἐθνῶν πλείονα. στόλον γὰρ ἐξαρτυσάμενοι οἱ ἐκ καρχηδόνος ἀγαρηνοί, πολλὰ μὲν εἷλον πολίσματα, τέλος δὲ ἐπολιόρκουν καὶ τὸ ῥαγούσιον. *περὶ τῶν ἐκ καρχηδόνος ἀγαρηνῶν.* στέλλουσιν οὖν οἱ ῥαγουσινοὶ πρεσβείαν πρὸς τὸν βασιλέα βασίλειον, ἐπικουρίαν παρ' αὐτοῦ ἐξαιτούμενοι, καὶ ὃς ἑκατὸν αὐτοῖς πολεμιστηρίους νῆας ἐκπέμπει, ἃς ἐλθεῖν ἐπὶ σφίσι μαθόντες οἱ πολιορκοῦντες ἀγαρηνοί, λύσαντες τὴν πολιορκίαν τοῦ ῥαγουσίου, τῇ λογγιβαρδίᾳ προσέβαλλον, καὶ τὸ ἄστυ τῆς βάρεως εἷλον, καὶ τούτῳ χρώμενοι ὁρμητηρίῳ, πάσης τῆς λογγιβαρδίας ἐκράτησαν. γνόντα δὲ καὶ τὰ λοιπὰ ἔθνη, τὰ παρὰ τῶν ἀγαρηνῶν τότε, ὡς εἴρηται, πιεζόμενα,

μένα, τὸ γεγονὸς περὶ τὸ Ῥαγούσιον, καὶ ὅτι τὴν ἐκ Βασιλέως συμμαχίαν δείσαντες οἱ πολέμιοι, τῆς πολιορκίας ἀπέστησαν. πρεσβεύουσι καὶ αὐτοὶ συμμαχίαν αἰτοῦντες, καὶ ἑαυτοὺς τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ ὑποτιθέμενοι. καὶ ὁ βασιλεὺς τὴν πρεσβείαν προσήκατο, καὶ ἐπεκούρησε τοῖς αἰτήσασι διά τε τοῦ προειρημένου στόλου, καὶ διὰ τοῦ τῶν Φράγγων ῥηγός. ἐπέστειλε γὰρ ἐκείνῳ, συμπαραλαβέσθαι τοῦ περὶ τὸν Ἀγαρηνῶν πολέμου τῷ τῶν Ῥωμαίων στρατεύματι. ὑφ' ὧν ἡ τῶν Ἀγαρηνῶν κατεπολεμήθη στρατιά, καὶ ὁ ἀρχηγὸς αὐτῶν ὁ Σολδανὸς καλούμενος, ὃν ὁ ῥὴξ τῶν Φράγγων ἐν Καπύῃ ἀπήγαγεν. ὅπου δύο διατρίψας ἐνιαυτοὺς, οὐκ ὤφθη παρά τινος μειδιάσας οὐδέποτε, ὥστε τὸν ῥῆγα θαυμάζειν, καὶ ἄν τις ἀπαγγείλῃ αὐτῷ γελῶντα τὸν βάρβαρον, δώσειν τι ἐπαγγέλλεσθαι τῆς ἀγγελίας μισθόν. ἅπαξ οὖν τίς ποτε ἰδὼν τὸν Σολδανὸν γελάσαντα. καλέσας οὖν τὸν βάρβαρον ὁ ῥὴξ, τὴν αἰτίαν τοῦ γέλωτος ἠρώτα. ὁ δὲ τροχοὺς, εἶπεν, ἁμάξης ὁρῶν, ὧν τὸ μὲν πρόσγειον ἦν, τὸ δὲ ἦρτο μετέωρον, εἶτα τὸ μὲν μετέωρον κατῄει πρὸς γῆν, τὸ δὲ πρόσγειον μετεωρίζετο. οὕτω δ' ἀνάξας καὶ τὰ ἀνθρώπινα πράγματα κινεῖσθαι καὶ μεταφέρεσθαι ἐξεγέλασα λογισάμενος, ὡς ἐκ τοῦ αὐτοῦ τρόπου, οὕτω διατεθῆναι καὶ τὰ κατ' ἐμαυτὸν, καὶ ὥσπερ ἐξ ὕψους κατενεχθῆναι εἰς ταπεινότητα, οὕτως αὖθις ἴσως ἐκ χθαμαλότητος εἰς ὕψος ἐπαρθῆναι καὶ γενέσθαι μετάρσιος. ταῦτα μὲν εἶπεν ἐκεῖνος. ὁ δὲ ῥὴξ καὶ τὴν τῶν λόγων ἀλήθειαν εἰς νοῦν ἀναλαβὼν, καὶ τὸν Σολδανὸν τῆς μεταβολῆς κατοικτείρας, ἀνῆκέ τε αὐτὸν, καὶ παρρησίας μετέδωκε, καὶ συνετὸν τὸν ἄνδρα οἰόμενος, ἐκοινώνει καὶ βουλευμάτων αὐτῷ. ὁ δὲ πανοῦργος ὢν, δόλῳ τὸν ῥῆγα μετέρχεται. ὁ μὲν γὰρ ῥὴξ τήν τε Καπύην καὶ τὴν Βενεβεντὸν τὰς πόλεις νέον κτησάμενος, ἐδεδίει περὶ αὐτῶν, μή ποτε τῆς ἐλευθερίας ἀντιποιήσονται. ὁ δὲ βάρβαρος ἐκεῖνος τοῦτ' ἐγνωκὼς, πρόσεισι τῷ ῥηγὶ, καὶ φησίν. εἰ βούλει σοι τὴν τῶν πόλεων τούτων ἀρχὴν βεβαίαν περισῶσαι, τοὺς λογιμωτέρους τῶν ἐν αὐταῖς μετοίκισον ἀλλαχοῦ, καὶ ἐκεῖνο τὸ πλῆθος καθ' ἑαυτὸ γεγονὸς, οὐδὲν φρονήσει νεώτερον. συναινέσας οὖν τῇ συμβουλῇ ὁ ῥὴξ εὐήθης, εἴχετο τοῦ σκοποῦ, καὶ ἀσυμφανῶς δεσμὰ ἐχαλκεύοντο. εἶτα καὶ τοῖς ἐξόχοις τῶν ἐν ταῖς πόλεσιν ὁμιλεῖ ὁ πονηρὸς ἐκεῖνος ἀνὴρ, καὶ ὥσπερ φιλικώτερον προσφερόμενος, καὶ ἐν ἀπορρήτοις λέγει αὐτοῖς ὡς ὁ ῥὴξ βούλεται τοὺς ἀξιολογωτέρους τῶν πολιτῶν, ὑπὸ δεσμοῖς ποιησάμενος, εἰς τὴν ἑαυτοῦ χώραν μεταγαγεῖν, καὶ πίστις, ἔφη, τῶν λόγων τὸ τὰς σιδηρᾶς ἁλύσεις χαλκεύειν καὶ χειροπέδας καὶ ἄλλα δεσμά. ὅπερ ἐπεὶ ἐκεῖνοι ἀληθὲς εὑρηκότες, εὔνοιαν αὐτοῖς αὐτὸν ὑπειλήφασι, καὶ ἐξελθόντι πρὸς κυνηγέσιον τῷ ῥηγὶ τὰς πύλας τῆς πόλεως ἐπέζευξαν, καὶ οὐκέτι τοῦτον ἐντὸς εἰσεδέξαντο. καὶ ὁ μὲν ἀπῆλθε πρὸς ἑαυτὸν, ὁ δὲ Σολδανὸς παρὰ τῶν πολιτῶν ἐκείνων ἀντιμισθίαν εὕρατο τὴν ἐλευθερίαν. ἀπελθὼν οὖν καὶ τὴν προτέραν ἀρχὴν αὖθις καταστησάμενος, ἐπεστράτευσε κατὰ τῶν εἰρημένων πόλεων τῆς τε Καπύης καὶ τῆς Βενεβενδοῦ. οἱ δὲ τῇ πολιορκίᾳ πιεζόμενοι, στέλλουσι πρὸς τὸν ῥῆγα, συγγνωμονῆσαι σφίσι, καὶ συμμαχῆσαι θερμῶς ἐξαιτούμενοι. ὡς δ' ἐκεῖνος τὴν πρεσβείαν οὐ προσήκατο, ἐπιχαίρειν εἰπὼν τῇ ἀπωλείᾳ αὐτῶν. πρὸς τὸν Βασιλέα Βασίλειον ἑτέραν πρεσβείαν ἐστάλκασι, παρακαλοῦντες ἐπαρῆξαι αὐτοῖς κινδυνεύουσι. καὶ ὃς ὑπέσχετο, καὶ ὁ πρεσβευτὴς ἐπανιὼν, θαρρεῖν παρεγγυήσων τοῖς συμπολίταις αὐτοῦ. ἑάλω δ' ὑπὸ τῶν πολεμίων, καὶ μαθὼν ὁ Σολδανὸς

Ὁ τῆς Φραγγίας συμμαχεῖ Ῥωμαίοις κατὰ τῶν Ἀγαρηνῶν, καὶ ἐνίκησε. τὸν ἀρχηγὸν αὐτῶν παρὰ τὸ ῥηγὸς, καὶ ἐκ[illegible] καὶ δόλῳ, καὶ ἐκπαίζει.

quid Ragusii accidisset, & ut hostes, reformidatis Imperatoris auxilijs, ab obsidione destitissent: auxilia & ipsæ petunt, se Romano imperio subijcientes. Basilius recepta legatione, supplicibus & classe illa & per Francorum Regem opem tulit. A quo per literas petijt, ut Romanis legionibus in bello Agarenico adesset, ab ijsque Agarenorum exercitu deuicto, eorum princeps, quem Sultanum uocant, captus, & à Rege Capuam perductus. Vbi quum biennium uersatus esset: nunquam à quoquam risisse uisus est, ut Rex miratus, diceret, se ei qui Barbarum risisse nunciaret, præmium daturum. Quem quum quidam semel risisse nunciasset, accersito Sultano risus causam quæsiuit. At ille: Rotas currus (inquit) uidi, quarum quum altera terræ incumberet, altera sursum tolleretur: mox ea quæ sublimis fuerat, depressa: quæ humilis, in altum elata est. Vnde coniectura capta, res humanas etiam eodem modo moueri & transferri, in risum erupi: posse fieri cogitans, ut & mearum rerum idem status esset: ac me, quemadmodum è sublimi sum humi depressus, sic ex humili loco in altum elatum, sublimem fore. Rex & ueritate orationis considerata, & Soldani ob fortunæ cõmutationem misertus: eum liberius habitum in familiaritatem suam asciuit, & eius ut uiri prudentis consilijs usus est. Is uerò, homo callidus, Regem dolo circumuenit. Nam cum Capua & Beneuento recens potitum uereri cognouisset, ne eæ urbes de uindicanda libertate cogitarent: Si, inquit, Imperium istarum urbium firmum habere studes: ciues clariores aliò transferto. Nam uulgus per se, nouis rebus non studebit. Id consilium Rex sibi utile futurum ratus, exequi statuens, clam uincula ferrea fabricabatur. At improbus ille uir, cum utriusque ciuitatis principibus colloquẽs, atque in eorum familiaritatem sese insinuans, secretò dicit, Regem in animo habere primarios ciues uinctos in suam transferre regionem. Quod uerè à se dici, illud argumento esse quod ferreas cathenas, manicas, aliáque uincula fabricaretur. Id illi quum uerum deprehendissent, hominem sibi bene uelle opinati, Regi uenatum egresso portas clauserunt. Is igitur non admissus domum redijt, Sultanus autem à ciuibus libertate remunerationis ergò accepta, pristinóque Imperio recuperato, ijsdem Capuanis & Beneuentanis bellum infert. Qui cum obsidione urgerentur, per legatos admissi facinoris ueniam à rege precati, suppetias sibi ferri enixè petunt. Sed ut ille, repudiata legatione, se interitu illorum lætari dixit: ad Imperatorem Basilium alia legatione missa, ut sibi periclitãtibus subueniret, cum legatus impetratis auxilijs rediret, ciues suos bonis animis esse iussurus: captus est ab hostibus, ex quo cũ Sulta-

Sultanus Agarenorum à Frãcis captus, Regẽ eorũ dolo-so consilio Capua et Beneuento pellit.

Res humanæ rotis curruum similes.

Sultanus eiectis Francis Capuam & Beneuẽtum frustra obsidet.

[...]quam Legatus pro salute patriæ se deuouet.

nus cognouisset, unde ueniret, & quàm lętũ ciuibus nuncium afferret ait illi, Si uiuere uolueris, tuis de muro prospectantibus renunciato, Imperatorem auxilia negasse. Quòd ni feceris, te è uestigio moriturũ scito. Promisit ille se facturum quemadmodum iuberetur, & uinctus astans ante mœnia, dum se legationẽ obiisse, & auxilia statim ab Imperatore uentura dicit, gladijs dissecatur. Sultanus uerò urbiũ expugnatione desperata, recessit.

Agarenorũ Tarsensiũ Cretensium & Carthaginensium clades.

Tarsi quoque Ameras Esman cum magnis nauigijs, quę Agareni Cũparia uocãt, Euripi urbẽ aggressus, nihil effecit, sed & ipse letali accepto uulnere perijt, & maxima pars exercitus illius. Cretæ porrò princeps Saet Apochaps, Photiũ uirum strenuũ alteri classi à se instructa præfecit, qui & Ægæi maris oram, & insulas populabatur. Cui cum Romana classis, cuius nauarchus erat nauticus Drungarius Patricius Nicetas Ooryphas, occurrisset: multas hostiliũ nauium unàcum uectoribus igni Græco in cineres redegit, multas ferro confecit, ac plures demersit. Qui multiplex hoc discrimen turpi fuga euaserant, incolumitate non contenti, piraticis nauibus paratis, Peloponesum & uicinas insulas uexauerũt. Sed eos idem Drungarius, cum ad portum Cenchrearũ applicuisset, ac naues hostiles circa Methonã, Pylum & Patras crebrò stationes habere didicisset: triremibus per Isthmum Corinthiacum celeriter terra traductis, subitò aggreditur: ijsq́; improuisa impressione perculsis piraticas naues partim cremat, partim cum ipsis uiris demergit, duce quoq; ipso hostium Photio interfecto. Et sic classis Cretensium perijt. Verum ex Aphrica aliæ naues sexaginta ingẽtes Romanis prouincijs uastãdis usq; ad Cephaleniam & Zacynthum processerunt. Contra eas Narsan classis pręfectus missus est. Sed cum multi ex remigibus fugã cepissent, et triremes semiuacuæ essent: nauarchus ita cum hostibus non congrediendũ esse ratus, casum illum ad Imperatorem refert, &

Captiui pro desertoribus supplicio affecti.

desertores inquisiti, ac citò reperti sunt. Vt autem terrorem incuteret nautis, nec ullum tamen Christianum supplicio afficeret: triginta captiuos Agarenos carcere noctu extractos, fuligine inungi ne agnoscerentur, flagris'que cæsos per forum circumduci, & in Peloponesum perductos palis affigi iussit. Quo facto classiarij perterriti, noctúque hostes aggressi profligarunt, alijs cæsis, alijs captis. Deinde in Siciliam quoque transuecti, urbes Carthaginensibus obnoxias uexarunt & uastarunt.

Mesembriaci Arabes [...] mari [...] et infestant.

Cæterum Mesembriaci Arabes, cognito Romanæ classis ocio, nauibus aduecti, Phœnicię & Syriæ oram infestarunt.

[...] templa ædificationes.

Basilius enim cædem Michaelis decessoris sui expiaturus, multis in locis urbis regię Archiduci Michaeli noua templa, atq; in ipsa Regia magnificã & sumptuosam ędẽ, nouæ Ecclesiæ indito nomine, cõstruxit.

ὅπη τε ἦν, καὶ οἷα κομίζει τοῖς ἀστοῖς εὐαγγέλια. φασὶ πρὸς αὐτὸν μιξοβάρβαροι, ἀπαγορεῦσαι τὸν βασιλέα τὴν συμμαχίαν τοῖς πέμψασιν· τοῦτ' ἀπάγγειλον ἐκ τοῦ τείχους προκύψας, εἰ γὰρ μὴ οὕτω ποιήσεις, ἴσθι αὐτίκα διατεμνόμενος. ὁ δὲ συνθέμενος ποιήσειν ὡς ᾐτεῖτο, ἐπεὶ πρὸ τοῦ τείχους δέσμιος κατεχόμενος, ἔφη καὶ τὴν πρεσβείαν ἀνύσαι, καὶ ἥξειν ὅσον οὔπω ἐκ βασιλέως βοήθειαν, καὶ ὁ μὲν ταῦτα λέγων, τοῖς ξίφεσι κατατέτμητο. ὁ δὲ σουλτάνος ἀπελπίσας τὴν τῶν πόλεων ἅλωσιν, ὑπεχώρησε. καὶ ὁ τῆς Ταρσοῦ δὲ ἀμηρᾶς Ἐσμὰν μετὰ πλοίων μεγάλων, ἃ κουμπάρια τοῖς ἐκ τῆς Ἄγαρ ὀνομάζεται, τῇ πόλει τοῦ Εὐρίπου προσέβαλεν. ἤνυσε δὲ οὐδὲν, ἀλλ' αὐτός τε ἀπώλετο καιρίας πληγείς, καὶ τὸ πλεῖον τῆς στρατιᾶς αὐτοῦ. ἀλλὰ μέντοι καὶ ὁ τῆς Κρήτης κρατῶν Σαὴτ ὁ Ἀποχὰψ ἕτερον στόλον ἑτοιμασάμενος, Φώτιόν τινα δραστήριον ἄνδρα τούτῳ ἐπέστησεν, ὃς τά τε παράλια τοῦ Αἰγαίου, καὶ τὰς νήσους ἐκάκου. ᾧ συναντήσας ὁ τῶν Ῥωμαίων στόλος, οὗ ναύαρχος ἦν ὁ τῶν πλοΐμων δρουγγάριος ὁ πατρίκιος Νικήτας ὁ Ὠορύφας, πολλὰς μὲν τῶν πολεμίων νηῶν ὑγρῷ πυρὶ ἀπετέφρωσε καὶ σὺν ταύταις τοὺς ἐμπλέοντας, πολλὰς δὲ μαχαίρας ἔργον ἔθετο, καὶ πλείους ὑποβρυχίους ἐποίησεν. ὅσοι δὲ τὸν πολυειδῆ τοῦτον ἔφυγον κίνδυνον, αἰσχρῶς ἀποδράντες ἐσώθησαν. οὐκ ἠγάπων μέντοι σεσωσμένοι, πειρατικὰς δὲ νῆας ἑτοιμασάμενοι, τὴν Πελοπόννησον καὶ τὰς ἐκεῖ κατέτρεχον νήσους. ἀλλ' αὖθις αὐτοῖς ὁ ῥηθεὶς τοῦ στόλου δρουγγάριος ἐπιστὰς, ὑπὸ γὰρ λιμένι προσορμίσας τῶν Κεγχρεῶν, καὶ τὰ πολέμια πλοῖα περὶ Μεθώνην καὶ Πύλον καὶ Πάτρας ἐμφιλοχωρεῖν ἐγνωκώς, διὰ τοῦ περὶ Κόρινθον ἰσθμοῦ ταχέως διαγαγὼν τὰς τριήρεις ἐν τῇ ξηρᾷ, ἐπιτίθεται τοῖς πολεμίοις αἰφνιδίως, καὶ ὑπὸ τοῦ ἀνελπίστου καταπεπληγμένων αὐτῶν, τὰς μὲν τῶν λῃστρικῶν νηῶν ἐνεπύρπολησε, τὰς δὲ καὶ αὐτάνδρους κατέδυσε, καὶ αὐτοῦ τοῦ τῶν πολεμίων ἐξηγουμένου Φωτίου ἀναιρεθέντος. οὕτω μὲν οὖν ὁ καὶ τῆς Κρήτης ἀπώλετο στόλος. νῆες ἀφρικαὶ δ' αὖθις ἕτεραι ναῦς ἑξήκοντα παμμεγέθεις ἐξώρμησαν, καὶ τὰς ὑπὸ Ῥωμαίοις νήσους ἐλυμαίνοντο, καὶ μέχρι Κεφαλληνίας καὶ Ζακύνθου προῆλθον. εἶτα στέλλεται κατ' αὐτῶν ναυτικὸν κατ' αὐτῶν, Νάσαρ ἄρχοντα τὸν στόλον ἔχον, πολλῶν δ' ἐκ τοῦ πλοὸς τῆς εἰρεσίας πονούντων καὶ ἀποδρασάντων, αἱ τριήρεις ἦσαν ἡμίκενοι. διὸ καὶ ὁ ναύαρχος οὐχ ἱκανὸν δεῖν ᾠήθη συμμῖξαι τοῖς πολεμίοις, ἀλλ' ἀναφέρει τῷ βασιλεῖ τὸ συμβάν, καὶ οἱ λιποτάκται ζητηθέντες ταχὺ κατεσχέθησαν. ἵνα δὲ καὶ φόβον ἐμποιήσῃ τοῖς ναυτικοῖς, καὶ μηδένα κολάσῃ Χριστιανόν, τριάκοντα τῶν ἐν εἱρκταῖς φρουρουμένων αἰχμαλώτων Ἀγαρηνῶν ἐκβληθῆναι κελεύει νυκτὸς, καὶ περιχρισθῆναι μὲν αἰθάλῃ τὰ σώματα αὐτῶν, ὡς ἂν μὴ διαγινώσκοιντο, μάστιξι δὲ ξαίνεσθαι σφᾶς καὶ διὰ τῆς ἀγορᾶς περιάγεσθαι. εἶτα ἀνασκολοπισθῆναι εἰς Πελοπόννησον ἀπαχθέντας. ὃ γνόντες οἱ τοῦ στόλου ναυτικοὶ διεπτοήθησαν, καὶ τοῖς ἐναντίοις ἐπῆλθον νυκτός, καὶ τρόπαιον ἤγειραν τῶν μὲν ἐσφαγμένων, τῶν δὲ ἑαλωκότων. εἶτα καὶ εἰς Σικελίαν διέβησαν, καὶ τὰς ἐκεῖ πόλεις, ὅσαι τοῖς Καρχηδονίοις ὑπέκειντο, ἐκάκωσάν τε καὶ διήρπασαν. καὶ οἱ ἐν Μεσημβρίᾳ δὲ Ἄραβες, ἠρεμεῖν τὸν Ῥωμαϊκὸν μαθόντες στόλον, τὰ τῆς Φοινίκης καὶ τῆς Συρίας ναυσὶ προσπλέοντες ἐκάκουν παράλια. ὁ γὰρ βασιλεύς, ὅτι Μιχαὴλ ἀνεῖλε τὸν πρὸ αὐτοῦ βασιλεύοντα, οἷον ἐξιλασκόμενος τὸν θεόν, πολλαχοῦ τῆς βασιλίδος τῶν πόλεων τῷ ἀρχιστρατήγῳ Μιχαὴλ ναοὺς ἐδείματο ἐκ καινῆς, καὶ ἐν αὐτοῖς τοῖς ἀνακτόροις ἐδομήσατο τοῦτον περικαλλέστατον καὶ πολυδάπανον τέμενος, ὃ καὶ νέαν ἐκκλησίαν ἐκάλεσεν.

ἐν τούτοις

ἐν τοσούτοις ἀεὶ δράμασιν ἀσχολουμένων τῶν πλωΐμων, καὶ τῶν νώτων αὐτῶν οὐκ ἀφισταμένων ἐκ τῶν ἀχθῶν, τῶν χειρῶν αὐτῶν ἐν τοῖς κοφίνοις ἀσχολουμένων, ὁ στόλος ἐσχόλαζε. διὸ οἱ Ἀγαρηνοὶ ἀδεῶς, ὡς εἴρηται, τὰ παράλια ἐληΐζοντο, καὶ οὐ μόνα ταῦτα ἐπῄεσαν, ἀλλὰ καὶ τὴν Συράκουσαν ἐξεπόρθησαν. ὁ δὲ Βασιλεὺς τὸ ναυτικὸν τοῦ στόλου κατέτριβε ταῖς οἰκοδομαῖς, καὶ τοῦ προφήτου Ἠλιοῦ τοῦ Θεσβίτου ναὸν ἀνεγείρας, ἐτίμα γὰρ αὐτὸν διαφερόντως, καὶ ὥσπερ προσληφθήσεσθαί ποτε παρ' αὐτοῦ, καὶ τῷ πυρίνῳ συναναχθήσεσθαι ἅρματι. ὅμως μαθὼν τὴν ἅλωσιν καὶ κατασκαφὴν τῶν Συρακουσῶν μαθὼν, ἐστάλκει τοὺς ἀντιπαραταξομένους τοῖς ἀλιτηρίοις Ἀγαρηνοῖς. ἀλλ' οὐδὲν ἤνυσε. εἶτα τὸν Φωκᾶν Νικηφόρον, τὸν πάππον τοῦ μετέπειτα βασιλεύοντος Φωκᾶ, μετὰ δυνάμεως ἀξιομάχου ἐξέπεμψεν, ἄνδρα γενναιότατον ὁμοῦ καὶ στρατηγικώτατον, ὃς καὶ πολλὰ ἐπὶ τῶν Ἀγαρηνῶν ἐγείρατο τρόπαια. ὅτε δὲ ἐπὶ Θεοφιλίτζη, ὡς προείρηται, ὑπηρέτης ἦν ὁ Βασίλειος, συγκατῆλθεν ἐκείνῳ εἰς Πελοπόννησον, καὶ εἰς τὸν τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου ναὸν εἰσῆλθε σὺν τῷ κυρίῳ αὐτοῦ. ἦν δὲ ἐκεῖσε προσμένων μοναχός τις, ἀρετῇ ποιούμενος ἀρετήν, ὃς τοῦ μὲν Θεοφιλίτζη οὐδεμίαν φροντίδα πεποίηται, τὸν δὲ Βασίλειον θεασάμενος, ὑπεξανέστη καὶ προσεκύνησε, καὶ φιλοφρόνως ἐδεξιώσατο. γυνὴ δέ τις χήρα ἐν τῇ χώρᾳ ἐκείνῃ τυγχάνουσα, καὶ τῶν ἐγχωρίων πρωτεύουσα, πλούτῳ τε περιβριθομένη πολλῷ, συνήθης οὖσα τῷ μοναχῷ, καὶ μαθοῦσα τὸ γεγονός, μεταπεμψαμένη αὐτὸν ἠρώτα, πῶς τὸν μὲν Θεοφιλίτζην ἄρχοντα περιφανῆ, καὶ τοῖς βασιλεῦσιν ἐπὶ γένος προσήκοντα, οὔτε προσρήσεως οὔτε ἀξιώσεώς τινος κατηξίωσε, τὸν δὲ ἐκείνου ὑπηρέτην καὶ προσεφώνησε καὶ τιμῆς μετέδωκεν, οὐκ ἀναλογούσης τῇ καταστάσει αὐτοῦ, ἀλλὰ καὶ λίαν ὑπερβαλλούσης αὐτήν· ἐδόκει γὰρ εἰδέναι τὸν μοναχὸν μὴ ἀλόγως πεποιηκέναι τὸ γεγονός. ὁ δὲ τὸν μὲν Θεοφιλίτζην ἰδιώτην, ἀπεκρίνατο, ἑώρων, βασιλέα δὲ τὸν Βασίλειον, καὶ διὰ τοῦτο καὶ ὡς βασιλέα τὸν ἄνδρα τετίμηκα. οἶδα γὰρ ὡς πρὸς τοῦ θεοῦ βασιλεὺς ἐκεῖνος ἀναρρηθήσεται. τοῦτο ἀκούσασα ἡ γυνή, ἐπεὶ νοσήσας ἐκεῖ κατελείφθη ὁ Βασίλειος, ἀπάραντος ἐκεῖθεν τοῦ κυρίου αὐτοῦ, προσελάβετο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς, καὶ θεραπείας ἠξίωσε, καὶ ἀναρρωσθέντα ἀναδοχὸν τὸν ἀδελφὸν τοῦ υἱοῦ αὐτῆς γενέσθαι πέπεικε, καὶ χρήματα παρέσχεν, εἶτα καὶ τὴν βασιλείαν αὐτῷ προηγόρευσε, καὶ ὅτε τεύξεται τῆς ἀρχῆς, μὴ ἐπιλαθέσθαι τοῦ παιδὸς αὐτῆς ἀξιοῖ, μήτ' αὐτῆς, εἴ γε τοῖς ζῶσιν ἔτι συγκαταλέγοιντο. ὁ μὲν Βασίλειος ἐπὶ τούτοις ἀπῆλθεν. ἐκείνη δὲ, βασιλεύσαντος ἄρτι τοῦ Βασιλείου, πρὸς τὴν βασιλίδα τῶν πόλεων μετὰ τοῦ υἱοῦ παραγενομένη, δῶρα προσαγαγοῦσα πολυτελῆ καὶ πολλὰ, φιλοτίμως ὁ Βασιλεὺς προσεδέξατο, καὶ τὸν υἱὸν αὐτῆς, τὸν ἀδελφὸν ἐκ πνευματικῆς ἀναδόσεως, ὡς εἴρηται, ἀξίᾳ πρωτοσπαθαρίου τετίμηκε. σεισμῶν δὲ διαφόρων συμβάντων, ἐξ ὧν πολλοὶ ναοὶ διερράγησαν, ὁ Βασιλεὺς αὖθις αὐτοὺς ἀνωρθώσατο. οὐ μὴν ἀλλὰ καὶ τὴν δυτικὴν μεγάλην ἀψῖδα τῆς τοῦ θεοῦ λόγου σοφίας ῥαγεῖσαν, καὶ πεσεῖν τυγχάνουσαν προσδοκώμενον, μηχαναῖς τεχνιτῶν συνεσφίγξατό τε καὶ ἥδρασε, καὶ τῶν Ἰουδαίων πολλοὺς δόσει χρημάτων καὶ ὑποσχέσεσι χριστιανοὺς γενέσθαι πέπεικε, καὶ τὸ ἔθνος τῶν Ῥῶς σπεισάμενος, εἰς ἐπίγνωσιν ἐλθεῖν τοῦ καθ' ἡμᾶς μυστηρίου πεποίηκε. συνθεμένους γὰρ βαπτισθῆναι, ἀρχιερέα αὐτοῖς ἐξέστειλε παρὰ τοῦ πατριάρχου. οἱ δὲ μεταθέσθαι μέλλοντες ἐκ τῆς οἰκείας θρησκείας εἰς τὴν καθ' ἡμᾶς, ὤκνουν τε καὶ ἐδίσταζον. καὶ εἰ μή τι θαῦμα ἴδωμεν, εἶπον πρὸς τὸν ἀρχιερέα,

περὶ τῆς γυναικὸς ... μοναχοῦ ... ναῷ τοῦ ἁγίου Ἀνδρέου ...

περὶ τοῦ Βασιλείου ὡς βασιλεύσει.

ὅτι βασιλεύσαντος τοῦ Βασιλείου προσῆλθεν αὐτῷ ἡ γυνὴ μετὰ τοῦ υἱοῦ αὐτῆς καὶ ἐτιμήθησαν.

ὅπως τὸ ἔθνος τῶν Ῥῶς ... ἐχριστιανίσθη.

Nautis igitur his substructionibus occupatis, cum eorũ terga à tollendis oneribus nunquã uacarent, cum manus in cophinis occupatæ essent, classis ociosa fuit. Qua de causa Agareni oram maritimã impune prædabantur. Neque uerò illam duntaxat infestarunt, sed Syracusas etiam deuastarũt, Imperatore nautas ædificationibus defatigante, qui etiã Eliæ Thesbitæ, quem eximia ueneratione colebat, ædẽ extruxit, fore sperans ut ab eo, curru igneo, in cœlum tolleretur. Tamen Syracusarum captiuitate & reuersione cognita, misit qui nefarijs Agarenis resisterent: sed nihil profecit. Deinde Phocam Nicephorum, eius Phocę qui pòst imperauit, auum, cum iustis copijs ablegauit, uirum fortissimum, & rei militaris peritissimum, qui Agarenos sæpe profligauit. Dum autem Basilius Imperator Theophilitzi, ut suprà dictum est, adhuc inseruiret, unà cum illo in Peloponesum descendit, & templum Andreæ est ingressus, in quo degebat monachus quidam uirtutis studiosus, qui Theophilitzæ nullam rationẽ habuit, sed Basilio conspecto, honoris causa surrexit, eumq; adoratum amãter excepit. Eo mulier quædam uidua illius loci primaria, & magnis opibus affluens cognito, hominẽ pro familiaritate accersitũ interrogat, Cur Theophilitzẽ principẽ illustrem, & Imperatoribus cognatũ neq; alloquio neq; ullo officio dignatus esset, ministrũ uerò eius affatus esset & honorasset, longè supra conditionem eius? Nam cum monachũ nosset, id eum non temere fecisse arbitrabatur. At ille, Theophilitzem, inquit, priuatum uidi, Basilium uerò Imperatorem, eaq; de causa honorem ei ut Imperatori habui. Scio enim eum à Deo Imperatorem designatum esse. Quibus mulier auditis, Basilium post discessum sui domini, ægrotum illic relictum, in suas ædes recepit, curataq; & confirmata ualetudine persuasit, ut sui filij frater adoptiuus esse uellet, ac data pecunia, Imperium ei prædixit, orans, ut principatum adeptus, filij suiq; (si adhuc in uiuis esset) non obliuisceretur. His actis Basilius discessit, illa uerò, ei recens Imperio potito, cum filio Cõstantinopolim profecto, multa preciosa munera obtulit. quam ille honorificè excepit, eiusq; filiũ, quem spiritus impulsu fratrem nactus fuerat, Protospatarij dignitate ornauit. Ædes sacras diuersis terræ motibus collapsas instaurauit, atq; etiam magnum fornicem templi D. Sophiæ ruptũ ruinamq; minitantẽ, machinis artificum constrinxit, & firmauit. Multis Iudæis præbita promissaq; pecunia persuasit, ut Christiani fierẽt. Pace cum gente Rhossica facta, effecit, ut illa in cognitionem arcanarum nostrorum perueniret: & cum se baptizari uelle promisissent, Pontificem eis misit. Cæterum à sua religione ad nostrã transituri, tergiuersabãtur et dubitabãt: ac nisi miraculum uiderimus, inquiunt Pontifici,

Phocas Nicephorus.

Peloponensis monachus Imperium Basilio prædicit.

Vidua Peloponensis calidè sibi Basilium conciliat.

Rhossi Christianismum amplectuntur.

Euangeliũ ab igne inuiolatum. qualia tu multa à Christo facta esse doces: nunquam doctrinam tuam amplectemur. Tum is: Petite, inquit, quod uultis. At illi dixerunt: Liber qui de Christo docet, est in ignem con- » ijciendus: qui si inuiolatus manserit, argumen- » to nobis erit, uerè Deum esse, qui à te prædicatur. Assenso Episcopo, rogus est incensus: Pontifex cum manibus & oculis in coelum » sublatus dixisset, Glorifica nomen tuum Christe Deus: sacrum euangelium in rogum imponit, quod diu in flamma relictum, illæsum mansit. Eo miraculo Barbari obstupefacti, prædicationi crediderunt, & ut sacro baptismate initiarentur flagitarunt. Et hæc sic acta sunt. *Santabarenus spectrũ Constantini mortui Basilio offert.* Cæterum unus ex Imperatoris filijs Constantinus, patri præ cæteris charus, ex morbo obijt, cuius mortem grauiter ferens, omni consolatione repudiata, illum sibi uiuentem offerri cupiebat. Fuit autem quidam monachus Theodorus, cognomento Santabarenus, Imperatori ob summam de ipsius uirtute persuasionem, ut etiam miracula edere cre- » deretur, familiaris, idemque Metropolis Euchaitarum antistes. Is igitur fertur Imperatori defunctum filium ostendisse uiuentem, cum effecisset, ut Constantinus equo insidens patri occurrere uideretur, quem quum amplexus & deosculatus esset, non amplius uiderit Imperator. Sed & alijs similibus factis Santabarenus Imperatore in admirationem adducto, effecerat, ut is totus ex ipso penderet, ut fidem ei haberet, neque ulla in re diffideret. Imperator igitur hoc modo erga Santabarenum affectus fuit. *Santabarenus doloso consilio & calũnia Leonem in periculum capitis cõijcit.* Sed Leo filius eius iam adultus, & Martinacij filia uxore ducta, à patre imperator salutatus, Santabareno non delectabatur, sed eum ueneficum appellabat, & præstigiatorem, & Imperatoris deceptorem. His ille ueluti spiculis quibusdam ictus, ad ultionem insurgit, simulataque erga Leonem beneuolentia. Cum sis, inquit, adolescens, Imperator, & cum patre ueneris atque equites: pugio etiam tibi ferendus est, quo & contra feram utaris, & patri porrigas, cum res tulerit, aut etiam insidiatores eius ulciscaris. Is dolo non animaduerso, pugionem, ut ille suaserat, in calceo fert. Eo pugione Santabarenus ad ultionem Leonis usus, Imperator, inquit, filius tuus tibi insidiatur, indicio illud est, quod in uenatu pugionem occultum gerit. His auditis, uenatum exit Basilius, Leo Patrem comitatur, inuentus est pugio in calceo Leonis occultatus. Visus est uera dixisse delator. Rei defensio non admittitur, ardet iracundia pater contra filium: in quodam imperatorio cubiculo concludit, &, ut quidam tradunt, ei oculos eruere in animo habebat, Santabareno ad id instigante: idque omnino futurum fuisse, nisi Patriarcha & principes Senatus, multis precibus Imperatorem à sententia deduxissent.

οἷα πολλὰ διδάσκεις αὐτὸν γενέσθαι παρὰ τοῦ χριστοῦ, οὐκ ἄν ποτε δεξαίμεθα τὸ δόγμα τὸ σόν. ὁ δ᾽ αἰτήσασθε, ἔφη, ὃ βούλεσθε. κἀκεῖνοι τὴν βίβλον, εἶπον, ἣ τὰ περὶ τοῦ χριστοῦ διδάσκει, βλητέον εἰς πῦρ. εἰ δ᾽ ἀδιάφθαρτος μείνειε, πίστις ἔσται τοῦτο ἡμῖν, ἀληθῶς εἶναι θεὸν τὸν παρὰ σοῦ κηρυττόμενον. συνθεμένου ποιῆσαι τοῦτο τοῦ ἐπισκόπου, ἀνήφθη πυρκαϊά, εἶτα πρὸς οὐρανὸν ὁ ἀρχιερεὺς τάς χεῖράς τε καὶ τὰ ὄμματα, δόξασόν σου τὸ ὄνομα, εἶπε, χριστὲ ὁ θεός, ἐνίθετο τῇ πυρκαϊᾷ τὸ ἱερὸν εὐαγγέλιον, τὸ χρονίσαν ἐν τῇ φλογὶ, ἀδιάλωβητον ἔμεινεν. οἱ βάρβαροι δ᾽ ἐκπλαγέντες, ἐπίστευσαν τῷ κηρύγματι, καὶ τελεσθῆναι κατέπειγον τῷ θείῳ βαπτίσματι. ταῦτα μὲν οὖν ταύτῃ συμβέβηκεν. ὁ δ᾽ εἷς τῶν τοῦ βασιλέως υἱῶν ὁ κωνσταντῖνος, ὃν καὶ μᾶλλον τῶν ἄλλων ἐφίλει, νοσήσας ἐξέλιπε, καὶ ὁ αὐτοκράτωρ βαρέως τὸν ἐκείνου ἤνεγκε θάνατον, καὶ ἦν ἀπαραμύθητος, καὶ ἐζήτει ζῶντα τοῦτον ἐμφανισθῆναι αὐτῷ. ἦν δέ τις μοναχὸς θεόδωρος, ὁ σανταβαρηνὸς τὸ ἐπώνυμον, οὗτος τῷ βασιλεῖ προσῳκείωτο, ὡς ἄκρον φέρειν τοῦ βίου αὐτὸν ἐφθακέναι πιστεύοντι, ὡς ἐντεῦθεν καὶ σημεῖα ἐργάζεσθαι. οὗτος τοίνυν ὁ σανταβαρηνός, ὃς καὶ τῆς μητροπόλεως τῶν εὐχαΐτων ἐχρημάτισε πρόεδρος, λέγεται δεῖξαι τῷ βασιλεῖ τὸν τεθνεῶτα υἱὸν αὐτοῦ ζῶντα δῆθεν. ἐν γὰρ λόχμῃ τινὶ φαντάσαι τὸν κωνσταντῖνον ἔφιππον τῷ εἰκάσῳ συναντῆσαι τῷ πατρί. ὃν καὶ περιπλακῆναι δόξας ὁ βασιλεὺς καὶ καταφιλῆσαι, οὐκέτι τοῦτον ἑώρακε. καὶ ἄλλα δὲ τοιαῦτα ποιήσας ὁ σανταβαρηνός, καὶ τούτοις ἐκπλήξας τὸν βασιλέα, ὅλον εἰς ἑαυτὸν περιήγαγεν, ὡς πείθεσθαι εἰς αὐτὸν ἐκκρεμᾶσθαι, καὶ κατὰ μηδὲν αὐτῷ ἀπιστεῖν. καὶ ὁ μὲν βασιλεὺς οὕτω διέκειτο πρὸς τὸν σανταβαρηνόν. ὁ δὲ λέων ὁ δεύτερος τῶν τοῦ βασιλέως υἱῶν ἤδη νεανίας γενόμενος, καὶ γυναικὶ συζευχθεὶς τῇ θυγατρὶ τοῦ μαρτινακίου, καὶ ἀναῤῥηθεὶς βασιλεὺς παρὰ τοῦ πατρὸς αὐτοῦ, τῷ σανταβαρηνῷ οὐκ ἠρέσκετο, ἀλλὰ φαρμακὸν ἀπεκάλει καὶ γόητα, καὶ ἀπατεῶνα τὸν αὐτοκράτορα. τούτοις ἐκεῖνος ὥσπερ κέντροις πληττόμενος, ἐς ἄμυναν διανίσταται, καὶ πλασάμενος εὔνοιαν πρὸς τὸν λέοντα, νεανίαν ὄντα σε, λέγει, ὦ βασιλεῦ, καὶ τῷ πατρὶ συνιππεύοντα καὶ συνθηρῶντα, δεῖ σε καὶ ἐγχειρίδιον ἐπιφέρεσθαι, ἵνα τούτῳ καὶ κατὰ θηρίου χρήσῃ ὁπότε δέοι, καὶ τῷ πατρί σου ἴσως ἐπιδῷς κατὰ καιρόν, ἢ τυχὸν καὶ ἐπιβουλεύοντας αὐτῷ ἀμύνῃ. ὁ δὲ μὴ φωράσας τὸν δόλον, ξιφίδιον ἤρξατο φέρειν τῷ ὑποδήματι ἐπιθεὶς κατὰ τὴν συμβουλήν. τούτῳ τοίνυν τῷ ξιφιδίῳ ὁ σανταβαρηνὸς κατὰ τοῦ λέοντος χρῆται ὡς ἀμύνῃ, καὶ τῷ βασιλεῖ, ἐπιβουλεύει σοι, φησίν, ὁ υἱός σου. καὶ τούτου δεῖγμα, τὸ φέρειν, ὅτε σοι συνθηρᾷ, κεκρυμμένον ξιφίδιον. ἐξῆλθεν οὖν εἰς κυνηγέσιον ὁ βασίλειος, καὶ ὁ λέων παρείπετο τῷ πατρί, εὑρέθη τὸ ἐγχειρίδιον κεκρυμμένον ὑπὸ τὸ τοῦ λέοντος πέδιλον. ἔδοξεν ἀληθεύειν ὁ κατήγορος. ἀπολογούμενος ὁ κατηγορούμενος οὐ προσείετο, ὠργίζετο κατὰ τοῦ υἱοῦ ὁ πατήρ, ἐγκλείει τοῦτον τῶν βασιλικῶν θαλάμων ἑνί. καὶ τὰ τοῦ κράτους ἀφαιρεῖται παράσημα, ὡς δέ τινες ἱστοροῦσι καὶ τὰ ὄμματα τῷ υἱῷ πηρῶσαι διεμελέτα, παρὰ τοῦ σανταβαρηνοῦ πρὸς τοῦτο ἐρεθιζόμενος, καὶ ἔργον ἂν ἐγεγόνει τὸ μελέτημα, εἰ μὴ ὁ πατριάρχης καὶ τῆς συγκλήτου οἱ προὔχοντες πολλὰ δεηθέντες, τοῦ βουλεύματος τὸν βασιλέα μετέστησαν.

ὁ ὑποδεικνὺς τὸν υἱὸν αὐτοῦ κωνσταντῖνον, ὁ βασιλεὺς ἀπεγνωσμένον καὶ ἀπο ὁ σανταβαρηνὸς ἐν λόχμῃ αὐτῷ ἐπιφανέντα.

ἵνα ὁ σανταβαρηνὸς κατὰ τοῦ βασιλέως λέοντος ἐνεδρεύσῃ, καὶ ὅπως αὐτοῦ κατηγορῇ πρὸς τὸν πατέρα, καὶ ἵνα ὁ λέων ἐκβληθῇ.

τινες

πίας δ' ἦν ἐπίμεστος ἡ ὀργὴ, καὶ ὁ Λέων ἔμφρουρος ἦν, ὁ χρόνος ἐτρίβετο συχνὸς, συνεδειπνοῦντο δ' ὁ βασιλεὺς τῶν τῆς συγκλήτου τισὶ τότε δὲ παρὰ καιροὺς ὡρισμένους ἐκ συνηθείας ἐγίνετο παλαιᾶς. ἦν δ' ἐν τῷ οἴκῳ, καθ' ὃν ἐγίνετο τὸ συμπόσιον, ζῶον ἐν κλωβῷ κρεμάμενον τῶν μιμεῖσθαι καλουμένων ψιττακὸς. τότε τινὸς ὀδυρομένου καὶ ἀνακαλουμένου τὸν Λέοντα συνεχῶς ἀκοῦον, ἐμιμήσατο τὴν φωνὴν, καὶ Λέον Λέον ἐβόα πυκνά. τὰς οὖν φωνὰς ταύτας τοῦ ὄρνιθος οἱ τῷ βασιλεῖ συνεστιώμενοι λαβὴν εὑρόντες τῆς ὑπὲρ τοῦ Λέοντος παρακλήσεως, μὴ ἐγεύσαντο τοῦ συμποσίου, καὶ δακρύων πλησθέντες, εἶτα φασὶν, οὐκ εἰς κατηγορίαν ἡμῶν τοῦτο τὸ ζῶον, ὦ βασιλεῦ, ὅτι αὐτὸ μὲν τὸν οἰκεῖον ἀνακαλεῖται δεσπότην, ἡμεῖς δὲ τῆς μετὰ τοῦ κράτους σου συνουσίας ἐναπολαύοντες, ἀμνημονοῦμεν ἐκείνου, ὃν χρόνον ἤδη καθειργμένον πολὺν, ἄνες δέσποτα τῆς κατ' ἐκείνου ὀργῆς, καὶ λῦσον αὐτῷ τὴν φρουρὰν, καὶ πρόσβλεψον εὐμενῶς, ἢ μᾶλλον πρόσιδε ὡς πατήρ. τούτοις ὁ βασιλεὺς ἐχάλασε τὴν κατὰ τοῦ υἱοῦ ὀργὴν, καί οἱ ἀπέσωσε καὶ τὴν τιμὴν ἐπίδοσιν τὴν βασίλειον, ὡς θήραν δὲ ἀπελθὼν ὁ βασιλεὺς ἐλάφῳ ἐντυχὼν, τὸ μέγεθος ὑπερφυᾶ, καὶ εἰς ὕψος ἠρμένα κέρατα φέροντι, καὶ τοῦτον ἐδίωκε, καὶ πλησιάσας αὐτῷ, ἦρε τὴν χεῖρα ξιφήρη πλῆξαι τὸ ζῶον βουλόμενος. τὸ δὲ τοῖς κέρασιν ἠμύνετο τὸν διώκοντα, καί τινος τῶν αὐτοῖς παραφυομένων ὄζων ἐμπαρέντος τῇ ζώνῃ τοῦ βασιλέως, μετέωρος ἐκεῖνος ἐφέρετο ἠρτημένος τοῦ ζώου τοῖς κέρασι. καὶ τάχα ἂν καὶ ἀνήλωτο, εἰ μή τις φθάσας, καὶ ξίφει τεμὼν τὴν ζώνην, αὐτὸν διεσώσατο, ᾧ καὶ σῶστρα κακὰ δέδωκεν ὁ ὑπ' ἐκείνου σωθείς. τὴν γὰρ κεφαλὴν ἐκτεμὼν, καὶ ἡ σκῆψις ὡς δυσμενοῦς, ὅτι ξίφος, ἔφη, κατὰ βασιλέως γυμνώσειε, μὴ λογισάμενος, ὅτι ὑπὲρ βασιλέως ἦρε τὸ ξίφος ὁ ἄνθρωπος, καὶ ἀμοιβῆς μᾶλλον ἦν ἄξιος καὶ δωρημάτων βασιλικῶν. καὶ ὁ μὲν οὕτως ἀπώνατο τῆς ὑπὲρ τοῦ βασιλέως σπουδῆς, ὁ δὲ πληγεὶς τὸ σῶμα τῷ κέρατι, καὶ περιδινηθεὶς τὰ σπλάγχνα, ἐπεβίω μὲν, ἀλλ' οὐκ εἰς μακρὸν, ἀπεβίω δ' ἐν τούτοις, συμβασιλεύσας μὲν τῷ Μιχαὴλ ἔτος ἓν, αὐταρχήσας δ' ἐννεακαίδεκα. τῷ υἱῷ Λέοντι τὴν βασιλείαν λιπὼν, ὄντι πρεσβυτέρῳ τῶν περιόντων υἱῶν.

Ὅπως ἐτελεύτησεν ὁ βασιλεὺς, καὶ περὶ τοῦ διασώσαντος αὐτὸν ἐκ τοῦ ἐλάφου.

ΒΑΣΙΛΕΙΑ ΛΕΟΝΤΟΣ τοῦ Φιλοσόφου.

Αὐτοκράτωρ δὲ γεγονὼς ὁ Λέων, αὐτίκα πρὸς ἄμυναν διανίσταται τοῦ Σανταβαρηνοῦ. ὑποπτεύων δὲ μὴ ὑπερασπίσῃ τούτου ὁ πατριάρχης Φώτιος, φιλίως πρὸς αὐτὸν διακείμενος, αἰτίας πλάσας κατὰ τοῦ πατριάρχου, καὶ ἐξωθεῖ τῆς ἐκκλησίας αὐτὸν, καὶ ἐν τῇ τῶν Ἀρμενιακῶν περιορίζει μονῇ, πατριάρχην δὲ Στέφανον προχειρίζεται, τὸν οἰκεῖον ὁμαίμονα. καὶ ἐπεὶ μὴ ἦν Ἡρακλείας ἀρχιερεὺς, ὑπὸ τοῦ πρωτοθρόνου κεχειροτόνητο. ἀχθῆναι δὲ ἐξ Εὐχαΐτων ἐκέλευσε τὸν Σανταβαρηνόν· τῆς γὰρ ἐκεῖ ἐκκλησίας προήδρευε. πέμψας δὲ εἰς τὴν ἐν Χρυσοπόλει μονὴν τοῦ Φιλιππικοῦ, ὅπου ὁ βασιλεὺς Μιχαὴλ ἐτέθαπτο, ἐξάγει τὸ σῶμα τούτου ἐκ τῆς σοροῦ, καὶ μετὰ προπομπῆς πολλῆς καὶ βασιλείου τιμῆς εἰς τὸν τῶν ἁγίων ἀποστόλων ναὸν κατατίθησιν ἐν λάρνακι μαρμαρίνῃ. καὶ τῶν ἀδελφῶν αὐτοῦ παρόντων ἐν τῇ προπομπῇ, τοῦ τε Ἀλεξάνδρου καὶ τοῦ πατριάρχου Στεφάνου, τῇ δὲ τοῦ Ζαούτζα Στυλιανοῦ θυγατρὶ συμφθειρόμενος ἔτι ζώσης Θεοφανοῦς τῆς αὐτοῦ γαμετῆς,

Ὅτι ἐξώθησε τῆς ἐκκλησίας ὁ Λέων τὸν Φώτιον, καὶ τὸν ἀδελφὸν Στέφανον εἰς πατριάρχην προεχειρίσατο.

Ὅπως ἐτίμησε τὸν τοῦ βασιλέως Μιχαὴλ νεκρόν.

Ea ira durat, Leo in custodia tenetur, longum tempus intercedit, donec Imperator quibusdam senatoribus in conuiuio adfuit. id quod ueteri quadam consuetudine certis temporibus fiebat. Erat autem in ijs ædibus, ubi conuiuium agitabatur, Psitacus in corte suspensus, qui, ut id genus auium ad imitationē procliue est, eum quendam continenter Leonem deplorantem & appellantem audisset, uocem imitatus subinde clamabat, O Leo Leo. Ex ea uolucris uoce conuiuæ occasione arrepta pro Leone deprecandi, è conuiuio surrexerūt, & oppleti lachrymis dixerunt, An nō ista uolucris nos accusabit, Imperator, cum ipsa dominum suum appellet, nos autem potentiæ tuæ epulis fruentes, illius iam longo tempore inclusi obliuiscamur? Omitte iram Domine, contra illum cōceptam. Deme illi custodiam, placido eū ac potius paterno uultu aspicito. His uerbis ira mitigata Imperator, cum filio in gratiam rediјt, dignitate pristina restituta. Post, eum uenatum exisset, in ceruum incidit inusitata magnitudine, elata in altum cornua gestantem, quem persequēdo assecutus, cum stricto gladio percussurus esset, bellua se defendit, & ramo uno cornuum zonæ Imperatoris infixo, illum sublimem fert cornibus suspensum. ac forsitan ita perijsset, nisi à quodam ense dissecta zona, fuisset ereptus. Cui mercedem salutis suæ præclaram reddidit ille, capitis truncationem: speciosa causa quæsita, quod ensem contra Imperatorem strinxisset. neq; reputauit, pro Imperatore potius strinxisse, ac remuneratione magnisq; præmijs esse dignum. Is igitur sui erga Imperatorem studij hunc fructum cœpit. Imperator uerò cornu percussus, cōuersisq; intestinis, superuixit ille quidem, sed non diu, mortemq; obijt. Regnauit cum Michaele annum unum, solus decem & nouem, Imperio Leoni filio ex superstitibus natu maximo relicto.

Psittacus occasionem præbet Leonis liberādi.

Basilius à ceruo ictus obit.

Seruator à conseruato occisus per calumniam.

IMPERIVM LEONIS Philosophi.

Imperator factus Leo, statim de ulciscendo Santabareno cogitat. Sed cū timeret, ne is à Photio amico defenderetur, Patriarchā causas quasdam cōmentus, Ecclesia eiectum, in Armenianorum relegat monasterium, fratremq; suū Stephanū Patriarchā designat. Qui quia Heracleæ Pontifex nullus erat, à Protothrono electus est. Santabarenum Euchaitis, cuius urbis Ecclesiæ præsidebat, adduci iussit. Misit & Chrysopolim in Philippici monasterium, ubi Michael Imperator sepultus erat, eiusq; cadauer loculo eductum, cum magno comitatu et regio honore in sanctorū Apostolorū æde, in marmorea arca reponit: etiam fratribus suis Alexandro & Patriarcha Stephano præsentibus. Zauzem Stylianum, cuius filiam, superstite adhuc Theophanone cōiuge, subigebat:

Stephanus Patriarcha.

Michaelis cadauer in urbē translatum.

Zauzes Stylianus.

Magi-

Magistrū designauit & Dromi Logothetam, pòst etiam, nouo excogitato nomine imperatoripatrem. Ædem D. Thomæ apostoli, una cum alijs ædificijs incensam, renouauit. Santabarenum iam adductum in Regia Pegana custodijs, & inclementer flagris cæsum Athenas relegauit, neque multò pòst, oculos ei effodi iussit. Verùm pluribus annis elapsis, hominem ab exilio reuocatum benignè tractandū curauit. Cæterum Hagio Longobardiæ dux, regis Franciæ gener, audita Basilij morte, Romano fœdere sublato, omnem sibi prouinciā uendicauit. Quare imperator Mensæ præfectum cum Occidentalibus legionibus contra eum misit, qui prælio uictus, ferè omnibus quos adduxerat, amissis, fuga ægrè elapsus est. Stephano Patriarchæ defuncto Antonius cognomēto Cauleas successit. Cum Bulgari pace facta, cum Romanis commercia haberent, & telonæ iniqua ab eis uectigalia exigerent: id Symeoni illorum principi iamdudum occasionem captanti, satis causæ fusum ad bellū Romanis inferendum. Sed Romanus exercitus contra eum missus, succubuit, multis cæsis, ipsoque duce interfecto, multis captis, quos Symeon nasis præcisis, Byzantium redire passus est. Ea fœditate irritatus Imperator, Turcos Istrum accolentes, qui & Vngri uocantur, muneribus impulit, ut Bulgaros ulciscerentur, & pro uirili affligerent. Ipse quoque terra mariqu arma inferre eisdem parat, summa rerum Patricio Nicephoro Phocæ, quem Domesticum legionum designauit, mandata. Verùm ante bellum, quæstorem de pace legatum ad Symeonem mittit. Quem Barbarus dolo adesse suspicatus, in uincula coniectum includit, & Phocæ resistit. Quo bello dum occupatur, Vngri eius ditionem populantur. Quare Phoca omisso, contra illos proficiscitur, & acie congressus, superatur, multis Bulgaris interfectis, pluribus captis, Symeon ipse uix Dorostolum, quæ Dristra est, confugit. Captiuos Bulgaros imperator ab Vngris emit, ad quem Symeon legatos de pace misit. cuius uerbis Leo fide habita, Chærosphactem ablegauit ad pacem faciendam. Sed Barbarus eo detento & uincto, Turcos inuasit, ijsque in fugam uersis, & agris eorum uastatis, Leoni scripsit, se cum eo pacem non facturum, nisi captiuos Bulgaros reciperet. quos cum recepisset, tamen pacem non fecit. Igitur Imperator cōtractis in unū omnibus & orientalibus et occidentalibus legionibus, cōtra Bulgaros usus est: quæ tamen cū Symeone congressæ, succubuerūt. Deinde cum in agris quibusdā Zoës, Zauzis filiæ, cōsuetudine uteretur: insidijs à quibusdam est appetitus. quas cum Zoë ex murmure animaduertisset, ac Imperatorem dormientem excitasset: statim in Regiam reuersus, euitauit, eandemque Zoën paulò pòst Imperatricis Thephanonis obitū,

Santabareni ultio.

Bulgaricū bellum.

Turci. Vngri.

Insidiæ Leoni detectæ.

Zoë Leoni nubit.

τὸν πατέρα τούτου μάγιστρον ἐτίμησε, καὶ λογοθέτην τοῦ δρόμου, μετέπειτα μέντοι καὶ βασιλεοπάτορα, αὐτὸς τὸ ὄνομα ἐφευρὼν δῆθεν. ἐμπρησμοῦ δὲ μετὰ τῶν ἄλλων καὶ τὸν ναὸν τοῦ ἁγίου ἀποστόλου Θωμᾶ πυρποληθέντος, ὁ βασιλεὺς οὗτος αὐτὸν ἀνεκαίνισεν. ἤδη δὲ καὶ ὁ Σανταβαρηνὸς ἤχθη, καὶ εἰς τὰ ἐν ταῖς Πηγαῖς ἐφρουρεῖτο βασίλεια, εἶτα πέμψας ὁ βασιλεὺς, καὶ ἀφειδῶς αὐτὸν αἰκισάμενος, εἰς Ἀθήνας ὑπερόριον ἔθετο, οὐ πολὺ δὲ τὸ ἐν μέσῳ καὶ πέμψας ἐκεῖσε αὐτοῦ ἐξέκοψεν ὀφθαλμούς. μετὰ δὲ πλείους χρόνους τῆς ὑπερορίας τὸν ἄνθρωπον ἐπανήγαγε, καὶ προνοίας ἠξίωσεν. ὁ δὲ Λογγιβαρδίας δοὺξ Ἅγιος τοῦ ῥηγὸς Φραγγίας τυγχάνων γαμβρὸς, ἐπεὶ τὸν θάνατον τοῦ βασιλέως ἐπύθετο, τὰς πρὸς Ῥωμαίους σπονδὰς ἠθέτησε, καὶ τὴν χώραν ἅπασαν ᾠκειώσατο. διὸ τὸν ἐπὶ τῆς τραπέζης ἐπιπέμπει ὁ βασιλεὺς κατ' αὐτοῦ μετὰ τῶν δυτικῶν ταγμάτων. ὃς συμμίξας αὐτῷ ἡττήθη, καὶ πάντας σχεδὸν οὓς ἐπήγετο ἀποβαλὼν, μόλις αὐτὸς διέδρα. τοῦ δὲ πατριάρχου Στεφάνου ἐκλελοιπότος, Ἀντώνιος προχειρίζεται πατριάρχης, ὃς Καυλέας ὠνόμαστο. τῶν δὲ Βουλγάρων εἰρηνευόντων ὄντων, καὶ ἐμπορίας ποιουμένων μετὰ Ῥωμαίων, οἱ τοῖς τελωνήμασιν ἐφεστῶτες ἄδικα αὐτοὺς εἰσέπραττον τέλη. ὅθεν τῷ αὐτῶν ἄρχοντι Συμεὼν λαβὰς ζητοῦντι τοῦ κατὰ Ῥωμαίων πόλεμον ἄρασθαι, εἰς μάχης πρόφασιν ἤρκεσε. καὶ μάχης ἤρξατο. καὶ Ῥωμαϊκὸν αὐτῷ ἀνθοπλισάμενον στράτευμα, ἡττήθη, καὶ πολλοὶ μὲν ἔπεσον τῶν Ῥωμαίων, καὶ ὁ στρατηλάτης αὐτῶν, πολλοὶ δὲ ἑάλωσαν, ὧν τὰς ῥῖνας ὁ Συμεὼν ἐκτεμὼν, ἀπελθεῖν ἀφῆκε πρὸς τὸ Βυζάντιον. τούτοις περιαλγήσας ὁ βασιλεὺς, δώροις τοὺς Τούρκους ἔπεισε, τοὺς περὶ τὸν Ἴστρον, οἳ καὶ Οὔγγροι καλοῦνται, τοῖς Βουλγάροις ἐπεξελθεῖν, καὶ ὅσῃ δυνάμει κακῶσαι αὐτούς. καὶ αὐτὸς δὲ ὁ βασιλεὺς διά τε θαλάσσης καὶ διὰ γῆς ἡτοίμαζεν ὅπλα κινῆσαι κατὰ Βουλγάρων, τῷ πατρικίῳ Νικηφόρῳ τῷ Φωκᾷ τὸν κατ' αὐτῶν ἀναθέμενος πόλεμον, δομέστικον τῶν σχολῶν αὐτὸν προβαλλόμενος. πρὸ τοῦ πολέμου δὲ τὸν κοιαίστορα στέλλει ὁ αὐτοκράτωρ πρὸς Συμεὼν περὶ εἰρήνης πρεσβεύοντα. ὁ δὲ βάρβαρος δόλον τοῦτον ὑποπτεύσας εἶναι, καθείργνυσι τὸν ἄνδρα καὶ δεσμεῖ καὶ τῷ Φωκᾷ ἀντιμάχεται. ἐκείνου δὲ περὶ τοῦτον ἀσχολουμένου, οἱ Οὔγγροι τὴν χώραν αὐτοῦ ἐληίζοντο. διὸ τὸν Φωκᾶν λιπὼν, κατ' ἐκείνων ὥρμησε, καὶ συμβαλὼν αὐτοῖς, ἡττήθη, πολλῶν μὲν σφαγέντων Βουλγάρων, πλειόνων δὲ ἁλόντων, αὐτοῦ δὲ τοῦ Συμεὼν μόλις ἐν Δοροστόλῳ φυγόντος, ὃ νῦν Δρίστρα λέγεται. τοὺς δ' αἰχμαλώτους Βουλγάρους ὁ βασιλεὺς παρὰ τῶν Οὔγγρων ὠνήσατο, καὶ ὁ Συμεὼν περὶ εἰρήνης ἱκέτευε. καὶ πεισθεὶς τοῖς λόγοις ἐκείνου ὁ βασιλεὺς, τὸν Χοιροσφάκτην ἀπέστειλε σπονδὰς ποιησόμενον, ὃν ὁ βάρβαρος κατέσχε τε καὶ ἐνέκλεισεν, αὐτὸς τοῖς Τούρκοις ἐπῆλθε, καὶ ἐτρέψατό τε αὐτοὺς, καὶ τὴν χώραν σφῶν ἐλυμήνατο. εἶτα ἐπέστειλε τῷ Λέοντι, μὴ ἄν ποτε σπείσασθαι, εἰ μὴ τοὺς αἰχμαλώτους Βουλγάρους λήψοιτο πρότερον. καὶ τούτους λαβὼν, οὐκ ἐσπείσατο. ὁ γοῦν βασιλεὺς τοῖς τάγμασι τοῖς ἑῴοις καὶ τοῖς ἑσπερίοις ὁμοῦ συνελθοῦσι κατὰ τῶν Βουλγάρων ἐχρήσατο, ἀλλ' ἡττήθησαν ἅπαντα προσβαλόντα τῷ Συμεών, καὶ τὰ μὲν τῶν Βουλγάρων οὕτως εἶχε τὸν τρόπον. ὁ δὲ βασιλεὺς ἐν ἀγροῖς τισι τῇ τοῦ Ζαούτζη συνὼν θυγατρὶ τῇ Ζωῇ ἐπιβουλεύθη παρά τινων. αἰσθομένης δὲ τῆς Ζωῆς ἐκ θρόου τὴν ἐπιβουλὴν, καὶ διυπνισάσης τὸν βασιλέα κοιμώμενον, αὐτίκα ἐκεῖνος ἐπανῆλθεν εἰς τὰ βασίλεια καὶ οὕτω διέφυγε τὴν ἐπιβουλήν, ἄρτι δὲ τῆς βασιλίδος Θεοφανοῦς θανούσης, τὴν εἰρημένην Ζωὴν ὁ βασιλεὺς ἠγάγετο

αὐγοῦσταν ἀνηγόρευσε. καὶ νόμιμον ἔθετο γαμετήν, τὴν πρὶν αὐτοῦ παλλακήν. ἀλλ' ἐπ' ὀλίγον τῆς εὐτυχίας ἀπώνατο. ἐνιαυτὸν γὰρ ἕνα ἐπὶ μησὶν ὀκτὼ τῇ βασιλείᾳ ἐπιβιώσασα, τέθνηκεν. ἑτέρα δ' αὖθις ἐπιβουλὴ μηνύεται τῷ βασιλεῖ, ἣν ἐμελέτα ὁ πέκτης Βασίλειος τοῦ Ζαούτζη ὑπάρχων αὐτανεψιός. ὃς τὸ ἀπόρρητον τῷ ἐκτομίᾳ Σαμωνᾷ ἐκοινώσατο, ὅρκοις πρότερον βεβαιώσαντι, ὡς αὐτὸ ἀφορον τηρήσει τὸ ῥηθησόμενον. ἦν δὲ ὁ Σαμωνᾶς ἐξ Ἀγαρηνῶν, καὶ μαθὼν τὸ κατὰ τοῦ κρατοῦντος μελέτημα, εὐθὺς ἐκφέρει πρὸς αὐτὸν τὸ μυστήριον. καὶ κατεσχέθη μὲν ὁ Βασίλειος καὶ οἱ συνίστορες τοῦ βουλεύματος, ὁ δὲ Σαμωνᾶς ἐτιμήθη πρωτοσπαθάριος, καὶ ᾠκειώθη τῷ βασιλεῖ. ἠγάγετο δὲ καὶ τρίτην ὁ Λέων Εὐδοκίαν, ἣ Ὀψικιανὴ μὲν ἐκαλεῖτο, ἐκ δὲ τοῦ Ὀψικίου τὸ γένος εἷλκε, καὶ τὴν ὥραν ἦν περιττή. ἀλλὰ καὶ αὕτη βραχὺ συνέζησε τῷ βασιλεῖ· συλλαβοῦσα γὰρ καὶ πρὸς τῷ τίκτειν γενομένη, σὺν τῷ τεχθέντι ἀπέθανεν. ἔχων δὲ δι' ἐφέσεως οὗτος ὁ αὐτοκράτωρ παῖδα ἐσχηκέναι, μᾶλλον μέντοι καὶ κεχρησμῳδημένον ἐγνωκὼς εἶναι (ἦν γὰρ ἐραστὴς σοφίας παντοδαπῆς, καὶ αὐτῆς δὲ τῆς ἀπορρήτου, ᾗ δι' ἐπαοιδῶν μαντεύονται τὰ ἐσόμενα, καὶ περὶ τὰς τῶν ἀστέρων δ' ἐσχόλαζε κινήσεις, καὶ τὴν ἐκ τούτων ἀποτελεσματικὴν ἐπιστήμην μετήρχετο, καὶ εὕρισκεν ὡς ἕξει παῖδα τῆς βασιλείας διάδοχον) καὶ τετάρτην ἄγεται γαμετήν, τὴν Καρβωνοψίναν Ζωήν. οὐκ εὐθὺς μέντοι αὐτῇ τῆς βασιλείας μετέδωκεν ἀξιώματος. ἀλλ' ἐφ' ἱκανὸν αὐτῷ συμβιοῦσα ἦν ἀταινίωτος, μέχρις οὗ παιδίον ἐξ αὐτῆς ἐτέχθη τῷ βασιλεῖ, ὃ παρὰ τοῦ πατριάρχου Νικολάου τοῦ θείου κατηξιώθη βαπτίσματος. τοῦ γὰρ Ἀντωνίου τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως ἐπιστατήσαντος ἔτη καὶ μεταθεμένου τὴν ζωήν, ὁ μυστικὸς Νικόλαος πατριάρχης κεχειροτόνητο. μετὰ δὲ τὸν τοῦ υἱοῦ αὐτοῦ τοκετόν, ὃν Κωνσταντῖνον ὠνόμασεν ὁ βασιλεύς, καὶ σύνευνον αὐτοῦ ἀνηγόρευσε τὴν δὲ γυναῖκα. τὸν τέταρτον γάμον ἀφώριστο παρὰ τοῦ πατριάρχου ὁ Λέων. τιμῶν δὲ τὴν πρώτην αὐτοῦ γαμετὴν τὴν μακαρίαν Θεοφανώ, τέμενος ἀνήγειρεν εἰς ὄνομα ἐκείνης, ἐγγὺς τοῦ τῶν ἁγίων ἀποστόλων ναοῦ, ἐν ᾧ καὶ τὸν νεκρὸν αὐτῆς κατέθετο. καὶ ἐπ' ὀνόματι τοῦ ἁγίου Λαζάρου ναὸν ἐδείματο ἕτερον, εἰς ὃν καὶ τὸ ἱερὸν ἐκείνου σῶμα ἐπεθησαύρισεν ἐκ τῆς Κύπρου μετενεχθέν, ἀλλὰ μὴν καὶ τὸν τῆς Μαγδαληνῆς Μαρίας. ἀσχολουμένων δὲ ταῖς οἰκοδομαῖς τῶν πλωΐμων καὶ τοῦ στόλου μὴ πλέοντος, τὸ τῶν Ἀγαρηνῶν ναυτικὸν τὸ Ταυρομένιον ἐξεπόρθησε, καὶ τὴν νῆσον κατέσχε Λῆμνον, καὶ πολλὴ τῶν ἀνθρώπων ἐν αὐταῖς συνέβη φθορά. προόδου δὲ κατὰ τὴν πεντηκοστὴν γενομένης τοῦ βασιλεύοντος ἐς τὸν τοῦ ἁγίου Μωκίου ναὸν κατὰ τὸ ἔθος, καὶ ὁ βασιλεὺς οὗτος ἐποιήσατο τὴν προέλευσιν, καί τις ἤδη ταῖς κιγκλίσι τοῦ θυσιαστηρίου τοῦ αὐτοκράτορος πλησιάζοντος, ἐξώρμησεν ἐκ τοῦ ἄμβωνος, βάκτρον μετὰ χεῖρας ἔχων βαρύτατον, καὶ κατὰ τῆς βασιλικῆς ἐπήνεγκεν αὐτὸ κεφαλῆς, καὶ συνέτριψεν ἂν αὐτήν, εἰ μὴ τῇ ἐκκρεμεῖ λυχνίᾳ προσαράξαν τὸ βάκτρον, ἀφῄρητο ταύτῃ τῆς καταφορᾶς τὸ σφοδρότατον. τὸ δ' οὖν αἷμα τῆς τοῦ βασιλέως κεφαλῆς καταρρέον θόρυβον τοῖς ἄρχουσιν ἐνεποίησεν. ὅτι δ' οὐ παρῆν ἐκεῖ Ἀλέξανδρος ὁ τοῦ βασιλέως αὐτάδελφος, ὑπόληψις παρά τισι πλείοσιν ἐπεκράτησε, τῆς ἐπιβουλῆς αὐτὸν μὴ εἶναι ἀμύητον. ὁ δὲ τὸ τόλμημα ποιήσας βασάνοις ὑποβληθείς, καὶ μηδένα μηνύσας συνίστορα, χεῖρας ἀπετμήθη καὶ πόδας,

ὅτι τὴν τρίτην γαμετὴν ὁ λέων ἠγάγετο.

ὅτι καὶ τετάρτην ἠγάγετο γυναῖκα.

περὶ πατριάρχου.

ὅτι ἐν τῷ ἁγίου μωκίου προελθὼν ἐπλήγη ὁ βασιλεὺς τὴν κεφαλήν.

Augustam appellauit, & dudum cōcubinam, legitimam uxorem duxit. Verùm breuis illa felicitas fuit. Nam cum annum unum et octo menses in Imperio uixisset, obijt. Sunt & aliæ insidiæ Imperatori nunciatæ, quas Zauzis consobrinus, Basilius Pectes struebat. Is arcanum cum spadone Samona communicauit, quem iureiurando prius adegerat, ne id quod auditurus esset, effutiret. Erat autem Samonas Agarenus, & cognitum in Imperatorem facinus, statim ei indicat. Sic Basilius & conscij consilij, comprehenduntur, Samonas Protospatarij honorem & Imperatoris familiaritatem adipiscitur. Leo tertiam quoque uxorem duxit, Eudociam, genere Opsicianam, excellenti forma. Sed & hæc non diu cum eo uixit. Nam quum uterum ferret, inter parturiendum una cum fœtu edito perijt. Verùm Imperator suscipiendæ prolis auidus, præsertim quum id à uatibus ei prædictum esset (fuit enim doctrinarum omnis generis amator, & arcanæ quoque illius quæ per incantationes futura diuinat: uersatus etiam in doctrina de motibus siderum, eorumque effectibus, in qua inueniebat, se filium habiturum Imperij successorem) quartam etiam uxorem ducit Carbonopsinam Zoen: quam non statim honore Imperatorio est dignatus, sed diu sine diademate habuit, donec filiolum peperisset, qui à Patriarcha Nicolao sacro baptismate est initiatus. Nam quum Antonius sede Constantinopolitana annis * gubernata decessisset, Mysticus Nicolaus Patriarcha est designatus. Imperator post filij partum, cui Constantini nomen indidit, coniugem etiam suam Augustam appellauit. Sed ob quartas nuptias á Patriarcha Leo censura Ecclesiastica est notatus, & nomine B. Theophanonis primæ coniugis suæ, honoris ergò, ædem extruxit proxime S. Apostolorum templum, in eáque corpus illius reposuit. Condidit & aliam ædem S. Lazari nomine, in qua sacrum eius corpus é Cypro translatum, necnon Mariæ Magdalenæ condidit. Quum autem nautis ædificando impeditis, clasis uacaret: Agarenorum clasis Tauromintū uastauit, & Lemnum insulam occupauit, in quibus multi mortales perierūt. Imperator uerò cum in Pentecoste in diui Mocij ædē de more supplicatū iret, iamque sacrarij cancellis appropinquaret: quidā é superiore loco prodiens, baculum grauissimum, quē manibus gestabat, Imperatoris capiti impegit: quod planè cōtudisset, nisi sustis dependenti candelabro illisus, maximā uim amisisset. Proceres cum sanguinem é capite Imperatoris manantem uiderēt, turbati sunt: & quia frater eius Alexāder non aderat, apud plerosque suspicio inualuit eum insidiarum fuisse cōscium. Sed qui id facinus ausus fuerat, quæstionibus adhibitus, nullo conscio nominato, pedibus & manib' amputatis,

in ignem

Samonas Agarenus spado, Leoni ob detectā Basilij coniurationem charus.

Eudocia tertia Leonis uxor.

Leo ob quartū coniugium Ecclesiastica censura notatus.

Nicolaus Patriarcha.

Leonis substructiones.

Agareni Leone templis cōdendis occupato, prouincias uastant.

Imperatori in templo facta insidia.

Marci monachi diuinatio. in ignem est coniectus. At Marcus monachus qui Tetraodium magni sabbathi suppleuit, tum præsens, Imperator, inquit, istud à Dauide prædictum est, his uerbis: Quæ hostis tuus in sancto improbè egit, & qui te oderunt, in medio festiuitatis gloriati sunt. Scito igitur te ab hoc tempore decem annos regnaturum. Quemadmodū dixit, ita factum est. Nam Leo post decenniū ea ipsa die, qua caput ictus fuerat, est mortuus. *Samonæ fuga.* Samonas autem, de quo suprà diximus, cum apud Imperatorem multū posset, cum magnis opibus fugam ad Agarenos, unde ortus erat, rapessit. Sed in transitu Halyscaptus, quamuis se ex uoto crucem Sirichanam adire diceret, nihilominus à Cōstantino Ducis Andronici filio, Byzantiū est reductus. Cui Imperator, conseruato pristino erga Samonam affectu, mandauit, ut coram Senatu interrogatus, diceret, eum non cœpisse fugam, sed ad Sirichanam crucem peregrinatum esse. Cum autem postridie Senatu præsente Constantinum iureiurando obstrictum rogaret, an fugisset Samonas: ille periurio reformidato dixit, Eum in patriam suam Melitenen abijsse, & per iracundiam ab Imperatore dimissus est. Samonas autem præter ueterem necessitudinem, etiam Patricij dignitate ornatus, & cubicularius designatus, Imperatorem sæpe impulit, ut ab officio decederet: *Nicolai Patriarchæ relegatio.* quorum illud fuit, quod Patriarcham coegit, ut se reciperet, & censuræ eximeret: quē cum accersisset, nec ulla ratione exorare posset: statim è Regia in Iriam naui transuehendum, atque inde pedestri itinere in Galacrenęum monasterium, quod ipse struxerat, transferendū curat, cum annos undecim Ecclesiæ præfuisset. Eius uerò loco Patriarcha designatus est *Syngelus Euthymius Patriarcha.* Syngelus Euthymius, uir sacer, qui omni studio obstitit, ne lex ab Imperatore promulgaretur, ut ipsius exemplo cuiuis liceret secūdam, tertiam, & quartā etiam uxorem ducere. Cum autē Agareni Romanas prouincias infestarēt, *Himerius Agarenos profligat.* Imperator Himeriū Dromi Logothetā, classi præfectum, cōtra illos misit, mandauitq; ut etiam Ducē Andronicū assumeret. *Samonas Alexio Duci perniciem machinatur.* Verùm dolosus Samonas internecinas cum familia Ducica inimicitias exercens, quendā ex Andronici amicis subornat, q eū moneat, ne cū Himerio proficiscatur, qui ei iussu Imperatoris oculos sit effossurus. Itaq; Himerium comitari noluit Andronicus, & cū ille solus prælio uictor hostilem classem subegisset, desperatis rebus, assumptisq; cognatis et seruis suis, Cabalā occupauit, munitū castellū, nō ꝓcul Iconio dissitū. Cū aūt Samonas Imperatorē iritare, & cōtra illū inflammare non desisteret, atq; is Patriarchā Nicolaū ecclesia pulsum esse cognouisset: spe omni destitutus, cū tota familia se ad Agarenos confert. Quo Imperatore cognito, supra modū doluit, se illū habiturū hostē, q defensore usus esset. Literas igitur scribit, quib-

Περὶ τοῦ μοναχοῦ μάρκου. καὶ τέλος παρεδόθη πυρί. ὁ μοναχὸς μάρκος ὁ τὸ τετραῴδιον τοῦ μεγάλου σαββάτου ἀναπληρώσας, ἔφη παρὼν πρὸς τὸν βασιλέα, τοῦτο προείρηται παρὰ τοῦ δαβὶδ, αὐτοκράτορ· ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τοῖς ἁγίοις σου, καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου. ἴσθι γοῦν ὡς βασιλεύσεις ἐπὶ τοῦδε χρόνον βασιλεύσεις δεκαετῆ. καὶ ὁ λόγος ἔργον ἐγένετο. ἔθανε γὰρ ὁ λέων μετὰ δέκα ἐνιαυτοὺς, κατ' αὐτὴν τὴν ἡμέραν, καθ' ἣν ἐπλήγη τότε τὴν κεφαλήν. ὁ δὲ ῥηθεὶς σαμωνᾶς παρὰ τῷ βασιλεῖ μεγάλα δυνάμενος, πλοῦτόν τε ἀφθονον περιβαλλόμενος, καὶ τοῦτον λαβὼν, ὡς τοὺς ἀγαρηνοὺς, ὅθεν ὥρμητο, ἀποδιδράσκειν. *Ὅτι ἀποδιδράσκων ὁ σαμωνᾶς ἑάλω.* ἀλλ' ἑάλω τὸν ἅλυν διαπερῶν, ὁ δὲ ὡς τὸν ἐν σιρίχᾳ σταυρὸν ἔλεγεν ἀπιέναι, τοῦτο δ' εὐχὴν ποιούμενος, ἐν λαβὼν κωνσταντῖνος ὁ τοῦ δουκὸς ἀνδρονίκου υἱὸς, ὡς τὸ βυζάντιον ἐπανήγαγεν. ὁ δὲ βασιλεὺς ἔτι τηρῶν πρὸς σαμωνᾶν τὴν προτέραν διάθεσιν, ἐνετείλατο τῷ κωνσταντίνῳ, ἐρωτηθέντα ἐνώπιον τῆς συγκλήτου περὶ τοῦ σαμωνᾶ, μὴ εἰπεῖν ὅτι ἀπεδίδρασκεν, ἀλλ' ὅτι εἰς τὸν ἐν σιρίχᾳ ἀπῄει σταυρόν. τῇ δ' ἑξῆς τῆς συγκλήτου παρούσης ὅρκοις μεθ' ὅρκων ἐπαγαγὼν τὸν κωνσταντῖνον ὁ βασιλεὺς, εἰ ἔφυγεν ὁ σαμωνᾶς; ὁ δὲ διὰ τοὺς ὅρκους ψεύσασθαι μὴ θελήσας, ἀπεῖπεν, ὅτι εἰς τὴν οἰκείαν πατρίδα τὴν μελιτηνὴν ἀπῄει. ὁ βασιλεὺς δὲ τὸν μὲν κωνσταντῖνον μετ' ὀργῆς ἀπεπέμψατο. τὸν δὲ σαμωνᾶν μετὰ ταῦτα τῆς προτέρας ἠξίωσεν οἰκειώσεως, ὥστε καὶ πατρίκιον ἐτίμησε, καὶ παρακοιμώμενον προεβάλετο, ὃς εἰς πολλὰ τῶν οὐ καθηκόντων τὸν αὐτοκράτορα προεβίβαζεν, ὧν ἓν καὶ τὸ βιάσασθαι τὸν πατριάρχην, δέξασθαι αὐτὸν, καὶ τοῦ ἀφορισμοῦ ἀπολῦσαι. μεταπεμψάμενος οὖν τὸν ἀρχιερέα ὁ βασιλεὺς, ἐδεῖτο δεχθῆναι. *Ὅτι ἐξώρισε τὸν πατριάρχην νικόλαον ὁ λέων.* ὡς δ' ἐκεῖνος ἦν ἀδυσώπητος, ἐκ τῶν βασιλείων αὐτίκα διαπεραιοῦται πρὸς τὴν ἱερίαν, κἀκεῖθεν πεζοποροῦντα εἰς τὸ ἐν γαλακρήναις ἄγουσιν αὐτὸν μοναστήριον, ὃ αὐτὸς ἐδομήσατο, ἔτη προστάντα τῆς ἐκκλησίας ἕνδεκα. προχειρίζεται δὲ πατριάρχης ὁ σύγκελλος εὐθύμιος, ἀνὴρ ἱερός. ὃς καὶ βουλόμενον τὸν βασιλέα νόμον θεσπίσαι, ἐγγράφως κατ' αὐτὸν τὸν βουλόμενον γυναῖκας δύο καὶ τρεῖς ἄχρι καὶ τεσσάρων, πάσῃ σπουδῇ διεκώλυσε. τῶν δ' ἀγαρηνῶν ναυσὶ τὰς τῶν ῥωμαίων λυμαινομένων χώρας, ὁ βασιλεὺς ἱμέριον τὸν λογοθέτην τοῦ δρόμου τοῦ στόλου προχειρισάμενος ἀρχηγὸν, κατὰ τῶν ἐκ τῆς ἄγαρ ἀπέσταλκεν, ἐντειλάμενος αὐτῷ, καὶ τὸν δοῦκα προσλαβέσθαι ἀνδρόνικον. *Ὅτι ἐξ ἐπιβουλῆς τοῦ σαμωνᾶ ὁ δοὺξ ἀνδρόνικος τοῖς ἀγαρηνοῖς προσεχώρησε.* ὁ δὲ δόλιος σαμωνᾶς ἄσπονδον ἔχων ἔχθραν κατὰ τοῦ γένους τοῦ δουκικοῦ, ὑποτίθησί τινι τῶν φίλων τοῦ ἀνδρονίκου διαλῦσαι αὐτὸν, μὴ συμπλεῦσαι τῷ ἱμερίῳ, ἐκκόψαι οἱ τὰ ὄμματα μέλλοντι κατὰ βασίλειον πρόσταγμα. διὸ οὐκ ἐπείσθη τῷ ἱμερίῳ συνελθεῖν ὁ ἀνδρόνικος, ὅθεν καὶ μόνος ἐκεῖνος ναυμαχήσας ἐκράτησε, καὶ τοῦ τῶν πολεμίων περιεγένετο ναυτικοῦ, ἐντεῦθεν ἀπεγνωκὼς ὁ ἀνδρόνικος, συγγενεῖς τε, καὶ δούλους αὐτοῦ προσλαβόμενος, κατέσχε τὴν καβάλαν ὀχυρόν τι φρούριον τοῦ ἰκονίου οὐ πάνυ τι διεστάμενον μήκοθεν. ὁ δὲ σαμωνᾶς οὐκ ἀπέλιπε τὸν βασιλέα ἐρεθίζων, καὶ εἰς ὀργὴν παροξύνων κατὰ τοῦ ἀνδρός. μαθὼν δ' ἐκεῖνος καὶ τὴν τοῦ πατριάρχου νικολάου ἐκ τῆς ἐκκλησίας ἐξώθησιν, καὶ πάντοθεν ἀπορῶν, πανοικεσίᾳ τοῖς ἀγαρηνοῖς προσελήλυθεν. ὁ δὲ βασιλεὺς τοῦτο γνοὺς, ὑπεραλγήσας, ὅτι πολέμιον ἕξει τὸν ἄνδρα ἀνθ' ὑπερμάχου γενόμενον. γραφὴν οὖν ἐγχειρίσας βασίλειον, δι' ἧς τῷ ἀνδρονίκῳ

Ἀνδρονίκῳ καὶ ἀμνηστία τῶν πραχθέντων ἐπρυτανεύετο, καὶ ἐπανόδου ἐπετρέπετο, καὶ πολλῶν δόσις ἐπηγγέλλετο ἀγαθῶν. ταύτην ἐμβαλόντες κηρῷ τὴν γραφὴν, καὶ λαμπάδος τὸν κηρὸν ἀπεικάσαντες, Σαρακηνῷ τῶν αἰχμαλώτων ἑνὶ ἐκβληθέντι τῆς εἱρκτῆς ἐγχειρίζουσιν, ἐντειλάμενοι τῷ Ἀνδρονίκῳ δοῦναι. αὐτὸν οὖν δὴ τὸν ἀγαρηνὸν ὁ Σαμωνᾶς μετακαλεσάμενος, ἐν ἀπορρήτοις φησὶ πρὸς αὐτὸν, οἶδας ὅτι τὸν ὄλεθρον τῆς Συρίας ὅλης φέρεις ἐν ταῖς χερσίν; ἵνα γοῦν καὶ τὴν πατρίδα περισώσῃς καὶ τοὺς ὁμογενεῖς, τὸν κηρὸν τοῦτον ἐγχείρισον τῷ Οὐζὰρ (οὕτω γὰρ ὁ παρ' ᾧ ἦν ὁ Ἀνδρόνικος ὠνομάζετο). ὁ δὲ πεποίηκεν ὡς παρήγγελτο, καὶ γνόντες οἱ τῆς Ἄγαρ τὴν δύναμιν τῆς γραφῆς, καὶ τὸν Ἀνδρόνικον δεσμοῦσι, καὶ πάντας τοὺς σὺν αὐτῷ. ὁ μὲν οὖν Ἀνδρόνικος ἐν τοῖς δεσμοῖς τὸν βίον κατέλυσε. τινὲς δὲ τῶν σὺν αὐτῷ τὴν ἐκ τῶν δεσμῶν μὴ φέροντες κάκωσιν, τὴν πίστιν ἑαυτῶν ἐξωμόσαντο. ὁ δὲ Κωνσταντῖνος καί τινες τῶν σὺν αὐτῷ τῆς εἱρκτῆς ἐκφυγόντες, πρὸς τὰ Ῥωμαίων ἀπῆλθον, καὶ τοὺς καταδιώκοντας αὐτοὺς Ἀγαρηνοὺς γενναίως τρεψάμενοι, διεσώθησαν. ὃν ὁ βασιλεὺς ἐδέξατό τε περιχαρῶς, καὶ ἐδεξιώσατο μεγαλοπρεπῶς, καὶ διαφερόντως ἐτίμησεν. εἶτα καὶ πρὸς αὐτὸν ἔφη, μὴ ἀπατάτω σε Κωνσταντῖνε τὸ ὄνομα, μηδ' οἴου τῆς βασιλείας τυχεῖν, ὡς Κωνσταντίνου Ῥωμαίων μέλλοντος ἄρξαι. ἴσθι γὰρ ἀκριβῶς, τοῦτον εἶναι τὸν υἱὸν τὸν ἐμόν. σὺ δὲ εἰ μὲν ἣν ἔλαχες Σπάρτην κοσμεῖς, ἔσται σοι εὖ, εἰ δὲ νεωτερίσεις, καὶ τυραννίδι ἐπιχειρήσεις, ἴσθι βεβαίως ἀκριβῶς, ὡς διὰ τῆσδε τῆς πύλης (τὴν πρὸς δύσιν οὖσαν τοῦ χρυσοτρικλίνου δείξας αὐτῷ) ἡ κεφαλή σου τοῦ λοιποῦ σώματος χωρὶς διαχθήσεται. ὃ καὶ γέγονεν ὕστερον. ἐκ δὲ Μελιτηνῆς ἐλθόντων τινῶν, ἐν οἷς ἦν καὶ ὁ τοῦ Σαμωνᾶ πατὴρ, ὑπεδέξατο τούτους ἐντίμως ὁ βασιλεὺς, καὶ εἰς τὴν μεγάλην ἐκκλησίαν μὴ δεόντως ἀπίστους ὄντας εἰσήγαγεν. ἰδὼν δὲ ὁ τοῦ Σαμωνᾶ πατὴρ, ἣν εἶχεν ὁ υἱὸς αὐτοῦ τιμὴν ἐν τοῖς βασιλείοις, καὶ τὸν πλοῦτον ὃν περιεῖχεν, ἤθελε συνδιάγειν αὐτῷ. ἐκωλύθη δὲ παρ' ἐκείνου, τὴν οἰκείαν θρησκείαν τηρεῖν συμβουλεύοντος, καὶ εἰς τὴν πατρίδα ἐπανελθεῖν, εἰ δὲ καὶ αὐτὸς, ἔφη, τύχω καιροῦ, ὑποστρέψω πρός σε. τῇ δ' ἑορτῇ τῆς πεντηκοστῆς ἐνστάσης, ἔστεψε τὸν υἱὸν αὐτοῦ ὁ βασιλεὺς, καὶ ἀνηγόρευσεν αὐτὸν βασιλέα. εὐνοῦχον δ' ἔχων θεράποντα ὁ μυσαρὸς Σαμωνᾶς, Κωνσταντῖνον ὀνομαζόμενον, ἐκ δὲ Παφλαγονίας γενόμενον, τῇ δεσποίνῃ τοῦτον δέδωκεν εἰς ὑπουργίαν. ἐπεὶ δὲ καὶ τῇ βασιλίσσῃ καὶ αὐτῷ τῷ κρατοῦντι λίαν ὁ Κωνσταντῖνος ᾠκείωτο, ὡς βασκανίᾳ ὁ βέβηλος ληφθεὶς Σαμωνᾶς, καὶ πρὸς τὸν βασιλέα κατεῖπεν αὐτοῦ, ὡς ἐρωμένου τῇ βασιλίσσῃ. ζηλοτυπήσας οὖν ὁ Λέων, ἀποκαρθῆναι τοῦτον προσέταξε μοναχὸν, καὶ μετ' οὐ πολὺ ἀνακαλεῖται τοῦτον, καὶ ἀποδύσασθαι κελεύσας τὰ μοναχικὰ ἄμφια, καὶ κοσμικὴν περιβαλέσθαι στολὴν, μᾶλλον ἢ πρότερον αὐτὸν ᾠκειώσατο. οὐκ ἀνεκτὰ δ' ἦσαν ταῦτα τῷ Σαμωνᾷ. γράφει τοίνυν λοίδορόν τι γραμματεῖον διά τινος τῶν αὐτοῦ, καὶ τοῦτο ῥίπτει ἔνθα ὁ βασιλεὺς διελεύσεσθαι ἔμελλεν, ὅπερ εὑρὼν ἐκεῖνος καὶ ἀναγνοὺς, ἤλγησέ τε, καὶ τὸν πεποιηκότα τοῦτο ἐζήτει. εἷς οὖν τις τῶν συνειδότων τὴν πρᾶξιν ταύτην τῷ Σαμωνᾷ, τοῦτον εἶναι τὸν ἐργάτην τοῦ λοιδόρου βιβλίου τῷ κρατοῦντι ἐδήλωσεν. ἐκλείψεως μέντοι τότε τῆς σελήνης συμβάσης, τὸν μητροπολίτην Συνάδων ὁ βασιλεὺς μετεπέμψατο, περὶ ταύτης πευσόμενος. ὃν ὁ Σαμωνᾶς ἰδίᾳ παραλαβὼν, ἤρετο περὶ τῆς ἐκλείψεως, κἀκεῖνος ἔφη, ὅτι σοὶ τὸ τῆς σελήνης πάθος σημαίνει δυστύχημα. εἰ δὲ ἡ τοῦ Ἰουλίου τρισκαιδεκάτη

ὅτι [illegible] τοῦ Σαμωνᾶ κατὰ τοῦ Ἀνδρονίκου τοῦ δουκός.

ὅτι διέδρα Κωνσταντῖνος ὁ τοῦ Ἀνδρονίκου υἱὸς, καὶ [illegible] ὑπὸ τοῦ βασιλέως [illegible].

ὅτι ἔστεψε Λέων τὸν υἱὸν αὐτοῦ.

ὅτι Κωνσταντῖνος ὁ Σαμωνᾶ [illegible].

Andronico & delictorum uenia concedebatur, & reditus permittebatur, & multa beneficia promittebantur. Eas literas in ceram candelæ instar effictam coniectas, Sarraceno cuidam è carcere educto tradunt, Andronico reddendas. Cui Samonas accersito, clàm ait: Nunquid scis te totius Syriæ interitum gestare in manibus? Vt igitur patriam & populares conserues: ceram istam Vzeri tradito, id enim hospiti Andronici nomen erat. Facit ille ut iussus fuerat. Agareni cognita literarum sententia, Andronicum cum omnibus suis in uincula conijciunt. in quibus ille obijt: quidam uerò ex illis, carceris ærumnas non ferentes, fidem obiurarunt. At Constantinus, & quidam cum ipso, carcere elapsi, in Romanos limites, persequentibus Agarenis fortiter profligatis, euaserunt. Eum Imperator & hilariter excepit, & magnificè donauit, & exquisitis honoribus affecit. Deinde etiam ei dixit: Ne te decipiat nomen Constantine tuum, nec putaris, eo quòd Constantinus Romanis imperaturus sit, te imperio potiturum. Certò enim scito, filium hunc meum, illum esse. Quòd si tu Spartam tuam ornaris, bene tibi erit. Sin rebus nouis studueris, & tyrannidem affectaris: noli dubitare, quin per hanc portam (demonstrata occidentali aurei triclinij porta) caput tuum absque reliquo corpore sit transiturum. id quod postea factum est. Cum Samonæ pater cum quibusdam alijs Melitena uenisset, uiso honore & opulentia filij, cũ eo uiuere uoluit. Nam Imperator eos honorificè exceperat, & contrà quàm decebat, homines profanos in magnam Ecclesiam introduxerat. Sed à filio prohibitus est, suadente, ut suam religionem conseruaret, atque in patriam reuerteretur, quod & ipse per occasionem facturus esset. In festo Pentecostes, Leo filium suum coronauit, & Imperatorem appellauit. Cæterùm odiosus Samonas eunuchum ministrum suum Constantinum, ex Paphlagonia oriundum, dominæ ad ministerium tradidit. qui cùm & Imperatrici & ipsi Imperatori percharus esset: profanus Samonas inuidia stimulatus illum apud Imperatorem detulit, quasi ab Imperatrice amaretur. quẽ Leo ex æmulatione, pro monacho tonderi, nec multò pòst reuocari, & monastico habitu exuto, ciuilẽ uestem resumere iussit, eoq́ familiarius etiam q́ prius usus est. Id Samonæ intolerabili⁹ uisum. Curat igit̃ p suorũ quẽdã, libellũ conuicijs plenũ scribi, eũq́ abijcit, quà Imperator trãsiturus erat: quo is inuento & lecto, doluit, autorẽq́ requisiuit. Vnus igitur ex eius rei cõscijs, Samonã scripti autorẽ esse indicat. Cũ aũt eclipsis Lunæ tũ fuisset, Imperator Metropolitã Synadũ de ea quæsiturus accersit. quem cũ Samonas priuatim de illa sciscitaretur: respõdet, Tuum infortuniũ portendit ista Lunæ affectio. Sin decimatertia Iulij dies

Constantinus dux Byzantij honorificè exceptus, ab affectando regno deterretur.

Constantinus Leonis filius designatur Imperator.

Constantinus eunuchus frustrà à Samone defertur.

Samonas ob famosũ libellũ Regis exactus.

Eclipsis Lunæ à synodo declarata.

ante tuam calamitatem præterierit: & tu infortunium euitabis. Deinde ab Imperatore quoque interrogatus Synadus, respondet, malum istud in eum qui esset ab illo proximus, grassaturum. Imperator porrò personam proximam Alexandrũ fratrem iudicabat, sed falsò. Nam homini pessimo tandem malè esse oportebat. Leo igitur, ubi cognouit eum esse famosi libelli autorem, & regia exigit, & rasum certis finibus includit. idq; accidit ante diem Iulij XIII. Constantinus cui Samonas & inuidebat & insidiabatur, illius loco cubicularius est designatus, eiq; monasterium in Nosiijs extructũ. Imperator autem cœliaco morbo laborãs, uiribus ita exhaustis fuit, ut de ieiunio apud Senatum de more orationem habere nõ posset, quæ oratio Silentiũ appellatur. Pauca tamen est locutus, petijtq;, ut patres conscripti sui memores, cõiugi filioq; suo fidẽ seruarent. quamuis autem diceret, se eos nunc postremò affari, non tamen statim defecit, sed ad Maium usq; uixit. Tum uerò moriens, imperiũ fratri Alexãdro reliquit, eidemq; filio suo tradito, perijt, ut eum curaret, regaliterq; educato, imperiũ relinqueret. quem cùm iam moribundus ad se uenire uidisset, dixisse fertur: Ecce infaustum tempus post XIII. menses. Imperauit annos XXV. & III. menses.

Leo celiacus obit.

IMPERIVM ALEXANDRI fratris Leonis.

Alexãder firmato imperio, patriarcham Nicolaum statim è Galacrenis in sedem Constantinopolitanam reduxit, pulso in exilium Euthymo, & dignitate pro suggesto abrogata, cùm quidẽ Nicolai sectatores multis hominẽ contumelijs affecissent. Rerum potitus nihil Imperatore dignũ gessit, delicijs, uenationibus, ebrietati, comessationibus, luxuriæ deditus. Res imperij & Reipub. mandauit circulatoribus & hominib. è triuijs, quos ante imperium clandestinorũ facinorum habuerat socios: quorũ unum Basilitzem successorem imperij declarare in animo habuit. Nã fratris filiũ Constantinũ & priuatũ esse, & uirilibus priuare uolebat. Idq;, nisi uita celeriter finisset, consilijs eius à diuina prouidentia euersis, quantum quidẽ in ipso fuit, re ipsa fortasse factũ esset. Cũ præstigiatores percõtaretur, an diu uicturus esset: audiuit ex eis, se fore longæuũ si apro æneo in theatro, dentes & pudenda addidisset. Eum enim ipsius elementũ esse. qui aduersus Leonẽ fratrem eius staret. " Neq; ulla in re alia rectè iudicarunt, " nisi q; hominẽ gulæ conuiuijsq; mancipatũ, " luxuq; cõtinenter diffluentẽ, sui compararunt. Credidit homo porcis amentior, illorum uerbis, easq; partes æneo operi adiecit. Cũ Bulgarorũ princeps Symeon per legatos ex eo quæreret, an pacem cõseruaturus esset: eos Alexander contemptim excepit, superbè allocutus est, & arroganter comminatus. Cuius

Euthymio Patriarcha pulso, Nicolaus restituitur.

Aper æneus ab Alexandro armatus.

Bulgarica legatio.

παρελεύσονται πρὸ τῆς σῆς συμφορᾶς, ἐκφεύξῃ καὶ σὺ τὸ δυστύχημα. εἶτα καὶ πρὸς τοῦ βασιλέως ὁ Συνάδηνος ἐρωτηθεὶς, ἀπεκρίνατο, ὡς εἰς τὸ δεύτερον μετὰ σὲ πρόσωπον γενήσεται ἡ κάκωσις. δεύτερον δὲ πρόσωπον ὁ βασιλεὺς τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἀλέξανδρον ἔκρινεν, ἀλλ' ἐσφάλη περὶ τὴν κρίσιν. ἔδει γὰρ ποτὲ τὸν κάκιστον Σαμωνᾶν γενέσθαι κακῶς. μαθὼν οὖν ὁ Λέων, ὡς ἐκεῖνος ἦν ὁ τοῦ λοιδόρου βιβλίου πατὴρ, ἐξωθεῖ μὲν τῶν βασιλείων αὐτὸν, καὶ ἀποκείρει, καὶ περιγραπτοῖς ὁρίοις καθείργνυσι. καὶ ταῦτα γέγονε μήπω τῆς τρισκαιδεκάτης τοῦ Ἰουλίου παρερρυηκυίας. προχειρίζεται δὲ ἀντὶ τοῦ Σαμωνᾶ ὁ παρ' ἐκείνου βασκαινόμενος Κωνσταντῖνος καὶ ἐπιβουλευόμενος παρακοιμώμενος, ᾧ καὶ μονὴν ὁ βασιλεὺς ἐδείματο ἐν τοῖς Νοσιαῖς. νοσήσας δὲ ὁ Λέων κοιλιακὸν νόσημα, οὕτω κατηργάσθη τὴν δύναμιν, ὡς μηδὲ δυνηθῆναι διαλεχθῆναι τῇ συγκλήτῳ περὶ νηστείας τὴν συνήθη διάλεξιν, ἣ καλεῖται σιλέντιον. ὅμως ὀλίγα τινὰ ταύτῃ διαλεχθεὶς, καὶ ἀξιώσας αὐτοῦ μεμνῆσθαι, καὶ πίστιν εἰς τὴν αὐτοῦ σύμβιον τηρεῖν καὶ εἰς τὸν υἱὸν, καὶ τελευταίαν ταύτην προσλαλιὰν πρὸς αὐτὴν ποιεῖσθαι εἰπὼν, οὐκ αὐτίκα ἐξέλιπεν, ἀλλὰ μέχρι τοῦ Μαΐου διήρκεσε. τότε δὲ τελευτῶν, τὴν αὐταρχίαν τῷ ἀδελφῷ κατέλιπεν Ἀλεξάνδρῳ, καὶ τὸν υἱὸν αὐτοῦ παραδέδωκεν, ἀξιώσας, ἵνα μελῆσθαι αὐτοῦ, καὶ ἀναγαγεῖν βασιλικῶς, καὶ αὐτῷ τὸ κράτος καταλιπεῖν. ὃν βλέπων ἐρχόμενον πρὸς αὐτὸν ἐν τῷ ἤδη ἐκλείπειν, ὥς φασιν, ἔφη, ἰδὲ ὁ κακὸς καιρὸς μετὰ τοὺς δεκατρεῖς μῆνας. ἐβασίλευσε δὲ ὁ Λέων ἔτη εἴκοσι καὶ πέντε, καὶ μησὶ τρισίν.

Ἐξώθησις ἐκ τῶν βασιλείων τοῦ Σαμωνᾶ.

τελευτὴ τοῦ λέοντος.

ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΑΝΔΡΟΥ τοῦ ἀδελφοῦ λέοντος.

Ἀλέξανδρος δὲ ἅμα τε τοὺς πόδας ἤρεισε τῇ ἀρχῇ, καὶ ἅμα τὸν πατριάρχην Νικόλαον ἐκ τῶν Γαλακρηνῶν ἀγαγὼν, εἰς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἀνήγαγε, τὸν δεύτερον κατενεγκὼν τὸν Εὐθύμιον. καὶ τοῦ βήματος τὴν τούτου ποιήσας καθαίρεσιν, ἐνυβρισάντων εἰς τὸν ἄνδρα πολλὰ τῶν προσκειμένων τῷ Νικολάῳ, εἶτα καὶ ὑπερόριον ποιήσας αὐτόν. αὐταρχήσας δὲ ὁ βασιλεὺς οὗτοσὶ, οὐδὲν ἔργον εἰργάσατο βασιλεῖ, ἀλλὰ τρυφαῖς καὶ θήραις, καὶ κώμοις, καὶ ἀσελγείαις ἐξέδωκεν ἑαυτόν. τὰ δὲ τῆς βασιλείας καὶ κοινὰ πράγματα ἀνθρώποις ἀνέθετο ἀγύρταις καὶ τοῖς ἐκ τριόδων, οὓς πρὸ τῆς μοναρχίας ἀπορρήτων εἶχε πράξεων κοινωνούς, ὧν ἕνα Βασιλίτζην λεγόμενον καὶ διάδοχον τῶν σκήπτρων ἀναδεῖξαι ἐνενόει ποιῆσαι. τὸν γὰρ ἀδελφόπαιδα Κωνσταντῖνον καὶ ἰδιωτεῦσαι ἐβούλετο, καὶ τῶν παιδογόνων ἀφαιρεθῆναι μορίων. καὶ εἰ μὴ ταχὺ τὸ τέλος αὐτῷ τῆς ζωῆς ἐπελήλυθε, καὶ οὕτως αὐτοῦ τὰ τῆς ἄνω προνοίας διεσφάλησε τὰ βουλεύματα, τάχ' ἂν ὅσον τὸ ἐπ' ἐκείνῳ, καὶ εἰς ἔργον ἐξήνυσεν. γοήτων δὲ πυνθανόμενος, εἰ τὸ μῆκος αὐτῷ τὰ τῆς ζωῆς προελεύσεται, ἤκουσεν ἐξ ἐκείνων, ὡς ἔσται αὐτῷ μακροχρόνιον τὸ βιώσιμον, εἰ τῷ ἐν τῷ θεάτρῳ συῒ, ὃς ἐκ χαλκοῦ πεποίηται, ὀδόντας καὶ αἰδοῖα προσθείη. σὸν γὰρ, ἔλεγον, τοῦτο στοιχεῖον εἶναι, ἀντιστάμενον Λέοντι τῷ σῷ ἀδελφῷ. οὐδὲν ἕτερον κρίνοντες ὑγιὲς, ἢ τὸ συώδη τοῦτον ἀπεικάσαι τὸν αὐτοκράτορα, διὰ τὸ περὶ γαστέρα λαιχαργίαν τε καὶ συσσίτια, καὶ ἀκολασίας προστετηκέναι διηνεκῶς. πεισθεὶς οὖν τοῖς λόγοις ἐκείνων, ὁ καὶ χοίρων ἀνοητότερος, τὰ λείποντα τούτῳ τῷ χαλκουργήματι ἐξειργάσατο. τοῦ μέντοι τῶν Βουλγάρων ἄρχοντος Συμεὼν, εἰ τὴν εἰρήνην ἀσπάζοιτο, ἐρωτῶντος διά τινων ὑπ' αὐτοῦ πεμφθέντων, ὁ Ἀλέξανδρος ἀτίμως τε τοὺς πεμφθέντας ἐδέξατο, καὶ ὑπερηφάνως ὡμίλησε, καὶ ὑπερόγκως ἠπείλησεν

ὅτι τὸν ἀνεψιὸν Κωνσταντῖνον ἐκτομίαν ποιῆσαι διεμελέτησε.

θάνατος τοῦ ἀλεξάνδρου.

ἀπέλαυσεν. οὐ γὰρ ὁ συμεὼν τὴν ὕβριν μὴ φέρων, ἐπὶ ῥωμαίους ὡπλίζετο. συμποσίοις δὲ καὶ μέθαις διδοὺς πάντοτε ἑαυτὸν ὁ ἀλέξανδρος, ἅπαξ ἀριστήσας μετὰ λουτρὸν, καὶ κοιλίᾳ χρησάμενος τῇ γαστρὶ, καὶ ἀπλήστως ἀκρατισάμενος, σφαιρίσαι προὔθετο, καὶ κατατείνας τὸ σῶμα τῇ ἱππασίᾳ καὶ ταῖς τῆς σφαίρας ἐκτραχηλίσεσι, ῥῆξιν ἔπαθε, καὶ αἷμα διά τε τῆς ῥινὸς ἐκχέας καὶ δι' αἰδοῖος, μετὰ μίαν ἡμέραν ἐξέλιπεν, ἐπιτρόπους ἐπὶ τῷ ἀνεψιῷ καὶ τῇ βασιλείᾳ διοικητὰς γράψας, τόν τε πατριάρχην νικόλαον καὶ τὸν μάγιστρον στέφανον, καὶ τὸν μάγιστρον ἰωάννην τὸν ἐλαδᾶν, τόν τε ῥαίκτορα ἰωάννην, καὶ δύο τῶν ὑπ' αὐτοῦ προαχθέντων ἐκ τύχης ἀγυρτικῆς εἰς συγκλητικὴν ἀξίαν, καὶ εἰς πατρικιότητα τὸν βασιλίτζην καὶ τὸν γαβριηλόπουλον.

ἐπίτροποι κωνσταντίνου τοῦ ἀνεψιοῦ ἀλεξάνδρου.

ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ τοῦ υἱοῦ τοῦ λέοντος.

Μὲν οὖν ἀλέξανδρος ἕνα ἐνιαυτὸν καὶ μῆνα τὴν βασίλειον διαπαίξας ἀρχὴν, κατέλυσε τὴν ζωὴν, ἡ δ' ἀρχὴ εἰς κωνσταντῖνον τὸν υἱὸν τοῦ λέοντος περιέστη, παῖδα ἔτι τυγχάνοντα κομιδῆ. ἕβδομον γὰρ αὐτῷ τῆς ἡλικίας ἔτος ἀνύετο. ὁ μέντοι τοῦ δουκὸς ἀνδρονίκου υἱὸς ὁ κωνσταντῖνος, δομέστικος ὢν τῶν σχολῶν, καὶ τὴν τοῦ ἀλεξάνδρου πυθόμενος τελευτὴν (ἀπεδήμει γὰρ τῆς βασιλίδος τῶν πόλεων) τὸ μέν τι ὃν ἐγκρυπτὸν ὑπὸ σποδιᾷ σπινθῆρα τοῦ ἔρωτος τῆς βασιλείου ἀρχῆς ἀνακαλύπτων τε καὶ ἀναζωπυρῶν, τὸ δὲ καὶ ὑπ' ἄλλων πρὸς τοῦτο ἐρεθιζόμενος, ὧν εἷς εἶναι λέγεται καὶ ὁ πατριάρχης νικόλαος (μήπω γὰρ τῆς τοῦ ἀλεξάνδρου διαθήκης ἀναγνωσθείσης, οὐκ ᾔδει καὶ αὐτὸς καταλελειμμένος ἐπίτροπος) τυραννίδι ἐπεχείρησε, καὶ τοὺς ἐκκρίτους τῶν στρατευμάτων παραλαβὼν, εἰς βυζάντιον ἀφικνεῖται, καὶ διά τινος πυλίδος νυκτὸς εἰσελθὼν, τὴν τοῦ ἱπποδρόμου πύλην μετὰ λαμπάδων καταλαμβάνει, καί τινας τῶν συγκλητικῶν προσεταιρισάμενος, πολλοῦ καὶ δημώδους ὄχλου συναθροισθέντος, οἳ καὶ ὡς βασιλέα αὐτὸν εὐφήμουν καὶ ἀνηγόρευον. τῶν δὲ φυλάκων τὰς πύλας μὴ ἀνοιγνύντων, ὁ πρωτοστράτωρ τοῦ κωνσταντίνου, ταῖς χερσὶ πεποιθὼς, καὶ θρασύτερον προσβαλεῖν τὰς πύλας καὶ καταβαλεῖν βιαζόμενος, νυγεὶς λόγχῃ παρά του τῶν ἔνδον διά τινος ἀμυχῆς, καὶ ὁ μὲν ἦν αὐτίκα νεκρός. ὁ δέ γε κωνσταντῖνος ἐκεῖθεν εἰς τὸ τῶν ἵππων ἀπῄει ἁμιλλητήριον [illegible] εἰς τὴν λεγομένην χαλκῆν, καὶ ἄχρι τῶν ἐξκουβίτων προῆλθεν. ὁ δὲ εἷς τῶν ἐπιτρόπων ὡς ὁ μάγιστρος ἰωάννης ὁ ἐλαδᾶς, ἐκ τῶν ἑταιρειῶν καὶ τῶν πλωΐμων συλλέξας τινὰς, ἀντικαταστῆναι τῷ τυραννοῦντι αὐτοὺς ἐξαπέστειλε. καὶ συμπλοκῆς γενομένης, πολλοὶ μὲν ἑκατέρωθεν ἀπέθανον, ἐσφάγη δὲ καὶ γρηγορᾶς ὁ τοῦ δουκὸς υἱὸς, καὶ ὁ ἀνεψιὸς αὐτοῦ μιχαὴλ, καὶ κουρτίκιος ὁ ἀρμένιος. τούτοις οὖν περιαλγήσας ὁ κωνσταντῖνος καὶ τὸ οἰκεῖον ἐπιρρῶσαι προθυμούμενος σύνταγμα, τὸν ἵππον ἤλαυνε, συμμῖξαι θέλων τοῖς ἔμπροσθεν, ἐστρωμένου δὲ τοῦ ἐδάφους πλαξὶν, ὑπολισθήσας ὁ ἵππος ἔπεσε, καὶ τὸν ἀναβάτην κατέβαλε, καί τις αὐτῷ ἐπελθὼν, ἐξέτεμε τὴν αὐτοῦ κεφαλὴν, καὶ τῷ βασιλεῖ κωνσταντίνῳ προσήνεγκε, διὰ τῆς δυτικῆς τοῦ χρυσοτρικλίνου πύλης εἰσελθὼν, κατὰ τὴν πρόρρησιν τοῦ βασιλεύσαντος λέοντος. ὅτι δὲ οὐ τεύξεται ὁ δοὺξ κωνσταντῖνος τῆς βασιλείας, καὶ ἑτέρωθεν ἦν τῷ βασιλεῖ ἐπεγνωσμένον. ἦν γάρ τις τελώνης νικόλαος, ὃς χρεώστης πολλῶν χρημάτων τῷ δημοσίῳ γενόμενος, πρὸς τοὺς ἰσμαηλίτας κατέφυγε, καὶ τὴν πίστιν ἐξομοσάμενος, ἀστρολογίαν μετῄει. οὗτος τῷ λογοθέτῃ τοῦ δρόμου ἐπέσταλκε γράμματα, ὧν ἡ τοῦτο [illegible]

κωνσταντῖνος [illegible]

ἀναίρεσις τοῦ δουκὸς κωνσταντίνου.

contumeliæ Symeon impatiens, se contra Romanos armauit. Alexander uerò conuiuijs & ebrietati perpetuò indulgēs, cū à balneo pransus, uentre epulis meroq; distēto, pila luderet: equitando, & pilæ inflexionibus, uasis quibusdam ruptis, multoq; sanguine per nares & ueretrū reiecto, uno die post extinctus est: cùm nepoti suo tutores, & imperij administratores scripto ordinasset, Patriarchā Nicolaum, Magistrum Stephanū, Magistrum Ioannem Eladam, Rectorem, & duos, quos è circulis uocatos, ad senatoriam & Patriciā dignitatem euexerat, Basilitzem & Gabrielopolum.

Alexandri obitus.

Constātini tutores.

IMPERIVM CONSTANTINI filij Leonis.

Alexādro, cùm imperiū annum unum & mēsem ludificatus esset, defuncto, potestas ad Constantinū Leonis filium deuoluta est, admodū puerū adhuc. Septimū enim agebat annū. Enimuerò Constantinus Alexij ducis filius, Domesticus legionū, Alexādri obitu audito (nam tum aberat ab urbe) partim ueluti scintillas cupiditatis imperij, quas sub cinerib. tegebat, detegēs & uentilās: partim ab alijs quoq; incitatus, quorum unus fuisse perhibet, et Patriarcha Nicolaus (nā Alexandri testamento non dū lecto, ignorabat, se quoq; relictū esse tutorem) tyrānidem inuasit, delectisq; militibus assumptis, Byzantium noctu per quandam portā ingressus, Circi equestris portam, cum facibus occupat, conciliatis sibi Senatoribus quibusdam, & magna plebis turba cōgregata, qui eum faustis ominib. prosequebantur, & Imperatorem salutabant. Custodibus autem portā non aperientibus, Constātini protostrator, manibus fretus, dum eam audacius cædere & reuellere nititur, per foramen lancea confossus, statim concidit exanimis. At Constantinus inde in equestriū certaminū theatrū discedit. Deinde in Chalcen, & usq; ad excubitores progreditur. Verū unus tutorū, magister Ioannes Eladas, quosdā ex sodalitatibus & classiarijs collectos misit, ut tyrāno resisterent. Pugna cōmissa, multi utrinq; ceciderunt, cæsus Gregoras Ducis filius, & patruelis eius Michael & Curticius Armenius, ob hos amissos Cōstantinus dolens, dum exercitū suū cōfirmaturus, cōcitato equo in primā aciē prouehitur, equo in solo tabulis lapideis strato prolapso, præcipitatur: cui quidā statim caput amputat, idq; Imperatori Cōstātino offert, per occidentalem aurei triclinij portā ingressus, quemadmodū Leo Imperator uaticinatus fuerat. Constantinū autem Ducē imperio non potiturū, Imperatori & aulicis etiam aliunde innotuerat. Erat quidā publicanus Nicolaus, qui grandi ære alieno Reipublicæ obstrictus, abiurata religione, ad Ismaelitas se cōtulerat, & astrologiā tractabat Is Dromi Logothetæ literas miserat, quarum hęc summa erat:

Constantinus Dux, dum regnū affectat caput amittit.

Nicolai publicani prædicto.

„ Nolite timere à Duce. Nam temerè nouis re„ bus studebit, & statim funditùs peribit. Defectione compressa, seditiosi socer magister Gregoras, & Leo Chærosphactes, in magnam Ecclesiam se contulerunt. Quos tutores inde eiectos totonderunt, ut in monasterio Studij monachi essent: alios flagris cæsos in triumpho circumduxerunt, nonnullis oculos effoderunt, quosdam obtruncarunt, alios à Chrysopoli usque ad Leucaten trabibus affixerunt. Ac plures eorum licentia perijssent, nisi quidam ex iudicibus eos à temeritate illa puniendi retraxissent, huiusmodi uerbis: Cur uos ista facitis iniussu Imperatoris? qui cùm puer sit, in ea quæ geruntur, cõsentire non creditur. Sed & Constantini uxorem tonsam, & filium eius Stephanum uirilibus exectis, in Paphlagoniam domum suam ire permiserunt. Imperatoris igitur tutores tam Patriarcha quàm cæteri, suo arbitratu res gerentes, multa contrà quàm oportuit egerunt, neq; consenserunt inter sese: alijs id quod alij statuerant, abrogantibus, ut imperium non unius, sed multorũ esset. At Symeon Bulgarus opinatus se, quòd nullus esset Imperator, urbis Regiæ facilè potiturum: Byzantium cum maximis copijs aggreditur, & extra muros castris locatis, expugnationem meditatur. Sed quum firmitatem mœnium uidisset, & multitudinem ea defendentium, & frequentes in ijs machinas: ueluti uertigine oborta, ad Hebdomum regressus, pacem facere studuit. Patriarcha igitur & cæteri tutores, Imperatorem secum in Blachernam Regiam adduxerunt, quò & Symeon uenit, obsidibus datis & acceptis, & à Patriarcha, submisso capite, fausta comprecatione accepta, cum Imperatore cibum cœpit. Sed quum ei pacis conditiones displicerent, discessit sine pactionibus: muneribus & ipse & liberi eius donati. Iam quia Imperator matrem perpetuò reuocabat, & eius absentiam deplorabat: quam Alexander pridem Regia eduxerat, tutores reducere sunt coacti. Reuersa, curam rerum suscepit, & cubiculario Constantino, duobusq; fratribus Gongylijs ascitis, primùm Patriarcham Regia mouet, deinde Alexandri ministros, Rectorem Basilizem, Gabrielopolum, & cæteros etiam. Constantinus autem cubicularius poterat omnia. Cæterùm Bulgarus Symeon Thraciã incursionibus populatus, uallo excitato se Adrianopolim expugnaturũ confidebat. Quo conatu cũ se frustrari uideret, alia uia rem aggreditur, & quibusdã præsidiarijs pecunia corruptis, urbem proditam uastabat, quàm Imperatricis studium Romano imperio recuperauit. Quæ cũ crebras Symeonis in Thraciam excursiones non ferret: pace cũ Ismaëlitis facta, & legionibus tam orientalibus q; occidentalibus cõuocatis, Magistro Leoni Phocæ Legionũ Domestico, bellum Symeonium mãdat. qui pugna cõmissa,

Seditiosorũ supplicia.

Tutorum licentia.

Bulgarica expeditio.

Zoe Constantini mater, administrationẽ imperij capessit.

Adrianopolis excidiũ.

Bulgaricæ expeditiones & clades.

αὐτῷ. μὴ φοβηθῆτε ἀπὸ τοῦ δουκός. νεωτερίσει γὰρ ἀφρόνως, καὶ εὐθέως ἐξολοθρευθήσεται. καὶ ἡ μὲν ἀποστασία ἐπέπαυτο, ὁ δὲ τοῦ Κωνσταντίνου πενθερὸς ὁ μάγιστρος Γρηγορᾶς, καὶ Λέων ὁ Χοιροσφάκτης τῇ μεγάλῃ ἐκκλησίᾳ προσπεφευγότες ἦσαν, οὓς ἐκβαλόντες τοῦ θείου τεμένους, μοναχοὺς ἀπέκειραν οἱ ἐπίτροποι, ἐν τῇ τοῦ Στουδίου μονῇ. ἄλλους δ' αἰκισάμενοι ἐθριάμβευσαν, ἑτέροις τὰ ὄμματα ἐξεπήρωσαν, ἐνίων δὲ τὰς κεφαλὰς ἀπέτεμον, καὶ ἄλλους ἐκ Χρυσοπόλεως μέχρι τοῦ Λευκάτου ἀνεσκολόπισαν. καὶ ἄλλοι δὲ πλείους τῆς τῶν ἐπιτρόπων ἐξουσίας γεγόνασιν ἂν παρανάλωμα, εἰ μή τινες τῶν δικαστῶν τῆς πρὸς τὰς τιμωρίας ῥοπῆς αὐτοὺς ἀνεχαίτισαν, εἰπόντες, πῶς ταῦτα ποιεῖτε ὑμεῖς κελεύσεως ἄτερ βασιλικῆς, ἐπεὶ παῖς ὢν ὁ βασιλεὺς, τοῖς πραττομένοις οὐ συναινεῖ. ἀπεκείραντο δὲ οἱ ἐπίτροποι καὶ τὴν τοῦ Κωνσταντίνου γυναῖκα, καὶ τὸν υἱὸν Στέφανον ἐκτομίαν ποιήσαντες, εἰς τὸν ἐν Παφλαγονίᾳ οἶκον αὐτῶν ἐστάλκασι τούτους. οἱ δὲ τοῦ βασιλέως ἐπίτροποι ὅ,τε πατριάρχης καὶ οἱ λοιποὶ, ἐναυθεντοῦντες τοῖς πράγμασι, πολλὰ τῶν οὐ δεόντων ἐποίουν, καὶ πρὸς ἀλλήλους δὲ διεφέροντο, τῶν μὲν τὰ δ' εἰσαγόντων, τῶν δὲ τὰ ἀντιθέντα, καὶ ἦν ἡ τούτων διοίκησις πολυαρχία τις, ἀλλ' οὐ μοναρχία. ὁ δὲ Βούλγαρος Συμεὼν, ὡς μὴ βασιλέως ἐπικρατοῦντος τοῖς πράγμασι, ῥᾳδίως ἐλπίσας κρατήσειν τῆς βασιλίδος τῶν πόλεων, ἔπεισι κατὰ ταύτης μετὰ πλείστης δυνάμεως, καὶ ἔξω στρατοπεδεύεται τῶν ταύτης τειχῶν, καὶ πολιορκήσειν ταύτην διενοεῖτο. ἰδὼν δὲ τὸ τῶν τειχῶν καρτερὸν, καὶ τὸ πλῆθος τὸ ἐπ' αὐτῶν, καὶ τῶν ἐν τοῖς τείχεσι μηχανημάτων τὸ δαψιλὲς, ἰλιγγιάσας μετέπεσεν εἰς τὸ Ἕβδομον, ζητῶν σπείσασθαι. ὁ γοῦν πατριάρχης καὶ οἱ λοιποὶ τῶν ἐπιτρόπων λαβόντες τὸν βασιλέα, εἰς τὰ ἐν Βλαχέρναις ἦλθον βασίλεια, ὅπου καὶ ὁ Συμεὼν παραγέγονεν, ὁμήρους δοὺς καὶ λαβὼν, καὶ ὑπὸ πατριάρχῃ κλίνας τὴν κεφαλὴν, εὐλογήθη παρ' ἐκείνου, καὶ συνεστιάθη τῷ βασιλεῖ. ἐπεὶ μὴ ἀρεσθεὶς ταῖς συμβάσεσιν ἐπανῆλθεν ἀσύμβατος, δώροις ἀξιωθεὶς καὶ αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ. ἀνακαλουμένου δὲ διόλου τὴν ἑαυτοῦ μητέρα τοῦ βασιλέως, καὶ ἐπὶ ταύτῃ δακρύοντος (ἔφθη γὰρ ταύτην τῶν ἀνακτόρων καταγαγεῖν ὁ Ἀλέξανδρος) ἀναγκάζονται αὐτὴν ἀναγαγεῖν οἱ ἐπίτροποι. ἡ δὲ ἀνελθοῦσα, τῆς διοικήσεως ἄρχεται, προσλαβοῦσα καὶ τὸν παρακοιμώμενον Κωνσταντῖνον, καὶ τοὺς αὐταδέλφους ἄμφω τοὺς Γογγυλίους, καὶ πρῶτον μὲν τὸν πατριάρχην ἀπάγει τῶν βασιλείων. εἶτα καὶ τοὺς τοῦ Ἀλεξάνδρου θεράποντας ἐξωθεῖ, τόν τε ῥαίκτορα τὸν Βασιλίτζην καὶ τὸν Γαβριηλόπουλον, ἀλλὰ μέντοι καὶ τοὺς λοιπούς. Κωνσταντῖνος δὲ ὁ παρακοιμώμενος τὰ πάντα ἐδύνατο. ὁ μέντοι Βούλγαρος Συμεὼν τὴν Θρᾴκην κατέτρεχέ τε καὶ ἐληΐζετο, καὶ ἐν τῇ Ἀδριανουπόλει βάλλεται χάρακα, πολιορκίᾳ ταύτην ἑλεῖν ἐλπίζων. ὡς δ' ἑώρα ἑαυτῷ κενόσπουδον τὸ ἐγχείρημα, ἑτέρως τὴν ἅλωσιν τῆς πόλεως μέτεισι. χρήμασι γάρ τινας τῶν φυλάκων αὐτῆς ὑποφθείρας, ἐκ προδοσίας αὐτὴν ἐξεπόρθησεν. ἀλλὰ ταύτην μετὰ ταῦτα πάλιν ὑπὸ Ῥωμαίους ἡ τῆς βασιλίσσης σπουδὴ ἐποίησεν. μὴ φέρουσα δὲ τὰς κατὰ τῆς Θρᾳκῴας χώρας συχνὰς ἐπελεύσεις τοῦ Συμεὼν, σπεισαμένη τοῖς Ἰσμαηλίταις, καὶ τά τε ἑῷα τάγματα καὶ τὰ ἑσπέρια συναθροίσασα, τῷ μαγίστρῳ Λέοντι τῷ Φωκᾷ τῶν σχολῶν δομεστίκῳ τυγχάνοντι, τὸν κατὰ τοῦ Συμεὼν ἀνέθετο πόλεμον. ὃς καὶ

ὅτι πολλοὺς οἱ τοῦ βασιλέως ἐπίτροποι τῶν συναραμένων τῷ δουκὶ ἐκόλασαν.

ὅτι διεφέροντο ἀλλήλοις οἱ τοῦ βασιλέως ἐπίτροποι.

ὅτι ἀνάγεται βασιλέως μήτηρ εἰς τὰ βασίλεια καὶ τῆς διοικήσεως ἀντέχεται.

ἡττᾷ καὶ μάχην συνάψας, ἡττᾷ τοὺς Βουλγάρους περιφανῶς, καὶ φόνον αὐτῶν ποιεῖται πολύν. κατάκοπος δὲ γεγονὼς καὶ ἱδρῶτι διάβροχος, ἑαυτὸν θέλων ἀναψῦξαι λιποθυμῶν, ἐπί τινι πηγῇ, τοῦ ἵππου ἀποβὰς, ἀνέψυχεν ἑαυτόν. ἐν τούτῳ δὲ ὁ ἵππος αὐτοῦ τὰς τοῦ κατέχοντος αὐτὸν χεῖρας διαφυγὼν, ἐν τῷ τοῦ στρατοπέδου πεδίῳ ἐχρεμέτιζεν, ἀναβάτου χωρίς. ἐπίσημος δὲ τυγχάνων, εἰς δειλίαν ἐνέβαλε τὰ στρατεύματα, οἰηθέντα πεσεῖν τὸν δομέστικον, καὶ τοῦ μὲν πολέμου ἀπέσχοντο, καὶ τῆς διώξεως ἔστησαν, θάμβος δ' εἶχεν αὐτούς. ὁ δὲ γε Συμεὼν ἐκ περιωπῆς τινὸς ἰδὼν τὸ συμβεβηκὸς περὶ τὰ στρατεύματα, τοῖς περὶ αὐτὸν ἐγκελευσάμενος, καὶ κατὰ Ῥωμαίων ὁρμήσας, καὶ τεθορυβημένοις αὐτοῖς ἐμβαλὼν, εἰς φυγὴν ἅπαντας ἀθρόον ἐτρέψατο, καὶ τοὺς μὲν οἱ Βούλγαροι διώκοντες ἔκτεινον, οἱ δ' ὑπ' ἀλλήλων ἀπώλλυντο συμπατούμενοι. ὁ δὲ τῶν σχολῶν δομέστικος, μόλις εἰς Μεσημβρίαν ἐκδραμεῖν ἠδυνήθη. πολλοὶ δὲ καὶ τῶν στρατηγῶν καὶ ταγματαρχῶν τότε ἐφθάρησαν. Ἰωάννης δὲ ὁ Βογᾶς ἐστάλη, Πατζινάκας εἰς συμμαχίαν ἀγαγεῖν κατὰ τῶν Βουλγάρων, καὶ ὁ πατρίκιος Ῥωμανὸς ὁ Λακαπηνὸς, δρουγγάριος ὢν τῶν πλωΐμων, ὠρίσθη μετὰ τοῦ στόλου περιπλεῖν, ἅμα μὲν ὡς συνεργίαν τῷ τῶν σχολῶν δομεστίκῳ, ἅμα δὲ καὶ ὡς ἀχθεῖεν σύμμαχοι παρὰ τοῦ Βογᾶ, διαπεραιώσασθαι σφᾶς. ἧκεν οὖν ὁ Βογᾶς μετὰ τῶν συμμάχων. στάσεως δ' ἐμπεσούσης αὐτῷ τε καὶ τῷ Λακαπηνῷ, ὁρῶντες οἱ Πατζινάκοι αὐτοὺς πρὸς ἀλλήλους διαπληκτιζομένους, καὶ ἀμελῶς περὶ τὴν αὐτῶν διακειμένους διάβασιν, εἰς τὰ ἑαυτῶν ἐπανήλθοσαν. οἱ μὲν οὖν οὕτω ταῦτα φασὶ, καὶ τὴν ἧτταν τῶν Ῥωμαίων γεγενῆσθαι συμβῆναι, μὴ τυχόντων συμμαχίας, οἱ δὲ ἀλλοίως τὸ πρᾶγμα ἱστορήκασιν. ἐπιδιώκοντος γάρ, φασι, τοῦ Φωκᾶ τοὺς βαρβάρους, καὶ διώκοντος, φήμην γενέσθαι, ὡς ὁ δρουγγάριος τῶν πλωΐμων ἀπέλθοι σὺν τῷ στόλῳ, τῆς βασιλείας ἀντιληψόμενος. τοῦτο δὲ τοῦ δομεστίκου πεσὸν εἰς ὦτα, ἐκταράξαι αὐτὸν, ὡς ἀφεῖσθαι μὲν τῆς διώξεως, ἐπανελθεῖν δ' εἰς τὸν χάρακα, τὰ τῆς φήμης ἀκριβωσόμενον, ἑαυτὸν δ' ἐθέλων παλίντροπον γενέσθαι τὸν πόλεμον. φυγὴν μὲν γὰρ τοὺς Ῥωμαίους, ἀπόδρασιν τῆς μάχης οἰηθέντας τὴν εἰς τὸν χάρακα τοῦ δομεστίκου ἐπάνοδον, τοὺς δὲ Βουλγάρους ἐκ τῆς φυγῆς ἐπαναστραφέντας, διώκειν αὐτούς. τὴν δὲ πρὸς τὸν χάρακα τοῦ δομεστίκου ὑποστροφὴν, τῆς βασιλείας ἐνθύμημα πεποίηκεν. ἐρῶν γὰρ αὐτῆς, ἐσπούδαζεν, εἰ ἀληθὲς ἦν τὸ δρουγγάριον ἀπελθεῖν, προκαταλαβεῖν αὐτὸς καὶ οἰκειώσασθαι τὴν ἀρχήν. μετὰ δὲ τὴν ἧτταν ἐπανελθόντων τοῦ τε Λακαπηνοῦ καὶ τοῦ Βογᾶ, ἐξητάσθη τὰ μέσον αὐτῶν, καὶ κατεκρίθη ὁ Ῥωμανὸς πηρωθῆναι τὰ ὄμματα, ὡς αἴτιος τῆς ἥττης ἢ κακουργίας ἢ ῥᾳθυμίας γενόμενος, ἀλλ' ἐκεῖνον μὲν τῆς ψήφου ταύτης ἐξήρπασάν τινες, μέγα παρὰ τῇ βασιλίσσῃ δυνάμενοι. ὁ δὲ Βούλγαρος Συμεὼν τῇ νίκῃ ἐξογκωθεὶς, ἐπῆλθε τῇ βασιλευούσῃ τῶν πόλεων. ἀντικατέστη δὲ αὐτῷ πάλιν ὁ τῶν σχολῶν δομέστικος ὁ Φωκᾶς, καὶ μάχης συγκροτηθείσης ἐν Κατασύρταις, οἱ βάρβαροι ἥττηντο. πολλῶν δὲ καὶ τούτων περιφανῶν ἔρωτα τρεφόντων τῆς βασιλείας, μᾶλλον τῶν ἄλλων περὶ τὸν ταύτης ἐφλέγμαινεν ἔρωτα Λέων ὁ τῶν σχολῶν δομέστικος, ὁ Φωκᾶς, πεποιθὼς μὲν ἑαυτῷ, διά τε γένος καὶ διὰ τὴν ἰσχύν, οὐχ ἥκιστα δὲ τῷ παρακοιμωμένῳ Κωνσταντίνῳ τῷ ἐκτομίᾳ, τὰ πάντα τότε παρὰ τοῖς ἀνακτόροις ἰσχύοντι, οὗ ἐπ' ἀδελφῇ κηδεστὴς ἐτύγχανεν ὤν. ταῦτα δὲ οὕτως ὁρῶν ὁ τοῦ βασιλέως Κωνσταντίνου παιδαγωγὸς, καὶ δείσας περὶ αὐτοῦ, πείθει τὸν τοῦ στόλου δρουγγάριον τὸν εἰρημένον Ῥωμανὸν, οἰκειώσασθαι, καὶ φύλακα προσλαβέ-

Bulgaros insigni uictoria superat, multis eorũ cæsis. Sed præ defatigatione & sudore uix sui compos, equo descendit, seq́ ad fontem quendam recreauit. Interea equus ministri manibus elapsus, in planicie castrorum sine sessore exultabat. Qui cùm insignis esset, tantum terrorem incussit exercitibus, Domesticum cecidisse ratis, ut & pugna & persecutione hostium abstinerent. Quod quum Symeon è specula quadam uidisset: suos cohortatus, contra Romanos ducit, subitoq́ in perturbatos impressione facta, uniuersos in fugam conuertit, in qua alios Bulgari assecuti occiderunt, alij inuicem conculcati perierunt. Legionumq́ Domesticus ægrè Mesembriam euadere potuit, multis ducibus etiam & tribunis interfectis. Ioannes autem Bogas missus est, ut Pazinacas ad belli Bulgarici societatem adduceret, Romanus uerò Lacapenus Patricius, classis Drungarius, litus classe legere iussus, simul ad opem ferendã legionum Domestico, simul, ut adductos è Boga socios transueheret. Ac uenit Bogas cum socijs. Orta autem inter ipsum & Lacapenum rixa, Pazinacæ uidentes eos inter sese conuiciantes, ipsorum transuectionem parum curare: ad sua redierunt. Quidam igitur hæc ita narrant, & negata sociorum auxilia Romanæ cladis fuisse causam tradunt, alij aliter. Nam cùm Phocas Barbaros profligatos persequeretur, rumorem esse ortum, Drungarium cum classe abire, ut regnum occupet. Quo Domesticus audito, ita perturbatus fuerit, ut et à persequendo desisteret, & in uallum rediret, rumorẽ certius cognitutus, & sic Martis alea mutata, fugisse Romanos, Domestici in castra reuersionem, fugam interpretatos, Bulgaros uerò ex fuga conuersos, illorum terga cæcidisse. Vt autem Domesticus ad uallũ rediret, in causa fuit regni cupiditas: qua quum æstuaret, si rumor de Drungario uerus esset, anteuertere, & sibi uendicare principatum cupiebat. Lacapeno & Boga à clade reuersis, iudicioq́ de eorum controuersia facto, Romanus damnatus est, ut ei oculi effoderentur, ut qui acceptæ cladis autor, siue de industria, siue per negligentiam extitisset. Sed ab illo suffragio per quosdam apud Imperatricem gratiosissimos est ereptus. At Bulgarus Symeon uictoria elatus Imperatoriam urbem aggreditur, cui legionum Domesticus Phocas est oppositus, commissaq́ in Catasyrtis pugna, Barbari succubuerũt. Cùm autem multi, ijq́ uiri illustres, regni amorem alerent: nemo tamen eo magis flagrabat quã Leo Phocas, Legionum Domesticus, quum se ipso fretus, ob genus & potentiam, tum uerò Constantino eunucho cubiculario, qui in Regia poterat omnia, cuius sororem in matrimonio habebat. Quæ cùm Imperatoris Constantini pædagogus cerneret, illiq́ timeret, persuadet, ut classis Drungarium Romanum sibi deuinciat, & custodem adiungat. Impera-

Pazinacæ populi.

Lacapeni cõdemnatio.

Bulgari uicti.

tor igitur literas sua manu scriptas Drungario mittit, quibus ille acceptis, pollicetur, se cubicularij potestatem (modò possit) euersurum. Qui quum ad classis stationem peruenisset, ac properè solui iuberet: Drungarius seruilem in modum ei obuiam processit, ac reuerenter colloquens, paulatim ad triremes hominem deduxit. Vt uerò naui prætoriæ appropinquauit, multis uiris strenuis, quos secum paratos habebat, Tollite istum, inquit: à quibus comprehensus est, & triremi impositus, comitibus illius statim dispersis. Eius facti nuncius & Imperatricem & proceres turbauit, cumq; ad Drungarium misisset, percontatum quid id sibi uellet: ij à classiarijs lapidibus repulsi sunt. Postridie Imperator, Patriarcha & Magistro Stephano accersitis, misit qui matrem è Regia abducerent. Sed eam suis amplexibus cum lachrymis inhærentem, misericordia uictus, reliquit: ac potestate in se translata, Domesticum legionum designauit Magistrum Ioannem Garidam. Drungarius uerò Lacapenus, classe haud secus atque ad pugnam instructa, die Annunciationis ad Regiam in Bucoleonte appulit. Ac Patriarcha & Magister Stephanus, statim ex Regia discesserunt. At Romanus quum prius sanctissimo iureiurando adactus promisisset, se nunquam Imperatori insidiaturum, neque regnum affectaturum: in Regiam ascendit, & cum Constantino Phari ædem ingressus, fide data acceptaq;, magnus Hetæriarcha, hoc est, summus amicus designatur. Iussit autem Imperator Phocam bono esse animo, neque spem abijcere, sed paulisper expectere. Nam paulò pòst, eius rationem habitum iri. Romani porrò filia Helena Imperatori Constantino desponsa, tertia feria Paschalis nuptiæ celebratæ sunt, sacras preces Nicolao Patriarcha peragente. Statim igitur Romanus, Imperatoris pater: filius eius Christophorus, magnus Hetæriarches est appellatus. Quibus Phocas cognitis, tyrannidem inuasit, Constantino cubiculario & alijs proceribus ascitis, se quæ ageret, pro Imperatore Constantino agere, affirmans. Romanus autem literas quæ Phocæ prætextum euerterent, subscriptione Imperatoris & aureo sigillo munitas, peruulgati corporis mulierculã in Phocæ castra mittit. quas quum ea multis clàm ostenderet, effecit, ut multi Phoca deserto, se ad Imperatorẽ conferrent. At Phocas Chrysopolim profectus, & à suis destitutus, in fugam conuertitur, & in castello quodã, quod ab antiquis temporibus Goëleon, à lamentatione Leonis uocatur, comprehenditur, cæcatusq; Byzantium perducitur. Et hic tyrannidis illius fuit exitus. Enimuerò aliæ quoque insidiæ Imperatori sunt paratæ. Nam adolescentes per quosdam conducti sunt, qui eum uenantem aggrederentur, sed illo con-

Romanus Cõstantino cubiculario capto, Cæsar et Imperator designatur.

Leo Phocas ob regnum affectatum oculos amittit.

Insidiæ detectæ.

δοτε. ἐγχειρίζεται τοίνυν βιβλίον ὁ βασιλεὺς οἰκειόγραφον, καὶ στέλλει τῷ δρουγγαρίῳ. ὁ δὲ τοῦτο δεξάμενος, ὑπέσχετο τὴν τοῦ παρακοιμωμένου δυναστείαν (εἰ οἷόν τε) καθελεῖν. καί ποτε τοῦ παρακοιμωμένου, ἔνθα ὁ στόλος ὥρμιστο, παραγενομένου, καὶ ἐπιτάττοντος ἐκπλεῦσαι αὐτόν, ὁ δρουγγάριος δουλοπρεπέστερον αὐτῷ προϋπηντήσατο, καὶ μεθ' ὑποστολῆς ὡμίλει, καὶ πρὸς τὰς τριήρεις ἠρέμα πως προσεβίβαζεν. ὡς δὲ τῇ ναυαρχίδι προσήγγισεν, ἑτοίμους ἔχων ἄνδρας παρεπομένους αὐτῷ, γενναίους τε καὶ πολλούς, ἄρατε τοῦτον εἶπεν. οἱ δὲ συσχόντες αὐτόν, εἰς τὴν τριήρη ἐνέθεντο, τῶν περὶ αὐτὸν αὐτίκα διασκεδασθέντων. τοῦτο τῇ βασιλίδι γνωσθέν, εἰς θόρυβον αὐτήν, καὶ τοὺς μεγιστᾶνας ἐνέβαλε. πέμπει τοίνυν πρὸς τὸν Ῥωμανὸν ἐρωτῶσα, τί ἂν εἴη τὸ γεγονός; ἀλλὰ τὸ ναυτικὸν λίθοις τοὺς πεμφθέντας ἐξήλασε. τῇ δ' ἑξῆς τὸν πατριάρχην ὁ βασιλεὺς μετακαλεσάμενος, καὶ τὸν μάγιστρον Στέφανον, ἔπεμψε τοὺς ἐκ τῶν βασιλείων τὴν αὐτοῦ μητέρα κατάξοντας. τῇ δὲ τῷ υἱῷ προσφυείσης μετὰ δακρύων, εἰς οἶκτον ἐκεῖνος ἐκλάσθη, καὶ ἀφῆκεν αὐτήν, εἰς ἑαυτὸν δὲ τὴν ἐξουσίαν μετήνεγκε, καὶ προχειρίζεται δομέστικον τῶν σχολῶν τὸν γαρίδαν Ἰωάννην τὸν μάγιστρον. ὁ δὲ δρουγγάριος ὁ Λακαπηνός, ἐξαρτύσας τὸν στόλον ὥσπερ εἰς ναυμαχίαν, κατὰ τὴν ἡμέραν τοῦ εὐαγγελισμοῦ, τοῖς βασιλείοις προσέπλευσεν εἰς τὸν Βουκολέοντα. καὶ ὁ μὲν πατριάρχης καὶ ὁ μάγιστρος Στέφανος, εὐθὺς ἐκ τῶν ἀνακτόρων ἐξέστησαν. ὁ δὲ Ῥωμανὸς ὅρκους πρότερον τελέσας φρικωδεστάτους, μή ποτε κατὰ τοῦ βασιλέως φρονῆσαι, μηδ' ἀντιποιηθῆναι τῆς βασιλείας, ἀνῆλθεν εἰς τὰ βασίλεια, καὶ εἰς τὸν ἐν τῷ Φάρῳ ναὸν τῷ Κωνσταντίνῳ συνεισελθών, καὶ πίστεις δούς τε καὶ λαβών, μέγας ἑταιρειάρχης προβάλλεται. ἐπέστειλε δὲ τῷ Φωκᾷ ὁ βασιλεύς, μὴ ἀθυμῆσαι, μηδ' ἀπογνῶναι, προσμεῖναι δὲ μικρόν, ὡς μελλούσης αὐτοῦ γενέσθαι προνοίας μετὰ βραχύ. ὁ δὲ Ῥωμανὸς τὴν ἑαυτοῦ θυγατέρα Ἑλένην μνηστεύεται τῷ βασιλεῖ Κωνσταντίνῳ, καὶ τῇ τρίτῃ τοῦ πάσχα τετέλεστο τὰ γαμήλια, τοῦ πατριάρχου Νικολάου τὴν ἱερολογίαν ποιήσαντος, καὶ αὐτίκα τετίμητο βασιλεοπάτωρ ὁ Ῥωμανός, μέγας δ' ἑταιρειάρχης Χριστοφόρος ὁ τούτου υἱός. ταῦτα δὲ μαθὼν ὁ Φωκᾶς, τυραννίδι ἐπέθετο, Κωνσταντῖνον τὸν παρακοιμώμενον προσλαβόμενος, καὶ ἑτέρους τῶν ἀρχόντων, καὶ διαβεβαιούμενος ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου πράττειν, ἃ πράττει. ὁ Ῥωμανὸς δὲ γραφὴν γεγραφώς, ἀνατρεπτικὴν προσχήματος τῆς τοῦ Φωκᾶ προφάσεως, καὶ ταύτην τῇ τοῦ βασιλέως ὑποσημασίᾳ καὶ χρυσῇ σφραγῖδι βεβαιωσάμενος, πέμπει ταύτην πρὸς τὸ μετὰ τοῦ Φωκᾶ στράτευμα μετά τινος γυναίου ἑταιρικοῦ. κἀκεῖνο πολλοῖς τὴν χρυσόσημαντον ὑποδεικνύον λάθρα γραφήν, πολλοὺς καταλιπεῖν πεποίηκε τὸν Φωκᾶν, καὶ προσχωρῆσαι τῷ βασιλεῖ. ὁ δὲ Φωκᾶς ἐν Χρυσοπόλει γενόμενος, καὶ καταλειφθεὶς ὑπὸ τοῦ μετ' αὐτοῦ πλήθους, τῷ βασιλεῖ προσφοιτήσαντος, ἐτράπετο εἰς φυγήν, καὶ ἔν τινι χωρίῳ γενόμενος, ὅπερ ἀνέκαθεν παρὰ τῶν ἐγχωρίων γοηλέων κατωνόμαστο, συλλαμβάνεται, καὶ τυφλωθεὶς ἀνάγεται εἰς τὴν βασιλεύουσαν. καὶ τοῦτο τέλος τῇ αὐτοῦ τυραννίδι ἐγένετο. ἀλλὰ μὴν καὶ ἑτέρα ἐπιβουλὴ κατὰ τοῦ βασιλέως συνίστη. νεανίας γάρ τινες καθῆκαν κατ' αὐτοῦ θηρῶντος, ἵνα αὐτῷ ἐν τῇ θήρᾳ ἐπίθωνται. ἀλλ' ἐγνώ-

ὅπως ὁ λακαπηνὸς παρὰ τοῦ βασιλέως κωνσταντίνου ὡς ἀδελφὸς προσελήφθη.

ὅπως ὁ παρακοιμώμενος καθῃρέθη ὑπὸ τοῦ λακαπηνοῦ.

ὅτι ὁ βασιλεὺς κατασχὼν τὴν ἑαυτοῦ μητέρα, μετακαλέσας ἐν χερσί, τοῖς δάκρυσιν ἐπικαμφθεὶς μαλαχθεὶς ἀφῆκεν αὐτήν.

ὅτι τὴν ἑαυτοῦ θυγατέρα ἐμνηστεύσατο ὁ λακαπηνὸς τῷ βασιλεῖ κωνσταντίνῳ.

ὅτι ὁ φωκᾶς λέων τυραννήσας ἐτυφλώθη, καὶ ἄλλοι ἐτυφλώθησαν.

ἐπιβουλὴ κατὰ τοῦ βασιλέως.

ἀλλ' ἐγνώσθη τὸ βούλευμα, καὶ οἱ πρωτουργοὶ ἐκολάσθησαν. ἐξεβλήθη δὲ τῶν βασιλείων καὶ ἡ τοῦ βασιλέως μήτηρ Ζωή, ὡς ἐπιβουλεύουσα δῆθεν τῷ βασιλεοπάτορι, καὶ ἀπεκάρη ἐν τῇ τῆς ἁγίας Εὐφημίας μονῇ. τῇ δὲ εἰκοστῇ τετάρτῃ τοῦ Σεπτεμβρίου μηνὸς εἰς τὴν τοῦ καίσαρος ἀξίαν ἀνήχθη ὁ Ῥωμανός, καὶ ἐπὶ τὸν Δεκέμβριον τῷ τῆς βασιλείας διαδήματι ἐταινιοῦτο παρὰ τοῦ πατριάρχου Νικολάου, τοῦ Κωνσταντίνου δῆθεν ἐπιτροπῇ.

ΒΑΣΙΛΕΙΑ ΡΩΜΑΝΟΥ τοῦ Λακαπηνοῦ.

Καὶ ὁ μὲν Λακαπηνὸς Ῥωμανὸς οὕτω τῶν ἀναῤῥήσεων ἐτύγχανεν, οὐκ ἠγάπα δὲ ταύτης τυχὼν αὐτός, ἀλλὰ μετὰ βραχὺ καὶ τὴν οἰκείαν ὁμευνέτιν τὴν Θεοδώραν ταινιοῖ, εἶτα καὶ τὸν υἱὸν Χριστοφόρον, τῷ χαρίσασθαι μὲν δοκεῖν τοῦ Κωνσταντίνου, τῇ δ' ἀληθείᾳ βιαζομένου, ἀγανακτοῦντός τε πρὸς οὓς ἐθάῤῥει, καὶ ἐν συμφορᾷ τιθεμένου τὰ πραττόμενα, μὴ θαῤῥοῦντος δὲ ἀντιφθέγγεσθαι. ἐπιβουλῆς δὲ κατὰ τοῦ Ῥωμανοῦ γενομένης, ἧς ὁ σακελλάριος πρωτουργὸς ἦν Ἀναστάσιος, ὡς τῷ Κωνσταντίνῳ δῆθεν ἀμύνων, ἐγνώσθη τὰ κατ' αὐτήν, καὶ οἱ μὲν συνίστορες, ὡς ἔδοξε τῷ Ῥωμανῷ, ἐκολάσθησαν, ὁ δὲ σακελλάριος ἀπεκάρη, ἀφ' ἧς δὴ πρόφασιν ἔσχεν ὁ Ῥωμανὸς τοῦ ὑποβιβάσαι τὸν Κωνσταντῖνον ἑαυτοῦ, μέχρι τότε πρῶτον εὐφημούμενον ἐν ταῖς ἀναῤῥήσεσιν. ὁ Συμεὼν δὲ κατὰ τῆς πόλεως ἐξέπεμπε στρατόν, ἵνα δὲ μὴ ἐλθόντες τὰς περὶ τὴν πόλιν διαφθείρωσιν ἀγλαΐας, ἔπεμψε καὶ ὁ Ῥωμανὸς σὺν αὐτοῖς ταξομένους αὐτοῖς. καὶ τῶν Βουλγάρων ἐπελθόντων αὐτοῖς, πίπτουσι μὲν καὶ τῶν ἀρχόντων πολλοί, τῶν δέ γε στρατιωτῶν οἱ μὲν εἰς τὰς τριήρεις συνδραμόντες ἐμβῆναι ἐπειγόμενοι, ἐξωλίσθαινον εἰς τὴν θάλασσαν, καὶ ὑπὸ κυμάτων ἐφέροντο, οἱ δὲ ὑπὸ τῶν πολεμίων διώλλυντο, οἱ δὲ καὶ ζῶντες συνελαμβάνοντο. οὕτω δὲ διατεθείσης τῆς Ῥωμαϊκῆς στρατιᾶς ἐπὶ τὰς Πηγάς, τά τε ἐκεῖ ὄντα ἀνάκτορα οἱ Βούλγαροι ἐπυρπόλησαν καὶ τἄλλα ὅσα ἐν τῷ αἰγιαλῷ τῷ καταντικρὺ τῆς πόλεως ἦσαν διακειμένου πορθμοῦ. θανούσης δὲ τῆς τοῦ Ῥωμανοῦ συμβίου τῆς αὐγούστης Θεοδώρας, ἡ τοῦ βασιλέως Χριστοφόρου γυνὴ Σοφία, τῷ τῆς αὐγούστης ἠξιώθη ὀνόματι. ὁ τῶν Βουλγάρων δ' ἐξηγούμενος Συμεών, τῇ Ἀδριανουπόλει προσέβαλε, καὶ ταύτην ἐπολιόρκει. ἤνυσε δ' ἂν οὐδέν, εἰ μὴ τοῖς ἔνδον ἐπιλελοίπει τὰ ἐπιτήδεια. βιαζόμενοι δὲ τῷ λιμῷ καὶ ἑαυτοὺς καὶ τὴν πόλιν τοῖς πολεμίοις παρέδοσαν. τότε μὲν καὶ ὁ ἐκ Τριπόλεως Λέων, μετὰ δυνάμεως ναυτικῆς ἐπὶ Ῥωμαίους ἐχώρησεν, ἀλλὰ τούτῳ περὶ τὴν νῆσον Λῆμνον τριήρεις ἐπελθοῦσαι Ῥωμαϊκαί, τοὺς μὲν Ἀγαρηνοὺς σχεδόν τι ξύμπαντας διέφθειραν, τὰς δὲ νῆας αὐτῶν ὑποβρυχίους ἐποίησαν, μόλις τοῦ Τριπολίτου φυγεῖν ἐξισχύσαντος. καὶ ὁ Βούλγαρος δὲ Συμεὼν τά τε κατὰ Μακεδονίαν καὶ τὰ κατὰ Θρᾴκην σὺν βαρεῖ στρατεύματι ἐληΐζετο, καὶ παρὰ τὴν πόλιν ἐλθών, ἀγχοῦ τῶν Βλαχερνῶν ἐποιεῖτο τὴν παρεμβολήν, καὶ τῷ βασιλεῖ Ῥωμανῷ ἐζήτησεν ἐντυχεῖν, καὶ τὴν ἔντευξιν καὶ ὁ βασιλεὺς ἠρετίσατο, καὶ ἐπὶ τὸν τοῦ Κοσμιδίου αἰγιαλόν, ὁ μὲν βασιλεὺς σὺν τῷ στόλῳ ἀφίκετο, ὁ δέ γε Συμεὼν μετὰ τῆς οἰκείας παρεγένετο στρατιᾶς, καὶ ἀλλήλοις ὡμίλησαν, καὶ ὁ βασιλεὺς μεγαλοπρεπῶς τὸν Συμεὼν ἐδωρήσατο, ἀσύμβατοι δὲ ἀπ' ἀλλήλων διέστησαν, ὃ καὶ ἀετοὺς ἔδοξε δηλῶσαι αὐτοῖς. φασὶ γὰρ ἄνωθεν αὐτῶν διαπτῆναι τούτους, καὶ ἀλλήλοις συμμῖξαι μετὰ κλαγγῆς, εἶτ' εὐθὺς διαζεῦξαι

ὅτι ἑάλω παρὰ τῶν Βουλγάρων ἡ Ἀδριανούπολις.

ὅτι ὁ ἐκ Τριπόλεως νῆας ἀπώλεσε.

ὅτι ὡμίλησαν ἀλλήλοις ὅ τε Ῥωμανὸς καὶ ὁ Συμεὼν μὴ συμβάντες δέ.

filio cognito, de autoribus facinoris supplicium sumptũ. Est & Imperatoris mater Zoë regia eiecta, quasi patri Imperatoris insidiaretur scilicet, tonsoq́ capillo D. Euphemiæ mõnasterium ingressa. Romanus uerò uigesima quarta die Septembris, ad Cæsaris dignitatem est euectus, & in Decembri, imperij diademate ornatus à Patriarcha Nicolao, permissu Constantini scilicet.

IMPERIVM ROMANI LACAPENI.

Romanus Constantinõ uelut in ordinem coacto, sibi & suis uendicat omnia.

Romanus Lacapenus ijs honoribus non contentus, paulò pòst uxorem quoq́ suam Theodoram diademate ornat. Deinde & filium Christophorũ, uoluntate, ut uideri uolebat, Constantini, sed re uera inuito illo & conquerente apud eos, quibus fidebat, & acta illa abominante, quamuis refragari non auderet. Insidijs quas Romano Anastasius sacellarius princeps coniurationis, pro defensione utiq́ Constantini pararat, deprehensis, conscij, arbitratu Romani, puniti sunt, Sacellarius tonsus, eaq́ Romano occasio fuit Constantini infra se collocandi, cùm is hactenus in proclamationib. & salutationibus priorem locum tenuisset. Cumq́ Symeon exercitum contra urbem misisset: Romanus quoque milites illi opposuit, ne suburbanæ amœnitates ab hoste uastarẽtur. Quos cùm Bulgari aggressi essent, multi etiam ex principibus ceciderunt, milites partim ad prætereuntes triremes festinantes, in mare prolapsi à fluctibus ferebantur, partim ab hostibus interibãt, partim uiui capiebantur. Romano exercitu ad Pegas sic accepto, Bulgari Regiam illius loci cremarunt, & cætera quæ in eo littore sunt è regione urbis, interiacẽte freto. Mortua Romani uxore Theodora Augusta: Imperatoris Christophori uxor Sophia, Augustæ nomen accepit. At Bulgarorũ princeps Symeõ, denuò Adrianopolim obsedit: neq́ sanè quicq̃ effecisset, nisi ciues cõmeatu destitutos, & semetipsos & urbẽ hosti dedere, fames coëgisset. Tũc etiam Leo Tripolitanus cũ naualibus copijs Romanos inuasit: sed triremes Romanæ circa Lemnum insulã eis obuiã profectæ, Agarenos penè omnes occiderũt, nauesq́ demerserũt, Tripolita ægrè fuga elapso. Symeon uerò Macedoniam et Thraciã cum ingenti exercitu deuastatus, ad urbem profectus, prope Blachernas castris positis, colloquium Romani Imperatoris petijt, qui cùm ab eo non abhorreret, classe ad Cosmidij littus abijt. eodẽq́ Symeon cum suis copijs uenit: & inter se collocuti sunt. sed quamuis Romanus Symeoni magnifica munera dedisset, rebus infectis discesserunt. id quod par aquilarum significare uidebatur, quas supra eos uolitasse ferunt, & cum clangore inter sese cõgressas, statimq́ segregatas esse,

Insidiatores deprehensi.

Bulgaricæ grassationes.

Tripolitanæ classis interitus.

Augurium irritæ pacificationis.

altera uersus urbem uolante, altera in Thraciam tondente. Romanus potestate imperij insatiabilis, ac ueluti oblitus sacramenti, quo sese astrinxerat, suo & filij natu maximi diademate non contentus: etiam reliquos duos filios, & nepotem ex Christophoro coronauit, Romano imperio quod hactenus penes unũ esse consueuerat, in multa capita distributo. Filium natu minimum Theophylactum, cui pontificatũ urbis Imperatoriæ ambiebat, detonsa coma clericum fecit, à Patriarcha Syngelum quoq; designatum. Post obitum Nicolai, qui restitutus sedem Constantinopolitanam per annos tredecim tenuit, Stephanus Metropolita Amasenus, Patriarcha designatus est. At Bulgarorum princeps Symeon, homo sanguinarius & quietis impatiens, genti Crabatorum bellũ intulit, sed ab illis uictus, in montium angustijs exercitum amisit. Interea quidam Imperatori nunciat, statuam in summo fornice Xerolophi uersus occasum positam, in Symeonis Bulgari formam conuersam esse: cuius statuæ caput si amputetur, Symeonis interitum consecuturum. Quo paulò pòst facto, eadem hora Symeonem ex dolore stomachi uita defecit, ut pòst, Imperatori tempus obitus eius diligenter scrutato, est significatum. Symeone rebus humanis exempto, Bulgarorum principatus ad Petrum ex altera uxore filium eius uenit, qui, quum gens sua fame premeretur, & finitimarum gentium, ac Romanorum in primis arma timerentur: legatos ad Imperatorem de pace, &, si placeret, etiam de affinitate iungenda, mittit. Cui quum utrunque cordi esset, ipse Petrus Byzantium uenit; ac pace facta, neptem Imperatoris ex Christophoro filio natu maximo, uxorem ducit. Romanus porrò Constantinum infra se collocasse non contentus, occasionem quærit etiam Christophori illi præponendi. Itaque instructa Bulgarorum turba, ut per seditionem postularet, ut Christophorus ante Constantinum nominaretur, quasi propter motum illum, necessitati parendum esset scilicet, postulatis illorum annuit. Deinde neque Deum ueritus, cuius numine inuocato, pactiones firmarat, neque subditorum pudore deterritus: etiam duos reliquos suos filios ante Constantinum salutari iussit, & primus quintus est factus, ei que minor etiam Romanus præpositus fuisset, nisi antè decessisset. Ita indigena Imperator, ad quem hæreditario iure imperium pertinebat, instar adscriptitij fuit. Cæterùm Vindicta, sui muneris non oblita, & si lento gradu processit, tamen uenit tandem: sed hoc alio loco narrabitur. Stephano autem Amaseno, quum sedem principis urbis per trienniũ occupasset, mortuo: Tryphon monachus quidã ea conditione successit, ut post certum tempus, Theophylacto Imperatoris filio,

Stephanus Amasenus patriarcha.

Symeon à Crobatis uictus, truncata statua quadã moritur.

Petrus Bulgarorum princeps, pace cũ Romanis facta, Romani neptẽ matrimonio sibi iungit.

Tryphon Patriarcha dignitatem quam ui retinet, dolo amittit.

ἀλλήλων, τοῦ μὲν ἐπὶ τὴν πόλιν ἀποπταμένου, τοῦ δ' ἐπὶ Θρᾴκην κατενεχθέντος τὸ πτερόν. ὁ βασιλεὺς δὲ Ῥωμανὸς ἀπλήστως διακείμενος ἐπὶ τῇ τῆς βασιλείας ἀρχῇ, καὶ ὥσπερ ἐπιλελησμένος τῶν ὅρκων οὓς ὀμωμόκει καθ' ἱερῶν, καὶ μὴ ἀρκούμενος, ὅτι ἑαυτὸν καὶ τὸν τῶν υἱῶν πρεσβύτερον ἠξίωσε διαδήματος, καὶ τοὺς λοιποὺς δύο τῶν παίδων αὐτοῦ βασιλικῶς ἐταινίωσεν, ἔτι καὶ τὸν ἐκ τοῦ Χριστοφόρου γενόμενον αὐτῷ υἱωνόν, καὶ τὴν τῶν Ῥωμαίων ἀρχὴν αὐτίκα μοναρχίαν βασιλείας εἰς πολυαρχίαν μετήνεγκεν. τὸν δὲ τελευταῖον τῶν υἱῶν αὐτοῦ Θεοφύλακτον τὸν θρόνον τὸν ἀρχιερατικὸν τῆς βασιλίδος τῶν πόλεων μνηστευόμενος, ἀπέκειρε κληρικόν, διὰ τοῦ πατριάρχου προχειρισθέντα καὶ σύγκελλον. τοῦ πατριάρχου δὲ Νικολάου ἔτη τρισκαίδεκα τὸ δεύτερον τῆς ἐκκλησίας ἱερατεύσαντος, καὶ μεταβεβηκότος τὸν βίον, ὁ μητροπολίτης Ἀμασείας Στέφανος, εἰς τὸν θρόνον τῆς Κωνσταντινουπόλεως μετήχθη. ὁ μέντοι τῶν Βουλγάρων ἄρχων ὁ Συμεών, ἀνὴρ ὢν αἱμάτων, ἡσυχίαν ἄγειν οὐ πάνυ ὅλως προῄρητο, ὅθεν καὶ κατὰ τοῦ ἔθνους τῶν Χρωβάτων ἐστράτευσεν, ἀλλ' ἡττήθη ὑπ' ἐκείνων, κἀν ταῖς τῶν ὀρῶν δυσχωρίαις τὸ οἰκεῖον ἀπέβαλε στράτευμα. ἐν τούτῳ δὲ προσεισί τις τῷ βασιλεῖ Ῥωμανῷ, λέγων, τὴν ἄνωθεν τῆς ἐν τῷ Ξηρολόφῳ ἀψῖδος καθιδρυμένην στήλην, καὶ πρὸς τὰ ἑσπέρια ἐκβλέπουσαν, εἰς τὸν Συμεὼν στοιχειοῦσθαι τὸν Βούλγαρον, καὶ εἰ τῆς ταύτης ἐκτέμοι τις κεφαλήν, ἕψεται τῇ ἐκτομῇ τοῦ Συμεὼν ἡ φθορά. ὁ μὲν οὖν εἶπε ταῦτα, καὶ ἡ κεφαλὴ τῆς στήλης οὐκ εἰς μακρὰν ἀπετέτμητο, καὶ ὁ Συμεὼν αὐθωρὸν ἐπέλιπε τὸ βιώσιμον, ληφθεὶς καρδιωγμῷ, ὡς μετὰ ταῦτα ἐγνώσθη τῷ βασιλεῖ, ἀκριβωσαμένῳ τὸν ἐκείνου τελευτῆς τὸν καιρόν. ὡς δ' ἐξ ἀνθρώπων ὁ Συμεὼν ἀπελήλυθεν, ἡ τῶν Βουλγάρων ἀρχὴ πρὸς Πέτρον τὸν ἐκ τῆς δευτέρας αὐτοῦ γυναικὸς αὐτῷ τεχθέντα περιελήλυθεν, ὅς, ἐπεὶ καὶ λιμῷ τὸ τῶν Βουλγάρων ἔθνος ἦν πιεζόμενον, καὶ τὰ περιέξ ἔθνη, μὴ κατ' αὐτοῦ ὁρμήσωσιν ἐδεδίει καὶ πρὸ τῶν ἄλλων Ῥωμαίους, εἰσῆλθε πρὸς τὸν βασιλέα, σπονδὰς ποιούμενος, εἰ δ' αἱροῖτο καὶ κῆδος εἰς ἑαυτόν. ὡς δὲ τῷ βασιλεῖ τὸ ἄμφω κατὰ θυμὸν ἔδοξε τὰ αἰτούμενα, καὶ αὐτὸς ὁ Πέτρος ἀφίκετο, καὶ γεγόνασι μὲν συνθῆκαι περὶ σπονδῶν, συνήφθη δὲ αὐτῷ καὶ πρὸς συμβίωσιν γαμικὴν καὶ ἡ τοῦ βασιλέως ἐγγόνη, ἡ ἐκ τοῦ πρεσβυτέρου τῶν υἱῶν αὐτοῦ τοῦ Χριστοφόρου γεγένητο. ὁ δὲ βασιλεὺς Ῥωμανὸς οὐκ ἀρκούμενος ὅτι ἑαυτοῦ τὸν βασιλέα Κωνσταντῖνον ὑποβίβασε, λαθὼν ἐζήτει καὶ τὸν Χριστόφορον προθεῖναι αὐτοῦ, καὶ παρεσκεύασε τὴν τῶν Βουλγάρων πληθὺν ἐν τῷ τοῦ γάμου καιρῷ στασιάσαι, ζητεῖν πρὸ τοῦ Κωνσταντίνου τὸν Χριστόφορον ἀναγορευθῆναι, καὶ διὰ τὴν στάσιν δῆθεν ὡς ἐκ βίας οἰκονομῶν τι, παρεχώρησε τὸ αἰτούμενον γίνεσθαι. εἶτα μήτε τὸ θεῖον δείσας, ὃ τῆς ὁμολογίας αὐτοῦ ἐμπεπιστεύκει, μήτ' αἰδεσθεὶς τὸ ὑπήκοον, καὶ ἄμφω τοὺς ἄλλους υἱεῖς αὐτοῦ τοῦ Κωνσταντίνου προτέρους εὐφημεῖσθαι πεποίηκε, καὶ ὁ πρῶτος πέμπτος ἐγένετο, καὶ εἰ μὴ ὁ μικρὸς Ῥωμανὸς ὁ τοῦ Χριστοφόρου υἱὸς ἔφθη θανών, κἀκεῖνος ἂν αὐτοῦ προτετίμητο. ἦν οὖν ὁ αὐθιγενὴς βασιλεύς, καὶ ᾧ κατὰ κλῆρον ἡ βασιλεία διέφερεν, ὥσπερ περίγραπτος. ἀλλ' ἐπὶ τούτοις ἡ δίκη οὐκ ἐπενύσταξεν. εἰ δὲ καὶ χωλαίνουσα ἧκε ποδί, ἀλλ' ἧκέ ποτε, ἀναβεβλήσθω δ' ἡ περὶ τούτων διήγησις. ὁ Ἀμασείας δὲ Στέφανος ἔτη τρία διαγαγὼν ἐν τῷ θρόνῳ τῆς ὑπερεχούσης τῶν πόλεων, ἐτελεύτησε, καὶ ἐχειροτονήθη Τρύφων τις μοναχὸς ἐπὶ συνθήκαις, τῷ μετὰ χρόνον ὡρισμένον ἐκχωρῆσαι τοῦ θρόνου τῷ τοῦ βασιλέως υἱῷ τῷ Θεοφυλάκτῳ

μετάθεσις τ' [illegible].

Ἐν τούτῳ ὁ Συμεὼν [illegible], καὶ συνήφθη τῷ Πέτρῳ ἡ τοῦ βασιλέως ἐγγόνη.

ἵνα καὶ τὸν υἱὸν αὐτοῦ Χριστόφορον προβιβάσῃ τοῦ Κωνσταντίνου, ἅμα τοῖς λοιποῖς δύο.

[illegible] μοναχῶν.

ζῶν γὰρ

(ἦν γὰρ ἔτι μειράκιον) γέγονε δ' ἐν τοῖς χρόνοις τούτοις χειμών τε ἀφόρητος, λιμός τε σφοδρότατος, καὶ ἐμπρησμὸς φρικωδέστατος. ὅτε καὶ ὁ βασιλεὺς Χριστοφόρος τὴν ζωὴν ἀπεμείψατο. ἤδη δὲ τοῦ ὡρισμένου καιροῦ παραδραμόντος, ὁ πατριάρχης Τρύφων οὐ μεθίετο τοῦ θρόνου τοῦ πατριαρχικοῦ κατὰ τὰ συγκείμενα, ἀλλ' ὅλαις χερσὶ τῆς ἀρχιερωσύνης ἀντείχετο. καὶ ὁ βασιλεὺς ἠνιᾶτο διὰ τὴν ἀπάτην, ὡς ἠπατήθη, ὁ γοῦν Καισαρείας χαρίσασθαι τῷ βασιλεῖ προθυμούμενος, δόλῳ μετῆλθε τὴν τοῦ πατριάρχου ἀφέλειαν. καὶ φίλου προσωπεῖον ἑαυτῷ περιθέμενος, τῷ πατριάρχῃ φησίν· ὁ μὲν κατὰ σοῦ βασιλεὺς ἐπιβουλεύει σφοδρῶς, ἀλλ' ὑπολείπουσιν αὐτῷ αἰτιάματα τοῦ καθαιρεθῆναί σε, καὶ λοιπὸν εἰς τὸ μὴ δ' ὅλως εἰδέναι σε γράμματα, οἱ λέγοντες κατὰ σοῦ περιίστανται. ἀλλὰ σπεῦσον καὶ τοῦτο σὺν μάλιστα τοῖς κατὰ σὲ ἐπιφερομένοις διαλῦσαι. ἔσται δὲ τούτοις τὸ ἀπέλεγμα, εἰ ἐνώπιον πολλῶν χάρτην λαβὼν τὸ ὄνομα ἐγχαράξεις τὸ σόν, καὶ τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα. καὶ τούτου ἀποκομισθέντος τῷ βασιλεῖ, οὐκέτι κατὰ σοῦ αἰτίαμα περιλείψεται. ὁ μὲν οὖν συνεβούλευσε ταῦτα, ὁ δ' ἐπείθετο, καὶ πολλῶν παρόντων ἀγράφῳ χάρτῃ τοῦτ' ἐνέγραψε· Τρύφων ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης. καὶ λαβὼν τὸν χάρτην ὁ Καισαρείας, ἐπιδίδωσιν ἐμφανίσων τῷ βασιλεῖ, ἔγγραφον ἐν αὐτῷ παραίτησιν, ὡς ἐκ τοῦ πατριάρχου, ἄνωθεν τῆς ὑπογραφῆς ἐξυφαίνεται, καὶ ὡς παραιτησάμενος, τῆς ἐκκλησίας ἐκβάλλεται, καὶ ὁ τοῦ βασιλέως υἱὸς πατριάρχης χειροτονεῖται. στόλος δὲ ῥωσικὸς ἐπῆλθε κατὰ τῆς πόλεως, καὶ ὁ στόλος οὐ χιλιόναυς ἦν, ἀλλ' ὡς περὶ τὰς δέκα χιλιάδας, ὡς λέγεται, τὰ τούτου πλοῖα ἠριθμεῖτο. τούτοις περὶ τὸν φάρον προσορμισθεῖσιν ἀντίπρῳρος ἐκ στόλος ῥωμαϊκός, καὶ ἀθρόον αὐτοῖς προσβαλών, ἐτρέψατο τοὺς βαρβάρους, καὶ πολλὰ τῶν πλοίων ἐκείνων τῷ ὑγρῷ πυρὶ ἀπετέφρωσεν. ὅσα δ' ὀλίγα περιελείφθη πρὸς ἀνατολὰς ἀπελθόντα, τῷ πατρικίῳ Βάρδᾳ ἐνέκυρσε τῷ Φωκᾷ, στρατηγοῦντι στρατηγοῦντι συντεταγμένος, ὃς πολλοὺς συλλογὴν τῶν ἀναγκαίων ποιουμένους ἐξιόντας τῶν πλοίων, καταλαμβάνων ἀνῄρει. ἀλλὰ καὶ ὁ δομέστικος τῶν σχολῶν ὁ Κουρκούας ἐκεῖσε ἐντυγχάνων κατὰ ζήτησιν τῶν ἀποπλεόντων ἐκβαίνουσι τῶν νηῶν, καὶ ἐξώγρει καὶ μαχαίρας ἔργον ἐποίει. οὕτω δὲ καὶ διὰ θαλάσσης καὶ διὰ γῆς παθόντες κακῶς, οὐκέτι τῶν πλοίων ἐξήρχοντο. ὡς δὲ τὰ πρὸς τροφὴν αὐτοῖς παντάπασιν ὑπελελοίπει, ἐπανελθεῖν εἰς τὰ οἰκεῖα διεγνώκεσαν. καὶ ἤδη τὸν ἔκπλουν κατέσκευαζον. ἀλλ' αὖθις αὐτοῖς αἱ ῥωμαϊκαὶ τριήρεις ἐπέθεντο, καὶ δὶς οἱ βάρβαροι κατεναυμαχήθησαν, ὡς ὀλίγας πάνυ τῶν σφετέρων νηῶν ἐκφυγεῖν, καὶ αὐτὰς νοστῆσαι πρὸς τὰ οἰκεῖα, ἀγγέλους γενομένας ἐκείνοις τῆς συμφορᾶς. καὶ οἱ μὲν ῥῶς παθόντες πλέον κακῶς, ἢ ὡς ἤλπιζον διαδρᾶναι, τῆς κατὰ ῥωμαίων ἐπιχειρήσεως ἀπέσχοντο. καὶ οἱ ἀγαρηνοὶ δὲ διὰ τοῦ δομεστίκου τῶν σχολῶν, Ἰωάννου τοῦ Κουρκούα καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Θεοφίλου (πάππος δὲ ὁ Θεόφιλος τοῦ μετέπειτα τῆς βασιλείας κρατήσαντος Ἰωάννου) ἡττῶντό τε πολλάκις, καὶ κατεκόπτοντο, καὶ πόλεις οὐκ ἐλαχίστας ὧν κατέσχον ἀφῃροῦντο. ὁ δὲ βασιλεὺς Ῥωμανὸς εἰς συναίσθησιν τάχα δόξας ἐλθεῖν τῆς ἐπιορκίας, καὶ τῆς τῶν συνθηκῶν παραβάσεως ἃς πρὸς τὸν βασιλέα Κωνσταντῖνον πεποίηται, δι' εὐποιιῶν ἐπενόησεν ἐξιλεώσασθαι τὸν θεόν. καὶ διαδόσεις μὲν καὶ ἄλλας ἐποιεῖτο, ἤδη δὲ πάντας καὶ τὰ παρὰ τῶν ἐν τῇ πόλει χρεωστούμενα τοῖς δανεισταῖς ἐκδιδοὺς, καὶ ὀφειλέτας ἀπέλυσε τοῦ βάρους τοῦ ὀφλήματος, καὶ τὰ γραμματεῖα λαβὼν, ἐν μέσῃ τῇ ἀγορᾷ πυρὶ κατηνάλωσεν, εἰς ἐννεακαίδεκα δὲ κεντηνάρια τὰ τῶν ὀφλημάτων ἠριθμοῦντο. παρέσχε δὲ καὶ τὰ ἐνοίκια τῶν κατὰ τὴν μεγάλην πόλιν οἰκούντων μισθωτικῶς. οὐ μὴν δὲ οἱ ὀφειλέται ὠφέλουν ταῦτα,

τελευτὴ τοῦ βασιλέως Χριστοφόρου.

ὅτι διαλύσαι ἐσπούδασεν ὁ βασιλεὺς Ῥωμανὸς δι' ἐλεημοσύνης τὴν ἐπιορκίαν, καὶ τὰ χρέα τῶν ἐν τῇ πόλει ἀπέλυσεν.

puero adhuc, ultrò sede cederet. Hoc tempore sæuissima hyems fuit, & fames maxima, & horrendum incendium. Tum quoque Christophorus Imperator obijt. Iam præfinito tempore elapso, Patriarcha Tryphon sede pōtificia, ut conuenerat, cedere noluit, sed eam retinere manib⁹ pedibusq; est conatus. Imperatore autem uerba sibi data esse ægrè ferēte: Cæsariensis ut ei gratificaretur, Patriarchæ simplicitatē dolo circumuenit. assūmptaq; amici persona, tibi ait: Imperator uehementer sanè te oppugnat, sed desunt ei crimina, ob quæ loco moueri possis, & iam qui cōtra te stant, eò sunt redacti, ut te literarum penitùs esse rudem dicant. Sed propera, ut tuis accusatoribus istam quoque calumniam præripias, quam facilè propulsabis, si coram multis charta sumpta, nomen tuum & pontificatus dignitatē scripseris. qua scriptura ad Imperatorem perlata, nihil porrò erit, de quo te criminentur. Huic consilio paret ille, & coram multis in charta pura hæc scribit. Tryphon ex Dei misericordia Archiepiscopus nouæ Romæ, & œcumenicus, Patriarcha. Eam chartam Cæsariensis Imperatori offert syngrapha supra subscriptionem, Patriarchæ nomine, in ea contexitur: Tryphon, quasi renunciarit, ecclesia ejcitur, & Imperatoris filius Patriarcha designat. Posthæc classis Rossica non Mille, sed decies & quinquies mille nauium urbem aggressa esse dicitur. Contra eam Romana classis iuxta Pharū in procinctu stetit, ac subitò inuecta Barbaros profligauit, multis eorū nauibus igni græco crematis. Reliquæ uersus Orientem profectæ, in Bardā Phocam Patriciū, qui exercitui præerat, inciderunt, qui multos ad conquirenda necessaria nauibus egressus, sustulit. Idē & Curcuas Legionū Domesticus fecit, multis & occisis et captis. Sic terra mariq; malè accepti, se in nauibus continebant donec cōmeatu destituti, ad sua redire decreuerunt. Sed quum soluissent, denuò Romanæ triremes eos aggressæ, duobus naualibus prælijs deuicerunt. Paucæ igitur Barbaricæ naues interitu uirato ad suos redierunt, nunciæ malorum & acceptæ cladis. Rossij igitur pluribus malis acceptis, quàm ut sperarant, datis, à lacessendis Romanis abstinuerunt. Sed & Agareni à Legionum Domestico Curcua & fratre eius Theophilo, Ioannis qui pòst imperio potitus est, auo, sæpè uicti sunt & oppressi, atque urbes complures quas occuparant, eis ademptæ. At Imperator Romanus, considerato, ut apparet, periurio suo, uiolataq; quam cum Constantino fecerat, pactione: beneficentia placare Deum statuit. Præter igitur alias distributiones, etiam æs alienum pro debitorib. dissoluit, cuius summa ad XIX. centenarios excreuerat, tabulis in medio foro crematis: item precium pro ijs qui Constantinopoli in conductitijs domibus habitabant, numerauit. Ac debitoribus illa sanè profuerunt,

Hyems.
Fames.
Incendium.

Rossicæ classis XV. mille nauiū interitus.

Agarenorū clades.

Romanus liberalitate, uel odiū periurij mitigare, uel peccata redimere satagit.

Romano autem parũ opinor, ac nihil potius utilitatis attulerunt: cumq; de alieno largiebatur, quippe ex publico, tum quòd imperio, quod ex rapto tenebat, fruebatur, eoq; fraudato cuius erat, cum imperatoria felicitate ex asse potiretur, perexiguã beneficentiæ portionem tribuebat: quod perinde est, ac si quis uicini boue immolato, extremos pedes largiatur pauperibus, totumq; corpus ipse deuoret: aut spreto legitimo coniugio, in alienæ uxoris stupris uolutetur: deq; mariti illius pecunia pauperibus largiatur, ut sibi adulterij gratia fiat scilicet. atq; hæc secundũ humanum iudicium. Si quis autem diuinã bonitatem intueatur, fortasse ne hæc quidem inutilia dixerit. Romano rerũ potiente, Christi effigies nullis facta manibus & diuinitùs in linteo expressa, in imperatoriã urbem est translata. Eam tum Edessa habuerat, quę cùm in periculo excidij esset, Agareni qui tum urbem tenebãt, incolumitatẽ hac effigie à Romanis redemerunt. Tum etiam ex Armenia uenêre duo adolescentes cõcreti, quorum altero mortuo, cùm medici nexũ resecuissent, alter quoq; nihil ea re adiutus, nec diu fratri superstes, obijt. Quemadmodũ Romanus sine ullo iusto titulo imperiũ sibi uendicarit, suosque liberos Imperatorio honore et nomine ornarit, & principe loco cum suis occupato, natiuum imperij successorem Constantinum, nullo pene numero habitum, infra cæteros omnes collocarit: iam est à me expositum. Nunc cætera exequenda sunt, ut ostendatur, etiamsi Prouidentia tardius inuadat iniurios, concesso pœnitentiæ spatio: tamen nisi à malitia discesserint, lento gradu eos assequi & pœnas exigere. Romanus igitur annum iam sextum & uigesimum imperitabat. Constantinus autẽ qua ratione imperium recuperaret, animum in omnes uersabat partes, utq; uoti compos fieret, per alios, filios contra patrem concitat, uel unum potius Stephanum. Nam Constantinus maiore animi constantia præditus, instigatoribus nõ obtemperabat. Alter uerò socijs ascitis, aggressus est patrem, eumq; cõprehensum, & in insulã Protem relegatũ, tonderi iussit: ipse cum affine & fratre imperatoria munia obijt. Sed fieri nõ poterat, ut tres cõsentirent, cumq; nonnullis in rebus dissiderent & inuicẽ aduersarentur, suspicionibus ortis, Stephanus affinem Constantinũ pellere studuit, & Constantinus uicissim Stephanũ, qui quidem ad rem patrandam multò celerior, etiam Helena uxore incitante, ascitis quibusdam militaribus præfectis, ambos fratres secum prandentes comprehendit, atq; alterum statim in insulã Panormum seu Antigoniã, alterum Terebinthũ mittit, & utrũq; tonderi clericũ iubet. Vnde cùm transferendi essent, in patris uenire conspectũ desiderarunt. quos quum ille uidisset, filios, inquit, genui, & euexi, ipsi uerò me ad nihilũ redegerũt. Stephanus igitur inde in Præcõnesum

Edessa effigie Christi permutata.

Duo adolescentes concreti.

Romanus cum filijs regno pulsus.

τὸ δὲ Ῥωμανοῦ μικρὸν ἂν οὐδὲν οἶμαι λυσιτελοῦν. ὅτι τὰ ἀλλότρια ἐτύγχανον τὰ διδόμενα (δημόσια γάρ) καὶ ὅτι τὴν βασιλείαν ἁρπάσας καὶ ταύτην κατέχων, καὶ ἐκκλαίων αὐτῇ, καὶ ὅν, ᾧ προσῆκε, ταύτης ἐκστερῶν, ἑαυτῷ μὲν ἀπεκλήρου τῆς βασιλικῆς εὐκληρίας τὰ ξύμπαντα. τοῖς δ᾽ ἐνδεέσι ῥανίδα μικρὰν ἀπεμέριζε, τοιοῦτόν τι πράττων, οἷον ἄν τις ἐποίησεν, εἰ βοῦν ἀπελάσας τοῦ γείτονος, καὶ κατεθύσας αὐτὸν, τοὺς μὲν πόδας ἄκρους δῴη τοῖς πένησι, τὸ σῶμα δ᾽ ὅλον αὐτὸς ἐδαπάνησεν. ἢ εἰ γυναῖκα τις ἁρπάσας τοῦ γείτονος κατέχοι ταύτην, καὶ αὐτῇ συμφθείροιτο, τοῦ νομίμου γαμέτου ἀφειδῶν, ἐκ δὲ τῶν ἐκείνου χρημάτων διδοίη πένησιν, ἵν᾽ αὐτῷ τάχα δὴ λύσιν ἀφεθείη τῆς μοιχείας τὸ ἔγκλημα. ἀλλὰ ταῦτα κατὰ ἀνθρωπίνην κρίσιν, εἰ δέ τις πρὸς τὴν θείαν ἀποβλέψοι ἀγαθότητα, οὐδὲ ταῦτ᾽ ἂν ἴσως εἴποι ἀσυντελῆ. τούτου τὰ σκῆπτρα κρατοῦντος, καὶ τὸ ἀχειρότευκτον ἐκτύπωμα τοῦ σωτῆρος Χριστοῦ τὸ θεῖον χειρόμακτρον ἐκομίσθη πρὸς τὴν προκαθημένην τῶν πόλεων. εἶχε μὲν γὰρ τοῦτο ἡ Ἔδεσσα, ἡ δὲ ἁλῶναι παρὰ τῶν Ῥωμαίων πολιορκούντων αὐτὴν κινδυνεύουσα, κατεχομένη παρὰ Ἀγαρηνῶν, ἵν᾽ οὖν φύγωσιν οἱ Ἐδεσηνοὶ τὴν ἐκπόρθησιν, λύτρον ταύτης τὸ θεῖον παρέσχον ἐκτύπωμα. ἀφίκοντο δὲ τότε ἐξ Ἀρμενίας μειράκιον δύο συμφυῶν, τοῦ ἑνὸς δὲ θανόντος ἐτμήθη ἡ συμφυΐα παρὰ τῶν ἰατρῶν, ἀλλ᾽ οὐδὲν τὸ περιλειφθὲν ὤνησε. μικρὸν δ᾽ ἐπιβιώσας τῷ ἀδελφῷ, κἀκεῖνος ἐτεθνήκει. ὅπως μὲν οὖν μηδὲν αὐτῷ προσῆκον τὴν βασιλείαν ὁ Ῥωμανὸς σφετερίσατο, καὶ τοὺς αὐτοῦ παῖδας τῆς βασιλικῆς ἠξίωσε τιμῆς τε καὶ κλήσεως, καὶ ὅπως καὶ ἑαυτὸν καὶ τοὺς παῖδας τῶν πρωτείων ἠξίωσε, τὸν δ᾽ ἔγγονον τῆς βασιλείας διάδοχον τὸν Κωνσταντῖνον ὕστερον ἔθετο, πάντων ὑποβιβάσας, ἤδη μοι προϊστόρηται. ἀλλὰ νῦν ὁ λόγος προσθήσει καὶ τὰ ἑξῆς, καὶ δείξει, ὡς κἂν βραδύτερον ἴσως μέτεισι τοὺς ἀδικοῦντας ἡ πρόνοια, μετανοίας αὐτοῖς ἐπιμετροῦσα καιρὸν, ἀλλ᾽ οὖν γε τοῦ κακοῦ μὴ ἀποσχομένους μέτεισι χωλαίνοντι ποδὶ, καὶ δίκας εἰσπράττεται. ἔτος δὴ ἦν ὁ Ῥωμανὸς αὐταρχῶν εἰκοστὸν καὶ ἕκτον. ὁ δὲ Κωνσταντῖνος, ὅπως ἑαυτῷ τὴν βασιλείαν ἐπανασώσηται, διὰ πάντων ἔστρεφε τὸν νοῦν, καὶ ἵνα τὸ ἐφετὸν αὐτῷ διαπραχθείη, δι᾽ ἑτέρων ἐπεγείρει τῷ πατρὶ τοὺς υἱοὺς, ἢ μᾶλλον τὸν ἕνα τὸν Στέφανον. ὁ γὰρ Κωνσταντῖνος σταθηροτέρας τυγχάνων φρενὸς, τὴν προβολὴν οὐ προσίετο. ὁ προσεταιρισάμενος καὶ ἄλλους, ἐπιθέμενος τῷ πατρὶ, καὶ κατασχὼν αὐτὸν, ἐν τῇ νήσῳ τῇ Πρώτῃ περιώρισε καὶ ἀπέκειρεν, αὐτὸς δὲ τῆς βασιλικῆς ἀντεποιεῖτο διοικήσεως σὺν τῷ γαμβρῷ καὶ τῷ ἀδελφῷ. ἀλλ᾽ οὐκ ἦν ὁμοφρονῆσαι τοὺς τρεῖς. ἐν τισὶν οὖν διεφέροντο, καὶ ἀλλήλοις ἀντέλεγον. ἐκεῖθεν ἀλλήλους ὑπώπτευον, καὶ καταστῆσαι τῆς βασιλείας τὸν γαμβρὸν τὸν Κωνσταντῖνον ὁ Στέφανος διὰ φροντίδος ἐτίθετο, καὶ ὁ Κωνσταντῖνος αὖθις τὸν Στέφανον. ἀλλ᾽ ἦν ὁ Κωνσταντῖνος πρὸς τὸ ἔργον ὀξύτερος πολὺ πρὸς ἐκεῖνον, καὶ τῆς συζύγου Ἑλένης ὑποτρεχούσης αὐτόν. προσλαβόμενος τοίνυν ἑκατοντάρχας τῶν στρατιωτικῶν ἀρχόντων, κατέσχε καὶ ἄμφω τοὺς ἀδελφοὺς συνεστιωμένους αὐτῷ, καὶ αὐτίκα τὸν μὲν εἰς τὴν νῆσον τὸν Πάνορμον ἣ καὶ Ἀντιγονία λέγεται ἐξαπέστειλε, τὸν δὲ εἰς τὴν καλουμένην Τερέβινθον, καὶ κληρικοὺς καὶ ἄμφω ἀπέκειρεν. ὅτε ἐκεῖθεν μεταχθῆναι μέλλοντες ἐζήτησαν εἰς ὄψιν ἐλθεῖν τῷ πατρὶ, ὃς ἰδὼν ἐκείνους ἔφη, υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. ἐντεῦθεν ὁ μὲν Στέφανος ἐν Προικοννήσῳ περιωρίσθη, κἀκεῖθεν εἰς Ῥόδον,

περὶ τοῦ ἁγίου μανδιλίου.

περὶ τῶν συμφυῶν μειρακίων.

[illegible]

εἰς Ῥόδον, κἀκ ταύτης εἰς Μιτυλήνην μετετέθη, τῷ δὲ Κωνσταντίνῳ ἡ Σαμοθρᾴκη προσεγράφη ἐγκλεισμοῦ ὅριον. ὃς ἀποδρᾶναι διενοήθη πολλάκις, καὶ διὰ τοῦτο φαρμάκῳ τὸν προεστῶτα τῶν φυλάκων αὐτοῦ ἀνελὼν, ἀνῃρέθη παρὰ τῶν ἄλλων. ὁ δὲ Στέφανος ἐν Λέσβῳ ἐτελεύτα, ἐννεακαίδεκα διαγαγὼν ἐνιαυτοὺς παρ' αὐτῇ. ὁ δὲ τούτων πατὴρ ἐν τῇ Πρώτῃ τὴν ζωὴν διεμέτρησε, καὶ οὕτω τὸν ἕκαστον ἡ δίκη μετῆλθεν.

ex ea Rhodum, Rhodo Mitylenen est translatus, Cõstantino Samothracia assignata, quam egredi non liceret. Qui quum sæpè fugam molitus esset, eaq; de causa custodum principem ueneno sustulisset: à cæteris est interfectus. Stephanus uerò Lesbi decessit, quum XIX annos ibi uixisset. Pater eorum in insula Prota uitam exegit. Sic eorum quisque scelerum pœnas dedit.

ΒΑΣΙΛΕΙΑ ΤΟ ΔΕΥΤΕΡΟΝ
Κωνσταντίνου τοῦ υἱοῦ τοῦ Λέοντος.

Ἀρξάμενος δὲ τῆς μοναρχίας ὁ Κωνσταντῖνος τυχὼν, καὶ τὸν υἱὸν Ῥωμανὸν διαδήματι περιέθετο, τοῖς τε συναραμένοις αὐτῷ εἰς τὴν τῶν Βασιλευόντων καθαίρεσιν, ἀμοιβὰς ἐκείνοις, τὸν μὲν Φωκᾶν Βάρδαν μάγιστρον ἐτίμησε, καὶ δομέστικον προεχειρίσατο τῶν σχολῶν τῆς ἀνατολῆς. ἀμφοῖν δὲ τῶν τοῦ Βάρδα υἱῶν τὸν μὲν Νικηφόρον, τὸν ὕστερον βασιλεύσαντα, τῶν ἀνατολικῶν προεβάλλετο στρατηγὸν, τὸν δὲ Λέοντα τῆς Καππαδοκίας, καὶ τοὺς ἄλλους ἄλλως ἠμείψατο. τὸν δὲ τοῦ Στεφάνου τοῦ Βασιλέως υἱὸν Ῥωμανὸν, ἐκτομίαν ἐποίησεν, ἀλλὰ μὴν καὶ Βασίλειον τὸν νόθον υἱὸν τοῦ γέροντος Ῥωμανοῦ, ὃν ἐγείνατο δούλῃ τινὶ συμφθαρείς. τὸν δὲ τοῦ Χριστοφόρου υἱὸν Μιχαὴλ ἀπεκείρε κληρικόν. ἦν δὲ Κωνσταντῖνος τὰ πρὸς Θεὸν εὐσεβὴς, καὶ λόγοις προσκείμενος. ὡς ἔστι καταμαθεῖν ἐκ συγγραμμάτων αὐτοῦ, ἀλλὰ μέντοι καὶ ἐξ ἐπιστολῶν, ἃ κἂν μὴ πρὸς τέχνην ἀπηκρίβωντο τὴν ῥητορικὴν, ἀλλ' οὖν χρώμασι ταύτης κἀν τισιν ἰδέαις ποικίλλονται. ἐσπούδαζε δὲ καὶ ῥυθμοῖς ἑαυτὸν, καὶ μέτροις παντοδαποῖς. γνοίη δ' ἄν τις τοῦτο ἐξ ὧν ἐπὶ θανούσῃ τῇ κοινωνῷ τοῦ βίου ἐμμέτρως ἐθρήνησεν. ἐπεμελήθη δὲ καὶ τῆς φιλοσοφίας αὐτῆς, ἀπολελησμένης ἤδη σχεδὸν, ἀλλὰ μέντοι καὶ τῶν ἐπιστημῶν διδασκάλους ἐπιστήσας, καὶ ἀναζωπυρήσας ἐκλειπούσας αὐτάς. καὶ ταῦτα μὲν τῆς κρείττονος μοίρας ἐκείνῳ προσῆν. πρὸς δὲ τὴν τῆς Βασιλείας διοίκησιν διέκειτο μαλακώτερον, δύσοργός τε καὶ βαρύμηνις τοῖς πταίουσιν ἦν, καὶ κολάσεις ἀπαραίτητος, οἴνῳ τε τοῦ αὐτάρκους ἐκέχρητο πλείονι. καὶ ἀρχαιρεσιάζων οὐ τοὺς ἀξίους ἐφίστα ταῖς στρατηγίαις, ἢ ταῖς τῆς πολιτείας ἀρχαῖς, ἀλλὰ τοὺς μοχθηροτέρους καὶ ἀδοκίμους, καὶ οὓς ἡ Βασιλὶς καὶ ὁ παρακοιμώμενος συνῆγον Βασίλειος, ὠνίους χρημάτων τιθέμενοι τὰς ἀρχάς. ἀλλ' οὕτω μὲν τὰ τῆς Βασιλείας, εἰ καὶ μὴ ἐν πᾶσι καλῶς, ᾠκονόμητο. ἐπιβουλαὶ δὲ κατὰ τοῦ κρατοῦντος ἐμελετήθησαν, ἡ μὲν παρὰ τοῦ παρακοιμωμένου Θεοφάνους, πολλοὺς καὶ ἄλλους συνίστορας ἔχοντος, καὶ βουλομένου τὸν Ῥωμανὸν ἐπαναγαγεῖν ἐκ τῆς Πρώτης νήσου εἰς τὰ Βασίλεια. ἡ δὲ παρ' ἑτέρων, τὸν Στέφανον ἐκ Λέσβου λαβεῖν μελετησάντων, καὶ ἀποκαταστῆσαι τῇ Βασιλείᾳ. ἀλλὰ καὶ ἄμφω τὰς ἐπιβουλὰς ὁ Κωνσταντῖνος ἐφώρασε, καὶ τοὺς μὲν συνωμότας ἐκόλασε, τοὺς δὲ Βασιλεύσαντας ὑπ' ἀσφαλεστέραν ἔθετο τήρησιν. τῶν Τούρκων (τοὺς Οὔγγρους δ' οὕτω καλεῖσθαι καὶ πρώην εἰρήκαμεν) τὰ Ῥωμαίων ληιζομένων ἐπί τινα καιρὸν ἠρεμῆσαι τὸ ἔθνος συμβέβηκεν. ὁ γὰρ τούτων ἀρχηγὸς Βολογουδὴς κεκλημένος, καὶ ἕτερος δ' αὖθις Γυλᾶς καὶ αὐτὸς μέρους ἄρχων προσηλθέτην τῷ Βασιλεῖ, καὶ ἕκαστος αὐτῶν τοῦ θείου τῆς παλιγγενεσίας ἠξιώθη λουτροῦ, καὶ τὸ καθ' ἡμᾶς ἐμυήθη μυστήριον, καὶ πατρίκιος ἐτιμήθη.

Margin: ἀρεταὶ Κωνσταντίνου. — ἐπιβουλαί. — περὶ Οὔγγρων.

IMPERIVM CONSTANTINI FILII
Leonis, recuperata potestate.

Constantinus cùm primùm recuperasset imperium, filium quoq; Romanũ diademate ornauit, & ut ijs quorum ope collegas amouerat, referret gratiam: Phocam Bardam Magistrum fecit, & legionum orientalium Domesticum renunciauit. Nicephorum eius filium, qui pòst imperio potitus est, prætorem orientis, alterum Leonem Cappadociæ præsidem designauit, & ex cæteris, alijs alios honores habuit. Filium autem Imperatoris Stephani Romanum iuniorem, itemq; Romani senioris filium Basilium, ex ancilla procreatũ, castrauit, Christophori filium Michaelem eleticum fieri iussit. Fuit Constantinus religiosus erga Deum, & studijs literarum deditus. quod ex scripus & epistolis eius apparet, quæ licet ad artem oratoriã perpolita non sint, tamen Rhetoricis ornamentis & figuris quibusdam scatent. operam quoq; rythmis & omnis generis uersibus dedit, quod in ijs scriptis cernitur, quibus obitum coniugis suæ deplorauit. Ipsius etiam philosophiç rationem habuit, quæ penè in obliuionẽ uenerat, aliarumq; disciplinarũ; quas doctoribus ordinatis iam deficientes refocillauit. Atq; has uirtutes habuit. In regno autẽ administrando fuit segnior, iracundus, & sæuus in delinquentes: in pœnis sumendis inexorabilis: uini auidior. In conferendis magistratibus, non dignos præturis alijsq; munerib. præficiebat, sed minus bonos ac potius improbos, & quos uel Imperatrix uel cubicularius Basilius cõmendabant, qui magistratus uænales habebant. Ita fiebat, ut imperium nõ in omnibus benè administraretur. Imperatori autem structæ sunt insidiæ, primùm à cubiculario Theophane, q multos habebat conscios, & Romanũ è Prota insula. Deinde ab alijs, qui Stephanũ Lesbo in Regiam reducere conabãtur. Sed Imperator utrasq; deprehendit, ac insidiatoribus supplicio affectis: imperij cupidis, diligentiorem custodiam adhibuit. Turci (Vngros autem sic uocari suprà diximus) alias Romanas prouincias incursare soliti ad tempus quieti fuerunt. Nam Dux eorũ Bologudes, & partis cuiusdã princeps Gylas, Imperatorẽ cõuenerũt, amboq; sacrosancto regenerationis lauacro initiati, & arcanis nostrę religionis imbuti, ac Patricia dignitate ornati,

Margin: Constantinus & amicis & inimicis refert gratiam. — Constantini uirtutes & uitia. — Insidiæ cõparatæ Imperatori. — Turci seu Vngari Christianismũ amplectuntur.

onuſtiꝗ pecunijs in ſuas ſedes redierũt, adducto Pontifice, per quem multi ad Dei cognitionem peruenerunt. Ac Gylas quidem in fide permanſit, pacemꝗ ſeruauit. Alter fœdere quod cũ Deo icerat, rupto, arma Romanis intulit, ideꝗ contra Frãcos facere aggreſſus, captus eſt, & in crucē actus. Elga quoꝗ uxor ducis Roſſorũ, qui Romanos claſſe infeſtarat, defuncto marito, ſe ad Imperatorē cõtulit, ac baptizata & pro dignitate tractata, domũ rediſt.

Elga Roſſorũ regina.

Imperator aũt, defuncta nuru ſua, Regis Francorum Hugonis filia, de alia filio Romano deſpondenda cogitãs, uxorē ei dat puellã, humilis illã quidē generis ac potius ſordidi (nã cauponibus orta dicebaĩ) ſed forma prẹditã elegãtiſsima, & naturæ miraculũ quoddã, quæ cum Anaſtaſia diceref, id nomen in Theophanonē eſt mutatũ.

Theophano Imperatoris Romani uxor.

Anno Imperij Cõſtantini x11. Patriarcha Theophylactus deceſsit, pontificatu annis 111. & x x. functus. Nã ſacerdotio cõtra morē maiorũ potitus, annorũ fuit xv1. regnanteꝗ patre. pædagogis adhuc paruit: pòſt, eorũ iugo excuſſo, multa præter decorũ, aut (ut rectius dicã) cõtra officiũ fecit. Nã alendi equos & canes ac uenationũ ſimiliũꝗ rerum inſano ſtudio tenebaĩ. Cũ igitur inter equas plurimas quas alebat, unam inſigniorem ſacro magnæ Quintæ die peperiſſe ſacra celebranti Patriarchæ nũciatũ eſſet: lætitia elatus, diuinoꝗ ſacrificio properãter abſoluto, ad Coſmidiũ feſtinauit (nã ibi eius equi ſtabulabanĩ) uiſoꝗ pullo recens nato, in Eccleſiã reuerſus, feſtũ ſanctæ paſsionis Seruatoris peregit. Mortis ei cauſa fuit equitatio, qua cũ audaciſsimè uti ſoleret, ſemel ad caſtellũ quoddam maritimũ alliſo corpore, ſanguinē per os reiecit. Vnde cùm bienniũ ægrotaſſet, ex aqua intercute obijt.

Theophylacti Patriarchæ mores & obitus.

Ei ſucceſsit Polyeuctus monachus ſpado, & eloquētia & uirtute præſtãs, à Cæſariēſi epiſcopo electus. Nã Heracliēſis, offenſo Cæſare, ius ſuũ uſurpare non potuit. quę res criminãdi Patriarchæ anſam obtrectatoribus præbuit. Sed cùm renunciatus eſſet, Imperatorē cõuenit, cognatisꝗ ſenioris Romani accuſatis, monuit, ut eorũ auariciã cohercerer. Quòd nec ille citra moleſtiã audiuit, & Imperatrix Helena, Baſilio ſpadone inſtigante, qui pòſt cubicularius extitit, maritũ contra Patriarchã incitauit, cauſam quæritans qua Pontificatũ ei eriperet.

Polyeuctus Patriarcha.

Eo tempore ueneranda manus Præcurſoris, per quendam diaconũ Iobum Antiochia Byzantium eſt trãslata. Porrò Cretenſibus Agarenis maritimã Romanorũ orã infeſtãtibus: Imperator maximã bellicarũ nauiũ claſſem cõtra eos miſit. Verũ ea nauarchi imperitia & negligentia impegit, maxima parte claſsiariorũ uel capta uel interfecta, pauciſsimis elapſis. Ac ipſe etiã Nauarchus captus fuiſſet, niſi eius ſatellites eũ cõglobati circũſteriſſent, ac pulſis Agarenis, prætoriæ triremis cõſcendendæ, & fugæ facultatē præbuiſſent. Cæterũ Bardas Phocas,

Agarenorũ Cretenſium uictoria.

ἱεράτευσε, καὶ πλείστοις δωρηθέντες χρήμασι, καὶ οὕτως ἐπανῆλθον εἰς τὰ ἴδια τὰ ἑαυτῶν. λαβόντες καὶ ἀρχιερέα, δι' οὗ πολλοὶ πρὸς ἐπίγνωσιν θεοῦ μετηνέχθησαν. ἀλλ' ὁ μὲν Γυλᾶς καὶ τῇ πίστει ἐνέμεινε, καὶ τῇ εἰρήνῃ ἐνέμεινεν. ὁ δὲ λοιπὸς τὰς πρὸς θεὸν συνθήκας ἀθετήσας, αὖθις κατὰ Ῥωμαίων ὡπλίζετο, ἔδοξε δὲ καὶ κατὰ Φράγγων πειρᾶσαι χωρῆσαι, ἑάλω καὶ ἀνεσκολοπίσθη. καὶ ἡ τοῦ κατὰ Ῥωμαίων ἐκπλεύσαντος Ῥῶς ἄρχοντος γυνή, Ἔλγα τοὔνομα, ξυνεύνου τε αὐτῇ τελευτήσαντος, προσῆλθε τῷ βασιλεῖ, καὶ βαπτισθεῖσα τιμηθεῖσά τε ὡς ἐχρῆν, ὑπενόστησεν. ἐφρόντιζε δὲ ὁ αὐτοκράτωρ, ἤδη θανούσης τῆς τῷ υἱῷ αὐτοῦ Ῥωμανῷ συζυγείσης θυγατρὸς τοῦ τῶν Φράγγων ῥηγὸς Οὔγωνος, ἑτέραν ἀγαγέσθαι αὐτῷ γαμετήν, καὶ συνοικίζει αὐτῷ κόρην, τύχης μὲν χαμερποῦς οὖσαν καὶ χυδαίας ἄποθεν αὐτόθεν (καπήλων γὰρ ἐκφῦναι ταύτην φασί) τῷ δὲ εἴδει διαπρεπεστάτην, καὶ αὐτόχρημα ἄγαλμα πλασθεῖσαν ὑπὸ τῆς φύσεως, ἣ τέως Ἀναστασία καλουμένη, Θεοφανὼ μετωνόμαστο. ἔτει δὲ δωδεκάτῳ τῆς Κωνσταντίνου αὐταρχίας, ὁ πατριάρχης Θεοφύλακτος ἀπεβίω, ἔτη εἴκοσι πρὸς τρισὶ καὶ ἀρχιερατεύσας. ἐξκαίδεκα δὲ ἦν γεγονὼς ἔτη, ὅτε τῆς ἀρχιερωσύνης ἀθέσμως ἠξίωτο, ὅθεν καὶ ὑπὸ παιδαγωγοῖς ἐτέλει ὁ πατριάρχης, ὡς ἄνθρωπος ἐβασίλευσεν ὁ πατήρ. εἶτα τούτους ἀποσεισάμενος, πολλὰ τῶν οὐ δεόντων καὶ τῶν ἀπηγορευμένων (εἰπεῖν οἰκειότερον) διεπράττετο, ἱππομανῶν τε καὶ κυνοτροφῶν. καὶ θήρας περισπώμενος, καὶ τὰ τούτοις πρέποντα ἀκόλουθα. ἐπεὶ δὲ καὶ ἵππων σφοδρότατον ἔρωτα. καὶ εἶχε θηλείας ἵππους πάνυ πολλάς. μία τοίνυν αὐτῶν ἐκ τῶν λοιπῶν ἐπισημοτέρα κατὰ σ[illegible]ρὸς ἔχουσα, ἔτυχε τεκοῦσα κατὰ τὴν ἱερὰν τῆς μεγάλης πέμπτης ἡμέραν, καὶ λειτουργοῦντι τότε τῷ πατριάρχῃ, ἧκέ τις νομίζων πρὸς χάριν τὸν τῆς ἵππου τοκετὸν διαγγέλλει, ὁ δὲ ὑπερησθεὶς καὶ τὴν θείαν ἱερουργίαν συντεμών, ἀπεδήμησε πρὸς τὸ Κοσμίδιον ἀπελήλυθεν (ἐκεῖ γὰρ εἶχον αἱ ἵπποι αὐτοῦ τὰς διατριβάς) καὶ τὸν νεογνὸν πῶλον ἑωρακώς, ὑπενόστησεν εἰς τὴν ἐκκλησίαν, καὶ τὴν τῶν ἁγίων παθῶν τοῦ σωτῆρος χριστοῦ ἐτέλεσε τελετήν. κατέστρεψε δὲ τὴν ζωὴν διὰ τὴν ἱππασίας. θρασύτατα γὰρ ἱππαζόμενος, καὶ πρὸς τεῖχός τι τῶν παραθαλασσίων προσαραχθείς, αἷμα διὰ στόματος ἀνήγαγε, κἀντεῦθεν ἐπὶ δύο ἔτη νοσήσας, εἰς ὕδερον περιπεσών, ἀπεβίω. καὶ προεχειρίσθη πατριάρχης Πολύευκτος μοναχὸς ἐκτομίας, καὶ λόγῳ διαπρέπων καὶ ἀρετῇ, ὃς παρὰ τοῦ Καισαρείας ἐχειροτονήθη. ὁ γὰρ Ἡρακλείας προσκεκρουκὼς κατά τι τῷ βασιλεῖ, ἐκωλύθη τὸ προνόμιον αὐτοῦ. καὶ τοῦτο τοῖς φιλοσκώμμοσιν εὕρηται κατὰ τοῦ πατριάρχου αἰτίαμα. ἐπεὶ δ' ἐχειροτονήθη, τῷ βασιλεῖ ἐντυχών, καταδρομὴν ἐποιήσατο τῶν συγγενῶν τοῦ γέροντος Ῥωμανοῦ, καὶ ἀνασεῖλαι τῆς τοσαύτης πλεονεξίας παρῄνει. ὅπερ οὔτ' αὐτὸς ἀνεπαχθῶς ἤκουσε, καὶ ἡ βασιλὶς Ἑλένη, παρὰ τοῦ ἐκτομίου Βασιλείου, ὃς μετὰ ταῦτα παρακοιμώμενος γέγονε, παραβιβασθεῖσα, ἠρέθισε κατὰ τοῦ πατριάρχου τὸν αὐτοκράτορα, καὶ ἐζήτει λαβήν, δι' ἧς αὐτοῦ τὴν ἀρχιερωσύνην ἀφέλοιτο. τότε δὲ καὶ ἡ τιμία χεὶρ τοῦ προδρόμου εἰς τὴν βασιλεύουσαν ἀπεκομίσθη τῶν πόλεων ἐξ Ἀντιοχείας διά τινος διακόνου Ἰώβ. τῶν δ' ἐν τῇ Κρήτῃ Ἀγαρηνῶν τὰ παράλια τῆς Ῥωμαίων ἡγεμονίας ληϊζομένων, ὁ βασιλεὺς στόλον ἑτοιμασάμενος, ἐκ πλείστων συνιστάμενον νηῶν πολεμιστηρίων, κατ' ἐκείνων ἐξέπεμψεν. ἀλλ' ἐσφάλησαν τὰ τοῦ στόλου τῇ τοῦ ναυάρχου ἀπειρίᾳ καὶ ἀμελείᾳ. καὶ τὸ μὲν πλεῖστον τοῦ πληρώματος τῶν νηῶν ἀπώλετο, τὸ μὲν ἑαλωκός, τὸ δὲ μαχαίρας ἔργον γενόμενον, ὀλίγοι δὲ διεσώθησαν. καὶ αὐτὸς δ' ἂν ἑάλω ὁ ναύαρχος, εἰ μὴ περὶ αὐτὸν συστάντες οἱ ὑπ' αὐτῷ θεράποντες, καὶ συνασπισμῷ τοὺς Ἀγαρηνοὺς ἀπωσάμενοι, ἄδειαν παρέσχον τῷ στρατηγῷ ἐμβῆναι εἰς τὴν στρατηγίδα τριήρη, καὶ οὕτω φυγεῖν. ἀλλ' οὐχ οὕτω καὶ τῷ Βάρδᾳ Φωκᾷ τῷ τῶν

σχολῶν

περὶ τοῦ πατριάρχου Θεοφυλάκτου.

περὶ τοῦ πατριάρχου Πολυεύκτου.

περὶ δὲ τῆς τιμίας χειρὸς τοῦ προδρόμου.

χολῶν δομεστίκου συνιστήκει, τὰ πρὸς τοὺς ἑῴους ἀγαρηνοὺς, στρατηγικῇ δὲ τέχνῃ καὶ ἐμπειρίᾳ τὸν πρὸς ἐκείνους πόλεμον διατιθέμενος, ἐκπορθεῖ πολλὰ ἐκείνων ἀφύλατα, καὶ τὰ προστυχόντα λείαν ἐτίθετο, ὅ γε μὴν τοῦ βασιλέως υἱὸς ῥωμανὸς, εἰς ἄνδρας ἤδη τελῶν ἠργμένος δὲ ἐγγενειῶν, καὶ εἰς ἑαυτὸν τὴν ἐξουσίαν περιαγαγεῖν ἱμειρόμενος, ἐπιβουλεύει τῇ ζωῇ τοῦ πατρὸς, συμπραττούσης αὐτῷ καὶ τῆς γαμετῆς, καὶ φαρμάκῳ δηλητηρίῳ τὴν ἐπιβουλὴν συνεσκεύασεν, ὃ λαθόντες καθαρτηρίῳ πόματι συνεκέρασαν, ὅπερ ἤμελλεν ὁ αὐτοκράτωρ πιεῖν. αὐτὸ δὲ δοθῆναι μέλλον εἰς πόσιν τῷ βασιλεῖ, εἴτ' ἐκ προνοίας, εἴτε τυχαίως τὸ πλέον ἐξεκέχυτο, τὸ δὲ περιλειφθὲν ὀλίγον ὂν, καὶ παρὰ τοῦ βασιλέως ποθὲν, ὀδύναις μὲν αὐτὸν καὶ κινδύνων φόβοις οὐ μικροῖς περιέβαλεν, οὐ μέντοι καὶ κίνδυνον ἐποίησεν αὐτῷ περὶ τῆς ζωῆς. τέως δ' οὖν αὐτὸν δυσχερῶς διαπεφευγὼς, τῷ πεντεκαιδεκάτῳ δὲ ἐνιαυτῷ τῆς αὐτοῦ βασιλείας γε ἐπὶ τὸ τοῦ ὀλύμπου ὄρος ἐξῆλθεν ὁ βασιλεὺς, λόγῳ μὲν ἵνα ταῖς τῶν ἐκεῖ ἀσκουμένων εὐχαῖς καθοπλισθείη κατὰ τῶν ἀγαρηνῶν, τῷ δ' ὄντι (ὡς λέγεται) ἵνα τῷ κυζίκου θεοδώρῳ συγγένηται, καὶ ὅπως τὸν πολύευκτον ἐξωθήσῃ τῆς ἐκκλησίας, σκέψηται μετ' αὐτοῦ. ἐνθένδε δὲ γεγονὼς, κακῶς ἔχων ἐπανῆλθεν εἰς τὰ βασίλεια, καὶ μετ' ὀλίγον τὴν ζωὴν ἐξεμέτρησεν, ὡς μὲν τισὶ δοκεῖ, ἐκ δυσκρασίας σωματικῆς, ὡς δ' ἑτέροις δοξάζεται, καὶ αὖθις ὑπὸ τοῦ υἱοῦ ἐπιβουλευθείς. ἦν δ' ὁ σύμπας τοῦ βίου αὐτοῦ χρόνος ἐνιαυτοὶ τεσσαρακοντατέσσαρες, καὶ δύο μῆνες, συμβασιλεύσαντος τῷ πατρὶ λέοντι καὶ ἀλεξάνδρῳ τῷ θείῳ καὶ τῇ μητρὶ ἔτη τρισκαίδεκα, καὶ τῷ λακαπηνῷ ῥωμανῷ τὴν βασιλείαν ἁρπάσαντι ἔτη ἓξ καὶ εἴκοσι, μοναρχήσαντος δὲ τελευταῖον ἐνιαυτοὺς πεντεκαίδεκα. ἦν δὲ καὶ μέχρις ἐσχάτου βίου ἐν πολλῇ φροντίδι τῆς τοῦ ἀρχιερέως καθαιρέσεως τοῦ πολυεύκτου τιθέμενος. λέγεται δὲ πρό τινων ἡμερῶν τῆς αὐτοῦ τελευτῆς λίθους νυκτὸς φέρεσθαι μετὰ ῥοίζου πολλοῦ κατὰ τῶν αὐτοῦ θαλάμων, καὶ τοῦτο συμβαίνειν ἐπὶ πλείους νύκτας, καὶ νομίσαι μὲν τὸν βασιλέα, παρά τινων ἀνθρώπων λιθολευστεῖσθαι, καὶ πολλοὺς περιστῆσαι τοῖς βασιλείοις, οἳ ἐπετήρουν τὸ γινόμενον. ἀλλ' οὐδεὶς ὤφθη τῶν ἀνθρώπων λίθους πέμπων. ὅθεν οὐδ' ἐξ ἀνθρώπων τὸ ἔργον νενόμισται πράττεσθαι.

In margine: ἐπιβουλὴ βασιλέως ὑπὸ ῥωμανοῦ ἐπιβουλὴ ... / ... τοῦ μα... / ... θάνατος.

ΒΑΣΙΛΕΙΑ ΡΩΜΑΝΟΥ ΤΟΥ ΠΑΙΔΙΟΥ.

Καὶ ὁ μὲν κωνσταντῖνος τοῦ ἐπικλωσθέντος αὐτῷ μέτρου τοῦ ὁρισθέντος αὐτῷ χρόνου τοῦ βίου, ὡς εἴρηται ἀπεβίω. ὁ υἱὸς δὲ αὐτοῦ ῥωμανὸς, ὃς καὶ παιδίον ἐλέγετο, τὴν αὐταρχίαν ἀνείληπτο, παιδίον δ' ἐλέγετο, οὐχ ὅτι παῖς ὢν τῆς ἡλικίας βασιλείας ἐκράτησεν (ἤδη γὰρ ἀνδράσι συνετέτακτο) ἀλλ' ἀντιδιαστελλόμενος πρὸς τὸν μητροπάτορα ῥωμανὸν, ὃν τὰ πρεσβύτην καὶ ὑπερήλικα. ἢ διὸ ὡς ἄτε παιδίον αὐτὸν καλεῖσθαι, ὅτι καὶ παιδαριώδης ἦν αὐτῷ ἡ ζωὴ, καὶ τοῖς τρόποις αὐτοῦ ἁρμοδιώτατον. ἄρτι δὲ τοῦ σκήπτρου γενόμενος ἐγκρατὴς, τὸν υἱὸν αὐτοῦ τὸν βασίλειον ταινιοῖ, καὶ κλήσεως βασιλικῆς ἀξιοῖ. ἔτεκε καὶ δεύτερον αὐτῷ ἐτέχθη υἱὸς, ἐπὶ τῷ πάππῳ κωνσταντῖνος τῆς κλήσεως λαχών. αὐτὸς μὲν οὖν ὁ ῥωμανὸς τρυφαῖς καὶ ἀσωτίαις ἑαυτὸν ἐκδεδωκὼς, καὶ ἐκδεδιῃτημένῃ ζωῇ, καὶ ἀνδράσι συνῆν διεφθαρμένοις τε καὶ λοιμοῖς, τὴν δὲ τῆς βασιλείας διοίκησιν ὑπὸ τῷ πραιποσίτῳ καὶ παρακοιμωμένῳ τῷ βρίγγᾳ ἰωσὴφ ἐποιεῖτο. πέμπεται δ' οὖν νικηφόρος μάγιστρος ὁ φωκᾶς ὁ δομέστικος τῶν σχολῶν κατὰ τῶν ἐν κρήτῃ σαρακηνῶν σὺν ἀξιομάχῳ στρατῷ, καὶ διὰ ἑπτὰ μηνῶν πολλάκις τοῖς βαρβάροις συμπλακεὶς, καὶ πᾶσαν πολιορκητικὴν τοῖς αὐτῶν ἄστεσιν ἐπαγαγὼν μηχανὴν, ὑφ' ἑαυτῷ αὐτὰ ἐποιήσατο, ἀλλὰ καὶ τὴν αὐτῶν μητρόπολιν τὸν χάνδακα ἐξεπόρθησε, καὶ τὸν ἀρχηγὸν τῶν ἐν κρήτῃ σαρακηνῶν, κουρούπην καλούμενον ἐχειρώσατο, καὶ τὸν μετ' αὐτὸν τῶν ἄλλων προὔχοντα. ὀνομασ-

In margine: διὰ τί λέγεται ὁ ῥωμανὸς παιδίον ... / ὅτι τὰ κατὰ κρήτην ... νικηφόρου.

Legionum Domesticus, rem aliter gessit eontra Orientales Agarenos, qui cum bellum arte Imperatoria peritèque administraret: multas hostibus urbes ademit, & obuia quæque prædatus est. At Imperatoris filius Romanus, * ex imberbi iam uir factus, potestatis ad se pertrahendæ cupiditate, uitæ patris, adiutāte uxore, insidiatur, medicamento purganti, quod Imperator hausturus erat, toxico elàm admisto. Sed eo, cum illi offerendū esset, siue diuinitus, siue fortuitò, maxima ex parte effuso, & exiguo, quod superfuerat, hausto: doloribus quidem, & terroribus periculorū non paruis est conflictatus, uitæ tamen discrimen, quanquā ægrè, euasit. Anno aūt Imperij decimoquinto in Olympi montem egressus est, per speciē sese precibus monachorū contra Agarenos armandi, cū re uera id ageret (ut ferunt) ut Theodorum Cyzicenum cōueniret, cum eoque deliberaret, quomodo Polyeuctum Ecclesia pelleret. Inde male affectus in Regiam rediit, nec multò pòst est defunctus, siue ex intemperie corporis, siue insidijs filij repetitis. Vixit annos quinquaginta quatuor, menses duos. Regnauit cum patre Leone, Alexandro patruo & matre annos tredecim cum Lacapeno tyranno uigintisex postremò solus quindecim: & usque ad mortē anxiè cogitauit de Pontificatu Polyeucto abrogando. Fertur autē, aliquot diebus ante eius obitū, noctu multos lapides cū magno stridore cōtra Imperatorios thalamos esse delatos. Quod cū pluribus noctibus fieret, Imperatorē ratū, eos ab hominibus iaci, multos circū Regiā obseruatores eius rei collocasse: sed neminē esse uisum à quo mitterēt: unde existimatū sit, non fieri illud humanitus.

Bardas Phocas rem bene gerit in Oriente.

Cōstantinus à filio Romano ueneno petitus.

Constantini odiū in Polyeuctū & obitus.

Lapides incerto autore missi.

IMPERIVM ROMANI PVERI.

Constantino ad hunc modū defuncto, Romanus filius eius Imperium capessit, qui puer dicebatū, nō quod puerili ætate regno potitus esset (iā enim uir erat) sed ad discrimē Romani aui materni, senis prouectæ ætatis. Si quis autē eum puerū dictum putet, ob uitā pueriliter actā: id quoque moribus eius est cōuenientissimū. Sceptrum recens adeptus, filium suum Basiliū diademate & Imperatorio nomine ornat. Sed & alter ei filius natus est, cui aui Constantini nomen indidit. Ipse delicijs uoluptatibusque deditus, & luxu diffluens, cū hominibus corruptis & pestilentibus uitā agebat, rerū administratione præposito et cubiculario Bringæ Iosepho mandata. Nicephorus Phocas magister, Domesticus legionum, cum iustis copijs contra Cretenses Saracenos missus, & septem mensibus sæpissimè cum eis congressus, atque omnibus obsidionalibus machinis eorum oppidis admotis, ea subegit: Chandacem Metropolim eorum uastauit: Curupem Ducem eorum, & ab illo autoritate proximum

Cognomentum pueri.

Basilius Cōstantinus.

Nicephorus Cretenses Agarenos domat.

Ac nisi ob cōstantem famam, qua ferebatur, Romanum qui Agarenos Creta pulsurus esset, omnino Romana sceptra arrepturū, Phocas inde reuocatus fuisset: fortaßsis insula penitus subacta Saraceni pulsi essent. Leonem quoque Phocam Nicephori fratrem Romanus cum exercitu contra Chamadam Chalepi dominum misit, qui Barbaro acie superato, magnam partem exercitus eius in prælio cæcidit, reliquam cepit, ipso duce cum admodum paucis ægrè elapso. Leo igitur reuersus honorificè exceptus est, & ob uictoriam triumpho ornatus. Deprehensis consilijs contra Imperatorem initis, autores & conscij cōprehensi, non tamen crudeliter puniti sunt. Phocas autem Nicephorus magisterè Creta reuocatus, non situs est recurrere Byzantium, sed cum omni exercitu in Orientem ire iussus. Nam altera Chamadæ impreßsio expectabatur. Profectus igitur in Syriam, pugnaq; commissa, hostes illustri uictoria superauit, & Berrœa, præter arcem, uastata, maximis diuitijs est potitus, & captiuis penè innumeris, multosq; Christianos uinctos liberauit. Romanus initio Imperij sui, Agarenis omnes prouincias uastantibus, animo æstuans, Phocam Nicephorum rogasse fertur qui fieret, ut Romana res ita pessum iret? cui ille magna libertate respōdit: ideò fit, quod tu imperas, & pater meus exercitum ducit. Nam & tu Imperium perperā administras, & ille pecuniæ studet. Verum si tu uolueris, & animi & res Romanorum mutabuntur. Eam tamen mutationem noli putare fore subitam. His dictis, ab Imperatore iussus rem suo arbitratu administrare: statim disciplinæ militari animum intendit, & legiones ueteres ordinauit, et nouas cōscripsit, omnibusq; bellicis studijs exercuit. Sic cohorubus expletis, & fossoribus armatis, contrariaq; Prophetico dicto ratione inita, falcibus in gladios & aratris in iacula cōflatis, celebres illos triūphos facilè est adeptus. Romanus aūt cum trienniū et ultra Imperio insultasset, ex hac uita deceßsit, uel, ut quidā tradūt, ueneno hausto, uel uoluptatib⁹ & libidine uirib⁹ corporis exhaustis, Imperio utriq; filio & matri eorū Theophanoni relicto. Eo mortuo Nicephorus Phocas ab Imperatrice Byzantiū accersitus, de manubijs Berrœanis triūphauit: unde etiā partem quandā uenerabilis uestis Ioānis Baptistæ apportauit. Bringā aūt cui de cupiditate Imperij suspectus erat, sic elusit. Cum uno famulo uesperi ædes eius ingressus, eoq; in secretū locū ducto, iureiurādo, & diris execrationibus confirmauit, solitariæ uitæ se longo iam tēpore fuisse cupidißsimū, eamq; iampridem fuisse amplexurū, nisi Imperatorū se beneuolentia remorata esset. Non igitur frustra suspectū esse debere de regni cupiditate. Se enim iamiam rerum administratione cessurum, ea uerba confirmabat, ostensa lacerna è

Leo Phocas Orientales Agarenos profligat.

Coniuratio clementer uindicata.

Nicephorus Berrœā capit.

Nicephori industria in instaurāda Republica.

Romani obitus.

Nicephorus regni cupiditatē callide dißimulat.

μᾶλλον δὲ ἀληθῆ. καὶ εἰ μὴ διὰ φήμην κρατοῦσαν, ὡς ὁ τῆς κρήτης τοὺς σαρακηνοὺς ἐξελάσων ῥωμανὸς, τῆς ῥωμαϊκῆς ἐκ παντὸς τρόπου ἐπιλήψεται σκήπτρων, ἐκεῖθεν ὁ φωκᾶς μετεκέκλητο, ἴσχε τέλεον ἂν ἡ νῆσος ῥωμαίοις ὑποπεπτωκυῖα, καὶ οἱ σαρακηνοὶ ταύτης ἂν ἀπηλάθησαν. καὶ τὸν λέοντα δὲ τὸν φωκᾶν τὸν τοῦ νικηφόρου ὁμαίμονα κατὰ τοῦ χαμαδλᾶ, ὃς τοῦ χάλεπ ἐκράτει, ὁ ῥωμανὸς σὺν δυνάμει ἀπέστειλε, καὶ ὃς δὴ τῷ χαμαδλᾷ συμμίξας, ὑπερέσχε κατὰ κράτος τοῦ βαρβάρου. ὡς τὸ πολὺ μὲν τοῦ αὐτοῦ στρατεύματος ἐν τῇ μάχῃ πεσεῖν, τὸ δ' ἄλλο γενέσθαι ἁλώσιμον, αὐτὸν δὲ τὸν στρατάρχην μόλις σὺν εὐαριθμήτοις δυνηθῆναι φυγεῖν. καὶ ὁ μὲν λέων ἐπανελθὼν, καὶ μεγαλοπρεπῶς ὑπεδέχθη, καὶ θριαμβεύσας τετίμητο. μελέτη δέ τινων κατὰ τοῦ αὐτοκράτορος ἐφωράθη, καὶ οἱ ταύτην συρράψαντες, καὶ οἱ τούτων συνίστορες κατεσχέθησαν, πλὴν οὐκ ἀπηνῶς ἐκολάσθησαν. ὁ μάγιστρος δὲ νικηφόρος ὁ φωκᾶς ἐκ τῆς κρήτης μετακληθεὶς, οὐκ εἰάθη πρὸς τὸ βυζάντιον ἐπαναδραμεῖν, ἀλλ' ἐκελεύσθη πρὸς τὴν ἑῴαν μετὰ πάσης χωρῆσαι τῆς στρατιᾶς. ὁ γὰρ χαμαδλᾶς αὖθις κατὰ ῥωμαίων χωρήσειν ἠλπίζετο. ἐν οὖν συρίᾳ γενόμενος ὁ φωκᾶς, καὶ τούτῳ κατὰ συστάδην μαχεσάμενος, καὶ ἐνίκησε περιφανῶς, καὶ τὴν βέρροιαν, ἄνευ τῆς ἀκροπόλεως, ἐξεπόρθησε, καὶ πλοῦτον ἐκεῖθεν πλεῖστον συνήγαγε, καὶ αἰχμαλώτους ἔλαβεν οὐκ εὐαριθμήτους, καὶ πολλοὺς δεσμίους χριστιανοὺς τῆς αἰχμαλωσίας ἀπέλυσε. λέγεται γοῦν ἐν ἀρχῇ τῆς αὐταρχίας ὄντα τὸν ῥωμανὸν, τῶν ἀγαρηνῶν πᾶσαν χώραν ληϊζομένων, εἰς ἀχρείαν περιστῆναι τὸν αὐτοκράτορα, καὶ τὸν φωκᾶν νικηφόρον προσκαλεσάμενον, ἐρέσθαι τοῦτον, πῶς εἰς τὸ κάτω τοῖς ῥωμαίοις περιενεχθῇ τὰ πράγματα. τὸν δὲ μετὰ παρρησίας ἐλευθέρῳ φάναι φρονήματι, διότι σὺ μὲν βασιλεύεις, ὁ δ' ἐμὸς πατὴρ στρατηγεῖ, σὺ μὲν τῆς ἀρχῆς οὐχ ὡς δέον ἐπιμελούμενος, ἐκεῖνος δὲ φιλοχρηματῶν. εἰ βούλει δὲ, μεταβληθήσονται ῥωμαίοις καὶ τὰ φρονήματα καὶ τὰ πράγματα. πλὴν μὴ ἀθρόαν οἴου γενέσθαι τὴν μεταβολήν. ὁ δὲ βασιλεὺς τοῦτ' ἀκούσας, ἐπέτρεψεν αὐτῷ μεταχειρίσασθαι τὴν πρᾶξιν ὡς βούλεται, ὁ δὲ αὐτίκα ἐπεμελεῖτο τοῦ ὁπλιτικοῦ, τὸ μὲν ὂν διατάσσων, τὸ δ' ἄλλο ἐγκαταλέγων, καὶ γυμνάζων εἰς ἅπαν στρατιωτικὸν ἐπιτήδευμα. καὶ οὕτω τὰς τάξεις ἀναπληρώσας, καὶ καθοπλίσας τοὺς βωλοκόπους, καὶ τὸ προφητικὸν αὐτοῖς ἀντίστροφον θέμενος, εἰς μαχαίρας αὐτοῖς δηλαδὴ συγκόψας τὰ δρέπανα, καὶ εἰς ζιβύνας τὰ ἄροτρα, σὺν αὐτοῖς τὰ θρυλλούμενα ῥᾳδίως ἔστησε τρόπαια. τρισὶ δ' ἔτεσι διαπρέψας τῇ βασιλείᾳ ὁ ῥωμανὸς, καὶ μικρόν τι ἐπέκεινα, μετέστη τῆς ἐντεῦθεν ζωῆς, ἢ φαρμάκῳ δηλητηρίῳ κατά τινας, ἢ φιληδονίαις καὶ μίξεσιν ἑαυτὸν κατατείνας, καὶ ταύταις ἐκδαπανήσας τὴν ἰσχὺν τῆς σαρκὸς, τὴν βασιλείαν λιπὼν τοῖς υἱοῖς ἀμφοῖν καὶ τῇ τούτων μητρὶ τῇ θεοφανοῖ. τοῦ δὲ ῥωμανοῦ θανόντος ὁ φωκᾶς νικηφόρος κληθεὶς τῆς βασιλίσσης ἧκεν εἰς τὸ βυζάντιον, καὶ κατήγαγε θρίαμβον ἐπὶ τοῖς ἐκ βερροίας κεκομισμένοις λαφύροις, ὅθεν καί τι μέρος τῆς ἱερᾶς ἐσθῆτος τοῦ βαπτιστοῦ ἰωάννου ἐκόμισε. τὸν βρίγγαν δὲ ὑφορώμενον αὐτὸν, ὡς βασιλειῶντα, κατεσοφίσατο οὕτω. σὺν ἑνὶ τῶν θεραπόντων ἑσπέρας κατέλαβε τὴν κατοικίαν αὐτοῦ, καὶ ἰδιάσας τὸν βρίγγαν παραλαβὼν, δι' ὅρκων ἔφασκεν αὐτῷ πρὸ μακροῦ τῆς μοναδικῆς βιοτῆς ἐρᾶν, ὅρκοις ἐβεβαίου καὶ παλαμναιοτάταις ἀραῖς, καὶ πάλαι ἂν, ἔλεγε, πρὸς ταύτην ὡρμήκειν, εἰ μή με τῶν βασιλέων ἡ χρηστὴ πρός με ἐπέσχε διάθεσις. μὴ γοῦν μάτην ὑπόπτευε κατ' ἐμοῦ, ὡς τῆς βασιλείας ἐρῶντος. ἐγὼ γὰρ ὅσον οὔπω καὶ τῶν πραγμάτων ἐκστήσομαι, καὶ τοῖς λόγοις πίστιν ἐδίδου, δείξας αὐτῷ ῥάκος τι τρίχινον

ὅτι ὁ φωκᾶς λέων ὁ τοῦ νικηφόρου ἀδελφὸς τὸν χαμαδλᾶν πολεμήσας ἐνίκησεν.

ὅτι αὖθις ὁ νικηφόρος τὸν χαμαδλᾶν συμβαλὼν ἐν συρίᾳ ἐνίκησεν αὐτὸν καὶ τὸ χάλεπ ἐπόρθησεν.

τελευτὴ τοῦ βασιλέως ῥωμανοῦ.

ὅπως ὁ φωκᾶς βασιλεῦσαι ὑποπτευόμενος τὸν βρίγγαν παρακρουσάμενος σοφίζεται.

τρίχινον ὁ γέρων ἐνεδέδυτο, τῇ δ' ἔξωθεν αὐτοῦ περιβολῇ καλυπτόμενον. τούτοις τοῖς λόγοις, καὶ τῷ τριχίνῳ ἐνδύματι τὸν παρακοιμώμενον συναρπάσας, ἔσχε τὸν πόδα αὐτοῦ περικυλινδούμενον ὁ φωκᾶς, καὶ συγγνώμην αἰτοῦντα. καὶ ὁ Βασιλεὺς δὲ στέφανος ὁ τοῦ λακαπηνοῦ παῖς ἐν Λέσβῳ τηρούμενος περὶ μήθυμναν, ὕποπτος ὤν. αἰφνίδιον δὲ καὶ οὐδεμιᾶς φανερᾶς αἰτίας θανὼν ὑποψίαν δέδωκε, παρὰ τῆς βασιλίσσης κατεργασθῆναι θεοφανοῦς. ὁ μέντοι τῶν Βουλγάρων ἀρχηγὸς πέτρος τῆς γυναικὸς αὐτοῦ θανούσης, τὰς πρὸς ῥωμαίους ἀνακαινίζων σπονδὰς, ὁμήρας παρέσχε δύο υἱέας αὐτοῦ Βορίσην καὶ ῥωμανόν, καὶ ὁ μὲν ἀπεβίω, οἱ δ' ἐκείνου παῖδες ἀπελθεῖν ἀφέθησαν εἰς τὰ οἰκεῖα, καὶ τὴν πατρῴαν ἀρχὴν κατακτήσασθαι. ἑνὸς γὰρ τῶν κομήτων τῶν ἐν Βουλγάροις τέσσαρες παῖδες, δαβίδ, καὶ μωσῆς, καὶ ἀαρὼν καὶ σαμουὴλ ἐπαναστήσαντες, τοὺς Βουλγάρους ἀνίστων. τοῦ φωκᾶ δὲ νικηφόρου εἰς τὸν οἶκον ἑαυτοῦ τὸν ἐν καππαδοκίᾳ ἐκδημήσαντος. ὁ παρακοιμώμενος μετεμέλετο, ὅτι παρεχώρησεν αὐτῷ τῆς ἐπ' οἴκου ἐκδημίας. καὶ ἦν αὐτῷ διὰ φροντίδος ὅπως, τὸν ἄνδρα ἐκσκευάσασθαι. γράφει γοῦν πρὸς ἰωάννην μάγιστρον τὸν τζιμισκῆν, ἄνδρα γενναῖον καὶ ἐν ἀριστεύμασι διαβόητον, στρατηγοῦντα τότε τοῦ θέματος τῶν ἀνατολικῶν, καὶ πρὸς τὸν μάγιστρον ῥωμανὸν τὸν κουρκούαν, ἐπίσημον ὄντα κἀκεῖνον ἐν στρατηγήμασι, καὶ τῆς ἀνατολῆς τότε στρατηλατοῦντα, ὡς εἰ τὸν φωκᾶν κατασχόντες ἢ μοναχὸν ἀποκείρωσιν, ἢ ἄλλως ἐκ μέσου ποιήσωσι, τὴν μὲν τῶν σχολῶν τῆς ἀνατολῆς ἀρχὴν λήψεται ὁ ἰωάννης, καὶ δομέστικος ἔσται τῶν ἑῴων δυνάμεων, ὁ ῥωμανὸς δὲ τῆς δύσεως κληθήσεται δομέστικος. ἐπεὶ δὲ τὰ γράμματα καὶ ἀμφοῖν ἐνεχειρίσθησαν, καὶ ἄμφω ταῦτα δεικνύουσι τῷ φωκᾷ, καὶ πρὸς ἀποστασίαν τὸν ἄνδρα ἠρέθιζον. τοῦ δὲ ἀνανευομένου πρὸς τὴν ἐγχείρησιν, εἴτε πλαττομένου τοῦτο εἴτε καὶ ἀληθεύοντος, ἐκεῖνοι τὰ ξίφη γυμνώσαντες, φόνον ἠπείλουν αὐτῷ, εἰ μὴ πείθοιτο. καὶ ὡς τῇ βίᾳ τάχα νικώμενος, ἐδέξατο τὴν ἀνάρρησιν, καὶ ὑπὸ πάντων τῶν ἑῴων ταγμάτων αὐτοκράτωρ εὐφημίσθη ῥωμαίων. λέγεται δὲ ὅτι οὐ μόνον ἤρα τῆς βασιλείας, ἀλλ' οὐχ ἧττον τῆς θεοφανοῦς, καὶ ὡς ἐνέτυχε ταύτῃ διάγων περὶ τὴν μεγάλην πόλιν.

ὅτι θανόντος τῶν Βουλγάρων ἄρχοντος πέτρου οἱ βασιλόπαιδες ἀνεχώρησαν.

ὅπως ὁ φωκᾶς βασιλεὺς ἀνερρήθη.

ΒΑΣΙΛΕΙΑ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΦΩΚΑ.

ΑΡτι δὲ τῆς φήμης εἰς τὸ Βυζάντιον κηρυξάσης τὰ περὶ τὸν φωκᾶν, ὁ παρακοιμώμενος ἰωσὴφ ἠγωνία. ὁ μέντοι τοῦ τυραννοῦντος πατὴρ ὁ φωκᾶς ὁ βάρδας τῇ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ προσέφυγεν, ὁ τοῦ νικηφόρου δὲ σύγγονος λέων ἴσχυσεν ἐκδρᾶναι καὶ ἑνωθῆναι τῷ ἀδελφῷ. τοῦτο τὸν παρακοιμώμενον εἰς ἀμηχανίαν πολλὴν περιέστησε, δυσπρόσιτος δὲ ὤν,
» πᾶσιν ἦν μισητὸς, ὅθεν ἅπαντες ἔχαιρον, εἰ περισταίη τὰ
» τῆς Βασιλείας εἰς ἕτερον, καὶ περιαιρεθείη οὗτος ἐκ μέσου,
» διὸ καὶ συνέτρεχον ἅπαντες εἰς τὸ μέγα τέμενος τοῦ θεοῦ.
» ὅπερ μαθὼν ὁ Βρίγγας, δέον ἠπιωτέροις λόγοις τὸ πλῆθος μετελθόντα τὴν τούτου καταμαλάξαι ὁρμήν, ὁ δὲ ἀπειλαῖς μᾶλλον αὐτὸ καὶ τραχύτησιν ἐξετράχυνεν, εἰπών, ὡς ἐγὼ καταπαύσω αὐτοῖς τὰ ὁρμήματα, οἰκονομήσας ὠνεῖσθαι αὐτοὺς σῖτον εἰς τὸν ἑαυτοῦ κόλπον φέρειν τὸ τοῦ νομίσματος ἕκαστον. τοῦτο τὸ πλῆθος ἀκηκοὸς ἐξεμάνη. ἀπεχθῶς δὲ πρὸς τοῦτον διὰ τὸν Βρίγγαν ἔχων ὁ πρὶν παρακοιμώμενος ὁ βασίλειος, καὶ θεραπείαν ἔχων περὶ ἑαυτὸν δαψιλῆ, ἑσπέρας ἤδη καταλαβούσης, τοὺς ἑαυτοῦ θεράποντας καθοπλίσας, εἰς διάφορα μέρη τῆς πόλεως ἐξαπέστειλε, καὶ πολλὰς οἰκίας ἐκεῖνοι πλήθει ἀστικῶν ἑνωθέντες, τῶν ἀντιπραττόντων κατέστρεψαν, καὶ αὐτοῦ δὴ τοῦ Βρίγγα, καὶ ἄνθρωποι δὲ πολλοὶ ἀνῃρέθησαν. ταῦ-

διὰ ὁ Βρίγγας ἀπήχθετο τῷ δήμῳ πολύ.

ὅτι ὁ παρακοιμώμενος βασίλειος λαὸν ἀγείρας τὴν τοῦ Βρίγγα οἰκίαν κατέστρεψε καὶ ἄλλων.

pilis contexta, quam nudo corpore cæterisue stibus tectam gestabat. Ea oratione & lacerna effecit, ut cubicularius pedibus eius aduolutus, ueniam peteret. Stephanus porrò Imperator, Lacapeni filius, qui Methymnæ Lesbi custodiebatur, & ipse suspectus erat: subitò nullaq; causa mortuus, ab Imperatrice Theophanone sublatus esse credebatur. At Petrus Bulgarorum princeps, uxore sua mortua, fœdus renouaturus, filios Borisem & Romanū Byzantium obsides misit: quibus post illius obitum, ad sua se recipere est permissum, & patrium principatum firmare. Nam Comitis cuiusdam Bulgarici quatuor filij, Dauid, Moses, Aaron & Samuel, Bulgaros ad defectionem solicitabant. Cum autem Phocas Nicephorus domum se in Cappadociam contulisset: Cubicularium id ei concessisse pœnituit. De eo igitur amouendo solicitus, scribit ad Ioannem magistrum, & ad Romanum magistrum Cuscuam, utrunq; illustrem in re militari uirum, & Orientis ducem: si Phocam cōpsehensum, uel Monachum totonderint, uel alias è medio sustulerint: Ioannem imperio legionum orientis accepto, Domesticum fore Orientaliū copiarum: Romanum uerò Domesticum Occidentis designatum iri. Eas literas ad se perlatas uterq; Phocæ ostendit, & ad defectionem uirum extimulant. Tergiuersanti, & siue ex animo, siue simulatè detrectanti, strictis gladijs necem minitantur, nisi obtemperet. Ea igitur necessitate uictus, nō sepugnauit, quo minus ab omnibus Orientalibus copijs Imperator Romanorum appellaretur. Fertur autem non Imperij duntaxat, sed & Theophanonis amore in primis flagrasse, & dum in magna urbe degeret, cum ea consueuisse.

Stephani interitus.

Bulgarici principes.

Nicephorus Imperator Romanorum fieri cogitur.

IMPERIVM NICEPHORI Phocæ.

PHocæ rebus in urbe recens nunciatis, cubicularius Iosephus angebatur, Nicephori pater Phocas Bardas, in magnam Dei Ecclesiam confugit, cuius alter filius Leo fuga elapsus, cum fratre se coniunxit. Hæc cubicularium animi ualde dubium seddiderunt, qui ob morositatem omnibus adeò inuisus erat, ut optarent, eum, alio serū potito, è medio tolli, eaq; de causa omnes in magnū Dei templū concurrerūt. » Quo Bringas cognito, cū blādis uerbis demulcendus esset multitudinis impetus, cam minis » & sæuitia magis etiā exasperauit, cum diceret, » se motum illum oppressurū, qui ordinasset, ut singuli empti frumēti preciū, in suū sinū afferrent. Quo audito, populi furor uehemētius exarsit: & Basilius quondā cubicularius, Bringæ infensus, cum magnū comitatū circū se haberet, ubi aduesperasset, ministros suos armatos in diuersa urbis loca dimisit, q urbanæ multitudini cōiuncti, aduersariorū ædes, & ipsius etiā Bringæ euerterūt, multis quoq; interfectis.

Tumultus in urbe ob Nicephorū Imperatorē designatum.

Quæ dum facerent, Nicephorum passim Imperatorem proclamabant. Vnde fortuna Bardæ & Bringæ commutata est. Nam ille recepto animo Ecclesiam egressus, hic supplex & miserabilis ingressus est. At Basilius cubicularius cum suis classe instructa, ipsa etiam Imperatoria naue adducta, Chrysopolim profecti,

Nicephori coronatio & nuptiæ.

Nicephorus indein Hebdomum, ex Hebdomo, uniuerso populo prosequente, in magnam Ecclesiã perduxerunt, ubi à Patriarcha Polyeucto coronatus est. Cæterum Theophano Imperatrix statim ex Regia pulsa, in Petriũ abducitur, & Iosephus cubicularius in Paphlagoniam relegatus, biennio pòst moritur. Bardas uerò Nicephori pater, Cæsar salutatur, & paucis diebus elapsis, Theophano Imperatorin ubit. qui eum ex eo tẽpore, quo filius suus Bardas inter colludendũ à patrueli Pleuse ea sa hasta interfectus fuerat, carnibus abstinuisset, tum iis denuo uesci cœpit.

secundæ nuptiæ ignominiosæ.

Cum aũt Patriarcha in noua Regiæ Ecclesia nuptialia sacra perageret, & Imperator in sacrarij aditu iam cancellis appropinquaret: nõ passus eum Patriarcha de more secum ingredi, dixit, Nõ debere eam confidentẽ esse, ut sacrariũ intraret, nisi prius pœnas subiret repetiti matrimonij.

Cõpatrisitas matrimonij obstaculum.

Eam rem ægrè ferens Imperator, Patriarchæ iratus fuit. Sed deinde rumore uulgato, eum etiã Theophanonis liberos è sacro baptismate suscepisse: ab eodem omni consecrato solo est prohibitus, postulante, ut aut diuortium faceret, aut procul à sacris facesseret. Verum ille Theophanone nõ abstinuit, flagrante adhuc amore, sed quæstionẽ ad summos sacerdotes, & Senatus principes retulit: qui responderũt, Eum canonem quià Copronymo homine impio constitutus esset, ualere nõ oportere, scriptoq; ratum eius matrimonij habuerunt. Sed Patriarcha suum propositum urgebat, donec Imperatoris pater Bardas Cæsar iureiurando negauit, Theophanonis liberos ab illo ex baptismate susceptos esse: & Regiæ Protopapa Stylianus, qui eum rumorẽ princeps uulgasse ferebatur, se ea de re neq; scire quicquã, nec dixisse ad quenquã, in cõcilio iurauit. His demũ factis Patriarcha Nicephorũ recepit.

Manuel cæditur à Siciliensibus Agarenis.

Cum aũt Sicilienses Sarraceni ex antiquis pactis tributum à Romanis postularẽt: Nicephorus nõ ferendum esse ratus, si se imperante Romani illis essent tributarij: Manuelẽ patricium, patrui sui Leonis nothũ filiũ, qui Leo eũ sub priore Romano Legionũ domesticus esset, ob regnũ affectũ excæcatus fuit, cõtra eos misit. Iscũ in Siciliam cum illustri classe appulisset: nõ modò nihil memorabile gessit, sed etiã ex imperitia, & iuuenili ferocia uel potius temeritate, grauiter impegit, ipse cũ omni exercitu cæsus. Ac in Sicilia res ita actæ sunt. Cõtra Ciliciã aũt, quã & ipsam Agareni tenebãt, magistrũ Ioanẽ Zimiscem Oriẽns domesticũ designatũ, ablegauit.

Zimisces rẽ benè gerit in Cilicia.

Qui cũ Adanã uenisset, de eius loci Agarenis

τὰ δ' ἐπείχειν, καὶ ἅμα νικηφόρον εὐφήμουν πανταχοῦ αὐτοκράτορα. ἐντεῦθεν ἀμείβονται τὰ τῆς τύχης τοῦ βάρδα φωκᾶ καὶ τοῦ βρίγγα. καὶ ὁ μὲν τεθαῤῥηκὼς ἐξῆλθε τῆς ἐκκλησίας, ὁ δὲ βρίγγας εἰς αὐτὴν ἱκέτης εἰσῆλθεν ἐλεεινός. ὁ δὲ παρακοιμώμενος βασίλειος σὺν τοῖς περὶ αὐτὸν βάρεσιν ἐξοπλισαμένοις, καὶ αὐτὴν τὴν βασίλειον. καὶ σὺν αὐτοῖς ἐν χρυσοπόλει γενόμενοι, τὸν νικηφόρον ἐκεῖθεν εἰς τὸ ἕβδομον ἄγουσι κἀκεῖθεν σὺν προόδῳ δημοτελεῖ εἰς τὴν μεγάλην ἐκκλησίαν ἀφίκοντο, καὶ ταινιοῖ τὸν ἄνδρα ὁ πατριάρχης πολύευκτος.

Ἐστέφθη παρὰ τοῦ πατριάρχου ὁ φωκᾶς.

ἡ δὲ βασιλὶς θεοφανὼ αὐτίκα τῶν ἀνακτόρων ἐξωθεῖσα, εἰς τὸ πετρίον ἀπάγεται, ὁ δὲ παρακοιμώμενος ἰωσὴφ εἰς παφλαγονίαν περιορίζεται, καὶ μετὰ δύο ἐνιαυτοὺς ἀπεβίω. βάρδας δὲ ὁ τοῦ νικηφόρου πατὴρ καίσαρ ἐτετίμητο. μετ' ὀλίγας δὲ ἡμέρας ἑαυτῷ τὴν θεοφανὼ συνοικίζει ὁ βασιλεὺς καὶ κρεῶν ἀπεχόμενος ἐξ ὅτε βάρδας ὁ παῖς αὐτοῦ παρὰ τοῦ οἰκείου ἀνεψιοῦ τοῦ πλεύση προσπαίζων δόρατι παρ' ἐκείνου βληθεὶς ἄκοντος τέθνηκεν. ἔκτοτε καὶ τούτοις ἐνετρύφα.

Ὅτι συνεζεύγη ὁ βασιλεὺς τῇ θεοφανοῖ.

ἐν δὲ τῇ ἐν τοῖς βασιλείοις νέᾳ ἐκκλησίᾳ τῆς ἱερολογίας τῆς γαμικῆς τελουμένης παρὰ πολυεύκτου τοῦ πατριάρχου, ἐν τῇ εἰσόδῳ τῇ πρὸς τὸ θυσιαστήριον ἤδη τοῖς κιγκλίσιν ἐγγίσας ὁ βασιλεὺς, ἐκωλύθη παρὰ τοῦ πατριάρχου συνεισελθεῖν, ὡς ἔθος αὐτῷ, φήσαντος, εἰ μὴ πρότερον ἐπιτιμίοις δουλεύσει τῶν διγαμούντων, μὴ δεῖν αὐτὸν τῇ πρὸς τὸ θυσιαστήριον εἰσόδῳ κατατολμᾶν. ὅπερ δυσφόρως ἤνεγκεν ὁ κρατῶν, καὶ ἐμήνια τῷ πατριάρχῃ.

Ὅτι ἐκωλύθη ὁ βασιλεὺς παρὰ τοῦ πατριάρχου εἰσελθεῖν τοῦ θυσιαστηρίου.

ἐγένετο δέ τις μετὰ ταῦτα καὶ λόγος, δι' ὃν ἀπεῖναι αὐτὸν ὅλως τοῦ ἱεροῦ δαπέδου συνεχώρει ὁ πατριάρχης. ἐλέγετο γὰρ ἀνάδοχος γενέσθαι ὁ νικηφόρος τῶν τῆς θεοφανοῦς παίδων ἐκ τοῦ ἁγίου βαπτίσματος, καὶ ἀξιοῖ ὁ πατριάρχης, ἢ διαζυγῆναι τῆς βασιλίσσης, ἢ πόῤῥω εἶναι τῶν ἱερῶν. ἀλλ' ἐκεῖνος τῆς θεοφανοῦς οὐκ ἀπείχετο. ἔτι γὰρ ὁ ταύτης ἔρως ἐφλέγμαινε, κοινοῦται δὲ τοῖς πρώτοις τῶν ἀρχιερέων καὶ τοῖς τῆς γερουσίας λογιωτέροις τὸ ζήτημα. οἱ δὲ τὸν περὶ τούτου κανόνα τῷ κοπρωνύμῳ ἐπιγραφόμενον, μὴ δεῖν, ἔλεγον, ἐν ἐῤῥωμένοις λογίζεσθαι τοιοῦδε ἀνδρὸς νομοθέτημα, καὶ πάντες αὐτῷ ἔγγραφον παρέσχον τὴν περὶ τούτου συγχώρησιν. ὁ δέ γε πατριάρχης ὑπὲρ τῆς οἰκείας ἐνστάσεως εἴχετο, μέχρις οὗ ὁ τοῦ βασιλέως πατὴρ ὁ καῖσαρ βάρδας ἐνόρκως αὐτῷ πίστιν παρέσχετο, ὡς οὐ γέγονεν ὁ βασιλεὺς τῶν τῆς θεοφανοῦς παίδων ἀνάδοχος, καὶ ὁ πρωτοπαπᾶς δὲ τῶν βασιλείων στυλιανὸς, ὃς ἐλέγετο πρῶτος κῆρυξ τῆς φήμης ταύτης γενέσθαι, μηδὲν συνειδέναι, μήτ' ἰδεῖν, μήτ' εἰπεῖν περὶ τούτου πρός τινας, ἐξωμόσατο. τούτων δὲ γενομένων ἐδέξατο τὸν νικηφόρον ὁ πατριάρχης.

Περὶ τῶν ἐν σικελίᾳ ἀγαρηνῶν.

τῶν δ' ἐν σικελίᾳ σαρακηνῶν δασμὸν πραττόντων ἐκ τῶν ῥωμαίων ἐκ παλαιῶν συνθηκῶν, ὁ βασιλεὺς ὅπως οὐκ ἀνασχετὸν ἡγεῖτο αὐτοῦ βασιλεύοντος τοῖς ἀγαρηνοῖς ῥωμαίους φορολογεῖσθαι. διὸ κατ' αὐτῶν ἐκπέμπει μανουὴλ πατρίκιον, νόθον ὄντα παῖδα τοῦ πατραδέλφου αὐτοῦ λέοντος, ὃς δομέστικος γεγονὼς τῶν σχολῶν, ἐπὶ ῥωμανοῦ τοῦ γέροντος τυραννίδι ἐπιχειρήσας, ἐπηρώθη τοὺς ὀφθαλμούς. ὅτε δὴ ὁ μανουὴλ σὺν ναυτικῷ περιφανεῖ τῇ σικελίᾳ προσορμισάμενος, οὐ μόνον οὐδὲν κατόρθωσεν, ἀλλὰ καὶ λίαν ἐσφάλη ἐξ ἀπειρίας καὶ νεωτερικῆς εὐψυχίας ἢ μᾶλλον ἀτασθαλίας. αὐτός τε γὰρ διώλετο καὶ ἅπαν τὸ σὺν αὐτῷ στρατιωτικόν, τὰ μὲν τῇ σικελίᾳ συνέκυρσεν οὕτω, τῇ κιλικίᾳ δὲ (καὶ ταύτης δὲ οἱ ἀγαρηνοὶ ἐκράτουν) ἐκπέμπει ὁ βασιλεὺς ἰωάννην μάγιστρον τὸν τζιμισκῆν, τῶν ἀνατολικῶν προκεχειρισμένον δομέστικον.

Ὅτι ὁ τζιμισκῆς κατετροπώσατο τοὺς ἐν κιλικίᾳ ἀγαρηνούς.

ὁ δὲ πρὸς ἄδανα ἀφικόμενος, τοῖς ἐν ταύτῃ συμπλακεὶς ἀγαρηνοῖς, καὶ κατ' αὐτῶν ἐστήσατο τρόπαιον.

τρόπαιον. κἀντεῦθεν μέγαν αὐτὸν ἡ πρότερον ἐν στρατηγίαις φήμη ἐκήρυττεν, ἀλλ᾽ ἤδη δευτέρου γεγονὼς τοῦ αὐτοῦ ὁ νικηφόρος ἐν τῇ ἀρχῇ, αὐτὸς ἐξεστράτευσε κατὰ Κιλικίας μετὰ βαρείας χειρὸς, καὶ τὴν θεοφανὼ μετὰ τῶν παίδων αὐτῆς ἐπαγόμενος, καὶ τὴν μὲν πρὸ τῆς Κιλικίας τὸ δρίζιβιον (φρούριον δὲ τοῦτο) κατέλιπεν, αὐτὸς δὲ τῇ Κιλικίᾳ προσβαλὼν, αἱρεῖ τὴν ἀνάβαρζαν, ῥῶσόν τε καὶ ἄδανα (πόλεις δ᾽ αὗται Κιλίκων) ἀλλὰ μὴν καὶ φρούρια πλείονα. τῇ δέ γε ταρσῷ καὶ τῇ μοψουεστίᾳ οὐκ ἔκρινε προσβαλεῖν διὰ τὸν χειμῶνα, ἢ τοῦ ἔρωτος αὐτὸν τῆς θεοφανοῦς πρὸς ἑαυτὴν ἀνθέλκοντος. ἀπῄει γὰρ σὺν αὐτῇ πρὸς καππαδοκίαν, κἀκεῖθεν τοῦ ἔαρος ἀρχομένου εἰς Κιλικίαν αὖθις ὑπέστρεψε, καὶ αὐτὸς μὲν τὴν μοψουεστίαν ἐπολιόρκει, τῇ ταρσῷ δὲ τὸν ἀδελφὸν ἐπιστήσας λέοντα. τῆς δὲ μοψουεστίας μέσον ποταμῷ τῷ σάρῳ διαιρουμένης, τὸ μὲν ἓν μέρος ταύτης ἑάλω πολιορκούμενον, οἱ δ᾽ ἐν τούτῳ ἀγαρηνοὶ πρὸς τὸ λοιπὸν μετεχώρησαν τῷ καταλειφθέντι πῦρ ἐμβαλόντες. εἶτα καὶ τὸ ἕτερον ἑάλωκε, καὶ οὐδεὶς ἐκεῖθεν διέδρα. τὴν δὲ τῆς μοψουεστίας ἐκπόρθησιν οἱ ἐν τῇ ταρσῷ μαθόντες, τὸν βασιλέα ἐπεκαλέσαντο, καὶ τὴν πόλιν παραδεδώκασιν. ἡμερῶν δὲ τριῶν διελθουσῶν ὁ στόλος ὁ ἐξ αἰγύπτου τῇ ταρσῷ βοηθήσων κατέπλευσε· προσοκεῖλαι δὲ τῇ χέρσῳ οὐ συγκεχώρηται, διὸ καὶ αὖθις ἀπέπλευσεν, ἀνέμων δὲ βιαίαις πνοιαῖς περιπεσὼν καὶ τριήρεσι ῥωμαϊκαῖς ὁ πλείων ἀπώλετο. ὁ δὲ βασιλεὺς ἐπανελθὼν εἰς τὴν κωνσταντίνου, τὰς τῆς ταρσοῦ πύλας καὶ τὰς τῆς μοψουεστίας ἐπαγόμενος, ἐκ χαλκοῦ πεποιημένας, καὶ τέχνης διαφόρου ἀκριβῶς, ἃς κόσμῳ ἄλλῳ κοσμήσας, τὰς μὲν κατὰ τὴν ἀκρόπολιν ἑῴῳ τείχει προσήρμοσε, τὰς δὲ τῷ τείχει τῷ δυτικῷ. καὶ τῷ θεῷ δὲ ἀπαρχὰς οἷον τῆς αὐτοῦ στρατείας ἐκδέδωκε, τοὺς τιμίους σταυρούς, οὓς οἱ βάρβαροι ἔλαβον, ὁπηνίκα ὁ συμπιώτης τῶν σχολῶν δομέστικος ὢν καὶ πολιορκῶν τὴν ταρσὸν, ἐκ κακοβουλίας δυστυχήματι περιέπεσε, τῷ θείῳ τεμένει τῆς τοῦ θεοῦ λόγου σοφίας ἀνέθετο, καὶ τὴν κύπρον δὲ παρὰ ἀγαρηνῶν κατεχομένην, αὖθις τῇ ῥωμαίων ἀρχῇ προσεκτήσατο. εἶτα τῇ συρίᾳ ἐπῆλθε, καὶ πόλεις ἐκπορθήσας, καὶ χώρας ὅλας πρὸς τῷ λιβάνῳ καὶ τῇ παραλίᾳ κειμένας, ἦλθεν εἰς ἀντιόχειαν. τῶν δ᾽ ἀντιοχέων καρτερῶς ἀνθισταμένων, ἐρρωμενέστερον ἔτι δὲ καὶ τῶν ἐπιτηδείων ἐπιλιπόντων τοῖς στρατιώταις, καὶ τῆς λάμψεως ἐξ ὑετῶν γεγονότος πολλοῦ, ἀπέστη τῆς πολιορκίας, καὶ πρὸς τὴν τῶν πόλεων βασιλεύουσαν ἐπανελήλυθεν, ἐπαγόμενος καὶ τὸ τοῦ σωτῆρος χριστοῦ ἱερὸν καὶ θεῖον ἐκτύπωμα, ὃ ἐν κεραμίῳ εὕρηται κατὰ τὴν ἱεράπολιν τὴν τῆς συρίας, καὶ βόστρυχον τοῦ βαπτιστοῦ ἰωάννου αἵματι πεφυρμένον. ἐν μὲν οὖν στρατηγίαις τοιοῦτος ἐγεγόνει ὁ αὐτοκράτωρ, καὶ ἐπὶ μακρὸν ηὔξηκε ῥωμαίοις τὰ ὅρια, ἐπὶ τῆς αὐτοῦ ἡγεμονίας ἐξέτεινε τὰ χωρίσματα. ἀλλὰ δι᾽ αἰτίας τινὰς πᾶσιν ἦν ἀπεχθής. αἱ δ᾽ αἰτίαι, ὅτι τοὺς σὺν αὐτῷ τῇ ἀποστασίᾳ συνελθόντας στρατιώτας κακῶς διατιθέντας οὐδ᾽ εἰς νοῦν ἐτίθετο, τῶν κακουμένων οὐκ ἐπιστρεφόμενος, καὶ οἴκων πολλῶν, περιφανῶν τε ἀνδρῶν καὶ δημοτικῶν, διαρπαγέντων, ὡς οὐδενὸς κακοῦ γεγονότος διέκειτο, μᾶλλον δ᾽ ἔχαιρε καὶ ἐνετρύφα ταῖς εἰς τοὺς ἀστοὺς ἐπηρείαις, καίτοι συναραμένους αὐτῷ πρὸς τὸ βασιλείας τυχεῖν. καὶ ἐπὶ προφάσει τῶν συνεχῶν πολέμων, καιναῖς εἰσφοραῖς καὶ τῶν ἀρχαίων αὐξήσει καὶ ἀλλ᾽ εἰσπράξει παντοδαπῇ τοὺς ὑπηκόους ἐξέτρυχε, καὶ οὐδὲν ἄμεινον πολεμίων τὸ στρατιωτικὸν διετίθει πρὸς οὓς ἂν τὸ στρατόπεδον ἐπιχωριάσειεν. ὑπὸ τούτοις διὰ τὰς πυκνὰς ἐκστρατείας χρημάτων ἐνδεῖν προφασιζόμενος, τὰς μὲν διανομὰς τῇ γερουσίᾳ βασιλικὰς δωρεὰς κατὰ μέρος ἀφῄρει, τὰς δ᾽ ἀπονενεμημένας ἀνέκαθεν τεμενίοις ἱεροῖς καὶ τοῖς ἁγίοις οἴκοις

triumphauit. Qua uictoria celebritas nominis eius, ut ſtrenui ducis, multum aucta eſt. Nicephorus porrò ſecundo Imperij ſui anno, ipſe cum magna manu Ciliciam inuadit, Theophanone quoq; cũ liberis eius adducta, eaq; Drieibij, quod eſt caſtellum in Ciliciæ aditu collocata, Anabarzam, Roſum & Adanam eius prouinciæ urbes capit, aliaq; plura caſtella. Tarſum uerò & Mopſiheſtiã oppugnare nõ ſtatuit, ſiue ob hyemem, ſiue amore Theophanonis auocatus, cum qua Cappadociã petijt, Vnde ueris initio in Ciliciam reuerſus, fratre Leone cõtra Tarſum miſſo, ipſe Mopſiheſtiã obſedit, quam cum mediam flumen Sarus diuidat, altera eius parte expugnata, Agareni igni iniecto, in alteram ſe receperunt: qua & ipſa capta, nemo effugit. Tarſenſes quoq; audita Mopſiheſtię expugnatione, Imperatori accerſito urbem tradiderũt. Triduo elapſo claſſis Ægyptia Tarſenſibus auxilio miſſa, ad terram appellendi facultatẽ nõ habuit, eademq; in reditu & uentorum procellis, & Romanarum tritemium incurſionibus maiori ex parte perijt. Imperator Conſtantinopolim reuerſus, æreas Tarſi & Mopſiheſtiæ portas exquiſiti artificij, nouis ornamentis additis, partim muro iuxta arcem Orientali, partim Occidentali accommodauit, atq; etiã Deo quaſi primitias expeditionis ſuæ obtulit: uenerãdis crucibus, quibus Barbari potiti fuerant, cum Srippiota Legionũ Domeſticus, in obſidione Tarſi, re per imprudentiã malè geſta, cladẽ accepiſſet, diuæ Sophiæ templo dedicatis. Cyprũ quoq; ab Agarenis occupatã, Romano Imperio reſtituit. Deinde Syriã inuaſit, & urbibus ad Libanũ, & iuxta mare ſitis partim expugnatis, partim uaſtatis, ad Antiochiam uenit. Sed Antiochenis acrius reſiſtẽtibus, accedẽte etiam cõmeatus penuria, & ſolo imbribus inũdato, ſoluta obſidione in urbẽ principẽ eſt reuerſus: allata ſeruatoris Chriſti ſacra diuinaq; effigie, Hierapoli Syriæ in olla reperta: & parte capillorũ Ioãnis Baptiſtæ ſanguine cõcreta. Ac in rebus bellicis talis fuit hic Imperator, Romaniq; Imperij fines lõgè lateq; propagauit. Sed certis de cauſis, omniũ odia ſuſcepit. Eę fuerũt, q̃d, cũ ij milites, quos defectionis ſocios habuerat, obuia quęq; uaſtarẽt, eos q dãna fecerãt, nõ curabat, et multis ędib⁹ tũ illuſtriũ tũ plebeiorũ hominũ direptis, ſic affectus erat, quaſi nihil mali accidiſſet: ſed delectabatur poti⁹ iniurijs, qbus ciues onerabãtur, quãuis eorũ ope ad Imperiũ perueniſſet. Præterea, cõtinentiũ bellorũ prętextu nouis tributis inſtituẽdis, & ueteribus augẽdis: omnis generis exactionib⁹ ſubditos premebat, & q̃s milites quocũq; uenerãt nihilo clemẽtius tractabãt q̃ hoſtes. Ad hæc ob frequẽtes expeditiones, pecunię inopiã cauſando, Imperatorias largitiones ſenatui dari ſolitas, ex parte imminuebat, & annua dona ab antiquis tẽporibus templis & alijs pijs domibus

Nicephori uictoriæ in Cilicia.

Aegyptiacæ claſsis interitus.

Spolia Cilicica.

Cyprus & Syria recuperatæ.

Nicephorus ob impunitatẽ militum & auaritiã uulgo inuiſus.

attributa penitus sustulit. Decreto quoq; sanxit, ne fundi Ecclesiarũ augerentur, quod(ut ipse asserebat) à sacerdotibus nõ in Ecclesiarũ utilitatẽ opes illæ cõferrentur. Orta porrò inter summũ pastorem & primarios sacerdotes de suffragijs cõtentione, cùm hi decernẽdi licentiã & approbandi potestatẽ sibi uendicarent, ille suffragia reprehẽderet, ut quæ nec sine affectibus, nec recto iudicio ferrentur, operamq; daret, ut ab ijs iudicium facturis & ipse in cõsiliũ adhiberetur: Imperator ex hoc sumpta occasione, & omni autoritate designandi episcopos sibi uendicata, edixit, ne quisquã iniussu suo in ullã Ecclesiã mitteretur. Mortuo igitur Episcopo, ex ministris suis in Ecclesiã uacantẽ mittebat aliquẽ, quo sumptus necessarios parce faciẽte, ipse reliqua sibi uendicabat. Neq; uerò eo imperãte in ullis prouincijs unquam defuerũt descriptores, inspectores & Militares & Protonotarij: qui subditos omni malorũ genere oppressos ad summã egestatẽ sedegerunt, ne egentissimorũ quidem habita ratione. Nam eos in Dromicos exercitus referebãt qui prius in ijs fuerant, in nauticos transferebant: classiarios in pedestres exercitus, pedites in turmas equitum, equites in cataphractos inserebãt: singulis grauius militię munus assignãtes. Nam ad unã rem militarẽ referebat omnia. Vnde, quod in se fuit, decreto sanxit, ut milites in bellis interfecti, pari cũ Martyribus honore colerẽtur, et similibus hymnis ac ueneratione celebrarẽtur. Quòd si Patriarcha & quidã ex primarijs sacerdotibus & senatus principibus nõ strenuè restitissent: rogassentq;, quo pacto ij qui in bellis & cæderẽt & cæderẽtur, Martyres iudicari possent, aut Martyribus pares, quos sacrorũ canonũ cẽsura notaret, triennio à tremenda illa & sancta communione arcens: forsitan egregiũ illud decretũ ratũ fuisset. Apparet eundẽ auaritiæ quoq; sordibus fuisse cõtaminatũ. Nam cum usq; ad eum quoduis numisma * exagiũ penderet, ille * tetarterũ excogitauit pondere imminuto, & exactiones grauiore, largitiones & omnes impẽsas mutilato numismate fecit. Iam cũ antiquitus receptũ esset, ut omnis uetus stater, Imperatoris imagine insignitus, tãtundẽ ualeret, quãtum recens ab Imperatore excusũ: ille suã monetam pluris fieri iussit. Quo fine: ut illam solam mercatoribus expetentibus, è cõmutationis auctario, quod magnũ exigebat, multũ sibi lucri accederet. Quibus rebus cum ciues uexarentur, fori curatores rerũ uænaliũ nullã rationẽ habebant, sed quisq; mercator suo arbitratu precium statuebat. Vnde, qui res necessarias emebant, indies fiebãt pauperiores. Hęc aliaq; plura (nam omnia persequi difficile fuerit) atrox omnium odium Nicephoro concitarunt, ut optarent omnes, eius tyrannide liberari. Illud tamen uel in primis, hominibus molestũ fuit, quòd Regiã muro circundedit,

Nicephorus solus militiæ studiosus.

Monetæ nouæ imminutio & exaggeratio ueteris.

ἐπιστάς, δόξας ἐξελάσαι τέλεον, ὅτε καὶ ψήφισμα βασίλειον ἔθετο, μὴ αὐξάνεσθαι τὰς ἐκκλησίας μὴ ἐμπλατύνεσθαι, καὶ ἡ πρόφασις ὅτι κατ' ἐκεῖνον ὑπὸ τῶν ἀρχιερέων οὐκ εἰς δέοντα τῶν ἐκκλησιῶν ἀναλίσκονται. ἔτι δὲ τοῖς ἀρχιερεῦσι καὶ τῷ ἀρχιποίμενι πολυειδῶς διαφερομένων περὶ τὴν ψῆφον, καὶ τῶν μὲν εἰς ἑαυτοὺς ἑλκόντων τὴν ἐξουσίαν τοῦ ψηφίζεσθαι ὃν ἂν ἐγκρίνειαν, τοῦ δὲ τὰς ψήφους αἰτιωμένου, ὡς οὐκ ἀπαθῶς γινομένας, οὐδὲ κατὰ γνώμας εὐθυτάτους, καὶ ἀξιοῦντος κοινωνεῖν αὐτῷ τοὺς ἀρχιερεῖς περὶ τῶν μελλόντων ψηφίζεσθαι, ὁ βασιλεὺς ἀφορμὴν ἐκ τούτου δραξάμενος, εἰς οἰκείαν ἐξουσίαν τὸ πᾶν τῆς τῶν ἐπισκόπων μετήνεγκε προχειρίσεως, μηδένα κελεύσας γνώμης ἄτερ αὐτοῦ εἰς ἐκκλησίαν οἱανδήτινα στέλλεσθαι. ἀλλὰ καὶ ἐπὶ τεθνηκότι ἐπισκόπῳ, βασιλικὸν ἐπίτροπον εἰς τὴν χηρεύουσαν ἐκκλησίαν ἐξέπεμπε, καὶ γλίσχρως παρ' ἐκείνου τῶν ἀναγκαίων γινομένων ἀναλωμάτων, αὐτὸς ἐκαρποῦτο τὰ περιττεύοντα. οὐ διέλιπον δ' ἐν ταῖς χώραις ἐπίσης, αὐτοῦ βασιλεύοντος, ἀναγραφεῖς στελλόμενοι, ἐπόπται τε καὶ στρατολογικοὶ καὶ οἱ καλούμενοι πρωτονοτάριοι, οἳ παντοίαις κακώσεσιν ἐξεπίεζον τὸ ὑπήκοον, καὶ εἰς ἐσχάτην ἀπορίαν συνήλασαν, οὐδὲ τῶν πενεστάτων ἀπόρων φειδόμενοι. ἀλλὰ τοὺς μὲν τοῖς δρομικοῖς στρατοῖς ἐγγράφοντες, τοὺς δὲ πρώην ταύταις ὑποκειμένους εἰς τὰς πλωτικὰς μετεγγράφοντες. τοὺς δὲ πλωΐμους μετατιθέντες εἰς στρατιώτας πεζούς, τοὺς δὲ πρὶν τοιούτους τοῖς ἱππόταις ἐγκαταλέγοντες, καὶ τοὺς ἱππότας εἰς καταφράκτους ἀμείβοντες. καὶ ἑκάστῳ βαρύτερον στρατιωτικὸν ἐπιτιθέντες λειτούργημα. ἐῴκει γὰρ τὸ πᾶν τῇ στρατιωτικῇ μεταχειρίσει ἀπογραφόμενος. ὅθεν καὶ δόγμα, ὅσον τὸ κατ' ἐκεῖνον, ἐδικαίωσε, τοὺς ἐν πολέμοις ἀναιρουμένους στρατιώτας, ἐπίσης τιμᾶσθαι τοῖς μάρτυσι. καὶ ὕμνων ὁμοίων τυγχάνειν. καὶ παραπλησίως γεραίρεσθαι. καὶ εἰ μὴ ὁ πατριάρχης καί τινες τῶν ἀρχιερέων, ἀλλὰ μὴν καὶ ἔνιοι τῶν λογάδων τῆς γερουσίας γενναίως ἀντέστησαν. λέγοντες, πῶς οὖν οἱ ἐν πολέμοις ἀναιροῦντες καὶ ἀναιρούμενοι λογίζοιντό ποτε μάρτυρες, ἢ τοῖς μάρτυσιν ἰσοστάσιοι, οὓς οἱ θεῖοι κανόνες ὑπὸ ἐπιτίμιον ἄγουσιν, ἐπὶ τριετίαν τῆς φρικωδεστάτης καὶ ἱερᾶς αὐτοὺς ἀπείργοντες μεταλήψεως; τάχα ἂν τὸ δικαιώσιον ἐκεῖνο κεκύρωτο δικαίωμα. ἦν δὲ πρὸς τοῖς ἄλλοις καὶ χρημάτων ἥττων, ὡς εἴρηται. μέχρι γὰρ ἐκείνου παντὸς νομίσματος ἑξάγιον σταθμὸν ἕλκοντος, ἐκεῖνος τὸ τεταρτηρὸν ἐπινενόηκε, κολοβώσας αὐτὸ κατὰ τὸν σταθμόν, καὶ τὰς μὲν εἰσπράξεις διὰ τοῦ βαρυτέρου, τὰς δὲ δόσεις καὶ πάντα τὰ ἀναλώματα διὰ τοῦ κεκολοβωμένου ποιούμενος. ἔθους δ' ἐπικρατήσαντος παλαιοῦ, στατῆρα πάντα, βασιλικὸν ἐκτύπωμα φέροντα, ἰσότιμον εἶναι τοῦ ἄρτι κοπτομένου παρὰ τοῦ βασιλεύοντος, ἐκεῖνος τὸ ἑαυτοῦ προτιμᾶσθαι κεκέλευκε νόμισμα. ἵνα τί γένηται; ἵν' ἐκεῖνο μόνον τοῖς ἐμπόροις ζητούμενον, κέρδος αὐτῷ πορίζῃ ἐκ τῆς ἑκάστου νομίσματος, ἁδρὰ πραττομένῳ ἀλλαγῇ. οὕτω δὲ τούτοις κακουμένων τῶν πολιτῶν, οὐδέ τις παρὰ τῶν ἀγορανόμων ἦν ἐπὶ τοῖς ὠνίοις προμήθεια, ἀλλ' ἕκαστος τῶν ἐμπόρων νόμον εἶχε τὸ ἑαυτοῦ θέλημα, καὶ οἱ ὠνούμενοι τὰ χρειώδη, ἐγίνοντο καθ' ἑκάστην πτωχότεροι. ταῦτα καὶ πλείονα ἕτερα (πάντα γὰρ ἀπαριθμεῖσθαι δυσχερές) ἐξέμηνε πάντας κατὰ τοῦ Νικηφόρου, καὶ πᾶσιν ἦν δ' εὐχῆς, τῆς τούτου τυραννίδος ἀπαλλαγῆναι. οὐχ ἥκιστα δ' ἐλύπησε τοὺς ἀνθρώπους, καὶ ἡ τῶν βασιλείων τοῦ τείχους περιβολὴ.

λιχνευσμενή

ἴσα ἐν ἄλλοις [illegible] ὁ βασιλικὸς [illegible] δόγμα.

[illegible] φασὶ τὸ τεταρτηρὸν [illegible] καὶ ὁ προείρηται δι' ἑτέρας χαραγῆς.

περὶ τοῦ τείχους τῶν ἀνακτόρων.

ἐκ χρησμοῦ δὲ τὸ μέλλον γνοὺς ἔχων, τὸ ἐν τοῖς βασιλείοις μέλλειν ἀναιρεθήσεσθαι, ἐδόκει ἑαυτῷ περιποιεῖσθαι διὰ τοῦ τείχους ἀσφάλειαν, δέον λογίζεσθαι, ὡς εἰ μὲν ἀληθὲς ἦν τὸ χρησμῴδημα, ἔσοιτο τὸ πεπρωμένον, ἵν' οὕτως εἴπω, τὸ ἐκ θεοῦ ὡρισμένον, ἄφυκτόν τε καὶ ἀμετάθετον· εἰ δὲ δύναιτο κωλυθῆναι διὰ ἐπινοίας τινός, οὐ πάντως ἀληθές, καὶ τὰ ἐπινοήματα περιττά. ὁ δὲ τοῦτο οὐδὲν λογισάμενος, μεγάλαις δαπάναις τὸ νῦν ὁρώμενον τεῖχος τὰ βασίλεια ἐστεφάνωσεν, ἀκρόπολιν δὲ οἱ πολῖται τοῦτο καὶ τυραννεῖον καθ' ἑαυτῶν γινόμενον ἔκρινον. ἐπεὶ τοίνυν ἀπήρτισε τὸ ὀχύρωμα, καὶ ἔδοξεν ἑαυτῷ περιποιήσασθαι τὴν φυλακὴν ἀσφαλῆ, τότ' ἔγνω μηδὲν αὐτῷ λυσιτελῆσαν τὸ ἐπινόημα, ὅτε πρὸς ἐκείνῳ τὸν ὄλεθρον. ἀλλὰ μήπω περὶ τούτου, ἔτι δ' ὁ λόγος πράξεις διεξίτω ἐκείνου. ἐπανιὼν δὴ ἀπ' Ἀντιοχείας, τῆς πρὸς Ὀρόντῃ ὄντος ὁ βασιλεύς, φρούριον ἐν τῷ ὄρει τοῦ Ταύρου ἐδείματο, Μαῦρον δὲ ὄρος ἐκεῖνο λέγει νῦν ὁ πολὺς ἄνθρωπος· ἐν ᾧ Μιχαὴλ τὸν Βούρτζην κατέλιπε, πατρίκιον τιμήσας, καὶ τοῦ Μαύρου ὄρους στρατηγὸν ὀνομάσας αὐτόν, ὡς Ἀντιοχεῖς κακοῦν ἐντελλόμενος. καὶ Πέτρον δ' ἕνα τῶν ἑαυτοῦ θεραπόντων, ἐκτομίαν μὲν, δραστήριον δὲ λέγω καὶ ἐμβριθῆ, καὶ ἄρχειν εἰδότα στρατιωτῶν, στρατοπεδάρχην ὀνομάσας κατέλιπεν, ἵν' ἐν Κιλικίᾳ δοίη χώραν τῇ στρατιᾷ τὸν χειμῶνα διαγαγεῖν. καὶ ὁ μὲν βασιλεὺς ἀνεχώρει εἰς τὸ Βυζάντιον, ὁ δὲ Βούρτζης συνεχῶς ἐξελαύνων ἐκάκου τοὺς ἐν Ἀντιοχείᾳ Ἀγαρηνούς, καὶ διεσκόπει ὅπως ἕλοι τὴν πόλιν εἰ δύναιτο, καὶ καιρὸς ἧκε. λαθὼν γοῦν ποτε μέτρον τοῦ ὕψους ἑνὸς τῶν πύργων λαβὼν, καὶ πρὸς τοσοῦτον ὕψος ἀναλόγους ἡτοιμάσατο κλίμακας. φυλάξας οὖν νύκτα μίαν χειμέριον, ἀσέληνόν τε καὶ νιφετώδη, πρόσεισιν ἠρέμα τῷ τείχει τῆς πόλεως, καὶ τὰς κλίμακας ἐρείσας αὐτῷ, ἀνέβη μετὰ τριακοσίων (τοσούτους γὰρ ἐπήγετο, μηδενὸς αἰσθομένου) καὶ τοὺς μὲν τοῦ πύργου ἐκείνου φύλακας ἀνεῖλε, καὶ ἑτέρους πλησιαζόντων, εὐθὺς δ' αὐτίκα πρὸς τὸν στρατοπεδάρχην, δηλῶν αὐτῷ τὸ γινόμενον, καὶ πρὸς βοήθειαν ἐκκαλούμενος. ὁ δὲ ἀνεδύετο. λέγεται γὰρ ἐντείλασθαί οἱ τὸν βασιλέα, μὴ προσβαλεῖν τῇ Ἀντιοχείᾳ, ὅτι παρὰ πᾶσι διεφήμιστο, τῇ τῆς Ἀντιοχείας ἁλώσει ἕψεσθαι καὶ τοῦ κρατοῦντος τὸν ὄλεθρον. οἱ δὲ Ἀντιοχεῖς γνόντες τῶν πύργων τὴν ἅλωσιν ἐκεῖ συνηθροίσθησαν, ἐξελάσαι τοὺς Ῥωμαίους αὐτῶν προθυμούμενοι. πρὸς δύο τοίνυν ἐναντία μαχόμενον ἔχων ὁ στρατοπεδάρχης τὸν λογισμόν, τήν τε βασιλικὴν ἐντολήν, καὶ τὸν ὄλεθρον τοῦ Βούρτζη καὶ τῶν σὺν αὐτῷ τριακοσίων ἀνδρῶν, ἔδοξε μὴ ἐᾶσαι τοσούτους ἄνδρας ἀπολέσθαι, καὶ ἄρας σὺν παντὶ τῷ στρατεύματι, προσβάλλει τῇ Ἀντιόχου. καὶ αὐτίκα οἱ μὲν πολέμιοι παρείθησαν καὶ τὰς χεῖρας καὶ τὰς ψυχάς. οἱ δὲ περὶ τὸν Βούρτζην καὶ αὐτὸς ἐκεῖνος ἤδη ἀπηγορευκότες ἀνεζωώθησαν, καὶ τὰ κλεῖθρα τῶν πυλῶν ὁ Βούρτζης πελέκει διακόψας, ἄνετον παρέσχε τῷ στρατοπεδάρχῃ τὴν εἴσοδον, καὶ ἡ περιφανὴς Ἀντιόχεια ῥᾷον οὕτως ὑπὸ Ῥωμαίους ἐγένετο. ὃ τῷ βασιλεῖ ἀγγελθὲν ἄλγος, ἀλλ' οὐ χαρμονὴν ἐνεποίησεν. ἐμήνισε τῷ στρατοπεδάρχῃ, καὶ τῷ Βούρτζῃ τῆς σπουδῆς καὶ τοῦ ἀνδραγαθήματος ἀμοιβὴν παρέσχεν ὕβρεις καὶ ἀπειλάς, ἀφείλετό τε αὐτοῦ τὴν ἀρχὴν, καὶ παρὰ τῷ οἴκῳ μένειν αὐτὸν διωρίσατο. συνέβη δέ τι καὶ ἕτερον, ὃ τὸν δῆμον ἐξήγειρε κατὰ τοῦ βασιλέως, καὶ κατὰ δήμου τὸν αὐτοκράτορα. κατά τι παλαιὸν ἔθος ἐν μιᾷ τῶν δεσποτικῶν ἑορτῶν εἰς τὸν ἐν τῇ Πηγῇ θεῖον ναὸν

[illegible]

Nam cum oraculum accepisset, se in e. interfectũ iri: putabat se mœnibus tutũ fore. Enimuero sic ei ratiocinandũ fuit Si uerum esset oraculum, etiam fatum (ut ita loquar) diuinitus ordinatum, esse inuitabile et immutabile. Sin id aliqua solertia prohiberi posset, non utiq; esse uerum, omnemq; solertiam superuacaneã. Sed ille nulla harum rerum cõsiderata: magnis sumptibus Regiam eo muro, qui etiam nunc cernitur, coronæ instar circumdedit, quẽ ciues arcem & castellum tyrannicũ contra se extructum iudicabãt. Verùm munitione perfecta, cum se iam res suas in tuto collocasse putaret, tum demũ cùm intra eam ipsam cæderetur, intellexit, inuentum illud nihil sibi profuisse. Sed hoc in præsentia omisso, res eius gestas exequamur. Antiochia, quã flumẽ Orõtes alluit, reuertens, castellũ in Tauro monte, quem hodie uulgò Maurũ uocant, construxit: Michaele Burze, quem Patriciũ fecit, & Tauri mõtis ducem nominauit, ad infestandos Antiochenos ibi relicto: Petrum uerò quendã ex ministris suis, castratum illũ quidem, sed strenuum hominẽ, constantem, et militum regundorum peritum, castrorũ præsidem designauit ut locum exercitui daret ad hybernandum in Cilicia. Imperatore Byzantiũ reuerso, Burzes crebris excursionibus Antiochenos Agarenos infestabat, assiduè de capiendæ urbis facultate, parandaq; sibi gloria cogitans. Quodam igitur tempore turris cuiusdam altitudinẽ clam mensus, paratis scalis illi paribus: nocte hyberna, illuni & niuosa tacitè mœnibus urbis succedit, affixisq; scalis cum trecentis (tot enim aduertente nemine adduxerat) ascendit, custodes turris & obuios quosq; cædit, statimq; castrorũ præsidi nunciat quid fiat, & ad opem ferendã accersit. Id ille detrectabat. Ferebatur enim Imperator illi mandasse, ne Antiochiam inuaderet, quod urbis eius captiuitatẽ interitũ Imperatoris consecuturũ uulgata fama erat. Antiocheni cũ turres occupatas esse cognouissent: eò alacriter cõuenere, ad Romanos expellendos. Castrorũ uerò præses, quãuis ancipiti cura distineretur, et mãdati Imperatoris, et exitij Burzæ, cum cohorte sua: tamen nõ committendũ esse ratus, ut tot uiri perirẽt cum omnibus copijs Antiochiã inuadit. Quo facto statim & manus & animi Barbarorũ conciderũt. Burzes uerò cum suis iam desperata salute, reuixit, et porta bipẽni resecta, liberũ ingressum castrorũ duci præbuit. Tãta facilitate, illustris Antiochia in Romanorũ potestatem uenit. Id Imperatori nunciatũ plus doloris attulit q̃ uoluptatis, & præclarũ facinus, frat[a] castrorũ præsidi & Burzę, cõtumelijs & minis est remuneratus, ademptoq; Imperio, illũ domo exire uetuit. Accidit & aliud quiddã, quod & populũ cõtra Imperatorẽ, & Imperatorẽ cõtra populũ exacerbauit. Quodã festo Dominico Imperatore, ex ueteri cõsuetudine in Peganũ tẽplũ

Nicephorus fati necessitatem mœnibus Regiæ propulsare studuit.

Dilemma.

Antiochia, Burzæ industria capitur.

Seditio Armeniorũ et nautarum.

ſupplicatũ egreſſo accidit, ut Armenij & nautæ orta contentione cum magno murmure et tumultu inter ſe cõgrederentur, & utrinq; uiri aliquot caderent. Quo ante reditũ Imperatoris, ciuibus nunciato, temeraria plebs in cohortes diuiſa, Armenios redeuntes, obuiam egreſſa, fuſtibus cædebat, & ipſum Imperatorẽ iam in forum panariũ progreſſum maledictis inſectabatur: ortoq; tumultu & cõcurſu facto,

Alienatio populi à Nicephoro ob ludum militarem.

& clamore ſublato, alij lapidibus Imperatorẽ petunt, alij puluerẽ in eum ſpargũt, & maledictis uſq; in forũ tabulis lapideis ſtratum proſequuntur, in quo columna rotunda porphyretica ſita eſt. Ac niſi quidam ex honoratioribus illius loci ciuibus Imperatore ſuſcepto, inſectantes eum & maledicta ingerentes, nulloq; ordine tumultuantes, repreſſiſſent ac depuliſſent, illũq; corona cinctum cum fauſtis acclamationibus in Regiam uſq; perduxiſſent: fortaſſe magnũ ex ea ſeditione malũ extitiſſet. Inde rumor emanauit, Imperatoris diſsimulatã iram ludis equeſtribus in populi ultionẽ erupturam. Aliquanto pòſt cùm certamen equeſtre ederetur, Imperator milites armatos in medium theatrũ produxit, ſiue ut populo bellici cõgreſſus imaginẽ adumbrarẽt, iucundã & ipſam futurã ſcilicet, ſiue terroris incutiẽdi cauſa. Vt aũt milites gladios ſtrinxerunt, populus q̃ in theatro erat, illud eſſe ratus, quod diu hominũ ſermonib⁹ iactatũ eſſet: cũ impetu fugiebat, inter exeundũ aũt in anguſtijs multi inuicẽ cõculcati perierũt, ac periculũ latius uagatũ eſſet, niſi uiſo Imperatore in ſua ſede immoto, fugere deſtitiſſent. Mortuorũ uerò propinqui ſuos lugẽtes, publicè Imperatorẽ dicterijs inceſſerunt, ob quæ cũ ſe ciuibus inuiſum eſſe ſciret: Regiã muro cinxit, quo abſoluto relatis ad ſe clauibus, tum demũ id ei quod timebat, euenit, nec; ulla excogitatæ munitionis fuit utilitas. Turcis autẽ, Vngris ſcilicet, Thraciam uaſtantibus, Bulgariæ principi ſcripſit, ne illos Iſtrum tranſire pateretur, & Romanas prouincias infeſtare. Id ille recuſauit, quod Imperator ipſi quoq; auxilia negaſſet, cum ab iiſdem inuaderetur. Nunc autem poſtquã pacẽ cum eis facere coactus ſit, poſtulare ut fœdus rumpat, & armis ſumptis bellũ ſuſcipiat, cuius rationẽ reddere nõ poſsit. Ibi igitur repulſam paſſus, Calocyrũ Cherſonij Principis filiũ, ad Roſiæ principem Sphendoſthlabum contra Bulgaros concitandũ ablegauit. Roſsicus igitur exercitus Bulgariç agros lõge lateq; populatus, pr̨ędã penè innumerabilẽ abegit, idq; ſequẽti anno æquè factũ. Phoca regnãte fuit terræ motus horrẽdus, q̃ etſi Cõſtantinopoli planè innoxius, alijs tamẽ urbib⁹ plurimũ nocuit. & mẽſe Maio ſpirarũt uenti, qui fruges peremerunt. Vnde fame laboratũ, quam Nicephorus in ſuum lucrum conuertit, in granaria cõgeſto frumẽto, & eſurientibus magno uendito, nõ reputãs, ſe (ut in Prouerbijs Salomõ ait)

Roßi cõtra Bulgaros concitati.

Terræ motus.

Fames.

πρόοδον ἐποιεῖτο ὁ βασιλεύς, καὶ συνέβη μέσον ἀρμενίων καὶ πλωΐμων φιλονεικίαν γενέσθαι, κἀκ ταύτης συμβολὴν ἀλλήλοις καὶ θροῦν καὶ κρότον πολύν, καὶ φόνον ἀνδρῶν ἑκατέρωθεν γενέσθαι. ἡ δὲ φήμη τὸ γεγονὸς τοῖς ἐν τῇ πόλει πρὸ τῆς ἐπανόδου τοῦ βασιλέως κατηγγελκυῖα, οἱ τοῦ δήμου ἀπεδάλοι κατὰ συμμορίας γενόμενοι πολλαχοῦ, καὶ τοῖς ἀρμενίοις ἐπανιοῦσιν ὑπαντιάζοντες, ξύλοις ἐκείνους συνέκοπτον. ὡς δὲ καὶ ὁ βασιλεὺς ἐφθάκει κατὰ τὴν ἀγορὰν τῶν ἀρτοπρατίων, ὕβρεις ἐκεῖνον κατεῖχον, καὶ θόρυβος ἦν τε, καὶ βοαί τε καὶ συνδρομαί, καὶ οἱ μὲν λίθους ἀφίεσαν κατὰ τοῦ βασιλέως, οἱ δὲ κόνιν ἐπέπεμπον κατ' αὐτοῦ, καὶ ἐδυσφήμουν αὐτὸν μέχρι τῆς ἀγορᾶς, ἥ τις ἔστρωται ταῖς πλαξί, καὶ τὸν κίονα φέρει, τὸν κυκλοτερῆ τε καὶ πορφυροῦν. καὶ εἰ μή τινες τῶν ἐντιμοτέρων πολιτῶν ἐκεῖσε τὸν βασιλέα δεξάμενοι, τοὺς μὲν ἐφεπομένους αὐτῷ καὶ δυσφημοῦντας, ἄλλως τε ἀτακτοῦντας, ἀνεχαίτισαν, ἐκεῖνον δὲ κύκλῳ περιλαβόντες, εὐφήμουν, καὶ οὕτως αὐτὸν εἰς τὰ βασίλεια διεσώσαντο. τάχα ἄν τι μέγα συνέβη κακόν. ἐντεῦθεν διεδίδοτο λόγος, ὡς ἐν ἱπποδρομίᾳ ὁ βασιλεὺς ἐγκοτῶν τῷ δήμῳ, μέλλει αὐτὸν ἀμύνεσθαι. ἀμίλλης οὖν τελουμένης ἵππων μετὰ καιρόν, στρατιώτας ὁ βασιλεὺς ἐνόπλους προσάγειν εἰς μέσον τὸ θέατρον, ἐξαγομένους τάχα τῷ δήμῳ, ὡς ἐν τύπῳ πολέμου οἷα τῆς μάχης ἡ συμβολή, ὡς ἡδονὴν αὐτῷ καὶ τοῦτο ποιούμενος ἀλλ' ἵνα καὶ φόβον αὐτοῖς ἐμποιῆσαι θέλων. ὡς οὖν οἱ στρατιῶται τὰ ξίφη ἐγύμνωσαν, ὁ ἐν τῷ θεάτρῳ λαὸς τοῦτ' ἐκεῖνο τὸ φημιζόμενον εἶναι νομίσαντες, ἐκδιδράσκειν τοῦ θεάτρου ὥρμησαν, καὶ περὶ τὰς ἐξόδους στενοχωρούμενοι, ἐπ' ἀλλήλων τε συμπατούμενοι, ἀπώλοντο οὐ βραχεῖς. τάχα δ' ἂν καὶ πολλῷ πλέους ἐναπωλώλεσαν, εἰ μὴ ὁ βασιλεὺς ἀμετακίνητος ἦν τῆς ἰδίας ἀπὸ καθέδρας. ἰδὼν γὰρ ὁ δῆμος ἐκεῖνον μηδόλως τῆς ἕδρας μεταχωρήσαντα, ἐπαύσατο τῆς φυγῆς. οἱ δὲ τοῖς θανοῦσι τότε προσήκοντες, τοὺς οἰκείους θρηνοῦντες, δημοσίᾳ πρὸς τὸν βασιλέα ἀπέσκωπτον. διὰ ταῦτα τοίνυν μισεῖσθαι παρὰ τῶν πολιτῶν αἰσθόμενος, τάχα περιτειχίζει τὰ βασίλεια, ἀλλ' ὅτι τοῦτο ἀπήρτιστο, καὶ αἱ τῶν πυλῶν αἱ κλεῖδες ἀπεκομίσθησαν, τότε, ὃν ἐφοβεῖτο φόβον, ἦλθεν αὐτῷ, καὶ οὐδὲν τῆς ἐπινοουμένης αὐτῷ ἀσφαλείας ἀπώνατο. τῶν δὲ τούρκων, τῶν οὔγγρων δηλαδή, τὰ θρᾳκῷα ληϊζομένων, τῷ βουλγαρίας ἔγραψεν ἄρχοντι ὁ βασιλεὺς νικηφόρος, μὴ παραχωρεῖν αὐτοῖς διαβαίνειν τὸν ἴστρον, καὶ τὰ ῥωμαίων λυμαίνεσθαι. ὁ δὲ οὐχ ὑπήκουσε, λέγων, ὡς ὅτε καθ' ἡμῶν οὗτοι ἐστράτευον, παρακαλούμενος συμμαχῆσαι ἡμῖν, οὐκ ἠθέλησας. καὶ νῦν ὅτι βιασθέντες σπονδὰς ἐθέμεθα πρὸς αὐτούς, ἀξιοῖς ἡμᾶς παρασπονδῆσαι, ὅπλα τε κατ' ἐκείνων ἄρασθαι, καὶ κινῆσαι πόλεμον ἀπροφάσιστον. ἀποκρουσθεὶς τοίνυν ἐντεῦθεν, εἰς τὸν ἄρχοντα ῥωσίας τὸν σφενδοσθλάβον διεπρεσβεύσατο, ὁρμῶν κατὰ τῶν βουλγάρων αὐτόν, διὸ καὶ τὸν υἱὸν τοῦ ἐν χερσῶνι πρωτεύοντος τὸν καλοκυρὸν πρὸς ῥωσίαν ἐκπέπομφεν. ἐπιστρατεύει τοίνυν κατὰ βουλγάρων σὺν τάγματι ῥωσικῷ, καὶ χώραν αὐτῶν πολλὴν ἐλῄσατο, καὶ λείαν οὐκ εὐαρίθμητον ἐκεῖθεν ἀπήλασε, καὶ τῷ ἐπιόντι δὲ ἐνιαυτῷ οὐχ ἧττον τοῦ προτέρου οἱ ῥῶς τὰ βουλγάρων ἐκάκωσαν. γέγονε δὲ τοῦ φωκᾶ βασιλεύοντος καὶ κλόνος τῆς γῆς φρικωδέστατος, ὃς τὴν μὲν κωνσταντίνου οὐ πάνυ τι κεκάκωκε, πόλεις δ' ἑτέρας καὶ σφόδρα κατέσεισεν. ἔπνευσαν δέ τινες ἄνεμοι κατὰ μάϊον μῆνα, δι' ὧν ἐφθάρησαν οἱ καρποί, καὶ γέγονε λιμὸς ἰσχυρός. ὃν εἰς οἰκεῖον κέρδος ὁ νικηφόρος μετήνεγκε. ταμιευσάμενος τὸν σῖτον, καὶ πολλοῦ τοῦτον ἀποδιδόμενος τοῖς λιμώττουσι, μὴ φροντίζων, ὅτι δημοκρατέστερος ἦν,

ἔρις δὲ μέσον τῶν ἀρμενίων καὶ τῶν πλωΐμων φιλονεικίας, καὶ ὁ δῆμος διὰ τοῦτο ὄχλος κατὰ τοῦ βασιλέως.

ὅπως τὸν δῆμον φοβήσειε, καὶ ἐν τῷ θεάτρῳ ἀποδιδράσκοντες πολλοὶ ἀπεπνίγοντο.

περὶ τῶν οὔγγρων.

ὅτι ὁ βασιλεὺς τὸν ῥῶς ἐκίνησε κατὰ τῶν βουλγάρων.

ὅτι σεισμὸς γέγονε ἐπὶ φωκᾶ, καὶ οἱ ἄνεμοι τοὺς καρποὺς ἐχρύσαν.

κατὰ τὸ

περὶ τὸν σολομῶντα παροιμιαζόμενον, ἀλλ᾽ αὐχῶν μᾶλλον ὡς ὑβρίζων τὸ ὑπήκοον, ὅτι δύο μεδίμνους ἐπίπρασκε τῷ νομίσματι. καὶ τοῦτο παράδειγμα ἔχων τὸν μακεδόνα Βασίλειον, οὕτω πάνυ πρώην μεγαλοπρεπῶς πρὸς τοιαύτην ἐνδειξάμενον ἔνδειαν. ἀπιὼν γάρ ποτε ὁ αὐτοκράτωρ ἐκεῖνος, συνήθη ποιούμενος πρόοδον, εἰς τὸν τῶν ἁγίων ἀποστόλων ναόν, καί τινας τῶν τῆς πόλεως ἄνδρας ὑποσύννους ἀνιῶντας κατὰ σχῆμα, θεασάμενος σκυθρωπάζοντας, ἤρετο τὴν αἰτίαν τῆς σκυθρωπότητος· οἱ δὲ καὶ πῶς οὐκ ἂν σκυθρωπάζοιμεν, ἔφασαν, δέσποτα, ἐπηρτημένον ἡμῖν ὁρῶντες τὸν θάνατον, οἵ γε δύο μεδίμνους σίτου εἰς νόμισμα χρυσοῦν ὠνούμεθα; τοῦτ᾽ ἀκούσας ἐκεῖνος ἀνῴμωξε, καὶ τοῖς μὲν χρήμασι τὴν κατήφειαν ἔλυσε, τοῖς δὲ τὰς πολιτικὰς ἐγκεχειρισμένοις ἀρχὰς ἐλοιδορήσατό τε καὶ ἐπηρέασεν, ὅτι μὴ αὐτὸν τὰ τῆς ἐνδείας ἐδίδαξαν, καὶ εὐθὺς τοὺς βασιλικοὺς σιτῶνας ἀνοιγῆναι ἐκέλευσε, καὶ δώδεκα μεδίμνους σίτου νομίσματος ἑνὸς ἀποδίδοσθαι. ἀλλ᾽ ἐκείνου μὲν ἡ πρᾶξις αὕτη βασιλική, τῷ δ᾽ ἱστορουμένῳ νῦν βασιλεῖ καὶ λίαν καπηλική, ὃς τὸ λιμῷ τὸ ὑπήκοον ὁρῶν πιεζόμενον, οὐκ ἐπήμυνεν, ἀλλὰ μέντοι καὶ ἐνετρύφα ταῖς αὐτοῦ συμφοραῖς, καὶ τοῖς τοῦ λιμοῦ τραυματίαις ἀπεξαίνων ὑπῆρχε τὰ τραύματα. καὶ ὁ τοῦ βασιλέως δὲ ἀδελφὸς ὁ Λέων οὐχ ἧττον ἔθλιβε τόν τε δῆμον τῆς πόλεως καὶ τοὺς οἰκήτορας τῶν χωρῶν, καπηλείας καὶ αὐτὸς μετιών, καὶ οἱ μὲν οὕτω δεινὰ τὰ πρὸς τοὺς πάσχοντας, οἱ δὲ πρὸς τὸν κρατοῦντα διὰ ταῦτα ἀποσκώπτειν. ποτὲ γὰρ νεολέκτους στρατιώτας ἐρευνῶντος τοῦ βασιλέως, ἐπεί καί τινα τοῖς στρατευομένοις συνηρίθμησε πολιόν, ἔφη πρὸς ἐκεῖνον ὁ αὐτοκράτωρ· πῶς τοῖς στρατιώταις, ἄνθρωπε, γέρων ὢν συγκατέλεξας σεαυτόν; ὁ δ᾽ αὐτίκα εὐφυῶς ἀντεφθέγξατο, ὡς πολὺ δυνατώτερος νῦν εἰμι ἢ ὅτε ἤκμαζον, δέσποτα. τότε γὰρ οὐδ᾽ ἡμίσεως ἂν ἐπωμισάμην σῖτον νομίσματος, νῦν δὲ ῥᾷον δύο νομισμάτων σῖτον ἐπὶ τῶν ὤμων αἴρω. συνῆκε μὲν τὴν εἰρωνείαν ὁ βασιλεύς, ἀταράχως δὲ ταύτην ἐνεγκών, μετέβη πρὸς ἕτερον. ἐρωτικῶς δὲ σφόδρα πρὶν διακείμενος ὁ Νικηφόρος πρὸς τὴν Θεοφανώ, μετέπειτα τῆς πρὸς αὐτὴν συνουσίας ἀπείχετο, ἢ κορεσθεὶς ταύτης, ἢ καὶ δι᾽ ἐγκράτειαν μίξεως ἀπεχόμενος. οὐδὲ γὰρ πάνυ τι καὶ νέος ὢν πρὸς ἔρωτας ἐτύγχανεν εὐκατάφορος. ἡ δὲ μισήσασα τὸν ἄνδρα διὰ τὸ ἀνομίλητον, ἢ καὶ περὶ τοῖς υἱέσι δείσασα (ἦν γάρ τινων ὑποτονθορυζόμενον, βούλεσθαι τὸν Νικηφόρον τὰ βασιλόπαιδα ἐκτεμεῖν, καὶ τῶν παιδογόνων στερῆσαι μορίων, καὶ τὸν ἀδελφὸν βασιλεῦσαι τὸν Λέοντα.) εἰς λόγους ἦλθε λάθρα τῷ Τζιμισκῇ, ἢ ἔρωτι τοῦ ἀνδρὸς ἁλοῦσα (ἦν γὰρ τὸ κάλλος διαπρεπής, καὶ τοῦ εἴδους χάριτας ἀφελεῖς) ἢ καὶ ἀξιόχρεων τοῦτον τῷ Νικηφόρῳ λογισαμένη ἀντίπαλον, ὡς δέ τινες φασί, καὶ εἰς συνουσίαν ἐλήλυθε τῷ ἀνδρί, καὶ κατὰ τοῦ Νικηφόρου ἠρέθισε, καὶ τὸ τῆς παροιμίας, σφαῖραν ἀφῆκε κατὰ πρανοῦς. ἦν γὰρ καὶ ἄλλως ὁ Ἰωάννης τῷ βασιλεῖ μηνιῶν, ὅτι τῷ ἀδελφῷ πειθόμενος ἐκείνου βασκαίνοντι τούτῳ, ὑποπτεύων τὸν ἄνδρα ἐνέμεσε, καὶ τῆς στρατιωτικῆς ἀρχῆς παύσας αὐτόν, εἰς πολιτικὴν μετεκίνησε, λογοθέτην τοῦ δρόμου προχειρισάμενος, ὃ οὐκ εἰς δυναστείαν, ἀλλ᾽ εἰς τιμωρίαν καὶ ταύτην βαρεῖαν ἐκεῖνος λελόγιστο, ὅτι τῇ κακώσει τοῦ ἀνδρὸς προστιθεὶς, καὶ οἴκοι μένειν αὐτὸν ἐκέλευσεν. ᾤκει δὲ κατὰ τὸ θέμα * διὰ ταῦτα ἐμήνιε ὁ Ἰωάννης. ὡς δὲ καὶ τὴν μαχλάδα ἐκείνην ὤρυνεν αὐτὸν παραθήγουσαν, διαπραξαμένην δέ οἱ καὶ κάθοδον κελεύσει βασιλικῇ, τῇ τυραννίδι ἐπέθετο, συμπράττουσαν ἔχων καὶ τὴν βασίλισσαν, καὶ ἅμα τισὶν οἷς

τὸ λεῖον τῶν μεδίμνων βασίλειος ὁ μακεδὼν τῶν ἀρχόντων αὐτῷ γινομένων.

περὶ λέοντος τοῦ ἀδελφοῦ τοῦ φωκᾶ.

ὅτι κατὰ τοῦ βασιλέως εἰς φίλτρον τὸν τζιμισκῆ ἡ θεοφανώ.

ὅτι λογοθέτην τοῦ δρόμου προβάλλεται τὸν τζιμισκῆ ὁ φωκᾶς.

publicis execrationibus obnoxiũ esse, sed benignitatem potius suam erga subditos iactãs, quòd binos medimnos aureo uenderet. quãuis exemplum Basilij Macedonis haberet, qui in tali penuria se, non ita olim, magnificè gesserat. Nam cum aliquãdo de more in D. Apostolorum ædem iret, & ciues quosdã grauitatis aliquid pre se ferentes, mœstos cõspexisset: causam tristitiæ quesiuit? Illi respõderunt, Domine, qui nõ tristes esse possumus, cùm mortẽ nobis instantẽ uideamus, & bini frumenti medimni aureo nummo sint emendi? Quibus ille auditis ingemuit, dataq; pecunia tristitiã illorũ discussit, ciuiles Magistratus execratus, quòd ab ijs de penuria nõ factus esset certior, ac statim Imperatorijs granarijs apertis, duodenos medimnos uno aureo uendi iussit. Ac ille quidem, ut Imperatorẽ decet, egit: hic pro caupone se gessit, qui populo penuria laborãti, non modo nihil opis tulit, sed & calamitatibus insultauit: uulneribus eorum, quos fames sauciarat, inhumaniter diuellendis. Sed & frater eius Leo, & ipse cauponãdo, nihilominus & urbanũ populũ & prouinciales premebat. Qui cùm se tales erga afflictos præberent, uicissim dicterijs à populo incessebantẽ. Nam cũ aliquando Imperator nouitios milites lustrãs, canum quendã inter cæteros uidisset, rogauit, Cur homo senex militiæ nomẽ dedisset? Ibi ille ingeniose respõdit, Se nũc multò robustiorem esse, quã in iuuẽtute. Tum enim ne dimidij quidẽ aurei frumentũ tollere potuisse: nũc uero duorũ aureorũ facilius in humeros sublaturũ. Intellexit cauillũ Imperator, eoq; dissimulato ad aliũ transiit. Quamuis autẽ Theophanonem prius uehementer deperisset, pòst, eius congressu abstinuit, siue ex satietate, siue ex continentia. Nam uel in adolescentia parũ procliuis ad libidinẽ fuerat. At illa maritũ uel ob eam alienationẽ exosa, uel de filijs solicita (quidam enim murmurabant, uelle Nicephorum regijs pueris castratis, imperiũ in fratrẽ Leonẽ transferre) clàm cum Ioanne Zimisce colloquitur, siue amore eius capta (nam formæ excellentia & uenustate, hominum oculos in se conuertebat) siue eum parẽ Nicephoro aduersarium rata. Quidã etiam tradũt, eam consueuisse cum illo, & homine contra Nicephorum instigato, plaustrum per se nutans, ut prouerbio dicitur, opportunè perculit. Nam Ioannes alioqui succensebat Imperatori, cui ex fratris inuidia & calumnijs suspectus, à militari potestate, ad ciuilem trãslatus fuerat, et Dromi Logotheta designatus, quam ipse non potestatem, sed graue supplicium iudicabat. accesserat malis, quòd quum in Themate * habitaret, domi manere iussus erat. Ob hæc Ioannes iratus, cùm etiam à meretrice illa irritaretur, quæ reditum ei iussu Imperatoris confecerat: regnum affectauit, illa adiutrice; eodem'que tempore suis necess-

Basilij Macedonis in caritate annonæ benignitas.

Dicterium in Nicephorum

Theophano cum Zimisce in Nicephori necem cõspirat.

necessarijs arcanum aperuit, et facinus aggressus, intempesta nocte cum ijs lembo conscenso, ad Regiam peruenit, qua mari austrino alluitur. *Bucoleon.* Bucoleon is locus dicitur, quod ibi lapideus leo excisus est, qui, cum boui eiusdem materiæ insideat, pede sinistro cornu illius tenet, & collum distorquet. Quo cum uentum esset, sportam demissam uidet, in eaque cum suis à Theophanonis ancillis attrahitur. Habebat autem secum Michaelem Burzem, Imperatori, ob inconsideratam illam iram infensum, & Leonem Abalantem & Theodorum Nigrum, quem ob colorem nigriorem Azypotheodorum uocabant, & alios duos. Igitur *Nicephori cædes.* cubiculum Imperatoris sine strepitu ingressi (Nam id quoque Theophano confecerat) Nicephorum humi dormientem, quidam calcibus per contumeliam insultans somno excutit, experrectum seque attollentem lethaliter in capite uulnerat, quo ictu & corpus eius & animus grauiter est concussus. Ad Zimiscem qui in regio lecto consederat, adductus, iam collabens & utrinque suffultus: cum rogaretur, quibus de causis ab eo uexatus esset? nihil respondit, sed illud duntaxat, Iuua domine, clamauit. Iubet igitur Zimisces coniuratos maxillas eius capulis gladiorum pulsando confringere, aut dentes elidere. Deinde quidam in tergum eius hastam ita intorquet, ut per pectus elaberetur. Tumultu ab excubitoribus excitato (iam enim insidias animaduerterant) caput modò defuncti, amputatum per fenestram ostendunt, itaque illorum impetum comprimunt. Fertur Nicephorus paucis antè diebus tabellas in suo cubiculo inuenisse insidiarum indices. Leo frater Imperatoris, necè illius cognita cum filio suo Nicephoro in magnam Ecclesiã cõfugit. Fuit hic Imperator cum cæderetur, natus annos quinquaginta septẽ, quorũ sex cum totidẽ mensibus regnauit.

IMPERIVM IOANNIS ZIMISCÆ.

Ac ille quidem fatis ita satisfecit. Zimisces autem regno potitus, Romani liberos, pueros adhuc, Imperij consortes fecit: Basilio cubiculario, quẽ Nicephorus nouo dignitatis genere Præsidem appellarat, ut in rebus gerendis uersato, *Nicephori acta rescinduntur.* administrationem omnem commisit. Is Nicephori cognatos, & alios qui ei adhuc benè cupere uidebantur, amouit, Leone curatore palatij, & filio eius Nicephoro Lesbum relegatis, alteri eius filio Bardæ certo limite præfinito, ne Amasia excederet, atque alijs aliter tractatis. Quos autem Nicephorus in exilium egerat, reuocauit. Ijs uerò etiam Pontifices an- numerabantur, qui ei libro subscribere re- *Zimisces non prius coronatur quàm Patri archæ satisfecisset.* cusarant, quo sanxerat, ne quis Pontifex se inscio designaretur. Deinde in magnam Ecclesiam abijt Ioannes, ut ibi diademate ornaretur. Sed Polyeuctus, eum, ut cæde pollutum, ingredi ædem sacram non est passus.

ἐθάῤῥει, τὸ ἀπόῤῥητον ἀπεκάλυψε, καὶ ἅμα τῷ ἔργῳ ἐπικεχείρηκε, καὶ προσλαβόμενος αὐτοὺς, ἀωρὶ τῆς νυκτὸς καὶ λέμβου ἐμβεβηκὼς ὑπὸ τὴν νοτίαν θάλασσαν τῶν βασιλείων ἀφίκετο. Βουκολέων ὁ τόπος ὠνόμασται, ὅτι λίθινος λέων λελαξευμένος ἐν αὐτῷ, βοὸς ἐπιβεβηκὼς ὁμοίας, καὶ τῷ εὐωνύμῳ ποδὶ κατέχων τὸ κέρας αὐτοῦ, καὶ περιστρέφων τὸν αὐχένα τοῦ βοός. ἐνταῦθα γενόμενος, σαργάνην τε καθειμένην αὐτόθεν καθορᾷ, καὶ δι' αὐτῆς ἀνιμᾶται παρὰ θεραπαινῶν τῆς Θεοφανοῦς, καὶ αὐτὸς καὶ οἱ σὺν αὐτῷ. εἶχε δὲ ὁ Βούρτζης Μιχαὴλ ἐγγὺς τῷ βασιλεῖ καὶ αὐτὸς διὰ τὴν ὀργὴν, ὡς εἴρηται, τὴν ἀλόγιστον, καὶ Λέων ὁ Ἀβαλάντης, καὶ ὁ μελάγχρους Θεόδωρος ὃν διὰ τὸ τοῦ εἴδους μελάντερον ἐκάλουν Ἀτζυποθεόδωρον, καὶ ἕτεροι δύο. *ἐπιβουλὴ τῆς Θεοφανοῦς, συμπραττόντων καὶ ἄλλων.* ἀψοφητὶ τοίνυν ὑποδύντες τὸν κοιτῶνα τοῦ βασιλέως (καὶ τοῦτο γὰρ αὐτοῖς ἡ Θεοφανὼ κατεπράξατο) εὗρον τὸν Νικηφόρον χαμεύνην ὑπνώττοντα, καί τις αὐτῷ λὰξ ἐνθορὼν καὶ ἐνυβρίσας διύπνισε, ὡς δὲ τὴν κεφαλὴν ἐπῆρε διυπνισθεὶς αὐτίκα, δέχεται κατ' αὐτῆς εὐθὺς καιρίαν πληγὴν, ἥτις αὐτῷ διέσεισε καὶ τὸ σῶμα καὶ τὴν ψυχήν. εἶτα ὁ μὲν Τζιμισκῆς ἐπὶ τῆς βασιλέως κλίνης ἐκάθητο, τὸν δὲ φονευθέντα ἤδη παρειμένον ἑκατέρωθεν ὑποβασταζόμενον, αὐτῷ παριστῶσιν. ὁ δὲ τὰς αἰτίας αὐτὸν ἠρώτα, δι' ἃς ἐκάκωσε παρ' αὐτοῦ· ὡς δ' ἐκεῖνος πρὸς οὐδὲν ἀπεκρίνατο, μόνον δὲ τό, Κύριε βοήθει, ἐφθέγγετο, ἐγκελεύεται τοῖς περὶ αὐτὸν ταῖς λαβαῖς τῶν ξιφῶν τὰς γνάθους αὐτοῦ παίοντας συνθραῦσαι, ἢ διασεῖσαι τοὺς ὀδόντας αὐτοῦ. εἶτά τις ἐξόπισθεν δόρατι βάλλει κατὰ νώτου αὐτὸν, καὶ τὸ δόρυ διὰ τῶν στέρνων διέπεισι. θορύβου δὲ παρὰ τῶν προκοιτούντων γεγονότος (ἤδη γὰρ ὡς αἴσθησιν ἔσχον τῆς ἐπιβουλῆς) καὶ τὴν κεφαλὴν τοῦ ἀνδρὸς ἐκπεπνευκότος ἄρτι ἐκτέμνουσι, καὶ τοῖς σωματοφύλαξι διὰ θυρίδος δεικνύουσι, καὶ οὕτω τὴν ἐκείνων ὁρμὴν καταπαύουσι. *ἀναίρεσις Νικηφόρου.* λέγεται δ' ὅτι πρὸ ἡμερῶν ὀλίγων ἐγγεγραφότι εὗρεν ἐν τῷ κοιτῶνι ὁ Νικηφόρος, δηλοῦντι τὴν ἐπιβουλήν. ὁ δὲ τοῦ βασιλέως Νικηφόρου αὐτάδελφος ὁ Λέων τὸ γεγονὸς ἐγνωκὼς, σὺν τῷ υἱῷ Νικηφόρῳ τῇ μεγάλῃ ἐκκλησίᾳ προσέφυγεν. ἦν δὲ ὁ ἀναιρεθεὶς βασιλεὺς ἐτῶν πεντήκοντα καὶ ἑπτά, δι' ὧν ἓξ καὶ μῆνας τοσούτους τῶν σκήπτρων ἐκράτησε τῶν ῥωμαϊκῶν.

ΒΑΣΙΛΕΙΑ ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΙΜΙΣΚΗ.

Καὶ ὁ μὲν οὕτως ἀπέτισε τὸ χρεών. ὁ δὲ Τζιμισκῆς τῆς βασιλείας γενόμενος ἐγκρατὴς, καὶ τοὺς τοῦ Ῥωμανοῦ παῖδας κοινωνοὺς πεποίηκε τῆς ἀρχῆς, παῖδας ἔτι τυγχάνοντας, τὸν δὲ παρακοιμώμενον Βασίλειον, ὃν ὁ Φωκᾶς τετίμηκε πρόεδρον, μήπω πρώην ὄντος τοῦ ἀξιώματος, προσλαβόμενος ὡς ἐντριβῆ πρὸς τὴν τῶν κοινῶν πραγμάτων διοίκησιν, αὐτῷ τὴν πᾶσαν οἰκονομίαν ἀνέθετο. *ὅτι τὸν παρακοιμώμενον Βασίλειον ὁ βασιλεὺς ἐπέστησε πράγμασι.* καὶ ὅσους τῷ Νικηφόρῳ προσήκοντας, ἢ καὶ ἄλλως εὔνοιαν ἐκείνῳ τηρεῖν ὑποπτευομένους, ἐκ μέσου πεποίηκε, τὸν μὲν κουροπαλάτην Λέοντα, καὶ τὸν υἱὸν αὐτοῦ Νικηφόρον ἐν Λέσβῳ περιορίσας, τῷ δ' ἑτέρῳ τοῦ Λέοντος υἱῷ τῷ Βάρδᾳ ὅριον θέμενος περιγραπτὸν τὴν Ἀμάσειαν, καὶ ἄλλους ἄλλως μετελθών τε καὶ οἰκονομησάμενος. τοὺς δὲ παρὰ τοῦ Νικηφόρου φυγαδευθέντας κατήγαγεν, οἷς καὶ ἀρχιερεῖς συνηρίθμηντο, ὅσοι μὴ ὑπογράψαι ἐν τῷ τόμῳ ὑπεῖκον, δι' οὗ κεκύρωτο, μὴ ἄνευ ἐκείνου ἀρχιερέα τινὰ προχειρίζεσθαι. *ὅτι ἀπελαθέντες ἀρχιερεῖς ἐπανῆλθον εἰς τὰς ἐκκλησίας.* εἶτα ἄπεισιν ὁ Ἰωάννης εἰς τὴν μεγάλην ἐκκλησίαν ταινιωθησόμενος· ἀλλ' οὐκ εἰάθη παρὰ τοῦ Πολυεύκτου εἰς τὸν ναὸν εἰσελθεῖν, ὡς φόνῳ μεμιασμένος.

πρᾴως δὲ τὴν ἐπιτίμησιν ὁ Τζιμισκῆς ἐνεγκὼν, ἀπελογεῖτο μὴ αὐτὸς αὐτόχειρ γενέσθαι τοῦ φόνου, ἔλεγε δὲ τὸν Ἀβαλάντην καὶ τὸν Ἀτζυποθεόδωρον ἐπιτροπῇ τῆς Θεοφανοῦς τὸν Νικηφόρον διαχειρίσασθαι. τὴν μὲν οὖν Θεοφανὼ ὁ πατριάρχης ἀπῄτησε τῶν βασιλείων ἀπελαθῆναι καὶ περιορισθῆναι, καὶ τοὺς αὐτόχειρας τοῦ Νικηφόρου ἐκδιωχθῆναι, τὸν δὲ τόμον, οὗ πρὶν ἐμνήσθημεν, διαρραγῆναι, καὶ αὐτὸν τὸ προσῆκον δέξασθαι ἐπιτίμιον. ὁ δὲ πάντα ποιήσειν ὑπέσχετο, καὶ αὐτίκα στέλλει καὶ κατάγει τῆς βασιλίδος τῶν ἀνακτόρων, καὶ τὸν τόμον ἐκκομισθέντα διέρρηξε, καὶ ἣν ἐν ἰδιώταις τελῶν εἶχε περιουσίαν, διανεῖμαι πένησιν ἐπηγγείλατο. τούτων δὲ γενομένων ἐπὶ τὴν γενέθλιον τοῦ σωτῆρος ἡμῶν καὶ θεοῦ ἑορτὴν ἅμα τε τὴν τῆς ἐκκλησίας ἀδεῶς ἐποιεῖτο εἴσοδον, καὶ ἅμα τῷ διαδήματι ἐστέφετο, τῆς δὲ Θεοφανὼ εἰς Προικόννησον περιορισθείσης. οὕτω μὲν τοίνυν ἀναρρηθεὶς, ἐπεὶ ἀρχιερέως ἡ μεγάλη Ἀντιόχεια χηρεύουσα ἦν, προχειρίζεταί τινα μοναχὸν Θεόδωρον, ὃς αὐτῷ προεῖπε τῆς βασιλείας τυχεῖν, καὶ μὴ σπεῦσαι μηδ' ἁρπάσαι αὐτὴν, ἀλλ' ἀναμεῖναι τὴν ἐκ τοῦ θείου προχείρισιν. ὅσπερ τὴν ἀρχιερωσύνην καταδεξάμενος, ἀξίωσιν ἐδίδου πρὸς τὸν αὐτοκράτορα ἱκανὴν, τοὺς Μανιχαίους ἐκ τῆς ἑῴας μετοικίσαι πρὸς τὰ ἑσπέρια, πολλοὺς τῇ αὐτῶν μυσαρᾷ αἱρέσει διαφθείροντας. ὁ τὴν ἀξίωσιν πληρῶν, εἰς Φιλιππούπολιν μετήγαγε τὸ γένος τῶν Μανιχαίων. ὁ δὲ πατριάρχης Πολύευκτος τῇ τοῦ Τζιμισκῆ ἀναρρήσει τριάκοντα καὶ πέντε ἡμέρας ἐπιβιοὺς, τὸν βίον μετήλλαξε, καὶ ἀντεισήχθη εἰς τὸν ἀρχιερατικὸν θρόνον τῆς βασιλευούσης τῶν πόλεων ὁ μοναχὸς Βασίλειος ὁ Σκαμανδρηνός. οἱ δ' ἐκ τῆς Ἄγαρ μὴ ἀνεκτὸν ἡγούμενοι στερεῖσθαι τῶν πόλεων ὧν ἤδη ἀφῄρηντο, συνελέγησαν πανταχόθεν, καὶ συνθήκας περὶ ὁμαιχμίας πεποιηκότες, καὶ τοῖς Καρχηδονίοις τὴν σφῶν ἡγεμονίαν προστησάμενοι, ἐπιστρατεύουσιν ἐπὶ τὴν ἐν τῇ Δάφνῃ Ἀντιόχειαν, καὶ ταύτην ἐπολιόρκουν. τῶν δ' ἐν τῇ πόλει αὖθις ἱσταμένων αὐτοῖς καρτερώτερον, ἠγγέλθη τῷ βασιλεῖ τῶν ἐθνῶν ἡ συνέλευσις. ὁ δὲ κελεύει τὸν στρατηγὸν Μεσοποταμίας ἐπικουρῆσαι τοῖς πολιορκουμένοις. καὶ πολέμου πρὸς τοὺς Ἀγαρηνοὺς συρραγέντος, οἱ βάρβαροι καίτοι πολλαπλάσιοι πρὸς τοὺς Ῥωμαίους ὄντες, τρέπονταί τε καὶ σκεδάννυνται. οἱ δὲ Ῥῶς τό τε τῶν Βουλγάρων ἔθνος καὶ τὴν χώραν αὐτῶν ὑφ' ἑαυτοὺς ποιησάμενοι, καὶ τοὺς ἡγεμόνας τοῦ ἔθνους τόν τε Βορίσην καὶ τὸν Ῥωμανὸν ἑλόντες, οὐκέτι τῶν οἴκοι ἐμέμνηντο, ἀλλ' ἤθελον αὐτόθι μένειν, τὴν χώραν κατέχοντες, πρὸς τοῦτο δὲ αὐτοὺς καὶ ὁ Καλοκυρὸς ἀνηρέθιζεν, εἰ γὰρ βασιλεὺς Ῥωμαίων αὐτὸς ἀναρρηθήσομαι παρ' ὑμῶν, λέγων, τό τε τῆς Βουλγάρων χώρας παραχωρήσω ὑμῖν, καὶ διαθήσομαι πρὸς ὑμᾶς εἰρήνην διαιωνίζουσαν, καὶ τὰ ὑπεσχημένα παρέξω ὑμῖν πολλαπλάσιον. οἱ δὲ τῇ τε τῶν χωρῶν ἀρετῇ θελχθέντες, καὶ τοῖς λόγοις τοῦ Καλοκυροῦ χαυνωθέντες, οὔτε τῷ βασιλεῖ πάντα ποιήσειν ἐπαγγελλομένῳ τὰ παρὰ τοῦ Νικηφόρου σφίσιν ὑπεσχημένα ἐπείθοντο γράφοντι, καὶ τοῖς πρέσβεσιν ὡμίλησαν ἀλαζονικώτερον. ὅθεν ἀνάγκη κατ' αὐτῶν ὅπλα ἐνέγκασθαι, καὶ ταῖς Ῥωμαϊκαῖς δυνάμεσιν ἐπέστησε στρατάρχην, ὃν στρατηλάτην ὀνομάζουσι, Βάρδαν μάγιστρον τὸν Σκληρὸν, τῆς ἄρτι θανούσης αὐτῷ γαμετῆς αὐτάδελφον ὄντα, ὁρμῆσαι ἐπὶ τοὺς Ῥῶς ἐντειλάμενος· ὁ δὲ ἀπῄει. οἱ βάρβαροι τοῦτο μαθόντες, καὶ ὁ τούτων ἔξαρχος ὁ Σφενδοσθλάβος, τούς τε Βουλγάρους ὁπλίσαντες, καὶ συμμάχους προσλαβόμενοι Σκύθας, οἳ Πατζινάκαι καλοῦνται, καὶ τοὺς τὴν Παννονίαν οἰκοῦντας Τούρκους, καὶ στρατιὰν εἰς τριάκοντα μυριάδας ἀριθμουμένην συστησάμενοι, τὴν Θρᾴκην ἅπασαν ἐλῄζοντο, τότε οὖν μὲν

πῶς ἐστέφθη ὁ τζιμισκής.

πῶς οἱ μανιχαῖοι ἐκ τῆς ἑῴας εἰς τὰ ἑσπέρια μετῳκίσθησαν.

περὶ πατριαρχῶν.

περὶ τῶν ἀγαρηνῶν.

ὅτι οἱ ῥῶς καταλαβόντες κατὰ τῶν βουλγάρων, καὶ τοὺς καταγωνισάμενοι, ἀπολαβεῖν τὰ ἴδια οὐκ ἐβούλοντο, ἀλλ' ἐκεῖ ἔμενον.

ὅτι ὁ σκληρὸς βάρδας ἐστάλη κατὰ τῶν ῥῶς.

Quam increpationem Zimisces æquo ferens animo, pro defensione attulit, se cædẽ suis manibus non perpetrasse, sed Abalantẽ, et Azypotheodorum Theophanonis iussu Nicephorum sustulisse. Contrà, patriarcha postulauit, ut Theophano regia pulsa relegaretur, & Nicephori percussores in exilium agerentur, & liber cuius mentionem fecimus, laceraretur, & ipse pœnas daret. Ille se omnia facturũ pollicitus, statim missis satellitibus Theophanonem Regia educit, librum ad se allatum lacerat, & quas priuatus opes habuisset, se distributurum pauperibus promisit. His factis natali seruatoris & Dei nostri, simul in Ecclesiam admittitur, simul diademate ornatur, Theophanone in Præconesum relegata. Sic appellatus Imperator, cum magna Antiochia Pontifice careret, monachum quendam Theodorum, qui Imperium ei prædixerat, neq; festinare aut rapere, sed numinis designationem expectare iusserat, nominauit. Is Pontificatu suscepto ab eo postulauit, ut Manichæi, qui fœda sua secta multos contaminarent, ex Oriente in Occidentem transferrentur. Cuius postulatis ille obsecutus, nationem Manichæorum Philippopolim transtulit. At Patriarcha Polyeuctus, cum post Zimiscæ proclamationem trigintaquinque dies uixisset, obijt, in eiusq; locum successit Basilius monachus Scamandrenus. Agareni uerò non ferendum esse rati, si ademptis modò urbibus carendum esset: undecunq; conuenerunt, pactaq; belli societate, Carthaginensium ductu & auspicijs, Antiochiam iuxta Daphnen, obsederunt. Sed dum ciues constantius illis resistunt, gentium illa conspiratione cognita Imperator, Mesopotamiæ Ducem obsessis opem ferre iubet. Prælio commisso, Barbari, & si numero longè superiores, à Romanis profligati, dissipantur. Cæterum Rossi Bulgarorum natione & prouincia subacta, unà cum ducibus Borise & Romano, obliti patriæ, illic Imperij sedem constituere uoluerunt, Calocyri potissimum impulsu: qui, si ab eis Romanorum imperator appellaretur, se & Bulgaria eis cessurum, & pacem perpetuam facturum, & longè plura quàm promissa essent, præstiturum, est pollicitus. Illi & prouinciarum bonitate illecti, & Calocyri uerbis inflati: neque literis Imperatoris, omnia quæ Nicephorus promisisset, se confecturum affirmantis, auscultarunt, & legatos insolentiùs tractarunt. Qua de causa bello eos petere coactus, Romanas legiones Barda Sclero magistro duce, fratre uxoris nuper defunctæ, cõtra Rossos misit. Quo Barbarorũ dux Sphendosthlabus intellecto, Bulgaris armatis, & Pazinacis Scythis, necnon Turcis, qui Pannoniam tenent, ad belli societatem ascitis, exercitu circiter CCC millium coacto, Thraciam omnem populatur. Sclerus, qui cum tanta multi-

Theodorũ Antiochiæ Pontifex.

Manichæi.

Basilius Patriarcha.

Agareni Antiochia repulsi.

Bardas Dñ tus cũ Rossis Bulgaris & Pazinacis prosperè pugnat.

multitudine aciei congredi non auderet, quippe copijs longè inferior, militari solertia Barbaros deuicit. Nam primùm Pazinacas solos callidè in insidias pellectos, partim cæcidit, partim uiuos cepit. Deinde cum cæteris aliquandiu æquo Marte pugnauit. Sed cum quidam ex Scythis & proceritate corporis & animi uigore omnibus suis popularibus superior, Sclerum suas legiones equo circumuehi, & ad rem strenuè gerendam cohortari uidisset: concitato equo ensem capiti uiri impegit, qui & duritie & læuore galeæ repulsus, non penetrauit. Sclerus uicissim tanta uehementia gladium in caput hostis illisit, ut Barbarus in duas partes dissecaretur, mediæque partes eius utrinque de equo laberentur. Quo facinore Barbari perterriti, fugæ se mãdarũt, quos Romani à tergio insequuti, multos occiderũt, multos ceperunt. persequendi reliquias Barbarorum, quæ quidem uulneribus affectæ erant, finẽ noctis interuentus attulit. Dum hæc contra Rossos geruntur, Bardas Phocas Leonis filius, relicta Amasia, ubi exulabat, Cappadociæ Cæsarem occupauit, & factiosorum hominum opibus fretus, tyrannidem affectauit, sumptis Imperij insignibus. Sed & pater eius Leo cum altero filio Nicephoro in animo habuit Lesbo transire in Thraciam, adiutore Abydeno archiepiscopo. Verùm eo consilio cognito, damnatur unà cum filio Nicephoro, ut ei oculi effodiantur. Imperator tamen clam ministris mandasse fertur, ut simularent duntaxat excæcationem, eorumque uisum illæsum conseruarent. His ita gestis, Scythis recens fusis, Sclero literæ ab imperatore afferuntur, ut traiecto in Orientem exercitu, Bardam Phocam opprimat. Qui cum Cæsariam peruenisset, Phocas à sua factione desertus (nam ad Sclerum confluebant omnes) solus cum suis ministris ad castellum Tyropæum properat: à quo cum non multum abesset, equites eum à Sclero missi consequuntur. Quorum unus Constantinus Charon, cæteris audacior scilicet, commilitones suos anteuertit, & impetu uehementiore ac pertinacius in Phocam, extremum suorum agmen curantem, illatus, hominem maledictis & probris insectatur. Cui ille, Non
" te decet, inquit, homini tali calamitate con-
" flictanti insultare. Cum autem Charon interim propior factus, telum in eum coniecturus esset, clauam sic in galeam eius impegit, ut unà cum illa caput etiam confringeret,
" quo uno ictu prostratus, purpuream uomit ille animam. Eum iacentem conspicati, qui ponè sequebantur, à persequẽdo destiterunt. Phocæ porrò castellum iam ingresso persuasit Sclerus, ut Imperatoris fidei se committeret: cuius iussu clericus factus, & in Chium relegatus est: Sclerus in Occidentẽ reuocatus. Imperator studio Basilij Cubicularij

Bardas Phocas & Leo affectati imperij dant pœnas.

Cõstantinus Charon à Barda occiditur.

Zimiscæ nuptiæ et Rossica uictoria.

θαῤῥῶν ὁ σκληρὸς συμμῖξαι, καὶ ἐπὶ συστάδην μαχέσασθαι (πολλοστὸν γὰρ ἦν πρὸς τὸ πλῆθος ἐκείνων τὸ μετ' αὐτοῦ στρατιωτικὸν) στρατηγικαῖς μεθόδοις τοὺς βαρβάρους κατηγωνίζετο. καὶ πρῶτον μὲν λόχους καθίσας, καὶ μόνοις τοῖς πατζινάκαις ἐπελθὼν, εἶτα ὑποφυγὼν αὐτοὺς εἰσαγαγὼν εἰς τοὺς λόχους, τοὺς μὲν ἀνεῖλε, τοὺς δὲ εἷλε ζῶντας. εἶτα καὶ τοῖς ἄλλοις συμμίξαντι μέχρι μέν τινος ἰσόῤῥοπος ἦν ἡ μάχη αὐτῷ. ὥς δέ τις τῶν σκυθῶν καὶ ὄγκῳ σώματος, καὶ ψυχῆς παραστήματι γενναῖος εἶναι δοκῶν, καὶ τὸ ὁμόγλωττον ἀπὸ τῶν ἑτέρων, ὁρῶν τὸν σκληρὸν ἔφιππον διϊόντα τὰς ὑφ' ἑαυτὸν τάξεις, καὶ ταύτας εἰς ἀλκὴν διεγείροντα, ὥρμησε κατ' ἐκείνου, καὶ κατήνεγκε τὸ ξίφος ἐπὶ τῆς κεφαλῆς τοῦ ἀνδρὸς, τὸ δὲ τῇ τοῦ κράνους ἰσχύϊ καὶ τῇ λειότητι οὐχ ἥψατο αὐτοῦ. ὁ δὲ σκληρὸς αὖθις ἐπὶ τῆς κεφαλῆς τὸν σκύθην ἀντέπληξε, καὶ ἡ τοῦ ξίφους καταφορὰ εἰς τοσοῦτον γέγονε σφοδρὸς, ὡς διχῆ τμηθῆναι τὸν βάρβαρον, καὶ ἀμφότερα τὰ μέρη αὐτοῦ τοῦ ἵππου ἐκπεσεῖν. οἱ βάρβαροι τὸ ἔργον ἐκπλαγέντες εἰς δειλίαν ἐνέπεσον, καὶ εἰς φυγὴν αὐτίκα ἐτράπησαν, οὓς οἱ ῥωμαῖοι κατόπιν ἐλαύνοντες, πολλοὺς μὲν ἀνεῖλον, πολλοὺς δ' ἐζώγρησαν. ἔπαυσε δὲ τῆς διώξεως τοὺς περὶ τὸν σκληρὸν ἐπελθοῦσα ἡ νύξ. τέως δὲ καὶ ὅσοι περιελείφθησαν τραυματίαι ὄντες. καὶ τὰ μὲν ἐπὶ τοὺς ῥῶς ἐν τούτοις ἦσαν, βάρδας δὲ ὁ φωκᾶς ὁ τοῦ λέοντος παῖς, ἐξ ἀμασείας φυγὼν ἐν ᾗ περιωρίζετο, τὴν τῶν καππαδοκῶν κατειλήφει καισάρειαν, πολλοὺς προσεταιρισάμενος, καὶ τυραννίδι ἐπεχείρησεν, ἑαυτῷ περιθέμενος τὰ τῆς βασιλείας παράσημα. καὶ ὁ πατὴρ δὲ τούτου ὁ λέων σὺν τῷ ἑτέρῳ υἱῷ τῷ νικηφόρῳ ἐκ λέσβου πρὸς θρᾴκην ἐβουλεύσατο διαβῆναι, ἔχων συμπράττοντά οἱ καὶ τὸν ἀβύδου ἀρχιεπίσκοπον. γνωσθεὶς δὲ, τοὺς ὀφθαλμοὺς πηρωθῆναι καταδικάζεται σὺν τῷ υἱῷ νικηφόρῳ. λέγεται δὲ τὸν βασιλέα ἐπὶ τὸ λεληθὸς ἐντείλασθαι τοῖς ὑπηρετοῦσι τὴν πήρωσιν τῶν ἀνδρῶν, μὴ ἐκκόψαι τούτοις τὰ ὄμματα, ἀλλὰ δόκησιν μὲν παρασχεῖν ἐκτυφλώσεως, παραφυλάξαι δὲ τοῖς ἀνθρώποις ἀλώβητον τὸ ὁρᾶν. τούτων οὖν οὕτω συνενεχθέντων, γραφὴ καταλαμβάνει βασιλέως τὸν σκληρὸν, ἄρτι τοὺς σκύθας τρεψάμενον, διαπεραιωθῆναι πρὸς τὴν ἑῴαν, καὶ τῷ βάρδᾳ τῷ φωκᾷ ἀντικαταστῆναι. καὶ αὐτίκα ἀπῆρε καὶ εἰς καισάρειαν γίνεται, καὶ οἱ περὶ τὸν φωκᾶν, ἐκεῖνον λιπόντες, τῷ σκληρῷ προσερρύησαν. μόνος δὲ μετὰ τῆς θεραπείας ὑπολειφθεὶς, πρὸς τὸ φρούριον κατέφυγε τὸ τυροποιόν. ἤδη δ' ἐγγὺς ὄντα τοῦ ὁρμηθέντος φρουρίου, καταλαμβάνουσιν αὐτὸν ἱππεῖς πεμφθέντες πρὸς τοῦ σκληροῦ. ὧν εἷς κωνσταντῖνος ὁ χάρων θρασύτερος τῶν ἄλλων, ὡς ἔοικεν, ὢν, προφθάσας τοὺς συστρατιώτας, μεθ' ὁρμῆς συντονωτέρας ἐπέρχεται τῷ φωκᾷ, ὁ δὲ οὐράγει καὶ τοὺς σὺν αὐτῷ προῆγε, καὶ ὁ χάρων ὕβρεσι τοῦτον ἔβαλλε καὶ ὀνείδεσι, καὶ ὁ φωκᾶς, οὐκ ἔδει σε, εἶπεν, ἄνθρωπον ἐν συμφοραῖς τοιαύταις γενόμενον, ἐπιπλήσσειν. τοῦ δὲ χάρωνος ἐν τούτοις ἐγγίσαντος τῷ βάρδᾳ, καὶ βαλεῖν ἐπιχειροῦντος αὐτὸν, ἐκεῖνος τῇ κορύνῃ ἀνατείνας, παίει τὸν κωνσταντῖνον ἐπὶ τὴν κόρυθα, καὶ ταύτην συνέτριψε μετὰ τῆς κεφαλῆς τοῦ ἀνδρὸς, καὶ εὐθὺς ἐκεῖνος τὸν πεπληρωμένον πορφύρεον θάνατον, μιᾷ θανατωθεὶς πληγῇ. οἱ δὲ κατόπιν ἐλαύνοντες, ὁρῶντες τοῦτον πεσόντα, ἀπέστησαν τῆς διώξεως, καὶ ὁ φωκᾶς εἰσέδυ τὸ φρούριον. εἶτα καὶ ὁ σκληρὸς περιγενόμενος, καὶ πείσας αὐτὸν προσχωρῆσαι τῷ βασιλεῖ, καὶ προσελθόντα, κληρικόν τε γενόμενον, εἰς τὴν χίον περιορίζει ὁ τζιμισκῆς. καὶ ὁ σκληρὸς αὖθις προσετάχθη μεταβῆναι εἰς τὰ ἑσπέρια. νυμφεύεται δ' ἐν τούτῳ γυναῖκα ὁ βασιλεὺς σπουδῇ βασιλείου τοῦ πρεκω-

ὅπως ὁ σκληρὸς τοὺς ῥῶς καταγωνίσατο.

ὅπως ὁ φωκᾶς βάρδας τυραννίδα ἐπεχείρησε, καὶ ὁ πατὴρ αὐτοῦ καὶ ὁ ἀδελφὸς ἀπεκρύβησαν.

ὅτι τοῦ σκληροῦ ἐπελθόντος τῷ φωκᾷ, οἱ σὺν ἐκείνῳ προσέθεντο τῷ σκληρῷ, καὶ ὁ φωκᾶς τῷ βασιλεῖ προσεχώρησε, καὶ ἐκείνῳ καρῆναι καὶ τὸν τῆς χίου ...

ὅτι ἔγημεν ὁ βασιλεὺς θυγατέρα τοῦ βασιλέως κωνσταντίνου ... κατὰ τῶν ῥῶς, καὶ πόλεις ... αὐτῶν κατέσχεν.

τοῦ παρακοιμωμένου. Θεοδώραν τὴν θυγατέρα Κωνσταντίνου τοῦ πορφυρογεννήτου ἠγάγετο. τῷ δὲ δευτέρῳ τῆς αὐτοῦ βασιλείας ἔτει, ἔαρος ἀναλάμψαντος, ἐκστρατεύει κατὰ τῶν Ῥῶς σὺν στρατεύμασι πλείοσι καὶ στόλῳ περιφανεῖ. καὶ ἀπιόντι συναντῶσιν αὐτῷ προβαλλόμενοι πρεσβείαν τῶν Σκυθῶν, οἱ δὲ κατὰ τὸ ἀληθὲς ἦσαν τῆς τῶν Ῥωμαίων ἰσχύος κατάσκοποι. ὃ εἰδὼς ὁ βασιλεὺς ἐκέλευσε περιαχθῆναι αὐτοὺς κατὰ πᾶν τὸ στρατόπεδον, καὶ οὕτω καταμαθόντας ἐκέλευσεν ἀπαλλάττεσθαι. ἐκείνων δὲ ἀπιόντων, καὶ αὐτὸς διαζώνους παραλαβὼν πεζοὺς μὲν χιλιάδας πέντε, καὶ ἱππότας τετρακισχιλίους, ὀπίσω τῶν πρεσβευσάντων, καὶ ἀθρόον εἰς τὴν μεγάλην Περσθλάβαν γίνεται, καὶ βάλλεται χάρακα, ὃ τοὺς Ταυροσκύθας εἰς ἀμηχανίαν ἐνέβαλε. Καλοκύρης δὲ ὁ τῶν κακῶν πρωτουργὸς, ἐκεῖ τότε τυχὼν, καὶ γνοὺς τὸν βασιλέα παραγενόμενον, πρὸς τὴν τῶν Ῥῶς ἀπέδρα παρεμβολήν, ἀφ' οὗ τὴν τοῦ βασιλέως παρουσίαν μαθόντες, ἐθορυβοῦντο, ὅμως μέντοι παρεστρατοπεδεύοντο τοῖς Ῥωμαίοις. οἱ δὲ περὶ τὸν βασιλέα ἐλθόντες εἰς τὴν Περσθλάβας ἄστυ, ὡς ἀγχοῦ, καταλαμβάνουσιν ἐκτὸς γυμναζομένους ὡς ὀκτακισχιλίους, καὶ κείνοις συνέμιξαν. οἱ δὲ πρὸς ὀλίγον ἀντέσχον, εἶτα νῶτα στρέψαντες ἔφευγον. καὶ οἱ ἐντὸς, ὡς ἐπέγνωσαν, ὁπλισάμενοι, ἐπιβοηθήσοντες τοῖς ὁμοφύλοις ἐξῄεσαν, καὶ ἀσυντάκτως αὐτοῖς χωροῦσιν, ὑπαντιάζοντες οἱ Ῥωμαῖοι ἀνῄρουν πολλοὺς, οἱ δὲ εἰς τὴν πόλιν αὖθις ἀνθυπέστρεφον. ἀλλ' ἱππέων τινῶν διαπτάντων Ῥωμαίων, καὶ τῆς εἰς τὴν πόλιν ἀπαγούσης ἀτραποῦ ἐπιτειχισάντων, οἱ βάρβαροι ἀνὰ τὸν ἐκτὸς τοῦ ἄστεος χῶρον ἐσκεδάσθησαν, ἔνθα οἱ μὲν ἐζωγροῦντο, οἱ δὲ καὶ ἐκτείνοντο, οἱ δ' ἐν τῇ πόλει τὰς πύλας κλείσαντες, ἐπολιορκοῦντο. τῇ δ' ὑστεραίᾳ τοῦ παρακοιμωμένου Βασιλείου μετὰ πάσης τῆς στρατιᾶς ἐλθόντος, ἰσχυρότερον ὁ βασιλεὺς τῇ πολιορκίᾳ ἐνεχείρησε, καί τινες διὰ κλιμάκων εἰς τὸ τεῖχος ἀναβεβηκότες, καὶ τοὺς ἐκεῖ τῶν βαρβάρων καταληφθέντας συγκόψαντες ξίφεσι, τὰς πύλας ἀνέῳξαν, καὶ τῇ Ῥωμαϊκῇ στρατιᾷ πᾶσαν ῥᾳδίαν παρέσχον τὴν εἴσοδον. καὶ οὕτω μὲν ἡ τῆς Περσθλάβας ἄστυ Ῥωμαίοις κατέστη ἁλώσιμον, ἔνθα καὶ ὁ τῶν Βουλγάρων βασιλεὺς ὁ Βορίσης ἑάλω. ᾧ καὶ πᾶσι τοῖς Βουλγάροις ἐντίμως ὁ αὐτοκράτωρ ἐχρήσατο, αὐτοὺς αἰτίας, οὐ κατὰ Βουλγάρων, λέγων, ἄρασθαι ὅπλα, κατὰ δέ γε τῶν Ῥῶς. πολλῶν δὲ Σκυθῶν εἰς ὀχύρωμά τι προσφυγόντων, ἐξελεῖν καὶ τοῦτο ὁ βασιλεὺς ἐκέλευσεν. οἱ δὲ στρατιῶται διὰ τὸ τοῦ τόπου δυσάλωτον ἦσαν ἀπρόθυμοι. ὁ γοῦν οἰακονόμος αὐτὸς πρὸ τῶν ἄλλων πεζὸς ἀπῄει πρὸς τὸ ὀχύρωμα, καὶ οὕτω κατ' αἰδῶ τοὺς στρατιώτας ἔσχεν ἑπομένους αὐτῷ, καὶ ἁλοῦν τὸ φρούριον, καὶ τῶν ἐν αὐτῷ οἱ μὲν διεφθάρησαν, οἱ δὲ καὶ ἁλῶναι Ῥωμαίοις ἐγένοντο. τούτῳ μὲν οὖν τῷ ἄστει φρουρὰν ἐγκαταλείψας ὁ βασιλεὺς ἀξιόμαχον, ἐκεῖθεν δὲ ἀπῄει πρὸς τὸ Δορόστολον, ὃ καὶ Δρίστρα καλεῖται, καί τινας πόλεις ἑλὼν κατὰ πάροδον, καὶ φρούρια ἐκπορθήσας, ἐφίστατο πρὸς τὸ Δορόστολον. ἦν δὲ πρὸ τῆς πόλεως ταύτης ἐστρατοπεδευκὼς ὁ τῶν Ῥῶς ἀρχηγὸς ὁ Σφενδοσθλάβος. ὡς δ' οὖν εἶδον ἀλλήλας αἱ στρατιαὶ, συνερράγησαν ἐπ' ἀλλήλαις εὐθὺς, καὶ τὸ μὲν πολὺ τῆς ἡμέρας ἀγχωμάλως ἐμάχοντο, περὶ δὲ δείλην ὀψίαν ἀπαγορευσάντων οἱ Ῥῶς ἐνέκλιναν πρὸς φυγὴν, καὶ οἱ Ῥωμαῖοι ἐδίωκον, πλεῖστοι μὲν οὖν τῶν βαρβάρων ἀπώλοντο, οὐ μείους δὲ ἐζωγρήθησαν, οἱ δ' εἰς τὸ Δορόστολον ἐπανῆλθον, καὶ ὁ βασιλεὺς πρὸ τῆς πόλεως περιβαλόμενος χάρακα, τὰς τριήρεις τὸν Ἴστρον φυλαξούσας προσέμενεν, ἵνα μὴ οἱ Ῥῶς ἀποδράσωσιν. ὁ δὲ Σφενδοσθλάβος Βουλγάρους, ὡς εἰς δισμυρίους ἐκτὸς(?) λέγοντας, πάντας ὑπὸ δεσμοῖς ἐποίησεν, δείσας, μὴ

Ἅλωσις τῆς Περσθλάβας.

[illegible] Δοροστόλου τοῦ καὶ Δρίστρας [illegible] πολιορκία.

Theodora Constantini Porphyrogeniti filia, uxore ducta, anno secundo Imperij, uerno tēpore cum multis exercitibus & classe illustri bellum Rosſis infert, cui inter abeundū Scytharum ſpeculatores, Romanorum uires exploraturi, per ſpeciem legationis occurrerūt: quos Imperator, cur adeſſent nō ignarus, per omnia caſtra circumduci iuſsit, iiſq; perluſtratis abire. Digreſsis illis, ipſe cum expeditorū quinque & equitum quatuor milibus ſecutus, ex improuiſo ad magnam Perſthlaben accedit, & uallum communit, quæ res Tauroſcythis terrorem attulit. Calocyrus autem qui tum ibi erat, omnis mali autor, cognito Imperatoris aduentu, in Roſſorum caſtra confugit, præſentiæ illius nuncium afferens: quo etſi perturbati ſunt, tamen iuxta Romanos caſtra poſuerunt. Imperator uerò Perſthlaben profectus, extra urbem circiter octo millia hominum ſeſe exercentium deprehendit, qui impetu eius pauliſper tolerato, terga dederunt. Oppidani ti, arma ut res ferebat, ad opem ferendam popularibus incompoſito agmine egreſsi, à Romanis partim occiduntur, partim in urbem ſe recepturi; obſepto equitibus itinere, in campo diſsipati ſunt, alijs cæſis, alijs captis. Qui intra urbem erant, clauſis portis ſunt obſeſsi. Poſtridie cum Baſilius Cubicularius cum toto exercitu aduenifſet: Imperatore oppugnationem uehementius urgente: quidā ſcalis conſcenſo muro, Barbaros aliquot deprehenſos ibi cæciderunt, apertisq; portis, exercitui facilē ingreſſum patefecerunt. Perſthlabe ſic expugnata, Boriſes quoq; Bulgarorum Rex captus eſt: quem cum omnibus Bulgaris Imperator humaniter tractatum dimiſit. Negabat enim ſe Bulgaris intuliſſe bellum, ſed Roſsis. Cum autem multi Scythæ in munitionem quandam confugiſſent: Imperator eam quoque excindi iuſſit. Quia uerò milites à difficili ob ſitum loci oppugnatione abhorrere uidebat, ipſe primus caſtellum pedes adortus, effecit, ut milites ex uerecundia ſecuti, capto caſtello, alios cæderent, alios caperent. Vrbi Perſthlabæ ualido præſidio impoſito, Doroſtolum, quæ & Driſtra dicitur, petit, ubi Sphendoſthlabus Roſſorū dux caſtra habebat, atq; obiter quaſdam urbes capit & caſtella uaſtat. Vt in hoſtium conſpectum uentum eſt, ambo exercitus ſtatim congreſsi, magnam diei partem æquo Marte pugnauerunt, donec ſub crepuſculum Roſsi defatigati, in fugam inclinarunt. Romanis'que perſequentibus, multi cæſi ſunt, nec pauciores capti: cæteri Doroſtolum ſe receperunt. Imperator uerò uallo ante urbem excitato, triremes quo Iſtrum tuerentur, expectabat, ne Roſsi aufugerent. Sphendoſthlabus autem quos habebat Bulgaros, qui ad uiginti millia eſſe dicebantur, in uincula compegit, ueritus, ne

Perſthlabæ expugnatio.

Doroſtoli Driſtræ expugnatio.

Leo Phocas Orientales Agarenos profligat.

Ac nisi ob cōstantem famam, qua ferebatur, Romanum qui Agarenos Creta pulsurus esset, omnino Romana sceptra arrepturū, Phocas inde reuocatus fuisset: fortasis insula penitus subacta Saraceni pulsi essent. Leonem quoque Phocam Nicephori fratrem Romanus cum exercitu contra Chamadam Chalepi dominum misit, qui Barbaro acie superato, magnam partem exercitus eius in prælio cæcidit, reliquam cepit, ipso duce cum admodum paucis ægre elapso. Leo igitur reuersus honorificè exceptus est, & ob uictoriam triumpho ornatus.

Coniuratio clementer uindicata.

Deprehensis consilijs contra Imperatorem initis, autores & conscij cōprehensi, non tamen crudeliter puniti sunt. Phocas autem Nicephorus magister è Creta reuocatus, non situs est recurrere Byzantium, sed cum omni exercitu in Orientem ire iussus. Nam altera Chamadæ impressio expectabatur.

Nicephorus Berrœā capit.

Profectus igitur in Syriam, pugnaq; commissa, hostes illustri uictoria superauit, & Berroea, præter arcem, uastata, maximis diuitijs est potitus, & captiuis penè innumeris, multosq; Christianos uinculis liberauit.

Nicephori industria in instaurāda Republica.

Romanus initio Imperij sui, Agarenis omnes prouincias uastantibus, animo æstuans, Phocam Nicephorum rogasse fertur qui fieret, ut Romana res ita pessum iret? cui ille magna libertate respōdit: ideò fit, quod tu imperas, & pater meus exercitum ducit. Nam & tu Imperium perperā administras, & ille pecuniæ studet. Verum si tu uolueris, & animi & res Romanorum mutabuntur. Eam tamen mutationem noli putare fore subitam. His dictis, ab Imperatore iussus rem suo arbitratu administrare: statim disciplinæ militari animum intendit, & legiones ueteres ordinauit, et nouas cōscripsit, omnibusq; bellicis studijs exercuit. Sic cohortibus expletis, & fossoribus armatis, contrariaq; Prophetico dicto ratione inita, falcibus in gladios & aratris in iacula cōflatis, celebres illos triūphos facilè est adeptus.

Romani obitus.

Romanus aūt cum trienniū et ultra Imperio insultasset, ex hac uita decessit, uel, ut quidā tradūt, ueneno hausto, uel uoluptatib⁹ & libidine uirib⁹ corporis exhaustis, Imperio utriq; filio & matri eorū Theophanoni relicto. Eo mortuo Nicephorus Phocas ab Imperatrice Byzantiū accersitus, de manubijs Berrœanis triūphauit: unde etiā partem quandā uenerabilis uestis Ioānis Baptistæ apportauit.

Nicephorus regni cupiditatē callide dissimulat.

Bringā aūt cui de cupiditate Imperij suspectus erat, sic elusit. Cum uno famulo uesperi ædes eius ingressus, eoq; in secretū locū ducto, iureiurādo, & diris execrationibus confirmauit, solitariæ uitæ se longo iam tēpore fuisse cupidissimū, eamq; iampridem fuisse amplexurū, nisi Imperatorū se beneuolentia remorata esset. Non igitur frustra suspectū esse debere de regni cupiditate. Se enim iamiam rerum administratione cessurum, ea uerba confirmabat, ostensa lacerna è

μένον δ' ἀκμήν. καὶ εἰ μὴ διὰ φήμην ἐκράτησεν, ὡς ὁ τῆς Κρήτης τοὺς σαρακηνοὺς ἐξελάσων ῥωμαῖος, τὸ ῥωμαϊκὸν ἐκ παντὸς τρόπου ἐπελεύσεται σκῆπτρον, ἐκεῖθεν ὁ φωκᾶς μετεκέκλητο. τάχα τέλεον ἂν ἡ νῆσος ῥωμαίοις ὑπεκεχείρωτο, καὶ οἱ σαρακηνοὶ ταύτης ἂν ἀπηλάθησαν. καὶ τὸν λέοντα δὲ τὸν φωκᾶν τὸν τοῦ νικηφόρου ὁμαίμονα κατὰ τοῦ χαμβδᾶν, ὃς τοῦ χάλεπ ἐκράτει, ὁ ῥωμανὸς σὺν δυνάμει ἀπέστειλε, καὶ ὃς δὲ τῷ χαμβδᾶν συμμίξας, ἐνίκησε κατὰ κράτος τὸν βάρβαρον, ὡς τὸ πολὺ μὲν τοῦ αὐτοῦ στρατεύματος ἐν τῇ μάχῃ πεσεῖν, τὸ δὲ ἄλλο γενέσθαι ἁλώσιμον, αὐτὸν δὲ τὸν στρατάρχην μόλις σὺν εὐαριθμήτοις δυνηθῆναι φυγεῖν. καὶ ὁ μὲν λέων ἐπανελθὼν, καὶ μεγαλοπρεπῶς ὑπεδέχθη, καὶ θριάμβῳ τετίμητο. μελέτη δὲ τινῶν κατὰ τοῦ αὐτοκράτορος ἐφωράθη, καὶ οἱ ταύτην συρράψαντες, καὶ οἱ τούτων συνίστορες κατεσχέθησαν, πλὴν οὐκ ἀπηνῶς ἐκολάσθησαν. ὁ μάγιστρος δὲ νικηφόρος ὁ φωκᾶς ἐκ τῆς Κρήτης μετακληθεὶς, οὐκ εἰάθη πρὸς τὸ Βυζάντιον ἐπαναστρέψαι, ἀλλ' ἐκελεύσθη πρὸς τὴν ἑῴαν μετὰ πάσης χωρῆσαι τῆς στρατιᾶς. ὁ γὰρ χαμβδᾶν αὖθις κατὰ τῶν ῥωμαίων χωρήσειν ἠλπίζετο. ἐν οὖν συρίᾳ γενόμενος ὁ φωκᾶς, καὶ τούτῳ κατὰ συστάδην μαχεσάμενος, καὶ ἥττησε περιφανῶς, καὶ τὴν Βέρροιαν, ἐκτὸς τῆς ἀκροπόλεως, διεπόρθησε, καὶ πλοῦτον ἐκεῖθεν πλεῖστον συνήγαγε, καὶ δορυαλώτους ἔλαβεν οὐκ εὐαριθμήτους, καὶ πολλοὺς δεσμίους χριστιανοὺς τῆς αἰχμαλωσίας ἀπέλυσε. λέγεται γοῦν ἐν ἀρχῇ τῆς αὐταρχίας τοῦ ῥωμανοῦ, τῶν ἀγαρηνῶν πᾶσαν χώραν ληϊζομένων, ὡς ἀχρίον περιαλγῆναι τὸν αὐτοκράτορα, καὶ τὸν φωκᾶν νικηφόρον προσκαλεσάμενον ἐρέσθαι, ὅπερ γε, πῶς εἰς τὸ κάταντες ῥωμαίοις περιετράπη τὰ πράγματα; τὸν δὲ μετὰ πολλῆς ἐλευθερίας φάναι φρονήματι, διότι σὺ μὲν βασιλεύεις, ὁ δὲ ἐμὸς πατὴρ στρατηγεῖ, σὺ μὲν τῆς ἀρχῆς οὐχ ὡς δέον ἐπιλαμβανόμενος, ἐκεῖνος δὲ φιλοχρηματῶν. εἰ βούλει δὲ, μεταβληθήσονται ῥωμαίοις καὶ τὰ φρονήματα καὶ τὰ πράγματα. πλὴν μὴ ἀθρόαν οἴου γενέσθαι τὴν μεταβολήν. ὁ δὲ βασιλεὺς τοῦτ' ἀκούσας, ἐπέτρεψεν αὐτῷ μεταχειρίσασθαι τὴν πρᾶξιν ὡς βούλεται, καὶ ὃς αὐτίκα ἐπιμελεῖσθαι τοῦ ὁπλιτικοῦ ἤρξατο, τὰ μὲν διατάσσων, τὰ δὲ ἄλλο ἐγκαταλέγων, καὶ γυμνάζων εἰς ἅπαν στρατιωτικὸν ἐπιτήδευμα. καὶ οὕτω τὰς τάξεις ἀναπληρώσας, καὶ καθοπλίσας τοὺς βωλοκόπους, καὶ τὸ προφητικὸν αὐτοῖς ἀντίστροφον θέμενος, εἰς μαχαίρας αὐτοῖς δὲ λαβεῖν συγκόψας τὰ δρέπανα, καὶ εἰς ζιβύνας τὰ ἄροτρα, σὺν αὐτοῖς τὰ θρυλούμενα ῥᾳδίως ἔστησε τρόπαια. τρισὶ δὲ ἔτεσι διαπρέψας τῇ βασιλείᾳ ὁ ῥωμανὸς, καὶ μικρόν τι ἐπέκεινα, μεθίσταται τῆς ζωῆς, ἢ φαρμάκῳ δηλητηρίῳ κατά τινας, ἢ φιληδονίαις καὶ μίξεσιν ἑαυτὸν κατατείνας, καὶ ταύταις ἐκδαπανήσας τὴν ἰσχὺν τοῦ σαρκίου, τὴν βασιλείαν λιπὼν τοῖς υἱοῖς ἀμφοῖν καὶ τῇ τούτων μητρὶ τῇ θεοφανοῖ. τοῦ δὲ ῥωμανοῦ θανόντος ὁ φωκᾶς νικηφόρος κληθεὶς ὑπὸ τῆς βασιλίσσης ἧκεν εἰς τὸ Βυζάντιον, καὶ κατήγαγε θρίαμβον ἐπὶ τοῖς ἐκ βερροίας κεκομισμένοις λαφύροις, ὅθεν καὶ τὸ μέρος τῆς τιμίας ἐσθῆτος τοῦ βαπτιστοῦ ἰωάννου ἐκόμισε. τὸν βρίγγαν δὲ ὑφορώμενον αὐτὸν, ὡς βασιλειῶντα, κατεσοφίσατο οὕτω. σὺν ἑνὶ τῶν θεραπόντων ἑσπέρας κατέλαβε τὴν κατοικίαν αὐτοῦ, καὶ ἐς ἄδυτα τὸν βρίγγαν παραλαβὼν, δι' ἔρωτος εἶναι αὐτῷ πρὸ μακροῦ τῆς μοναδικῆς βιοτῆς, ὅρκοις ἐβεβαίου καὶ ταῖς φρικωδεστάταις ἀραῖς, καὶ πάλαι ἂν, ἔλεγε, πρὸς ταύτην ὡρμήκειν, εἰ μή με ἡ τῶν βασιλέων εὔνοια πρὸς μικρὸν ἐπέσχε διάθεσις. μὴ γοῦν μάτην ὑποπτεύειν κατ' ἐμοῦ, ὡς τῆς βασιλείας ἐρῶντα τρέφοντος. ἐγὼ γὰρ ὅσον οὔπω καὶ τῶν πραγμάτων ἐκστήσομαι, καὶ τοῖς λόγοις πίστιν ἐδίδου, δείξας αὐτῷ ῥάκος τὸ τρίχινον.

ὅτι ὁ φωκᾶς λέων ὁ τοῦ νικηφόρου ἀδελφὸς τὸν χαμβδᾶν πολεμήσας ἐνίκησεν.

ὅτι αὖθις ὁ νικηφόρος τὸν χαμβδᾶν συμβαλὼν ἐνίκησεν αὐτὸν καὶ τὴν βέρροιαν ἐπόρθησεν.

τελευτὴ τοῦ βασιλέως ῥωμανοῦ.

ὅπως ὁ φωκᾶς βασιλειῶν ἐσοφίσατο τὸν βρίγγαν κατασοφισάμενος ...

[illegible]

τρίχινον ὃ φορῶν περιεκέκλειστο, τῷ δ' ἔξωθεν αὐτοῦ περιβολαίῳ καλυπτόμενον τούτοις τοῖς λόγοις, καὶ τῷ τριχίνῳ ἐνδύματι τὸν παρακοιμώμενον συναρπάζεις, ὡς τοῖς ποσὶν αὐτοῦ προσκυλινδούμενον ὁ φωκᾶς, καὶ συγγνώμην αἰτοῦντα. καὶ ὁ βασιλεὺς δὲ στέφανος ὁ τοῦ λακαπηνοῦ παῖς ἐν λέσβῳ τηρούμενος κατὰ μήθυμναν, ὕποπτος ὤν. αἰφνίδιον δὲ καὶ ἐξ οὐδεμιᾶς φανερᾶς αἰτίας θανὼν ὑποψίαν δέδωκε, παρὰ τῆς βασιλίσσης κατεργασθῆναι θεοφανοῦς. ὁ πέτρος δὲ τῶν βουλγάρων ἀρχηγὸς, τῆς γυναικὸς αὐτοῦ θανούσης, τὰς πρὸς ῥωμαίους ἀνανεωσάμενος σπονδὰς, ὁμήρους παρέσχε δύο οἰκείους υἱὸς βορίσην καὶ ῥωμανόν, καὶ ὁ μὲν ἀπεβίω, οἱ δ' ἐκείνου παῖδες ἀπελθεῖν ἐάθησαν εἰς τὰ οἰκεῖα, καὶ τὴν πατρῴαν ἀρχὴν κατακτήσασθαι. ἑνὸς γὰρ τῶν κομήτων τῶν ἐν βουλγάροις τέσσαρες παῖδες, δαβίδ, καὶ μωσῆς, καὶ ἀαρὼν καὶ σαμουὴλ ἀποστατήσαντες, τοὺς βουλγάρους ἀνίστων. τοῦ φωκᾶ δὲ νικηφόρου εἰς τὸν οἶκον ἑαυτοῦ τὸν ἐν καππαδοκίᾳ ἀποδημήσαντος, ὁ παρακοιμώμενος μετεμέλετο, ὅτι συγκεχώρηκεν αὐτῷ τὴν ἐπ' οἴκου ἀποδημίας. καὶ ἦν αὐτῷ διὰ φροντίδος ὅτι πολλῆς, τὸν ἄνδρα ἀποσκευάσασθαι. γράφει τοίνυν πρὸς ἰωάννην μάγιστρον τὸν τζιμισκῆν, ἄνδρα γενναῖον καὶ ἐν ἀριστεύμασι διαβόητον, στρατηγοῦντα τότε τοῦ θέματος τῶν ἀνατολικῶν, καὶ πρὸς τὸν μάγιστρον ῥωμανὸν τὸν κουρκούαν, ἐπίσημον ὄντα κἀκεῖνον ἐν στρατηγήμασι, καὶ τῆς ἀνατολῆς τότε στρατηλατοῦντα, ὡς εἰ τὸν φωκᾶν κατασχόντες ἢ μοναχὸν ἀποκείρωσιν, ἢ ἄλλως ἐκ μέσου ποιήσωσι, τὴν μὲν τῶν σχολῶν τῆς ἀνατολῆς ἀρχὴν λήψεται ὁ ἰωάννης, καὶ δομέστικος ἔσται τῶν ἑῴων δυνάμεων, ὁ ῥωμανὸς δὲ τῆς δύσεως κληθήσεται δομέστικος. ἐπεὶ δὲ τὰ γράμματα καὶ ἀμφοῖν ἐκομίσθησαν, καὶ ἄμφω ταῦτα δεικνύουσι τῷ φωκᾷ, καὶ πρὸς ἀποστασίαν τὸν ἄνδρα ἠρέθιζον. τοῦ δὲ ἀνανεύοντος πρὸς τὴν ἐγχείρησιν, εἴτε πλαττομένου τοῦτο εἴτε καὶ ἀληθεύοντος, ἐκεῖνοι τὰ ξίφη γυμνώσαντες, κτείνειν ἠπείλουν αὐτὸν, εἰ μὴ πείθοιτο. καὶ ὃς τῇ βίᾳ τάχα νικώμενος, ἐδέξατο τὴν ἀνάρρησιν, καὶ ὑπὸ πάντων τῶν ἑῴων ταγμάτων αὐτοκράτωρ εὐφημεῖται ῥωμαίων. λέγεται δὲ ὅτι οὐ μόνον ἤρα τῆς βασιλείας, ἀλλ' οὐχ ἧττον τῆς θεοφανοῦς, καὶ ὡς ἐνέτυχε ταύτῃ διάγων κατὰ τὴν μεγάλην πόλιν.

ΒΑΣΙΛΕΙΑ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΦΩΚΑ.

Ἄρτι δὲ τῆς φήμης εἰς τὸ βυζάντιον κηρυξάσης τὰ κατὰ τὸν φωκᾶν, ὁ παρακοιμώμενος ἰωσὴφ ἠγωνία. ὁ μέντοι τοῦ τυραννοῦντος πατὴρ ὁ φωκᾶς ὁ βάρδας τῇ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ προσέφυγε, ὁ τοῦ νικηφόρου δὲ σύγγονος λέων ἴσχυσεν ἀποδρᾶναι καὶ συναφθῆναι τῷ ἀδελφῷ. ταῦτα τὸν παρακοιμώμενον εἰς ἀμηχανίαν πολλὴν περιέστησε. δυσχερὴς ὢν δὲ ὢν πᾶσιν ἦν μισητὸς, ὅθεν ἅπαντες ηὔχοντο, εἰ περιέλθοι τὰ τῆς βασιλείας εἰς ἕτερον, καὶ περιαιρεθείη οὗτος ἐκ μέσου, διὸ καὶ συνέτρεχον ἅπαντες εἰς τὸ μέγα τέμενος τοῦ θεοῦ. ὅπερ μαθὼν ὁ βρίγγας, δέον ἠπίοις λόγοις τὸ πλῆθος μειλιχθέντα τὴν τούτου καταμαλάξαι ὁρμήν, ὁ δὲ ἀπειλαῖς μᾶλλον αὐτὸ καὶ τραχύτησιν ἐξετράχυνεν, εἰπὼν, ὡς ἐγὼ καταπαύσω αὐτοῖς τὰ ὁρμήματα, οἰκονομήσας ὠνουμένους σῖτον εἰς τὸν ἑαυτοῦ κόλπον φέρειν τὸ τοῦ νομίσματος ἕκαστον. τοῦτο τὸ πλῆθος ἀκοῦσαν ἐξεμάνη. ἀπεχθῶς δὲ πρὸς τοῦτον διὰ τὸν βρίγγαν ἔχων ὁ πρώην παρακοιμώμενος ὁ βασίλειος, καὶ θεραπείαν ἔχων περὶ ἑαυτὸν δαψιλῆ, ἑσπέρας ἤδη καταλαβούσης, τοὺς ἑαυτοῦ θεράποντας καθοπλίσας, εἰς διάφορα μέρη τῆς πόλεως ἐξαπέστειλε, καὶ πολλὰς οἰκίας ἐκεῖνοι τῷ πλήθει ἀστικῶν ἑνωθέντες, τῶν ἀντιπραττόντων κατέστρεψαν, καὶ αὐτοῦ δὲ τοῦ βρίγγα, καὶ ἄνθρωποι δὲ πολλοὶ ἀνῃρέθησαν. τοῦ-

pilis contexta, quam nudo corpore cæteris uestibus tectam gestabat. Ea oratione & lacerna effecit, ut cubicularius pedibus eius aduolutus, ueniam peteret. Stephanus porrò Imperator, Lacapeni filius, qui Methymnæ Lesbi custodiebatur, & ipse suspectus erat: subitò nullaque causa mortuus, ab Imperatrice Theophanone sublatus esse credebatur. At Petrus Bulgarorum princeps, uxore sua mortua, fœdus renouaturus, filios Borisem & Romanũ Byzantium obsides misit: quibus post illius obitum, ad sua se recipere est permissum, & patrium principatum firmare. Nam Comitis cuiusdam Bulgarici quatuor filij, Dauid, Moses, Aaron & Samuel, Bulgaros ad defectionem solicitabant. Cum autem Phocas Nicephorus domum se in Cappadociam contulisset: Cubicularium id ei concessisse pœnituit. De eo igitur amouendo solicitus, scribit ad Ioannem magistrum, & ad Romanum magistrum Curcuam, utrunque illustrem in re militari uirum, & Orientis ducem: si Phocam cõprehensum, uel Monachum totonderint, uel alias è medio sustulerint: Ioannem imperio legionum orientis accepto, Domesticum fore Orientalium copiarum: Romanum uerò Domesticum Occidentis designatum iri. Eas literas ad se perlatas uterque Phocæ ostendit, & ad defectionem uirum extimulant. Tergiuersanti, & siue ex animo, siue simulatè detrectanti, strictis gladijs necem minitantur, nisi obtemperet. Ea igitur necessitate uictus, nõ repugnauit, quo minus ab omnibus Orientalibus copijs Imperator Romanorum appellaretur. Fertur autem non Imperij duntaxat, sed & Theophanonis amore in primis flagrasse, & dum in magna urbe degeret, cum ea consueuisse.

Stephani interitus.

Bulgarici principes.

Nicephorus Imperator Romanorum fieri cogitur.

IMPERIVM NICEPHORI Phocæ.

PHocæ rebus in urbe recens nunciatis, cubicularius Iosephus angebatur. Nicephori pater Phocas Bardas, in magnam Dei Ecclesiam confugit, cuius alter filius Leo fuga elapsus, cum fratre se coniunxit. Hæc cubicularium animi ualde dubium reddiderunt, qui ob morositatem omnibus adeò inuisus erat, ut optarent, cum, alio rerũ potito, è medio tolli, eaque de causa omnes in magnũ Dei templũ concurrerũt. Quo Bringas cognito, cũ blãdis uerbis demulcendus esset multitudinis impetus, eam minis & sæuitia magis etiã exasperauit, cum diceret, se motum illum oppressurũ, qui ordinasset, ut singuli empti frumẽti preciũ, in suũ sinũ afferrent. Quo audito, populi furor uehemẽtius exarsit: & Basilius quondã cubicularius, Bringæ infensus, cum magnũ comitatũ circũ se haberet, ubi aduesperasset, ministros suos armatos in diuersa urbis loca dimisit, q urbanæ multitudini cõiuncti, aduersariorũ ædes, & ipsius etiã Bringæ euerterũt, multis quoque interfectis.

Tumultus in urbe ob Nicephorũ Imperatorẽ designatum.

Quæ dum facerent, Nicephorum passim Imperatorem proclamabant. Vnde fortuna Bardæ & Bringæ commutata est. Nam ille recepto animo Ecclesiam egressus, hic supplex & miserabilis ingressus est. At Basilius cubicularius cum suis classe instructa, ipsa etiam Imperatoria naue adducta, Chrysopolim profecti, Nicephorũ inde in Hebdomum, ex Hebdomo, uniuerso populo prosequente, in magnam Ecclesiã perduxerunt, ubi à Patriarcha Polyeucto coronatus est. Cæterum Theophano Imperatrix statim ex Regia pulsa, in Petriũ abducitur, & Iosephus cubicularius in Paphlagoniam relegatus, biennio pòst moritur. Bardas uerò Nicephori pater, Cæsar salutatur, & paucis diebus elapsis, Theophano Imperatori nubit. qui cum ex eo tẽpore, quo filius suus Bardas inter colludendũ à patrueli Pleuse casu hasta interfectus fuerat, carnibus abstinuisset: tum ijs denuo uesci cœpit. Cum aũt Patriarcha in noua Regiæ Ecclesia nuptialia sacra perageret, & Imperator in sacrarij aditu iam cancellis appropinquaret: nõ passus eum Patriarcha de more secum ingredi, dixit, Nõ debere tam confidentẽ esse, ut sacrariũ intraret, nisi prius pœnas subiret repetiti matrimonij. Eam rem ægrè ferens Imperator, Patriarchæ iratus fuit. Sed deinde rumore uulgato, eum etiã Theophanonis liberos è sacro baptismate suscepisse: ab eodem omni consecrato solo est prohibitus, postulante, ut aut diuortium faceret, aut procul à sacris facesseret. Verum ille Theophanone non abstinuit, flagrante adhuc amore, sed quæstionẽ ad summos sacerdotes, & Senatus principes retulit: qui responderũt, Eum canonem qui à Copronymo homine impio constitutus esset, ualere nõ oportere, scriptoq; ratum eius matrimoniũ habuerunt. Sed Patriarcha suum propositum urgebat, donec Imperatoris pater Bardas Cæsar iureiurando negauit, Theophanonis liberos ab illo ex baptismate susceptos esse: & Regiæ Protopapa Stylianus, qui eum rumorẽ princeps uulgasse ferebatur, se ea de re neq; scire quicquã, nec dixisse ad quenquã, in cõcilio iurauit. His demũ factis Patriarcha Nicephorũ recepit. Cum aũt Sicilienses Sarraceni ex antiquis pactis tributum à Romanis postularẽt: Nicephorus nõ ferendum esse ratus, si se imperãte Romani illis essent tributarij: Manuelẽ patricium, patrui sui Leonis nothũ filiũ, qui Leo cũ sub priore Romano Legionũ domesticus esset, ob regnũ affectũ cæcatus fuit, cõtra eos misit. Is cũ in Sicilia cum illustri classe appulisset: nõ modò nihil memorabile gessit, sed etiã ex imperitia, & iuuenili ferocia uel potius temeritate, grauiter impegit, ipse cũ omni exercitu cæsus. Ac in Sicilia res ita actæ sunt. Cõtra Ciliciã aũt, quã & ipsam Agareni tenebãt, magistrũ Ioãnẽ Zimiscem Oriẽtis domesticũ designatũ, ablegauit. Qui cũ Adanã uenisset, de eius loci Agarenis

Nicephori coronatio & nuptiæ.

Secũdæ nuptiæ ignominiosæ.

Cõpatrinitas matrimonij obstaculum.

Manuel ceditur à Siciliẽsibus Agarenis.

Zimisces rẽ benè gerit in Cilicia.

τα δ' ἐποίουν, καὶ ἅμα νικηφόρον ηὐφήμουν πανταχοῦ αὐτοκράτορα. ἐντεῦθεν ἀμείβονται τὰ τῆς τύχης τῷ βάρδᾳ φωκᾷ καὶ τῷ βρίγγᾳ. καὶ ὁ μὲν τεθαῤῥηκὼς ἐξῄει τῆς ἐκκλησίας, ὁ δὲ βρίγγας εἰς αὐτὴν αὐτίκα ἱκέτης εἰσῄει. ὁ δὲ παρακοιμώμενος βασίλειος καὶ οἱ περὶ αὐτὸν τριήρεις ἑτοιμάσαντες, καὶ αὐτὴν τὴν βασίλειον, καὶ σὺν αὐταῖς ἐν χρυσοπόλει γενόμενοι, τὸν νικηφόρον ἐκεῖθεν εἰς τὸ ἕβδομον ἄγουσι κἀκεῖθεν σὺν προόδῳ δημοτελεῖ τῇ μεγάλῃ ἐκκλησίᾳ προσήγαγον, καὶ ταινιοῖ τὸν ἄνδρα ὁ πατριάρχης πολύευκτος. ἡ δὲ βασιλὶς θεοφανὼ αὐτίκα τῶν ἀνακτόρων ἐξωσθεῖσα, εἰς τὸ πετρίον ἀπάγεται, ὁ δὲ παρακοιμώμενος ἰωσὴφ εἰς παφλαγονίαν περιορίζεται, καὶ μετὰ δύο ἐνιαυτοὺς ἀπεβίω. βάρδας δὲ ὁ τοῦ νικηφόρου πατὴρ καίσαρ τετίμητο. μετ' ὀλίγας δὲ ἡμέρας ἑαυτῷ τὴν θεοφανὼ συνοικίζει ὁ βασιλεὺς καὶ κρεῶν ἀπεχόμενος ἐξότε βάρδας ὁ παῖς αὐτοῦ ὑπὸ οἰκείου ἀνεψιοῦ ὑπὸ πλεύσῃ προσπαίζων δόρατι παρ' ἐκείνου βληθεὶς ἔκειτο τεθνηκώς, ἐκτοτε καὶ τούτοις ἐτρέφετο. ἐν δὲ τῇ ἐν τοῖς βασιλείοις νέᾳ ἐκκλησίᾳ τῆς ἱερολογίας τῆς γαμικῆς τελουμένης παρὰ πολυεύκτου τοῦ πατριάρχου, ἐν τῇ εἰσόδῳ τῇ πρὸς τὸ θυσιαστήριον ἤδη τοῖς κιγκλίσιν ἐγγίσας ὁ βασιλεύς, ἐκωλύθη παρὰ τοῦ πατριάρχου συνεισελθεῖν, ὡς ἔθος αὐτῷ, φήσαντος, εἰ μὴ πρότερον ἐπιτιμίοις διαλύσει τὸ τῆς διτρογαμίας, μὴ δεῖν αὐτὸν τὴν πρὸς τὸ θυσιαστήριον εἴσοδον κατατολμᾶν. ὅπερ δυσφόρως ἤνεγκεν ὁ κρατῶν, καὶ ἐμήνισε τῷ πατριάρχῃ. ἐγένετο δέ τις μετὰ ταῦτα καὶ λόγος, μηδ' ὅλως ἐπιβῆναι αὐτὸν ὅλως τοῦ ἱεροῦ δαπέδου συγχωρεῖ ὁ πατριάρχης. ἐλέγετο γὰρ ἀνάδοχος γενέσθαι ὁ νικηφόρος τῶν τῆς θεοφανοῦς παίδων ἐκ τοῦ ἁγίου βαπτίσματος, καὶ ἀπῄτει ὁ πατριάρχης, ἢ διαζυγῆναι τῆς βασιλίσσης, ἢ πόῤῥω εἶναι τῶν ἱερῶν. ἀλλ' ἐκεῖνος τῆς θεοφανοῦς οὐκ ἀπείχετο. ἔτι γὰρ ὁ ταύτης ἔρως ἐφλέγμαινε, κοινοῦται δὲ τοῖς προέδροις τῶν ἀρχιερέων καὶ τοῖς τῆς γερουσίας λογιωτέροις τὸ ζήτημα. οἱ δὲ τὸν περὶ τούτου κανόνα ὑπὸ κοπρωνύμου ἀναγραφόμενον μὴ δεῖν, ἔλεγον, ἐν βεβαίῳ λογίζεσθαι τοιοῦδε ἀνδρὸς νομοθέτημα, καὶ πάντες αὐτῷ ἔγγραφον παρέσχον τὴν περὶ τούτου συγχώρησιν. ὁ δέ γε πατριάρχης ὑπὲρ οἰκείας ἐνστάσεως εἴχετο, μέχρις οὗ ὁ τοῦ βασιλέως πατὴρ ὁ καῖσαρ βάρδας ἐνόρκους αὐτῷ πίστεις παρέσχετο, ὡς οὐ γέγονεν ὁ βασιλεὺς τῶν τῆς θεοφανοῦς παίδων ἀνάδοχος, καὶ ὁ πρωτοπαπᾶς δὲ τῶν βασιλείων στυλιανός, ὃς ἐλέγετο πρῶτος κῆρυξ τῆς φήμης ταύτης γενέσθαι, μηδὲ συνειδέναι μήτ' ἰδεῖν μήτ' εἰπεῖν περὶ τούτου πρός τινας, ἐξωμόσατο. τούτων δὲ γενομένων ἐδέξατο τὸν νικηφόρον ὁ πατριάρχης. τῶν δ' ἐν σικελίᾳ σαρακηνῶν δασμὸν πραττόντων ἐκ τῶν ῥωμαίων ἐκ παλαιῶν συνθηκῶν, ὁ βασιλεὺς οὗτος οὐκ ἀνασχετὸν ᾤετο αὐτοῦ βασιλεύοντος τοῖς ἀγαρηνοῖς ῥωμαίους φορολογεῖσθαι. διὸ κατ' αὐτῶν ἐκπέμπει μανουὴλ πατρίκιον, νόθον ὄντα παῖδα τοῦ πατραδέλφου αὐτοῦ λέοντος, ὃς δομέστικος γεγονὼς τῶν σχολῶν, ἐπὶ ῥωμανοῦ τοῦ γέροντος τυραννίδι ἐπιχειρήσας, ἐπηρώθη τοὺς ὀφθαλμούς. οὗτος δ' οὖν ὁ μανουὴλ σὺν ναυτικῷ περιφανεῖ, τῇ σικελίᾳ προσορμισάμενος, οὐ μόνον οὐδὲν κατώρθωσεν, ἀλλὰ καὶ λίαν ἐσφάλη δι' ἀπειρίας καὶ νεανικῆς ἀγερωχίας ἢ μᾶλλον ἀτασθαλίας. αὐτός τε γὰρ διώλετο καὶ ἅπαν τὸ σὺν αὐτῷ στρατιωτικόν, καὶ τὰ μὲν περὶ σικελίαν οὕτω συνηνέχθη, ἐπὶ κιλικίαν δὲ (καὶ ταύτης δὲ οἱ ἀγαρηνοὶ ἐκράτουν) ἐκπέμπει ὁ βασιλεὺς ἰωάννην μάγιστρον τὸν τζιμισκῆν, τῆς ἀνατολῆς προκεχειρισμένον δομέστικον. ὁ δὲ πρὸς ἄδαναν ἀφικόμενος, τοῖς ἐν ταύτῃ συμπλακεὶς ἀγαρηνοῖς, καὶ κατ' αὐτῶν ἐστήσατο τρόπαιον.

[illegible] ὁ φωκᾶς.

ὅτι συνοικίζεται ὁ βασιλεὺς τῇ θεοφανοῖ.

ὅτι ἐκωλύθη ὁ βασιλεὺς παρὰ τοῦ πατριάρχου εἰσελθεῖν τὸ θυσιαστήριον.

περὶ τῶν ἐν σικελίᾳ ἀγαρηνῶν.

ὅτι ὁ τζιμισκῆς κατετροπώσατο τοὺς ἐν κιλικίᾳ ἀγαρηνούς.

τρόπαιον. κἀντεῦθεν μέγαν αὐτὸν ἢ πρότερον ἐν στρατηγίαις ἡ φήμη ἐκήρυττεν. ἤδη δὲ δεύτερον ἐνιαυτὸν ἄγων ὁ νικηφόρος ἐν τῇ ἀρχῇ, αὐτὸς ἐξεισι κατὰ κιλικίας μετὰ βαρείας χειρός, καὶ τὴν θεοφανὼ μετὰ τῶν παίδων αὐτῆς ἐπαγόμενος, καὶ τὴν μὲν πρὸ τῆς κιλικίας κατὰ τὸ δριζίβιον (φρούριον δὲ τοῦτο) κατέλιπεν, ἐκεῖνος δὲ τῇ κιλικίᾳ προσβαλὼν, αἱρεῖ τὴν ἀνάβαρζαν, ῥωσόν τε καὶ ἄδαναν (πόλεις δ' αὗται κιλίκων) ἀλλὰ μὴν καὶ φρούρια πλείονα. τῇ δὲ γε ταρσῷ καὶ τῇ μοψουεστίᾳ οὐκ ἔκρινε προσβαλεῖν διὰ τὸν χειμῶνα, ἢ τοῦ ἔρωτος αὐτὸν τῆς θεοφανοῦς πρὸς ἐκείνην ἀνθέλκοντος. ἀπῄει γὰρ σὺν αὐτῇ πρὸς καππαδοκίαν, κἀκεῖθεν τοῦ ἔαρος ἀρχομένου εἰς κιλικίαν αὖθις ὑπέστρεψε, καὶ αὐτὸς μὲν τὴν μοψουεστίαν ἐπολιόρκει, τῇ ταρσῷ δὲ τὸν ἀδελφὸν ἐπιστήσας λέοντα. τῆς δὲ μοψουεστίας μέσον ποταμοῦ τοῦ σάρου διαιρουμένης, τὸ μὲν ἓν μέρος ταύτης ἑάλω πολιορκούμενον, οἱ δ' ἐν τούτῳ ἀγαρηνοὶ πρὸς τὸ λοιπὸν μετεχώρησαν, τὸ καταλελειμμένον πῦρ ἐμβαλόντες. εἶτα καὶ τοῦτο ἑάλω, καὶ οὐδεὶς ἐκεῖθεν διέδρα. τὴν δὲ τῆς μοψουεστίας ἐκπόρθησιν οἱ ἐν τῇ ταρσῷ μαθόντες, τὸν βασιλέα ἐπεκαλέσαντο, καὶ τὴν πόλιν παραδεδώκασιν. ἡμερῶν δὲ τριῶν διελθουσῶν στόλος ἐξ αἰγύπτου τῇ ταρσῷ βοηθήσων κατέπλευσε. προσπλεῦσαι δὲ τῇ χέρσῳ οὐ συγκεχώρηται, διὸ καὶ αὖθις ἀπέπλευσεν, ἀνέμων δὲ βιαίαις πνοαῖς περιπεπτωκὼς καὶ τριήρεσι ῥωμαϊκαῖς, ὁ πλείων ἀπώλετο. ὁ δὲ βασιλεὺς ἐπανιὼν ἔρχεται εἰς τὴν κωνσταντίνου. τὰς δὲ ταρσοῦ πύλας καὶ τὰς τῆς μοψουεστίας ἐπαγόμενος, ἐκ χαλκοῦ πεποιημένας, καὶ τέχνας δεικνύσας ἀκριβείας, ἃς κόσμῳ περικοσμήσας, τὰς μὲν κατὰ τὴν ἀκρόπολιν ἐν τῷ τείχει προσήρμοσε, τὰς δὲ τῷ τείχει τῷ δυτικῷ. καὶ τῷ θεῷ δὲ ἀπαρχὰς οἷον τῆς αὐτοῦ στρατείας ἐκδέδωκε, τοὺς τιμίους σταυροὺς οὓς οἱ βάρβαροι ἐλάβοντο ὁπηνίκα ὁ συνώνυμος τῶν σχολῶν δομέστικος ὢν καὶ πολιορκῶν τὴν ταρσὸν, ἐκ κακοβουλίας δυστυχήματι περιέπεσε, τῷ θείῳ τεμένει τῆς τοῦ θεοῦ λόγου σοφίας ἀνέθετο, καὶ τὴν κύπρον δὲ παρὰ ἀγαρηνῶν κατεχομένην, δι' αὐτοῦ ἡ ῥωμαίων ἀρχὴ προσεκτήσατο. εἶτα τῇ συρίᾳ ἐπῆλθε, καὶ πόλεις ἐκπορθήσας, καὶ χώρας ἑλὼν πρὸς τῷ λιβάνῳ καὶ τῇ παραλίᾳ κειμένας, ἦλθεν εἰς ἀντιόχειαν. τῶν δ' ἀντιοχέων ἐρρωμενέστερον ἤδη δὲ καὶ τῶν ἐπιτηδείων λειπόντων τοὺς στρατιώτας, καὶ τοῦ ἐδάφους ὑπὸ ὑετῶν γεγονότος πηλοῦ, ἀπέστη τῆς πολιορκίας, καὶ πρὸς τὴν τῶν πόλεων βασιλεύουσαν ἐπανελήλυθεν, ἐπαγόμενος καὶ τὸ τοῦ σωτῆρος χριστοῦ ἱερὸν καὶ θεῖον ἐκτύπωμα, ὃ ἐν κεραμίῳ εὕρηται κατὰ τὴν ἱεράπολιν τὴν τῆς συρίας, καὶ βόστρυχον τοῦ βαπτιστοῦ ἰωάννου αἵματι πεφυρμένον. ἐν μὲν οὖν στρατηγίαις τοιοῦτος ἐγεγόνει ὁ αὐτοκράτωρ, καὶ ἐπὶ μακρὸν ηὔξησε ῥωμαίοις τὰ ὅρια. [illegible] τῆς ἡγεμονίας [illegible] τῷ χρηματίσματι. ἀλλὰ δι' αἰτίας τινὰς πᾶσιν ἦν [illegible]. αἱ δ' αἰτίαι, ὅτι τοὺς σὺν αὐτῷ τῇ ἀποστασίᾳ [illegible] στρατιώτας κακῶς [illegible] οὐκ ἐπεστρέφετο, καὶ οἰκιῶν πολλῶν, περιφανῶν τε ἀνδρῶν καὶ δημοτικῶν, διαρπαγεισῶν, ὡς οὐδενὸς κακοῦ γεγονότος διέκειτο, μᾶλλον δὲ ἐν καὶ ἐντρυφᾷ ταῖς εἰς τοὺς ἀστοὺς παροινίαις, [illegible] συναιρομένοις αὐτῷ πρὸς τὴν βασιλείας τυχεῖν, καὶ ὅτι προφάσει τῶν συνεχῶν πολέμων, καιναῖς εἰσφοραῖς, καὶ τῶν ἀρχαίων αὐξήσει καὶ ἀδιαφόρως πᾶσαν ἀπέθλιβε ψυχὴν τῶν ὑπηκόων, καὶ οὐδὲν ἄμεινον πολεμίων τοὺς στρατιώτας διετίθει πρὸς δὲ αὖ τῶν ὑπηκόων ἐπιχωρίας ... ἐν τούτοις διὰ τὰς πυκνὰς ἐκστρατείας ἐνδείαν χρημάτων προφασιζόμενος, τὰς μὲν διανεμομένας τῇ γερουσίᾳ βασιλικὰς δωρεὰς κατὰ μέρος ἠλάττωσε, τὰς δ' ἀπονεμομένας ἀνέκαθεν τεμένεσιν ἱεροῖς καὶ ταῖς ἁγίαις οἴκοις

Marginal notes (Greek): [illegible] — περὶ τῆς ταρσοῦ καὶ τῆς μοψουεστίας. — περὶ τῆς κύπρου. — [illegible] — [illegible]

triumphauit. Qua uictoria celebritas nominis eius, ut strenui ducis, multum aucta est. Nicephorus porrò secundo Imperij sui anno, ipse cum magna manu Ciliciam inuadit, Theophanone quoque cũ liberis eius adducta, eaque Dricibij, quod est castellum in Ciliciæ aditu collocata, Anabarzam, Rosum & Adanam eius prouinciæ urbes capit, aliaque plura castella. Tarsum uerò & Mopsihestiã oppugnare nõ statuit, siue ob hyemem, siue amore Theophanonis auocatus, cum qua Cappadociã petijt, Vnde ueris initio in Ciliciam reuersus, fratre Leone cõtra Tarsum misso, ipse Mopsihestiã obsedit, quam cum mediam flumen Sarus diuidat, altera eius parte expugnata, Agareni igni iniecto, in alteram se receperunt: qua & ipsa capta, nemo effugit. Tarsenses quoque audita Mopsihestiæ expugnatione, Imperatori accersito urbem tradiderũt. Triduo elapso classis Ægyptia Tarsensibus auxilio missa, ad terram appellendi facultatẽ nõ habuit, eademque in reditu & uentorum procellis, & Romanarum triremium incursionibus maiori ex parte perijt. Imperator Constantinopolim reuersus, æreas Tarsi & Mopsihestiæ portas exquisiti artificij, nouis ornamentis additis, partim muro iuxta arcem Orientali, partim Occidentali accommodauit, atque etiã Deo quasi primitias expeditionis suæ obtulit: uenerãdis crucibus, quibus Barbari potiti fuerant, cum Stippiota Legionũ Domesticus, in obsidione Tarsi, re per imprudentiã malè gesta, cladẽ accepisset, diuæ Sophiæ templo dedicatis. Cyprũ quoque ab Agarenis occupatã, Romano Imperio restituit. Deinde Syriã inuasit, & urbibus ad Libanũ, & iuxta mare sitis partim expugnatis, partim uastatis, ad Antiochiam uenit. Sed Antiochenis acrius resistẽtibus, accedẽte etiam cõmeatus penuria, & solo imbribus inũdato, soluta obsidione in urbẽ principẽ est reuersus: allata seruatoris Christi sacra diuinaque effigie, Hierapoli Syriæ in olla reperta: & parte capillorũ Ioãnis Baptistæ sanguine cõcreta. Ac in rebus bellicis talis fuit hic Imperator, Romanique Imperij fines lõgè lateque propagauit. Sed certis de causis, omniũ odia suscepit. Eæ fuerũt, quòd, cũ ij milites, quos defectionis socios habuerat, obuia quæque uastarẽt, eos quę dãna fecerãt, nõ curabat, et multis ędib⁹ tũ illustriũ tũ plebeiorũ hominũ direptis, sic affectus erat, quasi nihil mali accidisset: sed delectabaẽ poti⁹ iniurijs, quibus ciues onerabãtur, quãuis eorũ ope ad Imperiũ peruenisset. Præterea, cõtinentiũ bellorũ prętextu nouis tributis instituẽdis, & ueteribus augẽdis: omnis generis exactionib⁹ subditos premebat, quos milites quocũque uenerãt nihilo clemẽtius tractabãt quàm hostes. Ad hæc ob frequẽtes expeditiones, pecunię inopiã causando, Imperatorias largitiones senatui dari solitas, ex parte imminuebat, & annua dona ab antiquis tẽporibus templis & alijs pijs domibus

Niciphori uictoriæ in Cilicia.

Aegyptiacæ classis interitus.

Spolia Cilicica.

Cyprus & Syria recuperatæ.

Nicephorus ob impunitatẽ militum & auaritiã uulgo inuisus.

attributa penitus sustulit. Decreto quoq; sanxit, ne fundi Ecclesiarū augerentur, quod (ut ipse asserebat) à sacerdotibus nō in Ecclesiarū utilitatē opes illæ cōferrentur. Orta porrò inter summū pastorem & primarios sacerdotes de suffragijs cōtentione, cùm hi decernēdi licentiā & approbandi potestatē sibi uendicarent, ille suffragia rèprehēderet, ut quæ nec sine affectibus, nec recto iudicio ferrentur, operamq; daret, ut ab ijs iudicium facturis & ipse in cōsiliū adhiberetur: Imperator ex hoc sumpta occasione, & omni autoritate designandi episcopos sibi uendicata, edixit, ne quisquā iniussu suo in ullā Ecclesiā mitteretur. Mortuo igitur Episcopo, ex ministris suis in Ecclesiā uacantē mittebat aliquē, quo sumptus necessarios parce faciēte, ipse reliqua sibi uendicabat. Neq; uerò eo imperāte in ullis prouincijs unquam defuerūt descriptores, inspectores & Militares & Protonotarij: qui subditos omni malorū genere oppressos ad summā egestatē redegerunt, ne egentissimorū quidem habita ratione. Nam eos in Dromicos exercitus referebāt: qui prius in ijs fuerant, in nauticos transferebant: classiarios in pedestres exercitus, pedites in turmas equitum, equites in cataphractos inserebāt: singulis grauius militię munus assignātes. Nam ad unā rem militarē referebat omnia. Vnde, quod in se fuit, decreto sanxit, ut milites in bellis interfecti, pari cū Martyribus honore colerētur, et similibus hymnis ac ueneratione celebrarētur. Quòd si Patriarcha & quidā ex primarijs sacerdotibus & senatus principibus nō strenuè restitissent: rogassentq;, quo pacto ij qui in bellis & cæderēt & cæderētur, Martyres iudicari possent, aut Martyribus pares, quos sacrorū canonū cēsura notaret, trienniū à tremenda illa & sancta communione arcens: forsitan egregiū illud decretū ratū fuisset. Apparet eundē auariciæ quoq; sordibus fuisse cōtaminatū. Nam cum usq; ad eum quoduis numisma * exagiū penderet, ille * tetarterū excogitauit pondere imminuto, & exactiones grauiore, largitiones & omnes impēsas mutilato numismate fecit. Iam cū antiquitus receptū esset, ut omnis uetus stater, Imperatoris imagine insignitus, tātundē ualeret, quātum recens ab Imperatore excusi: ille suā monetam pluris fieri iussit. Quo fine: ut illam solam mercatoribus expetentibus, è cōmutationis auctario, quod magnū exigebat, multū sibi lucri accederet. Quibus rebus cum ciues uexarentur, fori curatores rerū uænaliū nullā rationē habebant, sed quisq; mercator suo arbitratu preciū statuebat. Vnde, qui res necessarias emebant, indies fiebāt pauperiores. Hęc aliaq; plura (nam omnia persequi difficile fuerit) atrox omnium odium Nicephoro concitarunt: ut optarent omnes, eius tyrannide liberari. Illud tamen uel in primis, hominibus molestū fuit, quòd Regiā muro circundedit,

Nicephorus solus militiæ studiosus.

Monetæ nouæ imminutio & exaggeratio ueteris.

ἱεροῖς οἴκοις ἐγκαταλέλοιπε(?) τέλεον, ὅτι καὶ ψήφισμα βασίλειον ἐξέθετο, μὴ ἀκινήτοις τὰς ἐκκλησίας μεγεθύνεσθαι, καὶ ἡ πρόφασις ὅτι κατ' ἐκεῖνον ὑπὸ τῶν ἀρχιερέων οὐκ εἰς δέοντα τῶν ἐκκλησιῶν ἀναλίσκονται. ἔτι τοῦ τότε ἀρχιερέως καὶ τοῦ ἀρχιποίμενος πολυειδῶς διαφερομένων περὶ τὴν ψῆφον, καὶ τῶν μὲν ὡς ἑαυτοῖς ἐχόντων τὴν ἄδειαν τοῦ ψηφίζεσθαι ὃν ἂν ἐγκρίνοιεν, τοῦ δὲ τὰς ψήφους αἰτιωμένου, ὡς ἐκ ἀπαθῶς γινομένας οὐδὲ κατὰ γνώμας εὐθυτάτας, καὶ συνεδρεύοντος κοινοῦσθαι αὐτῷ τοὺς ἀρχιερεῖς περὶ τῶν μελλόντων ψηφίζεσθαι, ὁ βασιλεὺς ἀφορμῆς ἐκ τούτου δραξάμενος, ὡς οἰκείαν ἐξουσίαν τὸ περὶ τῶν ἐπισκόπων μετήνεγκε προχείρισιν, μηδένα ἐκδοῦναι(?) γνώμης ἄτερ αὐτοῦ εἰς ἐκκλησίαν οἱανδήτινα στέλλεσθαι ἀλλ' ἐκεῖ χειροτονεῖσθαι ἐπίσκοπον. βασιλικὸν ὑπουργὸν εἰς τὴν χηρεύουσαν ἐκκλησίαν ἐξέπεμπε, καὶ γλίσχρως παρ' ἐκείνου τῶν ἀναγκαίων γινομένων ἀναλωμάτων, αὐτὸς ἐκομίζετο τὰ περιττεύοντα. οὐδέποτε δὲ ἐν ταῖς χώραις ἁπάσαις, αὐτοῦ βασιλεύοντος, ἀναγραφεῖς ἐλλελοίπασιν, ἐπόπται τε καὶ στρατευτικοὶ καὶ οἱ καλούμενοι πρωτονοτάριοι, οἳ παντοίαις κακώσεσιν ἐξεπίεζον τὸ ὑπήκοον, καὶ εἰς ἐσχάτην ἀπορίαν συνήλασαν, μηδὲ τῶν πενεστάτων ἀπόρων φειδόμενοι. ἀλλὰ τούτους μὲν ταῖς δρομικαῖς στρατιαῖς ἐγγράφοντες, τοὺς δὲ πρώην ταύταις ὑποκειμένους εἰς τὰς πλωϊκὰς μετεγγράφοντες, τοὺς δὲ πλωΐμους μετατιθέντες εἰς στρατιώτας πεζούς, τοὺς δὲ πρὶν πεζοὺς τοῖς ἱππόταις ἐγκαταλέγοντες, καὶ τοὺς ἱππότας εἰς καταφράκτους ἀμείβοντες, καὶ ἑκάστῳ βαρύτερον στρατιωτικὸν ἐπιτιθέντες λειτούργημα. ἐῴκει γὰρ τὸ πᾶν τῇ στρατιωτικῇ μεταχειρίσει ἐπιγραφόμενος. ὅθεν καὶ δόγμα, ὅσον τὸ κατ' ἐκεῖνον, ἐδογμάτισε, τοὺς ἐν τοῖς πολέμοις ἀναιρουμένους στρατιώτας, ἰσοτίμους τιμᾶσθαι τοῖς μάρτυσι, καὶ ὕμνων ὁμοίων τυγχάνειν, καὶ παραπλησίως γεραίρεσθαι. καὶ εἰ μὴ ὁ πατριάρχης καί τινες τῶν ἀρχιερέων, ἀλλὰ μὴν καὶ ἔνιοι τῶν λογάδων τῆς γερουσίας γενναίως ἀντέστησαν, λέγοντες, πῶς οἱ ἐν πολέμοις ἀναιροῦντες καὶ ἀναιρούμενοι λογίζοιντό ποτε μάρτυρες, ἢ τοῖς μάρτυσιν ἰσοστάσιοι, οὓς οἱ θεῖοι κανόνες ὑπὸ ἐπιτίμιον ἄγουσιν, ἐπὶ τριετίαν τῆς φρικώδους καὶ ἱερᾶς αὐτοὺς ἀπείργοντες μεταλήψεως, τάχα ἂν τὸ διάταγμα(?) ἐκεῖνο ἐκεκύρωτο δόγμα(?). ἦν δὲ πρὸς τοῖς ἄλλοις καὶ χρημάτων ἥττων, ὡς ἔοικε. μέχρι γὰρ ἐκείνου παντὸς νομίσματος ἐξαγίου σταθμὸν ἕλκοντος, ἐκεῖνος τὸ τεταρτηρὸν ἐπινενόηκε, κολοβώσας αὐτὸ κατὰ τὸν σταθμόν, καὶ τοὺς μὲν φόρους εἰσέπραττε(?) διὰ τοῦ βαρυτέρου, τὰς δὲ δόσεις καὶ πάντα τὰ ἀναλώματα διὰ τοῦ κεκολοβωμένου ἐποίει. ἔθους δὲ ἐπικρατήσαντος παλαιοῦ, στατῆρα πάντα, βασιλικὸν ἐκτύπωμα φέροντα, ἰσότιμον εἶναι τοῦ ἄρτι κοπτομένου παρὰ τοῦ βασιλεύοντος, ἐκεῖνος τὸ ἑαυτοῦ προτιμᾶσθαι ἐκέλευσε νόμισμα. ἵνα τί γένοιτο; ἵν' ἐκεῖνο μόνον τοῖς ἐμπόροις ζητούμενον, κέρδος αὐτῷ πορίζῃ ὑπὲρ ἑκάστου νομίσματος, ἀδρὰ πραττομένου ἀλλάγια. οὕτω δὲ τούτοις κακουμένων τῶν πολιτῶν, οὐδέ τις παρὰ τῶν ἀγορανόμων ἦν ἐπὶ τοῖς ὠνίοις προμήθεια, ἀλλ' ἕκαστος τῶν ἐμπόρων νόμον εἶχε τὸ ἑαυτοῦ θέλημα, καὶ οἱ ὠνούμενοι τὰ χρειώδη, ἐγίνοντο καθ' ἑκάστην πενέστεροι. ταῦτα καὶ πλείονα ἕτερα (πάντα γὰρ ἀπαριθμήσασθαι δυσχερὲς) ἐξέμηνε πάντας κατὰ τοῦ Νικηφόρου, καὶ πᾶσιν ἦν δι' εὐχῆς, τῆς τούτου τυραννίδος ἀπαλλαγῆναι. οὐχ ἥκιστα δ' ἐλύπησε τοὺς ἀνθρώπους, καὶ ὁ τῶν βασιλείων τοῦ τείχους περιβολή.

ἰσχυρωσάμενο-

ὅτι ὡς ἰδίαν(?) τῶν ὑποκειμένων(?) ὁ βασιλεὺς αὐτὴν ἐξουσίαν [illegible]

ὅτι παρὰ τοῦ Φωκᾶ τὸ τεταρτηρὸν ἐπενοήθη καὶ ὁ [illegible] χαράγμα.

περὶ τοῦ νικηφόρου [illegible] ἀναιρέσεως(?).

λογίου χρησμοῦ ὑπό τινος ὀργήν(?) ἔχων, ὅτι ἐν τοῖς βασιλείοις μέλλειν ἀναιρεθήσεσθαι, ἔδοξεν ἑαυτῷ περιποιεῖσθαι διὰ τοῦ τείχους ἀσφάλειαν, δέον λογίζεσθαι, ὡς εἰ μὲν ἀληθὲς εἴη τὸ χρησμοδότημα, εἶναι αὐτὸ τὸ πεπρωμένον, ἵν' οὕτως εἴπω, τὸ ἐκ θεοῦ ὁρισθέν, ἄφυκτόν τε καὶ ἀμετάθετον. εἰ δὲ δύναιτο κωλυθῆναι διά τινος ἐπινοίας, οὐ πάντως ἀληθές. καὶ τὰ ἐπινοούμενα περιττά. ὁ δὲ τοῦτ' οὐδὲν λογισάμενος, μεγάλας δαπάνας τὸ νῦν ὁρώμενον τεῖχος τὰ βασίλεια ἐτειχοδόμησεν, ἀκρόπολιν δὲ οἱ πολῖται ᾤοντο καὶ τυραννεῖον καθ' ἑαυτῶν γενόμενον ἐκεῖνον. ὅτε τοίνυν ἀπήρτισε τὸ ὀχύρωμα, καὶ ἔδοξεν ἑαυτῷ περιποιήσασθαι τὴν φυλακὴν ἀσφαλῆ, τότ' ἔγνω μηδὲν αὐτῷ λυσιτελῆσαν τὸ ἐπινόημα, ὁπότε ἔνδον ὑπέστη τὸν ὄλεθρον. ἀλλὰ μήπω περὶ τούτου, ἐπεὶ δ' ὁ λόγος πράξεις διεξιέναι ἐκείνου. ὑποστρέφων δὲ ἐξ Ἀντιοχείας, τῆς περὶ Ὀρόντην ὄντος ὁ βασιλεύς, φρούριον ἐν τῷ ὄρει τοῦ Ταύρου ἐδείματο, Μαῦρον δὲ ὄρος ἐκεῖνο λέγει νῦν ὁ πολὺς ἄνθρωπος. ἐν ᾧ Μιχαὴλ τὸν Βούρτζην κατέλιπε, πατρίκιον τιμήσας, καὶ τοῦ Μαύρου ὄρους στρατηγὸν ὀνομάσας αὐτόν, τοὺς Ἀντιοχεῖς κακοῦν ἐνταλάμενος. καὶ Πέτρον δ' ἕνα τῶν ἑαυτοῦ θεραπόντων, ἐκτομίαν μέν, δραστήριον δὲ καὶ ἐμβριθῆ, καὶ ἄρχειν εἰδότα στρατιωτῶν, στρατοπεδάρχην ὀνομάσας κατέλιπεν, ἐν Κιλικίᾳ δοὺς χώραν τῇ στρατιᾷ τὸν χειμῶνα διαγαγεῖν. καὶ ὁ μὲν βασιλεὺς ἀπῆρεν εἰς τὸ Βυζάντιον, ὁ δὲ Βούρτζης συνεχῶς διελαύνων ἐκάκου τοὺς ἐν Ἀντιοχείᾳ Ἀγαρηνούς, καὶ διεσκόπει ὅπως ἕλοι τὴν πόλιν ἀδύνατο, καὶ κλέος ἕξει. λαθὼν οὖν περὶ μέτρον τοῦ ὕψους ἑνὸς τῶν πύργων λαβών, καὶ πρὸς τοσοῦτον ὕψος ἀναλόγους ἁρμόσας κλίμακας, φυλάξας οὖν νύκτα μίαν χειμέριον, ἀσέληνόν τε καὶ νιφετώδη, πρόσεισιν ἠρέμα τῷ τείχει τῆς πόλεως, καὶ τὰς κλίμακας ἐρείσας αὐτῷ, ἀνέβη μετὰ τριακοσίων (τοσούτους γὰρ ἐπήγετο, μηδενὸς αἰσθομένου) καὶ τοὺς μὲν τοῦ πύργου ἐκείνου φύλακας ἀνεῖλε, καὶ ἑτέρων πλησιαζόντων, στέλλει δ' αὐτίκα πρὸς τὸν στρατοπεδάρχην, δηλῶν αὐτῷ τὸ γινόμενον, καὶ πρὸς βοήθειαν ἐκκαλούμενος. ὁ δὲ ἀνεδύετο. λέγεται γὰρ ἐντετάλθαί οἱ τὸν βασιλέα, μὴ προσβαλεῖν τῇ Ἀντιοχείᾳ, ὅτι παρὰ πᾶσι πεφήμιστο, τῇ τῆς Ἀντιοχείας ἁλώσει ἕψεσθαι καὶ τοῦ κρατοῦντος τὸν ὄλεθρον. οἱ δὲ Ἀντιοχεῖς γνόντες τῶν πύργων τὴν ἅλωσιν, ἐκεῖ συνηθροίσθησαν, ἐξελάσαι τοὺς Ῥωμαίους αὐτῶν προθυμούμενοι. πρὸς δύο τοίνυν ἐναντία μαχόμενον ἔχων ὁ στρατοπεδάρχης τὸν λογισμόν, τήν τε βασιλικὴν ἐντολήν, καὶ τὸν ὄλεθρον τοῦ Βούρτζη καὶ τῶν σὺν αὐτῷ τριακοσίων ἀνδρῶν, ἔδοξε, μὴ ἐᾶσαι τοσούτους ἄνδρας ἀπολέσθαι, καὶ ἄρας σὺν παντὶ τῷ στρατεύματι, προσβάλλει τῇ Ἀντιόχου. καὶ αὐτίκα οἱ μὲν πολέμιοι παρείθησαν καὶ τὰς χεῖρας καὶ τὰς ψυχάς. οἱ δὲ περὶ τὸν Βούρτζην καὶ αὐτὸς ἐκεῖνος ἤδη ἀπεγνωκότες ἀνεζωώθησαν, καὶ τὰ κλεῖθρα τῶν πυλῶν ὁ Βούρτζης πελέκει διακόψας, ἄνετον παρέσχε τῷ στρατοπεδάρχῃ τὴν εἴσοδον, καὶ ἡ περιφανὴς Ἀντιόχεια ῥᾷον οὕτως ὑπὸ Ῥωμαίους ἐγένετο. ὃ τῷ βασιλεῖ ἀγγελθὲν ἄλγος, ἀλλ' οὐ χαρμονὴν ἐνεποίησεν. ἐμήνιέ τε τῷ στρατοπεδάρχῃ καὶ τῷ Βούρτζῃ, τῆς σπουδῆς καὶ τοῦ ἀνδραγαθήματος ἀμοιβὴν παρέσχεν ὕβρεις καὶ ἀπειλάς, ἀφείλετό τε αὐτοῦ τὴν ἀρχήν, καὶ παρὰ τῷ οἴκῳ μένειν ἀπράκτως διωρίσατο. συνέβη δέ τι καὶ ἕτερον, ὃ τὸν δῆμον ἐξήγειρε κατὰ τοῦ βασιλέως, καὶ κατὰ δήμου τὸν αὐτοκράτορα. κατά τι παλαιὸν ἔθος ἐν μιᾷ τῶν δεσποτικῶν ἑορτῶν εἰς τὸν ἐν τῇ πηγῇ θεῖον ναὸν

Ἴσως ἰδὼν ὁ [illegible] ... κράτος, ἢ ἴσως ἐκεῖνος ... περὶ τὰς ἁλούσας πόλεις, ἢ διά τινα αἰτίαν.

Nam cum oraculum accepisset, se in e. intersectũ iri: putabat se mœnibus tutũ fore. Enimuero sic ei ratiocinandũ fuit. Si uerum esset oraculum, etiam fatum (ut ita loquar) diuinitus ordinatum, esse ineuitabile et immutabile. Sin id aliqua solertia prohiberi posset, non utiq; esse uerum, omnemq; solertiam superuacaneã. Sed ille nulla harum rerum cõsiderata: magnis sumptibus Regiam eo muro, qui etiam nunc cernitur, coronæ instar circundedit, quẽ ciues arcem & castellum tyrannicũ contra se extructum iudicabãt. Verùm munitione perfecta, cum se iam res suas in tuto collocasse putaret, tum demũ cùm intra eam ipsam cæderetur, intellexit, inuentum illud nihil sibi profuisse. Sed hoc in præsentia omisso, res eius gestas exequamur. Antiochia, quã flumẽ Orõtes alluit, reuertens, castellũ in Tauro monte, quem hodie uulgò Maurũ uocans, construxit: Michaele Burze, quem Patriciũ fecit, & Tauri mõtis ducem nominauit, ad infestandos Antiochenos ibi relicto: Petrum uerò quendã ex ministris suis, castratum illũ quidem, sed strenuum hominẽ, constantem, et militum regundorum peritum, castrorũ præsidem designauit ut locum exercitui daret ad hybernandum in Cilicia. Imperatore Byzantiũ reuerso, Burzes crebris excursionibus Antiochenos Agarenos infestabat, assiduè de capiendæ urbis facultate, parandaq; sibi gloria cogitans. Quodam igitur tempore turris cuiuidam altitudinẽ clam mensus, paratis scalis illi paribus: nocte hyberna, illuni & niuosa tacitè mœnibus urbis succedis, affixisq; scalis cum trecentis (tot enim aduertente nemine adduxerat) ascendit, custodes turris & obuios quosq; cædit, statimq; castrorũ præsidi nunciat quid fiat, & ad opem ferendã accersit. Id ille detrectabat. Ferebatur enim Imperator illi mandasse, ne Antiochiam inuaderet, quod urbis eius captiuitatẽ interitũ Imperatoris consecuturũ uulgata fama erat. Antiocheni cũ turres occupatas esse cognouissent: eò alacriter cõuenere, ad Romanos expellendos. Castrorũ uerò præses, quãuis ancipiti cura distineretur, et mãdati Imperatoris, et exitij Burzæ, cum cohorte sua: tamen nõ committendũ esse ratus, ut tot uiri perirẽt cum omnibus copijs Antiochiã inuadit. Quo facto statim & manus & animi Barbarorũ conciderũt. Burzes uerò cum suis iam desperata salute, reuixit, et porta bipẽni resecta, liberũ ingressum castrorũ duci præbuit. Tãta facilitate, illustris Antiochia in Romanorũ potestatem uenit. Id Imperatori nunciatũ plus doloris attulit q̃ uoluptatis, & præclarũ facinus, irat⁹ castrorũ præsidi & Burzę, cõtumelijs & minis est remuneratus, ademptoq; Imperio, illũ domo exire uetuit. Accidit & aliud quiddã, quod & populũ cõtra Imperatorẽ, & Imperatorẽ cõtra populũ exacerbauit. Quodã festo Dominico Imperatore, ex ueteri cõsuetudine in Peganũ tẽplũ

Nicephorus fati necessitatem mœnibus Regiæ propulsare studuit.

Dilemma.

Antiochia, Burzæ industria capitur.

Seditio Armeniorū et nautarum. supplicatū egresso accidit, ut Armenij & nautæ orta contentione cum magno murmure et tumultu inter se cōgrederentur, & utrinq; uiri aliquot caderent. Quo ante reditū Imperatoris, ciuibus nunciato, temeraria plebs in cohortes diuisa, Armenios redeuntes, obuiam egressa, fustibus cædebat, & ipsum Imperatorē iam in forum panariū progressum maledictis insectabatur: ortoq; tumultu & cōcursu facto, *Alienatio populi à Nicephoro ob ludum militarem.* & clamore sublato, alij lapidibus Imperatorē petunt, alij puluerē in eum spargūt, & maledictis usq; in forū tabulis lapideis stratum prosequuntur, in quo columna rotunda porphyretica sita est. Ac nisi quidam ex honoratioribus illius loci ciuibus Imperatore suscepto, insectantes eum & maledicta ingerentes, nulloq; ordine tumultuantes, repressissent ac depulissent, illūq; corona cinctum cum faustis acclamationibus in Regiam usq; perduxissent: fortasse magnū ex ea seditione malū extitisset. Inde rumor emanauit, Imperatoris dissimulatā iram ludis equestribus in populi ultionē erupturam. Aliquanto pòst cùm certamen equestre ederetur, Imperator milites armatos in medium theatrū produxit, siue ut populo bellici cōgressus imaginē adumbrarēt, iucundā & ipsam futurā scilicet, siue terroris incutiēdi causa. Vt aūt milites gladios strinxerunt, populus q in theatro erat, illud esse ratus, quod diu hominū sermonib⁹ iactatū esset: cū impetu fugiebat, inter exeundū aūt in angustijs multi inuicē cōculcati perierūt, ac periculū latius uagatū esset, nisi uiso Imperatore in sua sede immoto, fugere destitissent. Mortuorū uerò propinqui suos lugētes, publicè Imperatorē dicterijs incesserunt, ob quæ cū se ciuibus inuisum esse sciret: Regiā muro cinxit, quo absoluto relatis ad se clauibus, tum demū id ei quod timebat, euenit, neq; ulla excogitatæ munitionis fuit utilitas. *Rosi cōtra Bulgaros concitati.* Turcis autē, Vngris scilicet, Thraciam uastantibus, Bulgariæ principi scripsit, ne illos Istrum transire pateretur, & Romanas prouincias infestare. Id ille recusauit, quod Imperator ipsi quoq; auxilia negasset, cum ab ijsdem inuaderetur. Nunc autem postquā pacē cum eis facere coactus sit, postulare ut fœdus rumpat, & armis sumptis bellū suscipiat, cuius rationē reddere nō possit. Ibi igitur repulsam passus, Calocyrū Chersonij Principis filiū, ad Rosiæ principem Sphendosthlabum contra Bulgaros concitandū ablegauit. Rossicus igitur exercitus Bulgariæ agros lōge lateq; populatus, prędā penè innumerabilē abegit, idq; sequēti anno æquè factū. *Terræ motus.* Phoca regnāte fuit terræ motus horrēdus, q etsi Cōstantinopoli planè innoxius, alijs tamē urbib⁹ plurimū nocuit. & mēse Maio spirarūt uenti, qui fruges pere- *Fames.* merunt. Vnde fame laboratū, quam Nicephorus in suum lucrum conuertit, in granaria cōgesto frumēto, & esurientibus magno uendito, nō reputās, se (ut in Prouerbijs Salomō ait)

πρόοδον ἐποιεῖτο ὁ βασιλεύς, καὶ συνέβη μέσον ἀρμενίων καὶ πλωΐμων φιλονεικίαν συμβῆναι, κἀκ ταύτης συμβολὴν ἀλλήλων καὶ θροῦν καὶ κρότον πολύν, καὶ φόνον ἀνδρῶν ἑκατέρωθεν γενέσθαι. ἡ δὲ φήμη τὸ γεγονὸς τοῖς ἐν τῇ πόλει πρὸ τῆς ἐπανόδου τοῦ βασιλέως κατηγγέλκει, οἱ τοῦ δήμου ἀτάσθαλοι κατὰ συμμορίας γενόμενοι πολλαχοῦ, καὶ τοῖς ἀρμενίοις ἐπανιοῦσιν ὑπαντιάζοντες, ξύλοις ἐκείνους συνέκοπτον, ὡς δὲ καὶ ὁ βασιλεὺς ἐφθάκει κατὰ τὴν ἀγορὰν τῶν ἀρτοπρατίων, ὕβρεις κατέχεον κατ' αὐτοῦ, καὶ θόρυβός ἐστι, καὶ βοαί τε καὶ συνδρομαί, καὶ οἱ μὲν λίθους ἀφίεσαν κατὰ τοῦ βασιλέως, οἱ δὲ κόνιν ἐπέπαττον κατ' αὐτοῦ, καὶ ἐδυσφήμουν αὐτὸν μέχρι τῆς ἀγορᾶς, ἥ τις ἔστρωται ταῖς πλαξί, καὶ τὸν κίονα φέρει, τὸν κυκλοτερῆ τε καὶ πορφυροῦν. καὶ εἰ μή τινες τῶν ἐντιμοτέρων πολιτῶν ἐκεῖσε τὸν βασιλέα δεξάμενοι, τοὺς μὲν ἐφεπομένους αὐτῷ καὶ δυσφημοῦντας, ἄλλως τε ἀτακτοῦντας, ἀνεχαίτισαν, ἐκεῖνον δὲ κύκλῳ περιλαβόντες, εὐφήμουν, καὶ οὕτως αὐτὸν εἰς τὰ βασίλεια διεσώσαντο. τάχα ἄν τι μέγα συνέβη κακόν. ἐντεῦθεν διεδίδοτο λόγος, ὡς ἐν ἱπποδρομίᾳ ὁ βασιλεὺς ἐγκοτῶν τῷ δήμῳ, μέλλει αὐτὸν ἀμύνασθαι. ἀμέλει ὡς ἦν τελουμένη ἱπποδρομία κατὰ καιρόν, στρατιώτας ὁ βασιλεὺς ἐνόπλους προήγαγεν εἰς μέσον τὸ θέατρον, ὑποδεικνύμενος τάχα τῷ δήμῳ, ὡς ἐν τύπῳ πολεμίων οἵα τῆς μάχης ἡ συμβολή, ὡς δῆθεν αὐτῷ καὶ τέρψιν προσποιούμενος ἡδονήν, ἢ καὶ φόβον αὐτοῖς ἐνσεῖσαι θέλων. ὡς οὖν οἱ στρατιῶται τὰ ξίφη ἐγύμνωσαν, ὁ ἐν τῷ θεάτρῳ λαὸς τοῦτ' ἐκεῖνο τὸ φημιζόμενον εἶναι νομίσαντες, ἐπὶ διδράσκειν τοῦ θεάτρου ὥρμησαν, καὶ περὶ τὰς ἐξόδους στενοχωρούμενοι, ὑπ' ἀλλήλων τε συμπατούμενοι, ἀπώλοντο οὐ βραχεῖς. τάχα δ' ἂν καὶ πολλῷ πλείους ἐκινδύνευσαν, εἰ μὴ ὁ βασιλεὺς ἀμετακίνητος ἐπὶ τῆς ἰδίας ὤφθη καθέδρας. ἰδὼν γὰρ ὁ δῆμος ἐκεῖνον μηδόλως τῆς ἕδρας μεταχωρήσαντα, ἐπαύσατο τῆς φυγῆς. οἱ δὲ τοῖς θανοῦσι τότε προσήκοντες, τοὺς οἰκείους θρηνοῦντες, δημοσίᾳ πρὸς τὸν βασιλέα ἀπεσκώπτον. διὰ ταῦτα γινώσκων μισεῖσθαι παρὰ τῶν πολιτῶν ὑποπτευόμενος, τείχει περιέζωσε τὰ βασίλεια, ἀλλ' ὅτε τοῦτο ἀπήρτιστο, καὶ αἱ τῶν πυλῶν αὐτοῦ κλεῖδες ἀπενεμήθησαν, τότε, ὃν ἐφοβεῖτο φόβον, ἦλθεν αὐτῷ, καὶ οὐδὲν τῆς ἐπινοουμένης αὐτοῦ ἀσφαλείας ἀπώνατο. τῶν δὲ τούρκων, τῶν οὔγγρων δηλαδή, τὰ θρᾳκῷα λυμαινομένων, τῷ τῆς βουλγαρίας ἔγραψεν ἄρχοντι ὁ βασιλεὺς νικηφόρος, μὴ παραχωρεῖν αὐτοῖς διαβαίνειν τὸν ἴστρον, καὶ τὰ τῶν ῥωμαίων λυμαίνεσθαι. ὁ δὲ οὐχ ὑπήκουσε, λέγων, ὡς ὅτε καθ' ἡμῶν οὗτοι ἐστράτευον, παρακαλούμενος συμμαχῆσαι ἡμῖν, οὐκ ἠθέλησας. καὶ νῦν ὅτε βιασθέντες σπονδὰς ἐθέμεθα πρὸς αὐτούς, ἀξιοῖς ἡμᾶς παρασπονδῆσαι, ὅπλα τε κατ' ἐκείνων ἄρασθαι, καὶ κινῆσαι πόλεμον ἀπροφάσιστον. ἀπρακτήσας τοίνυν ἐντεῦθεν, εἰς τὸν ἄρχοντα ῥωσίας τὸν σφενδοσθλάβον διεπρεσβεύσατο, ὁρμᾶν κατὰ τῶν βουλγάρων αὐτόν, διὸ καὶ τὸν υἱὸν τοῦ ἐν χερσῶνι πρωτεύοντος τὸν καλοκυρὸν πρὸς ῥωσίαν ἐκπέπομφεν. ἐπεστράτευσε τοίνυν κατὰ βουλγάρων σὺν τάγματι ῥωσικῷ, καὶ χώραν αὐτῶν πολλὴν ἐληΐζετο, καὶ λείαν ἐκ δυσαρίθμητον ἐκεῖθεν ἀπήλασε, καὶ τῷ ἑπομένῳ δὲ ἐνιαυτῷ οὐχ ἧττον τοῦ προτέρου οἱ ῥῶς τὰ βουλγάρων ἐκάκωσαν. γέγονε δὲ τοῦ φωκᾶ βασιλεύοντος καὶ κλόνος τῆς γῆς φρικωδέστατος, ὃς ὅτι μὲν ἡ κωνσταντίνου οὐ πάνυ τι πεπόνθηκε, πόλεις δ' ἑτέρας καὶ σφόδρα πεπίεκασιν. ἔπνευσαν δέ τινες ἄνεμοι κατὰ μάϊον μῆνα, δι' ὧν ἐφθάρησαν οἱ καρποί, καὶ γέγονε λιμὸς ἰσχυρός. ὃν εἰς οἰκεῖον κέρδος ὁ νικηφόρος μετήνεγκε. ταμιευσάμενος τὸν σῖτον, καὶ πολλοῦ τοῦτον ἀπεμπολῶν τοῖς λιμώττουσι, μὴ φροντίζων, ὅτι δημοκατάρατος ἦν,

ὥρμη δὲ μέσον τῶν ἀρμενίων καὶ τῶν πλωΐμων φιλονεικίας καὶ ἐκ τοῦ δήμου διὰ ταῦτα αὐτοῦ κατὰ τοῦ βασιλέως.

ὅπως τὸν δῆμον φοβήσοιτο, καὶ ἐκ τοῦ θεάτρου ἀποδιδράσκοντος πολλοὶ διεφθάρησαν.

τῶν οὔγγρων.

ὅτι ὁ βασιλεὺς τὸν ῥὼς ἐκίνησε κατὰ τῶν βουλγάρων.

ὅτι λιμοῦ γενομένου ἐπὶ τοῦ φωκᾶ, ὁ νικηφόρος ἐκέρδανε.

κατὰ τὸ

περὶ τὸν σολομῶντα περιμαχόμενον, ἀλλ' αὐχῶν μᾶλλον ὡς εὐφραίνων τὸ ὑπήκοον, ὅτι δύο μεδίμνους ἐπίπρασκε τῷ νομίσματι. καὶ ταῦτα παράδειγμα ἔχων τὸν μακεδόνα βασίλειον, ὅπως πάνυ πρώην μεγαλοπρεπῶς πρὸς τοιαύτην ἐνδείαν ἐχρήσατο φιλανθρωπίᾳ. ἀπιὼν γάρ ποτε ὁ αὐτοκράτωρ ἐκεῖνος, συνήθη ποιούμενος πρόοδον, εἰς τὸν τῶν ἁγίων ἀποστόλων ναόν, καί τινας τῶν τῆς πόλεως ἄνδρας ὑπόσημον δακρύοντας κατέσχηκε, θεασάμενος σκυθρωπάζοντας, ἤρετο τὴν αἰτίαν τοῦ σκυθρωπότητος· οἱ δὲ καὶ πῶς οὐκ ἂν σκυθρωπάζοιμεν, ἔφασαν, δέσποτα, ἐπηρτημένον ἡμῖν ὁρῶντες τὸν θάνατον, εἰ δύο μεδίμνους σίτου εἰς νόμισμα χρυσοῦν ὠνούμεθα; ὅπερ ἀκούσας ἐκεῖνος ἀνῴμωξε, καὶ τοῖς μὲν χρήμασι τὴν ἐκείνων λύπην ἔλυσε, τοῖς δὲ τὰς πολιτικὰς ἐγκεχειρισμένοις ἀρχὰς ἐλοιδορήσατό τε καὶ ἐπηράσατο, ὅτι μὴ αὐτὸν τὰ τῆς ἐνδείας ἐδίδαξαν, καὶ εὐθὺς τοὺς βασιλικοὺς σιτῶνας ἀνοιγῆναι ἐκέλευσε, καὶ δώδεκα μεδίμνους σίτου νομίσματος ἑνὸς ἐκδίδοσθαι. ἀλλ' ἐκείνου μὲν ἡ πρᾶξις αὐτοῦ βασιλική, τῷ δ' ἱστορουμένῳ νῦν βασιλεῖ καὶ λίαν καπηλική, ὃς ὑπὸ λιμοῦ τὸ ὑπήκοον ὁρῶν πιεζόμενον, οὐ ἐπήμυνεν ἀλλὰ μᾶλλον καὶ ἐνετρύφα ταῖς αὐτοῦ συμφοραῖς, καὶ τοῖς τοῦ λιμοῦ τραυματίαις ἀνηλεῶς ὑπέξεε τὰ τραύματα. καὶ ὁ τοῦ βασιλέως δὲ ἀδελφὸς ὁ λέων οὐχ ἧττον ἔθλιβε τόν τε δῆμον τῆς πόλεως καὶ τοὺς οἰκήτορας τῶν χωρῶν, καπηλεύων καὶ αὐτὸς μετιών, καὶ οἱ μὲν οὕτω διέκειντο πρὸς τοὺς πάσχοντας, οἱ δὲ πρὸς τὸν κρατοῦντα διὰ ταῦτα ἀπεσκωπτον. ποτὲ γὰρ νεολέκτους στρατιώτας ὁρῶντος τοῦ βασιλέως, ἐπεὶ καί τινα τούτοις συγκριθέντα πολιὸν ἔφη πρὸς ἐκεῖνον ὁ αὐτοκράτωρ, πῶς τοῖς στρατιώταις ἄνθρωπος γέρων ὢν συγκατελέγης σεαυτόν; ὁ δ' αὐτίκα εὐφυῶς ἀντεφθέγξατο, ὡς πολὺ δυνατώτερος νῦν εἰμι, ἢ ὅτε ἤκμαζον, δέσποτα. τότε γὰρ οὐδ' ἡμισείως ἂν ἐβάστασα σῖτον νομίσματος, νῦν δὲ ῥᾷον ἢ δύο νομισμάτων σῖτον ὑπὲρ τῶν ὤμων αἴρω. συνῆκε μὲν ὂν τὴν εἰρωνείαν ὁ βασιλεύς, ἀνεπαισθήτως δὲ ταύτην φέρων, μετῆλθε πρὸς ἕτερον στρατιώτην. σφόδρα πρὶν διακείμενος ὁ νικηφόρος πρὸς τὴν θεοφανώ, μετέπειτα τῆς πρὸς αὐτὴν συνουσίας ἀπείχετο, ἢ κορεσθεὶς ταύτης, ἢ καὶ δι' ἐγκράτειαν, μίξεως ἀπεχόμενος. οὐδὲ γὰρ πάνυ τι καὶ νέος ὢν πρὸς ἔρωτας ἐτύγχανεν εὐκατάφορος. ἡ δὲ μισήσασα τὸν ἄνδρα διὰ τὸ ἀνομίλητον, ἢ καὶ περὶ τοῖς υἱέσι δείσασα· ἦν γάρ ποτε ὑποτονθορυζόμενον, βούλεσθαι τὸν νικηφόρον τὰ βασίλεια ἐκτεμεῖν, καὶ τὴν παιδογόνων στερῆσαι μορίων, καὶ τὸν ἀδελφὸν βασιλεῦσαι τὸν λέοντα. εἰς λόγους ἦλθε λάθρα τῷ τζιμισκῇ, ἢ ἔρωτι τοῦ ἀνδρὸς ἁλοῦσα (ἦν γὰρ καὶ κάλλει διαπρεπής, καὶ τοῦ εἴδους χάριτας ἀξιόλογος) ἢ καὶ ἀξιόχρεων ἀνταγωνιστὴν τῷ νικηφόρῳ λογισαμένη ἀντίῤῥοπον, ὡς δέ τινές φασι, καὶ εἰς συνουσίαν ἐλήλυθε τῷ ἀνδρί, καὶ ἐπὶ τὸν νικηφόρον ἠρέθισε, καὶ τὸ τῆς παροιμίας, σφαῖραν ἀφῆκε ἐπὶ πρανοῦς. ἦν γὰρ καὶ ἄλλως ὁ ἰωάννης τῷ βασιλεῖ μηνιῶν, ὅτι τῷ ἀδελφῷ πειθόμενος ἐκεῖνος βασκαίνοντι τούτῳ, ὑποπτεύων τὸν ἄνδρα ἐνόμιζε, καὶ τῆς στρατιωτικῆς ἀρχῆς παύσας αὐτόν, εἰς πολιτικὴν μετατίθησι λογοθέτην τοῦ δρόμου προχειρισάμενος, ὃ οὐκ εἰς δυναστείαν, ἀλλ' εἰς τιμωρίαν καὶ ταύτην βαρεῖαν ἐκεῖνος ἐλογίζετο. ἅτε τῇ κακίᾳ τοῦ ἀνδρὸς προστιθεὶς, καὶ οἴκοι μένειν αὐτὸν ἐκέλευσεν. ᾤκει δὲ κατὰ τὸ θέμα * διὰ ταῦτα ἐμήνιε ὁ ἰωάννης. ὡς δὲ καὶ τὴν μαχλάδα ἐκείνην ἠρέθισεν αὐτὸν παραθήγουσαν, διαπραξαμένην δὲ οἱ καὶ κάθοδον κελεύσει βασιλικῇ, τῇ τυραννίδι ἐπέθετο, συμπράττουσαν ἔχων καὶ τὴν βασίλισσαν, καὶ ἅμα τοῖς

ἢ ἑκούσιον ὁ μακεδὼν βασίλειος εἰς ἀποστόλους ἰὼν τῶν ὁμήρων γενομένων.

περὶ λέοντος ἀδελφοῦ φωκᾶ.

ὅτι κατὰ τοῦ βασιλέως ἐφίλιον τὴν τζιμισκῆν ὁ θεοφανώ.

ὅτι λογοθέτην τοῦ δρόμου προβάλλετο τὸν τζιμισκῆν ὁ φωκᾶς.

publicis execrationibus obnoxiũ esse, sed benignitatem potius suam erga subditos iactãs, quòd binos medimnos aureo uenderet. quãuis exemplum Basilij Macedonis haberet, qui in tali penuria se, non ita olim, magnificè gesserat. Nam cum aliquãdo de more in D. Apostolorum ædem iret, & ciues quosdã grauitatis aliquid pr̨ se ferentes, mœstos cõspexisset: causam tristitiæ qųsiuit? Illi respõderunt, Domine, quî nõ tristes esse possumus, cùm mortẽ nobis instantẽ uideamus, & bini frumenti medimni aureo nummo sint emendi? Quibus ille auditis ingemuit, dataq; pecunia tristitiã illorũ discussit, ciuiles Magistratus execratus, quòd ab ijs de penuria nõ factus esset certior. ac statim Imperatorijs granarijs apertis, duodenos medimnos uno aureo uendi iussit. Ac ille quidem, ut Imperatorẽ decet, egit: hic pro caupone se gessit, qui populo penuria laborãti, non modo nihil opis tulit, sed & calamitatibus insultauit: uulneribus eorum, quos fames sauciarat, inhumaniter diuellendis. Sed & frater eius Leo, & ipse cauponãdo, nihilominus & urbanũ populũ & prouinciales premebat. Qui cùm se tales erga afflictos præberent, uicissim dicterijs à populo incessebant. Nam cũ aliquando Imperator nouitios milites lustrãs, canũm quendã inter cæteros uidisset, rogauit, Cur homo senex militiæ nomẽ dedisset? Ibi ille ingeniose respõdit, Se nũc multò robustiorem esse, quã in iuuẽtute. Tum enim ne dimidij quidẽ aurei frumentũ tollere potuisse: nũc uerò duorũ aureorũ facilius in humeros sublaturũ. Intellexit cauillũ Imperator, eoq; dissimulato ad aliũ transiit. Quamuis autẽ Theophanonem prius uehementer deperisset, pòst, eius congressu abstinuit, siue ex satietate, siue ex continentia. Nam uel in adolescentia parũ procliuis ad libidinẽ fuerat. At illa maritũ uel ob eam alienationẽ exosa, uel de filijs solicita (quidam enim murmurabant, uelle Nicephorum regijs pueris castratis, imperiũ in fratrẽ Leonẽ transferre) clàm cum Ioanne Zimisce colloquitur, siue amore eius capta (nam formæ excellentia & uenustate, hominum oculos in se conuertebat) siue eum parẽ Nicephoro aduersarium rata. Quidã etiam tradũt, eam consueuisse cum illo, & homine contra Nicephorum instigato, plaustrum per se nutans, ut prouerbio dicitur, opportunè perculit. Nam Ioannes alioqui succensebat Imperatori, cui ex fratris inuidia & calumnijs suspectus, à militari potestate, ad ciuilem trãslatus fuerat, et Dromi Logotheta designatus, quam ipse non potestatem, sed graue supplicium iudicabat. accesserat malis, quòd quum in Themate * habitaret, domi manere iussus erat. Ob hæc Ioannes iratus, cùm etiam à meretrice illa iritaretur, quæ reditum ei iussu Imperatoris confecerat: regnum affectauit, illa adiutrice: eodem'que tempore suis necess-

Basilij Macedonis in caritate annonæ benignitas.

Dicterium in Nicephorũ

Theophano cum Zimisce in Nicephori necem cõspirat.

necessarijs arcanum aperuit, et facinus aggressus, intempesta nocte cum ijs lembo conscenso, ad Regiam peruenit, quà mari austrino alluitur. Bucoleon is locus dicitur, quod ibi lapideus leo excisus est, qui, cum boui eiusdem materiæ insideat, pede sinistro cornu illius tenet, & collum distorquet. Quo cum uentum esset, sportam demissam uidet, in eaque cum suis à Theophanonis ancillis attrahitur. Habebat autem secum Michaelem Burzem, Imperatori, ob inconsideratam illam iram infensum, & Leonem Abalantem & Theodorum Nigrum, quem ob colorem nigriorem Azypotheodorum uocabant, & alios duos. Igitur cubiculum Imperatoris sine strepitu ingressi (Nam id quoque Theophano confecerat) Nicephorum humi dormientem, quidam calcibus percõtumeliam insultans somno excutit, experrectum seque attollentem lethaliter in capite uulnerat, quo ictu & corpus eius & animus grauiter est concussus. Ad Zimiscem qui in regio lecto consederat, adductus, iam collabens & utrinque suffultus: cum rogaretur, quibus de causis ab eo uexatus esset? nihil respondit, sed illud duntaxat, Iuua dominé, clamauit. Iubet igitur Zimisces coniuratos maxillas eius capulis gladiorum pulsando confringere, aut dentes elidere. Deinde quidam in tergum eius hastam ita intorquet, ut per pectus elaberetur. Tumultu ab excubitoribus excitato (iam enim insidias animaduerterant) caput modò defuncti, amputatum per fenestram ostendunt, itaque illorum impetum comprimunt. Fertur Nicephorus paucis antè diebus tabellas in suo cubiculo inuenisse insidiarum indices. Leo frater Imperatoris, necè illius cognita cum filio suo Nicephoro in magnam Ecclesiã cõfugit. Fuit hic Imperator cum cæderetur, natus annos quinquaginta septẽ, quorũ sex cum totidẽ mensibus regnauit.

Bucoleon.

Nicephori cædes.

IMPERIVM IOANNIS ZIMISCÆ.

AC ille quidem fatis ita satisfecit. Zimisces autem regno potitus, Romani liberos, pueros adhuc, Imperij consortes fecit: Basilio cubiculario, quẽ Nicephorus nouo dignitatis genere Præsidem appellarat, ut in rebus gerendis uersato, administrationem omnem commisit. Is Nicephori cognatos, & alios qui ei adhuc benè cupere uidebantur, amouit, Leone curatore palatij, & filio eius Nicephoro Lesbum relegatis, alteri eius filio Bardæ certo limite præfinito, ne Amasia excederet, atque alijs aliter tractatis. Quos autem Nicephorus in exilium egerat, reuocauit. ijs uero etiam Pontifices annumerabantur, qui et libro subscribere recusarant, quo sanxerat, ne quis Pontifex se inscio designaretur. Deinde in magnam Ecclesiam abijt Ioannes, ut ibi diademate ornaretur. Sed Polyeuctus, eum, ut cæde pollutum, ingredi ædem sacram non est passus.

Nicephori acta rescinduntur.

Zimisces non prius coronatur quàm Patriarchæ satisfecisset.

ἐθάῤῥει, τὸ ἀπόῤῥητον ἀπεκάλυψε, καὶ ἅμα τῷ ἔργῳ ἐπικεχείρηκε, καὶ προσλαβόμενος αὐτούς, ἀωρὶ τῆς νυκτὸς καὶ λέμβῳ ἐμβεβηκὼς ἐπὶ τὴν νοτίαν θάλασσαν τῶν βασιλείων ἀφίκετο. Βουκολέων ὁ τόπος ὠνόμασται, ὅτι λίθινος λέων λελαξευμένος ἐν αὐτῷ, βοὸς ἐπιβεβηκὼς ὁμοίας, καὶ τῷ δυωνύμῳ ποδὶ κατέχων τὸ κέρας αὐτοῦ, καὶ περιστρέφων τὸν αὐχένα τὸν τοῦ βοός. ἐνταῦθα γενόμενος, σαργάνην τε καθειμένην ἄνωθεν καθορᾷ, καὶ δι' αὐτῆς ἀνιμᾶται παρὰ θεραπαινίδων τῆς Θεοφανοῦς, καὶ αὐτὸς καὶ οἱ σὺν αὐτῷ. εἶχε δὲ ὁ Βούρτζης Μιχαὴλ ἐγγὺς τῷ βασιλεῖ καὶ αὐτὸς διὰ τὴν ὀργήν, ὡς εἴρηται, τὴν ἀλόγιστον, καὶ Λέων ὁ Ἀβαλάντης, καὶ ὁ μελάγχρους Θεόδωρος ὃν διὰ τὸ τοῦ εἴδους μελάντερον ἐκάλουν Ἀτζυποθεόδωρον, καὶ ἕτεροι δύο. ἀψοφητὶ τοίνυν ὑποδύντες τὸν κοιτῶνα τὸν βασίλειον (καὶ τοῦτο γὰρ αὐτοῖς ἡ Θεοφανὼ κατεπράξατο) εὗρον τὸν Νικηφόρον χαμεύνην ὑπνώττοντα, καί τις αὐτῷ λὰξ ἐνθορὼν καὶ ἐνυβρίσας διύπνισε, ὡς δὲ τὴν κεφαλὴν ἐκεῖνος διανιστὰς ἀνεκούφισε, δέχεται κατ' αὐτῆς εὐθὺς καιρίαν πληγήν, ἥτις αὐτῷ διέσεισε καὶ τὸ σῶμα καὶ τὴν ψυχήν. εἶτα ὁ μὲν Τζιμισκῆς ἐπὶ τῆς βασιλείου κλίνης κεκάθικε, τὸν δὲ φονευθέντα ἤδη παρεμπνέοντα ἑκατέρωθεν ὑποβασταζόμενον αὐτῷ παριστάνουσιν. ὁ δὲ τὰς αἰτίας αὐτὸν ἠρώτα, δι' ἃς ἐκεκάκωτο παρ' αὐτοῦ· ὡς δ' ἐκεῖνος πρὸς οὐδὲν ἀπεκρίνατο, μόνον δὲ τό, Κύριε βοήθει, ἐφθέγγετο, ἐγκελεύεται τοῖς περὶ αὐτὸν ταῖς λαβαῖς τῶν ξιφῶν τὰς γνάθους αὐτοῦ παίοντας συνθραῦσαι, ἢ διασεῖσαι τοὺς ὀδόντας αὐτοῦ. εἶτά τις ἐξόπισθεν δόρατι βάλλει διὰ τῶν νώτων αὐτόν, καὶ τὸ δόρυ διὰ τῶν στέρνων διέπειρε. θορύβου δὲ παρὰ τῶν προκοιτευόντων γενομένου (ἤδη γὰρ εἰς αἴσθησιν ἦσαν τῆς ἐπιβουλῆς) καὶ τὴν κεφαλὴν τοῦ ἀνδρὸς ἐκπεπνευκότος ἄρτι ἐκτεμόντες, καὶ τοῖς σωματοφύλαξι διὰ θυρίδος δεικνύουσι, καὶ οὕτω τὴν ἐκείνων ὁρμὴν καταπαύουσι. λέγεται δ' ὅτι πρὸ ἡμερῶν ὀλίγων ἐγγεγραφότι εὗρεν ἐν τῷ κοιτῶνι ὁ Νικηφόρος, δηλοῦν τὴν ἐπιβουλήν. ὁ δὲ τοῦ βασιλέως Νικηφόρου αὐτάδελφος ὁ Λέων τὸ γεγονὸς ἐγνωκώς, σὺν τῷ υἱῷ Νικηφόρῳ τῇ μεγάλῃ ἐκκλησίᾳ προσέφυγεν. ἦν δὲ ὁ ἀναιρεθεὶς βασιλεὺς ἐτῶν πεντήκοντα καὶ ἑπτά, ἐξ ὧν ἓξ καὶ μῆνας τοσούτους τῶν σκήπτρων ἐκράτησε τῶν Ῥωμαϊκῶν.

ἐπιβουλὴ τοῦ τζιμισκῆ κατὰ τοῦ φωκᾶ, συνεργούσης καὶ τῆς θεοφανοῦς.

ἀναίρεσις τοῦ φωκᾶ νικηφόρου.

ΒΑΣΙΛΕΙΑ ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΙΜΙΣΚΗ.

Καὶ ὁ μὲν οὕτως ἀπέπνευσε τὸ ζῆν. ὁ δὲ Τζιμισκῆς τῆς βασιλείας γενόμενος ἐγκρατής, καὶ τοὺς τοῦ Ῥωμανοῦ παῖδας κοινωνοὺς πεποίηκε τῆς ἀρχῆς, παῖδας ἔτι τυγχάνοντας, τὸν δὲ παρακοιμώμενον Βασίλειον, ὃν ὁ φονευθεὶς τετίμηκε πρόεδρον, μήπω πρώην ὄντος τοῦ ἀξιώματος, προσλαβόμενος ὡς ἐντριβῆ περὶ τὴν τῶν κοινῶν πραγμάτων διοίκησιν, αὐτῷ τὴν πᾶσαν οἰκονομίαν ἀνέθετο. καὶ τοὺς τῷ Νικηφόρῳ προσήκοντας, ἢ καὶ ἄλλως εὔνοιαν ἐκείνῳ τρέφειν ὑποπτευομένους, ἐκ μέσου πεποίηκε, τὸν μὲν κουροπαλάτην Λέοντα, καὶ τὸν υἱὸν αὐτοῦ Νικηφόρον ἐν Λέσβῳ περιορίσας, τῷ δ' ἑτέρῳ τοῦ Λέοντος υἱῷ τῷ Βάρδᾳ ὅριον θέμενος περιγραπτὸν τὴν Ἀμάσειαν, καὶ ἄλλους ἄλλως μετελθών τι καὶ οἰκονομησάμενος. τοὺς δὲ παρὰ τοῦ Νικηφόρου φυγαδευθέντας κατήγαγεν, οἷς καὶ ἀρχιερεῖς συνηρίθμηντο, ὅσοι μὴ ὑπογράψαι ἐν τῷ τόμῳ ὑπείκουσαν, δι' οὗ ἐδογμάτιστο, μὴ ἄνευ ἐκείνου ἀρχιερέα τινὰ προχειρίζεσθαι. εἶτα ἄπεισιν ὁ Ἰωάννης εἰς τὴν μεγάλην ἐκκλησίαν ταινιωθησόμενος· ἀλλ' οὐκ εἰάθη παρὰ τοῦ Πολυεύκτου εἰς τὸν ναὸν εἰσελθεῖν, ὡς φόνῳ μεμιασμένος.

ὅτι τὸν παρακοιμώμενον Βασίλειον τοῖς βασιλικοῖς ἐπέστησε πράγμασι.

ὅτι ἐκωλύθη ὁ τζιμισκῆς εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν.

πρότερον

πράως δὲ τὴν ἐπιτίμησιν ὁ τζιμισκῆς ἐνεγκών, ἀπελογεῖτο μὴ αὐτὸς αὐτόχειρ γενέσθαι τοῦ φόνου, ἀλλὰ δὲ τὸν ἀβαλάντην καὶ τὸν ἀτζυποθεόδωρον ἐπιτροπῇ τῆς θεοφανοῦς τὸν νικηφόρον διαχειρίσασθαι. τὴν μὲν οὖν θεοφανὼ ὁ πατριάρχης ἀπῄτησε τῶν βασιλείων ἀπελαθῆναι καὶ περιορισθῆναι, καὶ τοὺς αὐτόχειρας τοῦ νικηφόρου ἐκδιωχθῆναι, τὸν δὲ τόμον, οὗ πρὶν ἐμνήσθημεν, διαρραγῆναι, καὶ αὐτὸν τὴν ὁρισθεῖσαν δέξασθαι ἐπιτίμησιν. ὁ δὲ πάντα ποιήσειν ὑποσχόμενος αὐτίκα στέλλει καὶ κατάγει τῆς βασιλίδος τῶν ἀνακτόρων, καὶ τὸν τόμον ἐκεῖ κομισθέντα διέρρηξε, καὶ ἣν εἶχεν ἰδιώτης τελῶν περιουσίαν, διανέμειν πτωχοῖς ἐπηγγείλατο. τούτων δὲ γενομένων ἐπὶ τὴν γενέθλιον τοῦ σωτῆρος ἡμῶν καὶ θεοῦ ἑορτὴν ἅμα τε τὴν τῆς ἐκκλησίας ἐπιτρέπεται εἴσοδον, καὶ ἅμα τῷ διαδήματι ταινιοῦται, τῆς δὲ θεοφανοῦς εἰς προκόννησον περιορισθείσης. οὕτω μὲν οὖν ἀναρρηθείς, ἐπεὶ ἀρχιερέως ἡ μεγάλη ἀντιόχεια χηρεύουσα ἦν, προχειρίζεταί τινα μοναχὸν θεόδωρον, ὃς αὐτῷ προεῖπε τῆς βασιλείας τυχεῖν, καὶ μὴ σπεῦσαι μηδ᾽ ἁρπάσαι αὐτήν, ἀλλ᾽ ἀναμεῖναι τὴν ἐκ τοῦ θείου προχείρισιν. ὅσπερ τὴν ἀρχιερωσύνην καταδεξάμενος, ἠξίωσεν αὐτὸν πρὸς τὸν αὐτοκράτορα ἰσχύων, τοὺς μανιχαίους ἐκ τῆς ἑῴας μετοικίσαι πρὸς τὰ ἑσπέρια, πολλοὺς τῇ αὐτῶν μυσαρᾷ αἱρέσει διαφθείροντας. ὁ τὴν ἀξίωσιν πληρῶν, εἰς φιλιππούπολιν μετῴκισε τὸ γένος τῶν μανιχαίων. ὁ δὲ πατριάρχης πολύευκτος τῇ τοῦ τζιμισκῆ ἀναρρήσει τριάκοντα καὶ πέντε ἡμέρας ἐπιβιοὺς, τὸν βίον μετήλλαξε, καὶ ἀντεισήχθη εἰς τὸν ἀρχιερατικὸν θρόνον τῆς βασιλευούσης τῶν πόλεων ὁ μοναχὸς βασίλειος ὁ σκαμανδρηνός. οἱ δὲ ἐκ τῆς ἄγαρ μὴ ἀνεκτὸν ἡγούμενοι, στερεῖσθαι τῶν πόλεων ὧν ἤδη ἀφῄρηντο, συνελέγησαν πανταχόθεν, καὶ συνθήκας περὶ ὁμαιχμίας πεποιηκότες, καὶ τοῖς καρχηδονίοις τὴν σφῶν ἡγεμονίαν προσνείμαντες ἐπεστράτευσαν ἐπὶ τὴν ἐν τῇ δάφνῃ ἀντιόχειαν, καὶ ταύτην ἐπολιόρκουν. τῶν δ᾽ ἐν τῇ πόλει ἀνθισταμένων αὐτοῖς κραταιότερον, ἠγγέλθη τῷ βασιλεῖ τῶν ἐθνῶν ἡ συνέλευσις. ὁ δὲ κελεύει τὸν στρατηγὸν μεσοποταμίας ἐπικουρῆσαι τοῖς πολιορκουμένοις. καὶ πολέμου πρὸς τοὺς ἀγαρηνοὺς συρραγέντος οἱ βάρβαροι καίτοι πολλαπλάσιοι πρὸς τοὺς ῥωμαίους ὄντες, τρέπονταί τε καὶ σκεδάννυνται. οἱ δὲ γε ῥῶς τό τε τῶν βουλγάρων ἔθνος καὶ τὴν χώραν αὐτῶν ὑφ᾽ ἑαυτοὺς ποιησάμενοι, καὶ τοὺς ἡγεμόνας τοῦ ἔθνους τόν βορίσην καὶ τὸν ῥωμανὸν, οὐκέτι τῶν οἰκείων ἐμέμνηντο, ἀλλ᾽ ἀθλον αὐτὸ ποιούμενοι, τὴν χώραν κατέχοντες, πρὸς τοῦτο δὲ αὐτοὺς καὶ ὁ καλοκυρὸς ἀνηρέθιζεν. εἰ γὰρ βασιλεὺς ῥωμαίων ἀναρρηθήσομαι παρ᾽ ὑμῶν, ἔλεγε, τῆς τε τῶν βουλγάρων χώρας παραχωρήσω ὑμῖν, καὶ διαθήσομαι πρὸς ὑμᾶς εἰρήνην διαιωνίζουσαν, καὶ τὰ ὑπεσχημένα παρέξω ἐπὶ τὸ πολλαπλάσιον. οἱ δὲ τῇ τε τῶν χωρῶν χρηστότητι θελχθέντες, καὶ τοῖς λόγοις τοῦ καλοκυροῦ χαυνωθέντες, οὔτε τῷ βασιλεῖ πάντα ποιήσειν ἐπαγγελλομένῳ τὰ παρὰ τοῦ νικηφόρου σφίσιν ὑπεσχημένα ἐπείθοντο γράφοντι, καὶ τοῖς πρέσβεσιν ὡμίλησαν ἀλαζονικώτερον. ἐντεῦθεν ἄρασθαι κατ᾽ αὐτῶν ὅπλα ἠναγκάσθη, καὶ ταῖς ῥωμαϊκαῖς δυνάμεσιν ἐπιστήσας στρατάρχην, ὃν στρατηλάτην ὠνόμασε, βάρδαν μάγιστρον τὸν σκληρόν, τῆς ἄρτι θανούσης αὐτοῦ γαμετῆς αὐτάδελφον ὄντα, ὁρμᾶσθαι ἐπὶ τοὺς ῥῶς ἐξέπεμψεν. ὃ μὴ ἀπέθετο. οἱ βάρβαροι γοῦν μαθόντες, καὶ ὁ τούτων ἔξαρχος ὁ σφενδοσθλάβος, τούς τε βουλγάρους ὁπλίσαντες, καὶ συμμάχους προσλαβόντες σκύθας, οἳ πατζινάκαι κεκλήονται, καὶ τοὺς τὴν παννονίαν οἰκοῦντας τούρκους, καὶ στρατιὰν εἰς τριάκοντα μυριάδας ἀριθμουμένην συστησάμενοι, τὴν θρᾴκην ἅπασαν ἐληΐζοντο. τούτοις οὖν μὲν

πότε ἐστέφθη ὁ τζιμισκῆς. — *μανιχαῖοι ἐκ τῆς ἑῴας εἰς τὰ ἑσπέρια μετῳκίσθησαν.* — *περὶ πατριαρχῶν.* — *περὶ τῶν ἀγαρηνῶν.* — *ὅτι ὁ σκληρὸς βάρδας ἐστάλη κατὰ τῶν ῥῶς.*

Quam increpationem Zimisces æquo ferens animo, pro defensione attulit, se cædē suis manibus non perpetrasse, sed Abalantē, et Azypotheodorum Theophanonis iussu Nicephorum sustulisse. Contrà, patriarcha postulauit, ut Theophano regia pulsa relegaretur, & Nicephori percussores in exilium agerentur, & liber cuius mentionem fecimus, laceraretur, & ipse pœnas daret. Ille se omnia facturū pollicitus, statim missis satellitibus Theophanonem Regia educit, librum ad se allatum lacerat, & quas priuatus opes habuisset, se distributurum pauperibus promisit. His factis natali seruatoris & Dei nostri, simul in Ecclesiam admittitur, simul diademate ornatus, Theophanone in Præconesum relegata. Sic appellatus Imperator, cum magna Antiochia Pontifice careret, monachum quendam Theodorum, qui Imperium ei prædixerat, neq; festinare aut rapere, sed numinis designationem expectare iusserat, nominauit. Is Pontificatu suscepto ab eo postulauit, ut Manichæi, qui fœda sua secta multos contaminarent, ex Oriente in Occidentem transferrentur. Cuius postulatis ille obsecutus, nationem Manichæorum Philippopolim transtulit. At Patriarcha Polyeuctus, cum post Zimiscæ proclamationem trigintaquinque dies uixisset, obijt, in eiusq; locum successit Basilius monachus Scamandrenus. Agareni uerò non ferendum esse rati, si ademptis modò urbibus carendum esset: undecunq; conuenerunt, pactaq; belli societate, Carthaginensium ductu & auspicijs, Antiochiam iuxta Daphnen, obsederunt. Sed dum ciues constantius illis resistunt, gentium illa conspiratione cognita Imperator, Mesopotamiæ Ducem obsessis opem ferre iubet. Prælio commisso, Barbari, & si numero longè superiores, à Romanis profligati, dissipantur. Cæterum Rossi Bulgarorum natione & prouincia subacta, unà cum ducibus Borise & Romano, obliti patriæ, illic Imperij sedem constituere uoluerunt, Calocyri potissimum impulsu: qui, si ab eis Romanorum imperator appellaretur, se & Bulgaria eis cessurum, & pacem perpetuam facturum, & longè plura quàm promissa essent, præstiturum, est pollicitus. Illi & prouinciarum bonitate illecti, & Calocyri uerbis inflati: neque literis Imperatoris, omnia quæ Nicephorus promisisset, se confecturum affirmantis, auscultarunt, & legatos insolentius tractarunt. Qua de causa bello eos petere coactus, Romanas legiones Barda Sclero magistro duce, fratre uxoris nuper defunctæ, cōtra Rossos misit. Quo Barbarorū dux Sphendosthlabus intellecto, Bulgaris armatis, & Pazinacis Scythis, necnon Turcis, qui Pannoniam tenent, ad belli societatem ascitis, exercitu circiter CCC millium coacto, Thraciam omnem populatur. Sclerus, qui cum tanta multi-

Theodorū Antiochiæ Pontifex. — *Manichæi.* — *Basilius Patriarcha.* — *Agareni Antiochia repulsi.* — *Bardas Dux cū Rossis Bulgaris & Pazinacis prosperè pugnat.*

τῷ παρακοιμωμένῳ Θεοδώραν τὴν θυγατέρα Κωνσταντίνου τοῦ πορφυρογεννήτου. ἔτει δὲ δευτέρῳ τῆς αὐτοῦ βασιλείας ἔαρος ἀναλάμψαντος, ἐκστρατεύει κατὰ τῶν Ῥὼς σὺν στρατεύμασι πλείοσι καὶ στόλῳ περιφανεῖ, καὶ ἀπιόντι συναντῶσιν αὐτῷ πρέσβεις δῆθεν τῶν Σκυθῶν, οἳ δὲ κατὰ τἀληθὲς ἦσαν τῆς τῶν Ῥωμαίων ἰσχύος κατάσκοποι, ὃ καὶ τὸν βασιλέα διέλαθε. προστάξας οὖν περιαχθῆναι αὐτοὺς κατὰ πᾶν τὸ στρατόπεδον, καὶ τοῦτο καταμαθεῖν, ἐκέλευσεν ἀπαλλάττεσθαι. ἐκείνων δὲ ἀπιόντων, καὶ αὐτὸς εὐζώνους παραλαβὼν πεζοὺς μὲν χιλιάδας πέντε, καὶ ἱππότας τετρακισχιλίους, ὀπίσω τῶν πρεσβευτῶν, καὶ ἀθρόον ἐπὶ τῆς μεγάλης Περσθλάβας γίνεται, καὶ βάλλεται χάρακα, ὃ τοὺς Ταυροσκύθας εἰς ἀμηχανίαν ἐνέβαλε. Καλοκύρης δὲ ὁ τῶν κακῶν πρωτουργὸς, ἐκεῖ τότε τυχὼν, καὶ γνοὺς τὸν βασιλέα παραγενόμενον, πρὸς τὴν τῶν Ῥὼς ἀπέδρα παρεμβολήν, ἀφ' οὗ τὴν τοῦ βασιλέως παρουσίαν μαθόντες, ἐθορυβοῦντο, ὅμως μέντοι παρεστρατοπέδευσαν τοῖς Ῥωμαίοις. οἱ δὲ μετὰ τοῦ βασιλέως ἐλθόντες εἰς τὸ τῆς Περσθλάβας ἄστυ, ὡς ἐγγὺς ἐγένοντο, καταλαμβάνουσιν ἐκεῖ γυμναζομένους ὡς ὀκτακισχιλίους, κἀκείνοις συνέμιξαν, οἱ δὲ πρὸς μικρὸν ὀλίγον ἀντέσχον, εἶτα νῶτα στρέψαντες ἔφευγον. καὶ οἱ ἐντὸς, ὡς ἕκαστος ἠδύνατο, ὁπλισάμενοι, ἐπικουρήσοντες τοῖς ὁμοφύλοις ἐξῄεσαν, καὶ ἀσυντάκτως αὐτοῖς χωροῦσιν, ὑπαντιάζοντες οἱ Ῥωμαῖοι ἀνῄρουν πολλούς, οἱ δὲ εἰς τὴν πόλιν αὖθις ἀνθυπέστρεφον. ἀλλ' ἱππέων τινῶν διεκπαισάντων Ῥωμαίων, καὶ τῆς εἰς τὴν πόλιν ἐπανόδου ἀποκλεισάντων, οἱ βάρβαροι ἀνὰ τὴν ἐκτὸς τοῦ ἄστεος χώραν ἐσκεδάννυντο, ἔνθα οἱ μὲν ἐζωγροῦντο, οἱ δὲ καὶ ἐκτείνοντο, οἱ δ' ἐν τῇ πόλει τὰς πύλας κλείσαντες, ἐπολιορκοῦντο. τῇ δ' ἐπιούσῃ τοῦ παρακοιμωμένου Βασιλείου μετὰ πάσης τῆς στρατιᾶς ἐλθόντος, ἐμμενέστερον ὁ βασιλεὺς τῇ πολιορκίᾳ ἐνεχείρησε, καί τινες διὰ κλιμάκων εἰς τὸ τεῖχος ἀναβεβηκότες, καὶ τοὺς ἐκεῖ τῶν βαρβάρων καταληφθέντας συγκόψαντες ξίφεσι, τὰς πύλας ἀνέῳξαν, καὶ τῇ Ῥωμαϊκῇ στρατιᾷ πᾶσαν ῥᾳδίαν παρέσχον τὴν εἴσοδον. καὶ οὕτω μὲν τὸ τῆς Περσθλάβας ἄστυ Ῥωμαίοις κατέστη ἁλώσιμον, ἔνθα καὶ ὁ τῶν Βουλγάρων βασιλεὺς ὁ Βορίσης ἑάλω. ὃν καὶ πᾶσι τοῖς Βουλγάροις ἐπιεικῶς ὁ αὐτοκράτωρ ἐχρήσατο, ἀνέτους αὐτοὺς ἀφεὶς, οὐ κατὰ Βουλγάρων, λέγων, ἄρασθαι ὅπλα, κατὰ δέ γε τῶν Ῥώς. πολλῶν δὲ Σκυθῶν εἰς ὀχύρωμά τι προσφυγόντων, κἀκεῖνο ὁ βασιλεὺς ἐκπορθεῖν ἐκέλευσεν. οἱ δὲ στρατιῶται διὰ τὸ τοῦ τόπου δυσάλωτον ἦσαν ἀπρόθυμοι. ὁ γοῦν Ἰωάννης αὐτὸς πρὸ τῶν ἄλλων πεζὸς ἀπῄει πρὸς τὸ ὀχύρωμα, καὶ οὕτω καταδυσωπήσας τοὺς στρατιώτας, ἔσχεν ἑπομένους αὐτῷ, καὶ ἧλω τὸ φρούριον, καὶ τῶν ἐν αὐτῷ οἱ μὲν διεφθάρησαν, οἱ δὲ καὶ ἁλόντες Ῥωμαίοις ἐχρήσαντο. τούτῳ μὲν οὖν τῷ ἄστει φρουρὰν ἐγκαταστήσας ὁ βασιλεὺς ἀξιόμαχον, ἐκεῖθεν δ' ἀπῄει πρὸς τὸ Δορόστολον, ὃ καὶ Δρίστρα καλεῖται, καί τινας πόλεις ἑλὼν κατὰ πάροδον, καὶ φρούρια ἐκπορθήσας, ἐφθάκει πρὸς τὸ Δορόστολον. ἦν δὲ πρὸ τῆς πόλεως ταύτης ἐστρατοπεδευκὼς ὁ τῶν Ῥὼς ἀρχηγὸς ὁ Σφενδοσθλάβος. ὡς δ' οὖν ἀλλήλας αἱ στρατιαὶ συνεῖδον, συνερράγησαν ἐπ' ἀλλήλαις εὐθύς, καὶ τὸ μὲν πολὺ τῆς ἡμέρας ἀγχωμάλως ἐμάχοντο, περὶ δὲ δείλην ὀψίαν ἀπαγορεύσαντες οἱ Ῥὼς ἐνέκλιναν πρὸς φυγήν, καὶ οἱ Ῥωμαῖοι ἐδίωκον, πλεῖστοι μὲν οὖν τῶν βαρβάρων ἀπώλοντο, οὐ μείους δὲ ἐζωγρήθησαν, οἱ δ' εἰς τὸ Δορόστολον ἐπανήλθοσαν. καὶ ὁ βασιλεὺς πρὸ τῆς πόλεως ὠχυρωμένον χάρακα, τὰς τριήρεις τὸν Ἴστρον φυλαξούσας προσέμενεν, ἵνα μὴ οἱ Ῥὼς ἀποδράσωσιν. ὁ δὲ Σφενδοσθλάβος οὓς κατεῖχε Βουλγάρους, εἰς εἴκοσι χιλιάδας ὄντας ὡς λέγεται, πάντας ὑπὸ δεσμοῖς ἐποιήσατο, δείσας, μὴ

ἅλωσις τῆς Περσθλάβας.

πολιορκία τοῦ Δοροστόλου ἤτοι Δρίστρας καὶ ἧττα γέγονεν ὑπὸ πολιορκία.

Theodora Constantini Porphyrogeniti filia, uxore ducta, anno secundo Imperij, uerno tēpore cum multis exercitibus & classe illustri bellum Rosis infert, cui inter abeundū Scytharum speculatores, Romanorum uires exploraturi, per speciem legationis occurrerūt: quos Imperator, cur adessent nō ignarus, per omnia castra circumduci iussit, ijsq́ perlustratis abire. Digressis illis, ipse cum expeditorū quinque & equitum quatuor millibus secutus, ex improuiso ad magnam Persthlaben accedit, & uallum communit, quæ res Tauroscythis terrorem attulit. Calocyrus autem qui tum ibi erat, omnis mali autor, cognito Imperatoris aduentu, in Rossorum castra confugit, præsentiæ illius nuncium afferens: quo etsi perturbati sunt, tamen iuxta Romanos castra posuerunt. Imperator uerò Persthlaben profectus, extra urbem circiter octo millia hominum sese exercentium deprehendit, qui impetu eius paulisper tolerato, terga dederunt. Oppidani ti, arma ut res ferebat, ad opem ferendam popularibus incomposito agmine egressi, à Romanis partim occiduntur, partim in urbem se recepturi; obsepto equitibus itinere, in campo dissipati sunt, alijs cæsis, alijs captis. Qui intra urbem erant, clausis portis sunt obsessi. Postridie cum Basilius Cubicularius cum toto exercitu aduenisset: Imperatore oppugnationem uehementius urgente: quidā scalis conscenso muro, Barbaros aliquot deprehensos ibi ceciderunt, apertisq́ portis, exercitui facilē ingressum patefecerunt. Persthlabe sic expugnata, Borisses quoq; Bulgarorum Rex captus est: quem cum omnibus Bulgaris Imperator humaniter tractatum dimisit. Negabat enim se Bulgaris intulisse bellum, sed Rosis. Cum autem multi Scythæ in munitionem quandam confugissent: Imperator eam quoque excindi iussit. Quia uerò milites à difficili ob situm loci oppugnatione abhorrere uidebat, ipse primus castellum pedes adortus, effecit, ut milites ex uerecundia secuti, capto castello, alios cæderent, alios caperent. Vrbi Persthlabæ ualido præsidio imposito, Dorostolum, quæ & Dristra dicitur, petit, ubi Sphendosthlabus Rossorū dux castra habebat, atq; obiter quasdam urbes capit & castella uastat. Vt in hostium conspectum uentum est, ambo exercitus statim congressi, magnam diei partem æquo Marte pugnauerunt, donec sub crepusculum Rosi defatigati, in fugam inclinarunt. Romanis'que persequentibus, multi cæsi sunt, nec pauciores capti: cæteri Dorostolum se receperunt. Imperator uerò uallo ante urbem excitato, triremes quo Istrum tuerentur, expectabat, ne Rosi aufugerent. Sphendosthlabus autem quos habebat Bulgaros, qui ad uiginti millia esse dicebantur, in uincula compegit, ueritus, ne

Persthlabæ expugnatio.

Dorostoli Dristræ expugnatio.

uel seditionem mouerent, uel ad Romanos deficerent. Cum classis adesset, urbem oppugnat Imperator, ad quem Constantia & ex aliis castellis legati uenerunt, ueniam petentes, ac semetipsos & castella dedentes. Quibus Romani acceptis, in Dorostoli obsidione dies complures sunt commorati, Barbaris fortiter sese defendentibus. Quum autem crebris prælijs multi uulnerarentur, & iam annona destituerentur: cœperunt frangi animis, cum Sphendosthlabus nocte illum & tempestuosa, cum uiris circiter bis mille in Monoxyla impositis frumentatum abijt, & rebus necessarijs conquisitis, Dorostolum redijt, Romanorum aliquot ministris, qui in ripa fluminis, alijs atque alijs de causis uagabantur, exscensu facto interfectis. Ea res adeò molesta fuit Imperatori, ut classis præfectis iratus mortem minitaretur, si denuo Barbarorum egressum neglexissent: cumque urbem integris sexaginta diebus frustra obsedisset, eam fame domare statuit, coronaque circundata, accuratè obseruauit, ne aliunde commeatus importaretur. At Barbari multis eruptionibus uicti, urgenteque fame, spe & commeatus & auxiliorum destituti: partim noctu fugiendum, partim deditione Romanis facta, ad sua cuique redeundum esse, partim alia quadam censuerunt. Sphendosthlabus autem monuit suos, ut denuò Martis aleam experirentur, uel uictoria salutem quæsituri, uel honestam mortem calamitosæ uitæ praelaturi. Ea sententia populo probata, postridie mori non recusantes, cum Romanis congrediuntur, ac diu nunc his, nunc illis uincentibus, Imperator, qui loci angustias hostibus subsidio esse animaduerteret, in quibus sui conferti irruere non possent, duces monuit, ut cohortes paulatim recedendo in planiciem subducerent. Quod cum fieret, Barbari opinati Romanos metu fugere, cum clamore sunt insecuti. Cum in patentiorē campū uentū esset, Imperator tesserā dedit Romanis, ut se cōuerterent: & pugna atrocissima orta, Magistrum Bardā Sclerum cū suis cohortibus ad intercludendū Barbaris aditū urbis, amādauit. Cū diu uictoria anceps esset, Romani diuinitus adiuti esse perhibentur. Nam & procellam Scytharum facies uerberasse, & quendam in equo à multis uisum, qui Romanos defenderet, & Barbarorum phalanges conturbaret. Eo porrò die memoria Theodori ducis, insignis martyris celebrabatur. Scythæ igitur in fugam compulsi urbem uersus fugiebāt, quam cum intrare non possent, à Sclero interclusi, in suburbia dispersi cæduntur, & à se inuicem opprimuntur & conculcantur, ut interfectorum numerus haud facile iniri queat. Reliqui omnes, uulneribus affecti fuerunt. Theodorum porrò ducem Romanis contra Barbaros auxilio fuisse, ex eo cognitum est:

Theodorus martyr Romanis auxiliatus.

ἐπαναστῆναι αὐτῷ, ἢ τῷ βασιλεῖ προσχωρήσωσιν. ὡς δὲ καὶ ὁ στόλος παρῆν, ἐπολιόρκει τὴν πόλιν ὁ βασιλεύς, ἐκ Κωνσταντίας δὲ καὶ φρουρίων ἑτέρων πρέσβεις πρὸς τὸν βασιλέα ἀφίκοντο, αἰτοῦντες συγγνώμην, καὶ ἑαυτοὺς παραδιδόντες αὐτῷ καὶ τὰ φρούρια. καὶ τούτους μὲν οἱ Ῥωμαῖοι παρέλαβον, ἡ δὲ τοῦ Δορυστόλου πολιορκία ἐφ' ἡμέρας δι[illegible] κατεῖχε πλείονας, τῶν βαρβάρων εὐψύχως ἀνταγωνιζομένων. ὡς δ' ἐκ τῶν πολέμων τῶν συνεχῶν πολλοὶ τραυματίαι γεγόνασιν, ἤδη δὲ αὐτοὺς καὶ τὰ σιταρκῆ ἐπιλελοίπει, ἤρξαντο σφίσι θραύεσθαι τὰ φρονήματα, ἀλλ' ὁ Σφενδοσθλάβος νύκτα φυλαξάμενος ἀσέληνον καὶ χειμέριον, ἐν μονοξύλοις ἄνδρας ἐμβιβάσας ὡσεὶ δισχιλίους, καὶ αὐτὸς ἐκείνοις συνεμβεβηκώς, ἀπῆλθεν ἐπισιτίσασθαι, καὶ συλλέξαντες τὰ χρειώδη, εἰς τὸ Δορόστολον ἐπανῄεσαν. καί τινας τῶν Ῥωμαίων θεράποντας περὶ τὸν ποταμὸν ὑπεκδραμόντας, κατ' ἄλλας καὶ ἄλλας χρείας ἰδόντες, ἐκβάντες τῶν πλοίων, ἀνέκτειναν, καὶ λαθόντες αὖθις εἰς τὸ Δορόστολον ἐπανῆλθον. τοῦτο πάνυ τὸν βασιλέα ἐλύπησε. διὸ τοῖς τοῦ στόλου κατάρχουσιν ἐπιχόλως εἶχε, καὶ εἰ ἔτι λάθοιεν αὐτοὺς οἱ βάρβαροι ἐκπλεύσαντες, ἠπείλησε θάνατον εἶναι σφίσι τὸ ἐπιτίμιον. ἐφ' ὅλας δὲ ἡμέρας ἑξήκοντα πολιορκήσας τὴν πόλιν, καὶ μήπω ταύτην ἑλών, ἔγνω λιμῷ τοὺς ἔνδον καταγωνίσασθαι, καὶ περιεκάθισε ταύτην, διατηρῶν ἀκριβῶς, ἵνα μή ποθεν αὐτοῖς χρειῶδές τι κομισθῇ. οἱ δὲ βάρβαροι πολλάκις ἐκδρομὰς ποιησάμενοι ἡττῶντο, ἐπεὶ δὲ καὶ τῷ λιμῷ ἐπιέζοντο, καὶ οὐκ ἔτι τῶν ἀναγκαίων ἦν αὐτοῖς χορηγίας ἐλπίς, οὐδὲ μέντοι συμμαχίας, οἱ μὲν ἀποδρᾶναι νυκτὸς συνεβούλευον, οἱ δὲ Ῥωμαίοις ἑαυτοὺς προδοῦναι, καὶ οὕτως ἐπανελθεῖν εἰς τὰ ἴδια, οἱ δ' ἄλλο τι ὑπετίθεντο. ὁ δέ γε Σφενδοσθλάβος ἔτι ἅπαξ Ῥωμαίοις παρῄνει μαχέσασθαι, καὶ ἢ περιγενέσθαι τε καὶ σωθῆναι, ἢ προτιμῆσαι θάνατον εὐκλεᾶ ζωῆς δυστυχοῦς. ταῦτα ὁ μὲν εἶπε, τὸ δὲ πλῆθος ἐπῄνεσε, καὶ τῇ ἑξῆς θανατῶντες τοῖς Ῥωμαίοις συμπλέκονται, καὶ μέχρι πολλοῦ ποτὲ μὲν οἱ Ῥωμαῖοι περιεγίνοντο τῶν Σκυθῶν, ποτὲ δὲ τῶν Ῥωμαίων οἱ βάρβαροι. ὡς δ' ἐφωράσατο τὴν τοῦ τόπου στενοχωρίαν ὁ βασιλεὺς τοῖς ἐναντίοις πρὸς λυσιτέλειαν, μὴ οἷόν τε ὂν τῶν Ῥωμαίων ἐπιπεσεῖν αὐτοῖς ἀθρόον, τοῖς στρατηγοῖς ὑπετίθετο, τὰ τάγματα πρὸς τὸ πεδίον ἠρέμα ὑπάγειν, ὑποχωροῦντα κατὰ βραχύ. οὗ γινομένου, τοῖς βαρβάροις δειλίας τῶν Ῥωμαίων ἡ φυγὴ παρέσχε δόκησιν, καὶ ὑπὸ τούτου ἀλαλάξαντες. ὡς δὲ πρὸς εὐρύτερον πεδίον ἐγένοντο, σύνθημα τοῖς Ῥωμαίοις ὁ βασιλεὺς ἐπιστροφῆς δίδωσι, καὶ ἀναστρέψαντες, προσβάλλουσι τοῖς βαρβάροις, καὶ γίνεται φοβερὸς ὁ πόλεμος. ὁ βασιλεὺς δὲ τὸν μάγιστρον Βάρδαν τὸν Σκληρὸν μετὰ τῶν ὑπ' αὐτὸν ταγμάτων ἀποκλεῖσαι τὴν πρὸς τὴν πόλιν εἴσοδον τοῖς βαρβάροις ἐξέπεμψεν. ἡ δὲ μάχη μέχρι πολλοῦ ἰσόρροπος ἦν, λέγεται δὲ καὶ θειοτέρας ἐπικουρίας τότε τοὺς Ῥωμαίους τυχεῖν. θύελλα γὰρ κατὰ πρόσωπον τοῖς Σκύθαις προσέβαλλε, καί τις ἐφ' ἵππου ὁρᾶτο πολλοῖς, τῶν Ῥωμαίων ὑπερασπιζόμενος, καὶ συγχέων τῶν βαρβάρων τὰς φάλαγγας. ἦν δὲ κατὰ τὴν ἡμέραν ἐκείνην τοῦ μάρτυρος καὶ στρατηλάτου ἁγίου Θεοδώρου, τοῦ καὶ μάρτυρος τελουμένη μνήμη. ἐτράποντο γοῦν οἱ Σκύθαι, καὶ πρὸς τὴν πόλιν ὥρμησαν, ἀλλ' ἦν ἐκείνη αὐτοῖς οὐκ εἰσιτητέα (ἤδη γὰρ παρὰ τοῦ Σκληροῦ ἀπεκέκλειστο ἡ εἰς ταύτην εἴσοδος) καὶ λοιπόν, ἀνὰ τὰ ταύτης προάστεια διασκεδαννύμενοι, καὶ καταλαμβανόμενοι διεφθείροντο, καὶ ὑπ' ἀλλήλων ἀπ' ἀλλήλων συνωθούμενοί τε καὶ συμπατούμενοι, ὡς δυσαριθμήτους τοὺς ἀνῃρημένους εἶναι. οἱ δὲ περιλειφθέντες, τραυματίαι γεγόνασι ξύμπαντες. ἐγνώσθη δὲ ὅτι ὁ στρατηλάτης ἅγιος Θεόδωρος ἦν, ὃς τοῖς Ῥωμαίοις τότε κατὰ βαρβάρων ἐπικούρησέ

ὁ τελευταία μάχη πρὸς Σφενδοσθλάβον καὶ Ῥῶς.

ὅτι καὶ θεόθεν βοήθειαν ἔσχον οἱ Ῥωμαῖοι.

ἄνοδος [illegible]

τι, καὶ

ὅπως ἐγνώσθη ὅτι ὁ ἅγιος Θεόδωρος τῷ βασιλεῖ συνεμάχησεν.

τὸ συμμαχῆσον, ἐγένετο δέ. γύναιον δέ τι εὐλαβείᾳ συνεζηκὸς καὶ σεμνότητι τῶν ἐν Βυζαντίῳ, μιᾷ τῶν πρὸ τῆς μάχης ταύτης ἡμερῶν ἔδοξε καθ' ὕπνους τὴν ἁγίαν Θεοτόκον ὁρᾶν προϊοῦσαν, καὶ προπεμπομένην ὑπὸ πολλῶν, ἀκοῦσαί τε τῆς Θεομήτορος λεγούσης πρὸς ἕνα τῶν προϊόντων αὐτῆς, κύριε Θεόδωρε ὁ ἐμὸς καὶ σὸς Ἰωάννης ἀγῶνας ἔχει βαρεῖς. σπεῦσον οὖν, αὐτῷ συνάρασθαι. ἐξεφοίτησεν οὖν ἐκείνη τὸ ἐνύπνιον. οἱ δὲ τὴν ἡμέραν ἀπεσημειώσαντο, καὶ ἦν ἡ πρὸ τῆς τελευταίας μάχης. τὸν μάρτυρα δὲ ὁ βασιλεὺς τῆς βοηθείας ἀνταμειβόμενος, ναὸν αὐτῷ περὶ τὴν Εὐχάνειαν ἐν Εὐχαΐταις περικαλλῆ ἐδομήσατο, τὸν πρώην καταβαλὼν, ἐν ᾧ τὸ πολύαθλον ἐκείνου σῶμα κατέκειτο, καὶ τὴν πόλιν αὐτὴν τῆς προτέρας αὐτῆς κλήσεως Θεοδωρόπολιν ἐπωνόμασεν.

ὅτι προσῆλθε τῷ βασιλεῖ ὁ Σφενδοσθλάβος καὶ προσεδέχθη.

ὁ δὲ βάρβαρος Σφενδοσθλάβος πάντοθεν ἀπογνοὺς, διαπρεσβεύεται πρὸς τὸν βασιλέα, συγγνώμην αἰτῶν, καὶ εἰς τὰ οἰκεῖα ἐπανελθεῖν ἐξαιτούμενος, καὶ τοῖς συμμάχοις Ῥωμαίων συντετάχθαι, καὶ τὸν βουλόμενον τῶν Ῥωσικῶν ἐξιέναι πρὸς τὰ Ῥωμαίων ἤθη, καὶ ἐν αὐτοῖς ἐμπορεύεσθαι. καὶ ὁ βασιλεὺς τὰς αἰτήσεις προσίετο, καὶ σπονδὰς ἐπλέξαντο, ὥστε καὶ αὐτὸς ὁ Σφενδοσθλάβος ἀφίκετο πρὸς τὸν αὐτοκράτορα, καὶ αὐτῷ συνωμίλησεν, ἐπέτρεψέ τε τοῖς Πατζινάκαις διαλῦσαι, μὴ κωλῦσαι τοὺς Ῥῶς οἴκαδε ἀπιόντας διὰ τῆς σφετέρας χώρας τὴν δίοδον. καὶ ὁ βασιλεὺς τοῦτ' ἐκείνους ποιῆσαι ἠξίωσε, καὶ συμμάχους ἔχειν αὐτοὺς, μὴ δὲ διαβαίνειν τὸν Ἴστρον, καὶ τὴν Βουλγαρίαν λῄζεσθαι. οἱ δὲ τοῖς μὲν ἄλλοις συνέθεντο, πρὸς δὲ τὴν δίοδον τῶν Ῥῶς ἀπηγόρευσαν.

ὅτι λαμπρῶς ὁ βασιλεὺς ὑπεδέχθη θριαμβεύων.

τούτῳ δὲ τέλει τοῦ πρὸς τοὺς Ῥῶς πολέμου καταλυθέντος, ὁ βασιλεὺς πρὸς τὸ Βυζάντιον ἐπανέζευξε, καὶ ὑπεδέχθη λαμπρῶς ὑφ' ὅλου τοῦ πολιτεύματος. ὅ, τε γὰρ πατριάρχης προϋπήντησεν αὐτῷ μετὰ τοῦ κλήρου παντὸς, καὶ οἱ τῆς γερουσίας καὶ οἱ τοῦ δήμου, στεφάνους προσάγοντες, καὶ τέθριππον ἅρμα, οἱ δ' ἵπποι τούτου λευκοὶ, ἐδέοντό τε τοῦ ἅρματος ἐπιβεβηκότα τελέσαι τὸν θρίαμβον. ὁ δὲ τοὺς μὲν στεφάνους ἐδέξατο, ἵππῳ δὲ κέλητι καὶ τούτῳ λευκῷ ἐθριάμβευσε, τῷ δέ γε τεθρίππῳ τὰς βασιλικὰς στολὰς τῶν Βουλγάρων βασιλέων ἐπέθετο, καὶ τούτων ἄνωθεν εἰκόνα τῆς Θεομήτορος, καὶ προῆγε τὸ ἅρμα. περὶ δὲ τὴν πλακωτὴν λεγομένην γενόμενος ἀγορὰν, ἀπέδυσε τὸν Βορίσην τὰ τῆς παρὰ τοῖς Βουλγάροις βασιλείας παράσημα, καὶ τῷ τῶν μαγίστρων ἐτίμησεν ἀξιώματι. ὁ μέντοι Σφενδοσθλάβος μετὰ τῶν Ῥῶς ἐπ' οἶκον ἀναζευγνὺς, λόχοις περιπέπτει τῶν Πατζινάκων, καὶ πάντες ἀθρόοι ἀπώλοντο.

περὶ τοῦ ἐν τῇ Χαλκῇ ναοῦ τοῦ Σωτῆρος.

οὗτος ὁ βασιλεὺς τὸν ἐν τῇ Χαλκῇ ναὸν τοῦ σωτῆρος Χριστοῦ μεγαλοπρεπῶς ἐδομήσατο. τοῦ δὲ πατριάρχου Βασιλείου τοῦ Σκαμανδρηνοῦ ἐπί τισι κατηγορηθέντος ἐγκλήμασι, καὶ καθαιρεθέντος συνοδικῶς, μετὰ τέσσαρας ἐνιαυτοὺς τῆς αὐτοῦ προχειρίσεως, ἐχειροτονήθη πατριάρχης ὁ Στουδίτης Ἀντώνιος.

περὶ πατριαρχῶν.

ὅτι ἀποστατησάντων τῶν ἐν ἀνατολῇ ἐστράτευσεν ὁ βασιλεὺς κατ' αὐτῶν, καὶ ἰδὼν ὁ παρακοιμώμενος ὑπεβάλετο αὐτῷ καὶ θανάσιμον ἐπιβουλήν.

ἐπεὶ δὲ αἱ προσκτηθεῖσαι τοῖς Ῥωμαίοις πόλεις περὶ τὴν ἕω πρὸς ἀποστασίαν ἀπεῖδον, καὶ τὸν τῆς δουλείας ζυγὸν ἀπεσείσαντο, καὶ τοὺς δεσμοὺς διέρρηξαν τῆς τῶν Ῥωμαίων ἀρχῆς, ἐκστρατεύει ὁ βασιλεὺς κατ' αὐτῶν, καὶ ἃς μὲν ἀπραγμόνως ὑποκυψάσας αὖθις, ἃς δὲ σιδήρῳ καὶ ἀνάγκῃ πολλῇ τῷ ζυγῷ τῆς τῶν Ῥωμαίων ἀρχῆς ὑπηγάγετο. ἀναζευγνὺς δ' ἐκεῖθεν, καὶ γενόμενος περὶ τὴν Ἀνάβαρζαν καὶ τὸν Ποδανδὸν, ὁρῶν τε κἀνταῦθα καὶ ἐν ἄλλαις χώραις πολλαῖς χωρία πολυάνθρωπά τε καὶ πάμφορα, ἐρωτῶν ὅτου εἴη, καὶ μανθάνων εἶναι τοῦ παρακοιμωμένου Βασιλείου, τὰ μὲν παρὰ τοῦ βασιλέως Νικηφόρου τοῦ Φωκᾶ, τὰ δὲ παρ' αὐτοῦ δομεστίκου τυγχάνοντος τῶν σχολῶν, τὰ δὲ παρ' ἑτέρων προσκτηθέντα τῇ βασιλείᾳ καὶ δωρηθέντα αὐτῷ, ἤλγησέ τε, καὶ δυσφορῶν ἦν, εἰ τῶν δημοσίων κτημάτων, καὶ ἐφ'

Muliercula quædam Byzantia, religiosa & modesta, pridie illius pugnæ in somnis sanctam Deiparam procedere cum magno comitatu uidere uisa est, ac dicere: Domine Theodore, meus & tuus Ioannes grauia certamina sustinet: properè igitur illi opem ferto. Id somnium illa quibusdam aperuit, qui die notato compererunt, id pridie postremæ pugnæ contigisse. Imperator uerò ut martyri pro nauata opera gratiam referret, elegantissimum ei templum Euchaniæ siue Euchaitæ struxit, uetere diruto, in quo corpus eius multis certaminibus defunctum, repositum erat & urbem, ueteri nomine abolito, Theodoropolim appellauit. At Barbarus Sphendosthlabus undiꝙ desperatus, per legatos ueniã ab Imperatore petijt, ac domũ redeũdi facultatẽ, & locũ inter Romanorũ fœderatos, & liberũ Tauroscythis in Romanorũ ꝓuincijs cõmerciũ. Quę cũ Imperator omnia concessisset, Sphẽdosthlabus ipse eũ adijt, orãs ut cũ Pazinacis ageret, ut Rossis domũ redituris, per suã prouinciã transitum darẽt. Imperator cũ & hoc & belli societatẽ atꝙ illud etiam ab eis petijsset, ne Istro traiecto Bulgariã uastarẽt: Pazinacę cęteris assensi, transitũ Rossorũ duntaxat negarunt. Bello Rossico ad hunc modum confecto, Imperator Byzantium reuersus, ab omnibus ordinibus splendidè excipitur. Nam & Patriarcha cum omnibus sacerdotibus ei obuiam est progressus, & Senatus & populus, coronas offerentes, & currum cum quatuor albis equis, rogaruntꝙ, ut eo conscenso triumpharet. At ille coronas accepit, & equo singulari candido triumphauit, & uestibus Bulgaricorum regnum currui impositis, supraꝙ eas imagine Deiparæ collocata, currum antecessit. Cum in forum Placotum peruenisset, Borisem Bulgaricis insignibus depositis, dignitate Magistri ornauit. At Sphendosthlabus cum Rossis suis, in reditu Pazinacarum insidijs exceptus, ad internecionẽ cęsus est. Idem hic Imperator Christi seruatoris templũ in Chalce magnificum extruxit. Patriarcha Basilius Scamandrenus cũ post quadrienniũ suæ designationis, ob quædam obiecta crimina per conciliũ loco motus esset: Antoni[9] Studites Patriarcha est designatus. Imperator uerò contra urbes Romano Imperio in oriente acquisitas, quæ ad defectionẽ spectabãt, excusso iugo seruitutis, ruptisꝙ Romanæ ditiõis uinculis, expeditione suscepta, quasdã citra negotiũ ultrò ad officiũ reuersas, quasdã ferro & magna ui sub iugum pristinũ reduxit. Cũ inde rediẽs circa Anabarzã & Podãdũ, atꝙ in multis alijs ꝓuincijs prędia frequentia & fertilissima uideret: rogauit, cuius ea essent: cũ Basilij Cubicularij esse cognouisset, partim à Nicephoro Phoca, partim à se dũ legionũ domestic[9] esset, partim ab alijs adiecta imperio illiꝙ donata esse: indoluit

Rossorũ internitus.

Antonius Studites Patriarcha.

Orientalis expeditio.

Zimiscesob offensum eunuchum Basilium ueneno tollitur.

& iniquum esse dixit publicis possessionibus multorum præstantium uirorũ sudoribus & sanguine partis unum spadonem perfrui. Ea uerba per quendam nunciata, Basilium ad cõparandas Imperatori insidias impulerunt, ac ueneno temperato, non illo quidem efficaci & celeri, sed lẽto & tabifico, largitionibus pincernam Imperatorium corrupit, ut id calici Imperatoris infunderet, quo ille hausto, paulatim habitudine corporis prostrata, tandem interijt, Imperio hæredibus relicto Basilio & Constantino Romani filijs, quum annos sex, totidemq; menses regnasset. Iam uerò id exponendum est, quod me penè fefellisset. Nam quemadmodum curator Palatij Leo Phocas & Nicephorus eius filius, lata in eos excæcationis sententia, arcano Imperatoris mandato oculos conseruarint, antè retulimus. Sed cum ea liberalitate non contenti, denuò regnum affectarent, multis & ciuibus & aulicis sibi conciliatis: eoq; consilio à quodam ex coniuratis prodito, deprehensi essent: sine ulla clementia effossis oculis, & felicitatis suæ & ambitionis finem inuenerunt.

Leo & Nicephorus ob iteratã regni affectationẽ cæcantur.

IMPERIVM BASILII PORphyrogeniti.

Sic Romanorum imperium ijs restitutum est, ad quos hæreditario iure pertinebat, Basilio & Constantino, quorum ille XX, hic XVII ætatis annum agebat. Qui cum Imperij insignia gestarent, omnis penes Basilium præsidem erat autoritas: idq; Basilius nondum sibi ipsi fidens tolerabat, cubiculario tanquã præceptori auscultans, seq; ad illius Reipublicæ tractationem & administrationem conformans, ut & ipse, cum tẽpus postularet, in militaribus catalogis & ciuili æquitate tuenda, rationem eandem sequeretur. Erat enim alacri & excitato ingenio, non dissolutus & ignauiæ mancipatus ut frater. Cum primum autem hi rerum potiti essent, Præses matrem eorum ab exilio reuocatã, filijs restituit, & quia Magistrum Bardam Sclerum ducem, cui omnes Orientales copiæ parebant, suspectum habebat: ea dignitate erepta, Mesopotamiæ ducem designat. Quam ille rem iniquissimo ferens animo, & alioqui regni cupiditate æstuans, ad defectionem incitatus: inito Magistratu illo, arcanoq; cum multis communicato, propter res fortiter gestas apud milites gratiosissimus, omnes ferè dicto audientes habuit, & filio Romano qui in urbe regia degebat, clàm per quendam accersito, statim regnum affectauit, diademate & calceis puniceis sumptis. Imperator salutatus, pecunias studiose conquirit, & Amidæ, quæ & Emeta dicitur, & Martyropolis seu Miephercimæ Ameram & Arabes socios asciscit. His

Basilij Imperatoris prudẽs moderatio.

Theophanonis restitutio.

Magistri Bardæ defectio Scleri.

οἷς πολλοὶ μὲν ἐνίδρωσαν ἀγαθοὶ ἄνδρες, πλεῖστοι δ' ἐναπεχύθησαν, ὡς ἐκτομίας καταπολαύει. ταῦτα παρά του τῷ παρακοιμωμένῳ καταγγελθέντα, πρὸς ἐπιβουλὴν τοῦ βασιλέως αὐτὸν ἠρέθισαν, καί τι δηλητήριον κερασάμενος φάρμακον, οὐ δραστήριον οὐδ' ὠκύμορον, ἀβληχρὸν δὲ καὶ χρόνῳ κατεργαζόμενον τὸν πεπωκότα, καὶ ὑπελθὼν δώροις τὸν οἰνοχοεῖν εἰωθότα τῷ βασιλεῖ, ἐγχεῖ τοῦτο τῷ κρατοῦντι τῇ κύλικι, ὃ πιόντι, μετὰ βραχὺ τὴν τοῦ πιόντος ἀνέτρεψε δύναμιν, καὶ διέφθειρε τὴν ἕξιν τοῦ σώματος, ἕως συνήλασεν εἰς μόρον τὸν αὐτοκράτορα. οὗτος οὖν τῇδε μεταστὰς ὁ τζιμισκῆς Ἰωάννης, καταλέλοιπε τὴν βασιλείαν τοῖς κληρονόμοις αὐτῆς, τῷ βασιλείῳ δηλαδὴ καὶ τῷ κωνσταντίνῳ τοῖς υἱοῖς τοῦ ῥωμανοῦ, βασιλεύσας ἓξ πρὸς τῷ ἡμίσει ἐνιαυτούς. ὃ δ' ἡμᾶς μικροῦ διέλαθεν ἄν, ἤδη διηγούμενος. ὅπως μὲν οὖν ὁ κουροπαλάτης λέων ὁ φωκᾶς καὶ ὁ ἐκείνου υἱὸς ὁ νικηφόρος καταψηφισθέντες ἐκτύφλωσιν, οὐκ ἐστερήθησαν τοῦ φωτός, λάθρα τοῦ βασιλέως περὶ αὐτοὺς οἰκονομήσαντος, ἤδη ἱστόρηται. ἔχοντες δ' ἔτι τὰ ἑαυτῶν ἀλώβητα ὄμματα, οὐκ ἠγάπων σωζόμενοι, ἀλλὰ τῇ βασιλείᾳ καὶ πάλιν ἐπιθέσθαι διεμελέτων, πολλοὺς τῶν περὶ τὴν πόλιν καὶ τὰ βασίλεια ἑαυτοῖς ὁμοφρονοῦντας κτησάμενοι. ἀλλ' ἐφωράθησάν τε καὶ συνελήφθησαν, ἑνός τινος τῶν συνωμοτῶν τὸ μελέτημα καταγγείλαντος. οὐκέτι γοῦν φιλανθρωπίας ἠξιώθησαν, ἀλλ' ἀσυμπαθῶς τοὺς ὀφθαλμοὺς ἐξωρύχθησαν, καὶ τοῦτο τέλος αὐτοῖς τῆς δυστυχίας καὶ τοῦ περὶ τὴν βασιλείαν ἐγένετο ἔρωτος.

[illegible]

Ὅτι αὐτὸς ὁ φωκᾶς λέων καὶ ὁ υἱὸς αὐτοῦ νικηφόρος μελετῶντες ἐπιθέσθαι τῇ βασιλείᾳ ἐτυφλώθησαν.

ΒΑΣΙΛΕΙΑ ΤΟΥ ΒΑΣΙΛΕΙΟΥ τοῦ πορφυρογεννήτου.

Ἀνεκτήσατο τοίνυν τὸ τῶν ῥωμαίων σκῆπτρον τοῖς τούτῳ κατὰ γένος προσήκουσι, τῷ βασιλείῳ καὶ τῷ κωνσταντίνῳ φημί, ὧν ὁ μὲν εἰκοστὸν ἦγε τῆς ἡλικίας ἐνιαυτόν, ὁ δέ γε κωνσταντῖνος ἑπτακαιδέκατον. ἀλλ' οὗτοι μὲν τὰ τῆς βασιλείας περιεκείμενοι σύμβολα, τὴν δ' ἐξουσίαν ὁ πρόεδρος βασίλειος περιεζώσατο ἀτεχνῶς. ἠνείχετο δ' ὁ βασιλεὺς βασίλειος μήπω πεποιθὼς ἑαυτῷ, καὶ οἷον παιδοτρίβῃ τῷ παρακοιμωμένῳ προσεῖχε, καὶ ἑαυτὸν ἐρρύθμιζε πρὸς τὴν ἐκείνου τῶν δημοσίων πραγμάτων μεταχείρισιν καὶ διοίκησιν, ὡς ἄν, καιροῦ καλοῦντος, οὕτω καὶ αὐτὸς τὰ περὶ τοὺς στρατιωτικοὺς καταλόγους, καὶ τὰ τῆς πολιτικῆς εὐνομίας μεταχειρίσαιτο. ἦν γὰρ τὸ ἦθος ἐγρήγορος καὶ δραστήριος, ἀλλ' οὐκ ἀνειμένος κατὰ τὸν ἀδελφόν, καὶ περὶ τὸν ἀργὸν βίον ἐσχολακώς. ἄρτι γοῦν εἰς τοὺς ὁμαίμονας τούτους περιέστη τὸ κράτος, καὶ αὐτίκα ἐκ τῆς ὑπερορίας κατάγει τὴν τούτων μητέρα ὁ πρόεδρος, καὶ τοῖς υἱοῖς ἀποδίδωσιν, ὑποπτεύων δὲ τὸν μάγιστρον βάρδαν τὸν σκληρὸν στρατηλάτην ὄντα, καὶ πάσας ὑφ' ἑαυτὸν ἔχοντα τὰς ἑῴας δυνάμεις, ἀφαιρεῖται μὲν αὐτὸν τῆς στρατηλάτου ἀρχῆς, δοῦκα δὲ μεσοποταμίας αὐτὸν προχειρίζεται. τοῦτο σφόδρα ἠνίασε τὸν σκληρόν, καὶ ἄλλως ἀεὶ φέροντα παρ' ἑαυτῷ τῆς βασιλείας τὸν ἔρωτα, πρὸς ἀποστασίαν ἤγειρε, καὶ καταλαβὼν ὢν τὴν ἀρχὴν εἰς ἣν προεβέβλητο, πολλοῖς ἀνεκάλυψε τὸ ἀπόρρητον. φιλούμενος δὲ διὰ τὰς ἀριστείας ὑπὸ παντὸς τοῦ στρατεύματος, πειθηνίους εἶχε σχεδὸν ἅπαντας, ὅτι δ' ἦν ἐν τῇ βασιλίδι τῶν πόλεων ὁ παῖς αὐτοῦ ῥωμανός, ἀπελθεῖν χρῆν κελεύων παρ' ἑαυτῷ, καὶ στείλας λάθρα τινὰ ἐκεῖθεν, καὶ τὸν υἱὸν λαβόντα ὑπαγαγέσθαι, καὶ αὐτίκα τῇ τυραννίδι ἐπεχείρησε, ταινίᾳ τε βασιλείῳ τὴν κεφαλὴν ἀναδεῖται, καὶ φοινικοῖς πεδίλοις τοὺς πόδας ὑποδεῖται, καὶ εὐφημεῖται ὡς βασιλεύς, καὶ χρήματα συλλέξαι ποιεῖται σπουδήν, καὶ συμμάχους προσλαμβάνει, τόν τε τῆς ἀμίδης ἀμηρᾶν, οὕτω γὰρ τὸ ἔμετ καλεῖται, καὶ τὸν τῆς μαρτυροπόλεως. ἣ δὲ μιεφαρκεὶμ ὀνομάζεται, ἀλλὰ μὴν καὶ ἄραβας.

Ὅτι ἀπεστάλη ἐκ τῆς ὑπερορίας ἡ μήτηρ τῶν βασιλέων.

Ὅτι ἀποστασία τοῦ μαγίστρου βάρδα τοῦ σκληροῦ, καὶ ἀνάρρησις αὐτοῦ γεγένηται.

τούτους

τούτοις οὖν συμπεριλαβὼν ὑπήγετο πρὸς τὴν Κωνσταντίνου, ἐλπίσι χρησταῖς αἰωρούμενος, ἃς καὶ ἄλλοθεν ἔλαβε, μᾶλλον μέντοι δὲ ὀνείρου τινὸς μοναχοῦ, ἀρετῇ μετιόντος. ἔδοξε γὰρ ἐκεῖνος ὁρᾶν τὸν Σκληρὸν γυναικί τινι ἐφ' ὑψηλῆς καθημένης περιωπῆς προσελθεῖν, τὴν δὲ μάστιγα αὐτῷ ἐγχειρίσαι βασιλικήν. ἡ μάστιξ δ', ὡς ἔοικεν, ἦν σύμβολον τῆς θείας ὀργῆς, καὶ τῆς ἐκ τοῦ ἐμφυλίου πολέμου τῶν Ῥωμαίων φθορᾶς, ἣν ὁ Σκληρὸς δηλοῦν τὴν βασιλείαν ἐνόμιζε, πρὸς τὴν οἰκείαν ἔφεσιν κρίνων τὸ ὄραμα. τῆς δὲ περὶ τῆς τυραννίδος τοῦ Σκληροῦ φήμης φθασάσης πρὸς τοὺς κρατοῦντας, [illegible] τὸ περιλειφθὲν στρατιωτικὸν [illegible] τῷ ἀποστάτῃ· ἐν τοσούτῳ δὲ στέλλεται πρὸς ἐκεῖνον ὁ Νικομηδείας ἀρχιερεύς, πρεσβεύσων, καὶ πολλὰ μὲν ἐπαγωγὰ πρὸς εἰρήνην διαλεχθεὶς αὐτῷ, ἀλλ' οὐκ ἔπεισε. δείξας γὰρ αὐτῷ ὁ Σκληρὸς τὸ κοκκοβαφὲς πέδιλον, ἀδύνατον εἶπε τὸ ἅπαξ τοῦτο ὑποδησάμενον ῥᾳδίως ἀποβαλεῖν. ταύτην τὴν ἀπόκρισιν ὡς ἔγνωσαν οἱ περὶ τὰ βασίλεια, ἐξ ἀνάγκης πρὸς μάχην ὡρμήκεσαν. ἦν δὲ τῆς βασιλικῆς δυνάμεως στρατοπεδάρχης ὁ ἐκτομίας Πέτρος ὁ τοῦ Φωκᾶ, οὗ καὶ πρώην ἐμνήσθημεν. ὡς οὖν ἀλλήλοις ἀντεστρατοπέδευσαν τὰ στρατεύματα, περὶ Λίπαριν, ἣ καὶ Λυκανδὸν ὀνομάζεται, πρὸς ἄλληλα συνερράγησαν, καὶ ἐπὶ μέν τινα καιρὸν ἀντεῖχον οἱ βασιλικοὶ γενναίως, εἶτα τρέπονται, καὶ ἀναιροῦνται πολλοί, καὶ τὸ στρατόπεδον ὑπὸ τοὺς ἐναντίους γενόμενον διαρπάζεται. ὥστε καὶ τὴν Τζαμανδὸν πολυάνθρωπον πόλιν [illegible] τῶν οἰκούντων αὐτὴν [illegible], χρημάτων δὲ σωρὸν [illegible] συνεισφέρειν. οὕτω δὲ περιγενόμενος τοῦ στρατεύματος τοῦ βασιλικοῦ, πολλοὺς ἐκ τούτου πρὸς ἑαυτὸν ἐπεσπάσατο, ἀπεγνωκότας ἤδη τὰς σωτηρίους ἐλπίδας παρὰ τοῖς βασιλεῦσι, καὶ αὐτῷ προσερρύησαν οὐ τῶν ἀνωνύμων μόνον στρατιωτῶν, ἀλλὰ καὶ τῶν περιωνύμων πολλοί. ὡς δὲ ταῦτα τῷ παρακοιμωμένῳ ἠγγέλθησαν, στέλλεται αὖθις Λέων ὁ πρωτοβεστιάριος, ἄκρατον ἐξουσίαν ἐμπιστευθείς, καὶ πάντα πράττειν ὅσα καὶ βασιλεῦσιν ἀνεῖται ἄδειαν εἰληφώς, ὃ ποιεῖν ἄν τις τῇ Λατίνων φωνῇ τὸν ἄνδρα δικτάτορα. καὶ συνελθὼν τῷ στρατοπεδάρχῃ ὁ πρωτοβεστιάριος, [illegible] ὑποσχέσεσι καὶ τιμαῖς τοὺς περὶ τὸν Σκληρὸν [illegible]. ὡς δ' ἀνήνυτα ἔγνω ἐγχειρῶν, παρελάσας νυκτὸς τὸν Σκληρόν, ἐχώρει πρὸς * [illegible] δὲ οἱ περὶ τὸν Σκληρὸν ὑπὲρ τῶν φιλτάτων αὐτῶν, καὶ τὸν ἀποστάτην καταλιμπάνοντες, τῷ πρωτοβεστιαρίῳ προσῄεσαν. κἀκ τούτου δείσας ὁ Σκληρός, τὸν μάγιστρον Μιχαὴλ τὸν Βούρτζην προσκεχωρηκότα αὐτῷ καὶ Ῥωμανὸν πατρίκιον τὸν Ταρωνίτην μετὰ στρατιᾶς ἐπιπέμψας κατὰ τοῦ πρωτοβεστιαρίου. οἱ προσβαλόντες ἐκείνῳ ἡττήθησαν. ὡς δ' ἐγνώσθη τῷ Σκληρῷ ἡ τῶν πεμφθέντων ἧττα, αὐτὸς σὺν παντὶ τῷ ὑπ' αὐτὸν στρατεύματι κατὰ τοῦ πρωτοβεστιαρίου χωρεῖ, καὶ συρρήγνυται τῇ μετ' αὐτοῦ στρατιᾷ, καὶ νικᾷ, καὶ ὁ μὲν στρατοπεδάρχης Πέτρος ἀναιρεῖται, ὁ δὲ πρωτοβεστιάριος ἑαλώκει. αὕτη ἡ νίκη ἐπὶ μεῖζον μὲν ἦρε τὰ τοῦ Σκληροῦ, τὰ δὲ τῶν βασιλέων εἰς ἀπόγνωσιν ἔωσε, καὶ μᾶλλον ὅτι καὶ θαλασσοκράτωρ ὁ ἀποστάτης. στόλον οὖν ὁ παρακοιμώμενος ἐξοπλίσας, ἐκπέμπει κατὰ τοῦ στόλου τοῦ ἀποστάτου, καὶ ναυμαχίας γενομένης, ὁ στόλος ὁ τοῦ Σκληροῦ κατεναυμαχήθη καὶ διεσκεδάσθη. ὡς οὖν ἠρέμει τὰ κατὰ θάλασσαν, τὰ κατὰ τὴν ἤπειρον ὁ παρακοιμώμενος διετίθει, καὶ τὸν Ἐρωτικὸν εἰς Νίκαιαν ἐκπέμπει τῆς Βιθυνίας μητρόπολιν, ταύτην φρουρήσοντα. ᾗ προσβαλὼν ὁ Σκληρός, ἀπεκρούσθη, καὶ λιμῷ τοὺς ἐν αὐτῇ προσδοῦναι ταύτην ἐλπίσας, [illegible] καὶ χρονοτριβήσας ἐκεῖ, [illegible] ἵνα οὖν ὁ Ἐρωτικὸς

secum coniunctis Constantinopolim properat, spe bona elatus, somnio cuiusdam monachi uirtutis studiosi aucta, qui sibi uisus erat mulierem quandã in sublimi specula sedentem cernere, quæ illi flagellum imperatorium porrigeret. Quod flagellum cum utique iram Dei & Romanorum ex intestinis bellis interitum significaret: Sclerus pro Imperij omine sua cupiditate uisionem æstimans, interpretabatur. Fama de tyrannide Scleri in urbem perlata, Imperatores quicquid militum restabat, contrahentes, ad resistendum se parabant, missio interim Nicomediæ pontifice ad illum, qui etsi multas pacis conditiones haud aspernandas proponeret: nihil tamen impetrauit. Nam Sclerus coccineo calceo ostenso, non fieri posse dixit, ut qui eum semel induisset, temere abijceret. Quo responso accepto, necessitas Imperatoribus imposita est bello decertandi. copiarum duce Petro spadone, Phocæ filio cuius suprà quoque facta est mentio. Exercitibus ad Liparam congressit, quæ & Licãdus appellatur, Imperatorij aliquantisper strenuè restiterunt, sed tandem profligantur, multis cæsis, castrisque direptis. Zamandus quoque urbs frequentissima, Sclero deditionem fecit, è qua magnam pecuniæ uim coëgit. Sic Imperatorũ copijs superatis, multos inde ad se attraxit, opibus & salute illorũ iam desperatis, neque obscuri duntaxat milites, sed multi etiam ex illustribus ad eum confluxere. Quæ cum cubiculario nunciata essent, Leo Protouestiarius cũ summo imperio & autoritate, suo arbitratu gerẽdi omnia quæ Imperatori licẽt, mittitur, quam potestatem Latini dictaturam nominant. Is cum castrorum duce congressus, pollicitationibus & honoribus frustrà tẽtatis militum animis, noctu prætergressus Sclerum inuasit. Quare factum est, ut milites suis charissimis timentes, Sclero relicto ad illũ se conferrent: & Sclerus territus, Magistrum Michaelem Burzem suas sequutum partes, & Romanum Patricium Taronitem, cum exercitu, contra Protouestiarium mitteret: quibus prælio superatis, ipse cum omnibus copijs eundem aggressus, uicit, uiuumque cœpit, Petro castrorum duce interfecto. Ea uictoria, ut Scleri opes multum auxit, sic Imperatorum rem ad desperationem depressit, præsertim cum tyrannus mare quoque teneret. Quamobrem Cubicularius classe missa, commisso cum Scleri nauibus prælio, classem eius deuicit & dissipauit, idemque mari pacato prouinciarum suscepta cura, Eroticum ad Nicæam Bithyniæ Metropolim tuendam misit, Quam Sclerus ui expugnare frustra conatus, fame subigi per proditionem posse ratus, obsidionem traxit. Eroticus uerò, dolo circumuenire hostem statuit, illata'que in granaria arena,

Somniũ de flagello Imperatorio.

Petrus spado a Duro profligatur.

Leo Protouestiarius dictator creatus, à Duro capitur.

Naualis pugna.

Eroticus eludit Sclerũ

&frumento supernè iniecto, ut totus aceruus frumentũ uideretur, captiuis granaria demõstrat semiplena, & Sclero nũciare iubet, quãuis à fame nihil sibi periculi sit, tamen si tutò cũ certis hominibus exire liceat, se urbe tradita, partes eius secuturũ. Quo nuncio lætatus Sclerus, cũ fidem dedisset, ille cum maiori ciuium & militũ suorũ parte Constantinopolim abijt. Sclerus autẽ Nicæam ingressus, dolo se circumuentum esse intellexit. Cubicularius uerò Sclero inde digresso & urbi appropinquante, quamuis animi dubius hęreret, tamen mutata sententia, Phocam Bardã ab exilio reuocatum, & sanctissimo iureiurãdo adactum, ne unquam regnũ affectare, aut consilia contra Imperatores inire uellet, Magistrũ appellat, & reliquijs copiarũ præficit, pecuniaq́ liberaliter suppeditata, cõtra Sclerũ mittit. Quo ille cognito, tum demũ se parem aduersarium habiturum ratus, inde digreditur, & circa Amorium pugna commissa superior euadit, profligatis aduersarijs. Postridie duces exercituũ decreuere singulari certamine congredi, deq́ summa rerũ decernere. Sclerus prior, ut quidam tradunt, clauam in Phocę caput impegit: ut alij, ensem in eum librauit, qui cum ictum declinasset, extremo ense aurem equi eius resecuit. At Phocas contrà Scleri capiti clauam ita illisit, ut oborta uertigine in equi collum prolapsum & cruentatum satellites eriperent, ac destitutum uiribus equo depositum, sanguine absterso ad fontem recrearent. Interea eius equus, dum illi hac cura occupantur, elapsus eius manibus à quo tenebatur, sine sessore in castris iuba sanguine manante exultans, effecit ut Scleri exercitus eo agnito (insignis enim erat, nomine Ægyptius) ducem cecidisse putans, effusè fugeret. Qua occasione Phocas arrepta, suosq́ cohortatus, fugientes persequitur, multos cędit, multos capit: plures etiam à se inuicem conculcati, perierunt. Tum demum Sclerus desperatis rebus, cum reliquijs ad Chosroen Babylonium confugit, à quo Imperator per legatos petit, ne tyrannum admittat domini sui oppugnatorem: alioqui malum exemplũ ipsi fraudi futurũ. Cũ autẽ Babyloni⁹ cognouisset, eundem Sclero quoq́ & militibus eius afferre literas, illius manu subscriptas, quibus eis impunitas ꝑmitteretẽ, modò cœptis desisterẽt, seq́ Imperatori submitterẽt: tam legatum quã Sclerũ cũ suis in carcerẽ cõpegit. Et hic fuit exit⁹ defectionis illius. Antonius porrò Patriarcha, cũ sacerdotio renũciasset, quod per sex annos tenuerat, ac paulò pòst obijsset, & Ecclesia annis IIII cũ dimidio uacasset,

Phocas Bardas Sclero opponitur.

Singulare certamen Scleri & Phocæ.

Durus à Chosroe Babylonio in uincula cõijcitur.

ἀπάτῃ κατεστρατηγῆσαι τὸν ἐναντίον, καὶ τοὺς σιτῶνας ψάμμου ἐπλήρωσε, καὶ τὴν ψάμμον σίτῳ ἐπέχωσεν, ὡς δοκεῖν τὸν ὄγκον ἅπαντα σῖτον εἶναι. ἔχων οὖν τινὰς ἁλόντας ἐκ τοῦ στρατοπέδου τοῦ ἐναντίου, αὐτοῖς τοὺς σιτῶνας ἀμελῶς ὄντας ὑπέδειξε, καὶ δι' αὐτῶν ἐδήλωσε τῷ σκληρῷ, μὴ δεδιέναι τὴν πολιορκίαν τὴν ἐκ λιμοῦ. εἰ δ' ἴσως, ἔφη, πίστεις δοίης, μεθ' ὧν βούλομαι, παραχωρῆσαί μοι ἀπελθεῖν, ὑπεκστήσομαί σοι τῆς πόλεως τάχα φρονῶν. περιχαρῶς τοῦτο ἤκουσεν ὁ σκληρὸς, καὶ πίστεις αὐτῷ παρέσχε, κἀκεῖνος τάς τε πύλας τῆς πόλεως καὶ τοὺς σὺν αὐτῷ στρατιώτας παραλαβὼν, τῆς πόλεως ἔξεισι, καὶ πρὸς τὴν μεγάλην πόλιν ἄπεισι. καὶ ὁ σκληρὸς εἴσεισιν εἰς τὴν νίκαιαν, καὶ τότε ἔγνω καταστρατηγηθείς. ὁ δέ γε παρακοιμώμενος, τοῦ σκληροῦ ἐκεῖθεν ἀπάραντος, καὶ τῇ βασιλευούσῃ τῶν πόλεων πλησιάζοντος, ἀμηχανῶν ἦν. γνωσιμαχήσας οὖν τὸν φωκᾶν βάρδαν ἐκ τῆς ὑπερορίας ἀνεκαλέσατο, καὶ ὅρκοις αὐτὸν φρικωδεστάτοις ἐνδησάμενος καὶ παλαμναιοτάταις ἀραῖς, μὴ αὖ ποτε τῇ βασιλείᾳ ἐπιθέσθαι, μηδὲ κατὰ τῶν βασιλευόντων βουλεύσασθαι, ταῖς περιλοίποις δυνάμεσι τὸν ἄνδρα ἐπέστησε, μάγιστρόν τε τιμήσας, καὶ χρήματα δαψιλῆ παρασχόμενος, καὶ τὴν κατὰ τοῦ σκληροῦ μάχην αὐτῷ ἀνατιθέμενος, ἄπεισιν οὖν ὁ φωκᾶς. καὶ ὁ σκληρὸς δὲ τοῦτο μαθὼν, τότ' ἔγνω μέλλων μαχέσασθαι πρὸς ἀνταγωνιστὴν ἀξιόμαχον, καὶ ἄρας ἀπῄει, καὶ περὶ τὸ ἀμόριον συμπλέκεται τῷ φωκᾷ, καὶ γίνεται μάχη τῶν στρατευμάτων, καὶ ἧσσον ὑπερτεροῦντες οἱ τοῦ σκληροῦ, οἱ δὲ περὶ τὸν φωκᾶν τὰ νῶτα ἔτρεψαν, καὶ οὕτω μὲν τὰ τῆς μάχης ταύτης συμβέβηκε. τῇ δ' ἑξῆς οἱ τῶν στρατευμάτων ἐξάρχοντες αὐτοὶ πρὸς ἀλλήλους μαχέσασθαι ἐβούλοντο, καὶ τὸν ἀγῶνα τὸν ὑπὲρ τῶν πάντων ἀναδέξασθαι. ἐπῆλθον οὖν ἀλλήλοις, καὶ πρῶτος ἔφθη παίσας τὸν φωκᾶν ὁ σκληρὸς, ὡς μέν φασί τινες, κορύνῃ κατὰ τῆς κεφαλῆς, ὡς δ' ἕτεροι, ξίφος ἐπανατεῖναι κατ' αὐτοῦ, τοῦ δ' ἐκκλιθέντος πρὸς θάτερον μέρος, καὶ τὴν πληγὴν ἐκκλίναντος, ἔφθασε τὸ τοῦ ξίφους ἄκρον τὸ οὖς ἐκτεμεῖν τοῦ ἵππου τοῦ φωκᾶ. ὁ δέ γε φωκᾶς ἀντέπληξε τὸν σκληρὸν κορύνῃ κατὰ τῆς κεφαλῆς, καὶ ὁ πληγεὶς σκοτοδινιάσας τῷ τοῦ ἵππου τραχήλῳ ἐπέπεσεν, ὃν οἱ περὶ αὐτὸν κακῶς ἔχοντα θεασάμενοι, καὶ τῷ ἐκ τῆς πληγῆς αἵματι πεφυρμένον περιστάντες συνέσχον, καὶ ἀπάγαγον εἰς πηγὴν, ἀνακτησόμενοί τε λειποψυχοῦντα τὸν ἄνδρα τῷ ὕδατι, καὶ τὸ καταρρεῦσαν τοῦ αἵματος ἀποψήσαντες, καὶ τοῦ ἵππου ἐκεῖνον ἀποβιβάσαντες, ἐποίουν τὰ εἰρημένα. ἐν τούτῳ δ' ὁ ἵππος ὁ τοῦ σκληροῦ τὸν κατέχοντα ἐκφυγὼν, καὶ ἀποσκιρτήσας ἀναβάτου χωρὶς, ἐτρόχαζεν ἀνὰ τὸ στρατόπεδον αἵματι τὴν χαίτην διάβροχος, ὃν ἰδόντα τὰ τοῦ σκληροῦ στρατεύματα (ἐπίσημος γὰρ ἦν ὁ ἵππος, κεκλημένος αἰγύπτιος) καὶ οἰηθέντα πεσεῖν τὸν αὐτῶν ἡγεμόνα, ἀκρατῶς ὥρμησαν πρὸς φυγήν. κατανοήσας δὲ τὸ γινόμενον ὁ φωκᾶς, ἔπεισι τοῖς φεύγουσι, τοὺς οἰκείους παραθαρρύνας, καὶ πολλοὶ μὲν ἀνῃρέθησαν ὑπὸ τῶν πολεμίων, πολλοὶ δὲ καὶ ἡλίσκοντο, πλείους δ' ὑπ' ἀλλήλων ἐκτείνοντο συμπατούμενοι. ἐντεῦθεν ὁ σκληρὸς διαπορηθεὶς μετὰ τῶν περιλειφθέντων καταφεύγει πρὸς χοσρόην τὸν βαβυλώνιον, καὶ τοῦτο μαθὼν ὁ βασιλεὺς ἔπεμψε πρὸς χοσρόην, ἀξιῶν μὴ προσδέξασθαι τὸν τυραννήσαντα, καὶ κατὰ τοῦ οἰκείου δεσπότου γενόμενον, ἵνα μὴ καὶ καθ' ἑαυτοῦ ὑπόδειγμα δείξῃ οὐκ ἀγαθόν. ἔφερε δ' ὁ πεμφθεὶς καὶ πρὸς τὸν σκληρὸν καὶ τοὺς μετ' αὐτοῦ ἔγγραφα, τῇ βασιλικῇ βεβαιωθέντα χειρὶ, ἀμνηστείαν αὐτοῖς τῶν πεπραγμένων βραβεύοντα, εἰ ἀποστῶσι τῆς ἐγχειρήσεως, καὶ τῷ βασιλεῖ ὑποκύψωσι. ταῦτα τὰ πρὸς τὸν σκληρὸν καὶ τοὺς μετ' ἐκείνου βασιλικὰ γράμματα ὡς ἔγνω ὁ βαβυλώνιος, αὐτόν τε τὸν τὴν πρεσβείαν πληροῦντα, καὶ τὸν σκληρὸν, καὶ τοὺς μετ' αὐτοῦ στρατιώτας καθεῖρξεν. ἐνταῦθα μὲν οὖν τὸ τέλος τῆς ἀποστασίας ἔληξε τῷ σκληρῷ. ἀντωνίου δὲ τοῦ πατριάρχου τῆς ἱερωσύνης ἀποταξαμένου, ἣν ἐπ' ἔτεσιν ἓξ ἔσχε, καὶ μετὰ μικρὸν τελευτήσαντος, τέσσαρσι πρὸς τῷ ἡμίσει ἐνιαυτοῖς ἀρχιερέως ἡ ἐκκλησία ἐχήρευεν,

πῶς ὁ σκληρὸς ἐν νικαίᾳ ἐκρατήθη

ὅτι τὸν φωκᾶν βάρδαν κατὰ τοῦ σκληροῦ πολεμεῖν ἐποίησεν ὁ παρακοιμώμενος.

μονομαχία σκληροῦ καὶ φωκᾶ, καὶ ἡττᾶται ὁ σκληρὸς.

φυγὴ τοῦ σκληροῦ πρὸς βαβυλῶνα, ἔνθα φυλάττεται αὐτὸς καὶ οἱ μετ' αὐτοῦ.

περὶ πατριάρχου.

ἀπὸ ὁ

ἀντὶ δ' ὁ Χρυσοβέργης Νικόλαος προεχειρίσθη. τὰ δὲ τῶν Βουλγάρων αὖθις ἐκινεῖτο. ὡς γὰρ ὁ τοῦ Τζιμισκῆ κατηγγέλθη τελευτή, τέσσαρσιν ἀδελφοῖς ἀνέθεντο τὴν σφετέραν ἀρχήν, Δαβίδ, Μωϋσῇ, Ἀαρών τε καὶ Σαμουήλ, οἳ κομητόπουλοι ὠνομάζοντο, ὅτι υἱοὶ γεγόνασιν ἑνὸς τῶν παρ' αὐτοῖς ἐπισήμων, καὶ λεγομένων κομήτων. οἱ γὰρ ἐκ τοῦ βασιλείου γένους σφίσιν ὑπολελοίπασι, μόνου περιλειφθέντος ἑνὸς τῶν παίδων τοῦ Πέτρου, φημὶ δὴ τοῦ Ῥωμανοῦ, ὃς περὶ ἐκτομίας ἦν. τῶν δὲ τεσσάρων συγγόνων τῶν κομητοπούλων, ὁ μὲν Δαβὶδ τάχιστα τὴν ζωὴν ἐξημείψατο. ὁ δέ γε Μωϋσῆς τὰς Σέῤῥας πολιορκῶν, λίθῳ βληθεὶς, καὶ θνήσκει εὐθύς. τὸν δ' Ἀαρὼν πανγενῆ τοῦ βίου ἐξήγαγεν ὁ ἀδελφὸς Σαμουήλ, ἢ τὴν ἀρχὴν ἑαυτῷ μόνῳ περιποιούμενος, ἢ τὰ Ῥωμαίων αἱρούμενος (λέγεται γὰρ καὶ ἀμφότερα) ἑνὸς μόνου τῶν παίδων ἐκείνου περισωθέντος, ὃς Σφενδοσθλάβος καὶ Ἰωάννης διωνύμως ἐκέκλητο. καὶ ἡ τῆς Βουλγαρίας ἀρχὴ εἰς μόνον περιέστη τὸν Σαμουήλ, ὃς, τῶν Ῥωμαϊκῶν στρατευμάτων τοῖς ἐμφυλίοις πολέμοις ἀσχολουμένων, ἀδεῶς ἐπιὼν τὰ τῆς Ῥωμαϊκῆς ἡγεμονίας ἑσπέρια ξύμπαντα πεδία, οὐ ληϊζόμενος μόνον, ἀλλὰ καὶ τὰς χώρας ἅμα, καὶ τὰς πόλεις περιποιούμενος ἑαυτῷ. ἐπεὶ δ', ὡς εἰρήκαμεν, τὴν τοῦ Σκληροῦ τυραννίδα ὁ βασιλεὺς ἀπεσείσατο, ὤργα πρὸς ἄμυναν τοῦ βαρβάρου, καὶ δι' ἑαυτοῦ ἔκρινεν αὐτῷ τὴν ἐκστρατείαν ποιήσασθαι. ἔξεισιν οὖν μήτε τῷ μαγίστρῳ Βάρδᾳ τῷ Φωκᾷ, καίτοι δομεστίκῳ ὄντι τῶν σχολῶν τῆς ἀνατολῆς, περὶ τῆς πράξεως κοινωσάμενος, μήτε μὴν ἑτέρῳ τῶν ἑῴων στρατηγούντων δυνάμεων. ἤδη δὲ πρὸς τὴν Βουλγάρων εἰσιὼν, τὸν μάγιστρον Λέοντα τὸν Μελισσηνὸν κατόπιν ἐκέλευσεν ἕπεσθαι, καὶ τὰς δυσχωρίας τηρεῖν. αὐτὸς δ' εἰσελθὼν τῇ πολιορκίᾳ τῆς Σαρδικῆς (αὕτη δ' ἐστὶν ἡ Τριάδιτζα) ἐπιχειρῶν ἐπεμάχετο. τῶν δ' ἑσπερίων ταγμάτων δομέστικος ὢν ὁ Κοντοστέφανος, καὶ λογισάμενος, ὡς εἰ εὐτυχηθείη τι τῆς στρατείας τῷ βασιλεῖ, οὐκ ἄν ποτε παύσαιτο δι' ἑαυτοῦ τοὺς πολέμους διατιθέμενος, καὶ ὅτι αὐτὸς οὐδ' οἱ λοιποὶ στρατάρχαι ἔτι τοῦ λόγου πολλοῦ νομισθήσονται ἄξιοι, σφῆλαι οἱ διεμελέτησε τὴν ἐπιχείρησιν, καὶ τὴν ὁρμὴν ἀνακόψαι. προσελθὼν οὖν φησὶ τὸν Μελισσηνὸν τυραννίδι ἐπιχειρεῖν, καὶ ἀπιέναι σὺν τάχει πρὸς τὸ Βυζάντιον, τῆς βασιλείας ἀντιληψόμενον, καὶ δεῖν μὴ μέλλειν, ἀναζευγνύειν δὲ καὶ μὴ ὑπερτίθεσθαι. τοῦτο τὸν βασιλέα ἐτάραξε, καὶ ἐπάνοδον ἐσήμαινε τῷ λαῷ. ὁ δέ γε Σαμουὴλ ταῖς τῶν ὀρέων ἐμφιλοχωρῶν κορυφαῖς (οὐ γὰρ ἐθάῤῥει παρατάξει συστάδην μαχέσασθαι) καὶ τὴν ἀθρόαν ἀναζυγὴν ἰδὼν, δειλίαν ἔκρινε τὸ πραττόμενον, καὶ ἐπιὼν τοῖς Ῥωμαίοις, καὶ τῷ ἀνελπίστῳ ἅπαντας κατεβρόντησε, καὶ εἰς φυγὴν ἔτρεψε, καὶ τῆς τε παρεμβολῆς ἐκράτησε καὶ τῆς σκηνῆς τῆς βασιλικῆς καὶ τῶν παρασήμων τῆς βασιλείας. ὁ δὲ βασιλεὺς μόλις εἰς Φιλιππούπολιν διεσώσατο, κἀκεῖ τὸν Μελισσηνὸν εὑρηκὼς, κατὰ τοῦ Κοντοστεφάνου ὠργίζετο, καὶ ὕβρεις κατέχει τοῦ ἀνδρός, ὁ δ' ἀντεναχείτει ἐτραχύνετο, καὶ ἀναζέσας ὁ βασιλεὺς τῷ θυμῷ, ἀνέθορέ τε τοῦ θρόνου, καὶ τῆς κόμης τοῦ Κοντοστεφάνου δραξάμενος καὶ τοῦ πώγωνος, προσέῤῥαξε τὸν ἄνδρα τῇ γῇ. ἐντεῦθεν οἱ τῶν δυνάμεων τῶν Ῥωμαϊκῶν προεξάρχοντες μηνίσαντες τῷ βασιλεῖ, ὁ μὲν Φωκᾶς ὅτι αὐτῷ αἱ ἐλπίδες ὑπεῤῥύησαν, καὶ τὸ τῆς παροιμίας ἤδη τὰ Μανδραβούλου ἐχώρουν. οἱ δ' ὅτι ὑπερηφάνως αὐτοῖς προσεφέρετο, καὶ οὐκ ἐκοινώνει σφίσι τῶν βουλευμάτων. οἱ δὲ καὶ δι' ἕτερα. ἐν τῷ Χαρσιανῷ συναθροίζονται, καὶ τὸν Φωκᾶν Βάρδαν διαδήματι περιέθεντο, καὶ τῆς βασιλείας ἠξίωσαν, καὶ οἱ μὲν τὰ τῆς ἑσπερίας,

Περὶ Βουλγάρων καὶ τοῦ Σαμουὴλ καὶ τῶν ἀδελφῶν αὐτοῦ.

Ὅτι ὁ βασιλεὺς ἐξεστράτευσε κατὰ Βουλγάρων καὶ τὴν Τριάδιτζαν ἐπολιόρκει.

Ὅπως ὁ Κοντοστέφανος ἐποίησε μεταλλάξαι τὸν βασιλέα καὶ ἀναζεῦξαι, καὶ ὅπως οἱ Βούλγαροι ἐνίκησαν τοὺς Ῥωμαίους ἀναζευγνύοντας.

Ὅτι ὁ Φωκᾶς βασιλεὺς ἀνηγορεύθη.

Nicolaus Chrysoberges est designatus. Interea Bulgari cognito Zimiscæ interitu, tumultuantur, & quatuor fratribus Dauidi, Mosi, Aaroni & Samueli deferunt Imperium, qui Cōmitopoli, hoc est pulli comitis, ueri apud illos illustris, quo patre nati erant, uocabantur. Nam stirps Regia defecerat, uno Petri filio Romano superstite, qui eunuchus erat. Ex ijs quatuor Dauid statim mortem obijt, Moses in oppugnatione Serræ, lapide ictus moritur statim. Fratrē Aaronē cū omni familia, uno illi' filio cōseruato, qui duplici nomine Ioannes Sphēdosthlabus dicebatur, Samuel interficit, siue quòd summā rerū sibi soli uendicaret, siue quòd Romanis studere uisus erat: nā utrunque fertur. Is igitur Samuel Bulgarorū principatū solus adept', dū Romani bellis ciuilibus distinētur, Occidētales eorū pṛuincias omnes impunè circuit: nec populat tātū, sed & regiones & urbes suæ ditionis facit. Qua de causa Imperator, depulsa Scleri tyrannide, ulciscendi Barbari cupiditate flagrās, suis auspicijs bellū ei inferre statuit. Egreditur igitur cōsilio suo neque cū Magistro Barda, Orientalium legionum Domestico, neque cum ullo alio ducum Orientalium communicato. Bulgarorum fines iam ingressus, Magistro Leone Melisseno ponè sequi iusso, ad locorum angustias tutādas: ipse Sardicam, quæ & Triadiza dicitur, obsidere instituit. Verū Occidentaliū legionū Domesticus Contostephanus, cogitans re benè gesta Imperatorem nunquam nō suopte ductu atque auspicijs bella administraturū, se cæterisque ducibus parui æstimatis: operam dedit, ut conatus illius labefactaret, atque impetum retardaret. Accedit igitur, & Melissenum tyrannidem affectantem festinanter ire Byzantium, ad regnum occupandū ait, non cunctandū esse monens, sed citra moram reducendū exercitum. Id Imperatorem ita perturbauit, ut populo reditum denunciaret. Ad Samuel cacumina montium insidens (neque enim acie decernere audebat) subito discessu uiso: Romanos aggreditur, quos metu illud facere arbitrabatur, & inexpectata impressione in fugam compellit, nec castris tantum, sed & tabernaculo atque insignibus Imperatoris potitur, qui quidem uix Philippopolim euasit: ubi cum Melissenum inuenisset, Contostephanum iratus contumeliosis dictis insectatur, quæ cum ille iniquo animo ferens exasperaretur, efferuescente bile solio exiliens, Contostephanum coma & barba prehensum terræ illidit. Ex hoc Romanarum legionum principes Imperatori irati, Phocas quòd spe frustraretur & res suæ, ut prouerbio dicitur, Mandraboli more procederent: alij, quòd se contemni putabant, non cōmunicatis consilijs: alij, alijs de causis: Charisiani congressi, Phocam Bardam diademate ornatū imperatorē appellāt, defectione

Bulgaricū bellum.

Basilius Contostephani fraude à Bulgaris profligatur.

Phocas Bardas conspiratione ducum imperator salutatur.

Sclerus Persis & Sarracenus profligatis, à Phoca in uincula conijcitur.

ut ipsi putabant, probè administrata. Sclerus autem qui Babylone custodiebatur, præter spem custodia educitur. Nam Persarum imperio, à Sarracenis euerso, uir quidam Persa, nomine Inargus, uerbis concitat populares, suadens, ut rupto seruitutis iugo, arma contra Sarracenos se duce sumant. Chosroes porrò quamuis sæpe cum illis congressus, tamen numquam non discessit inferior, desperataque uictoria ad Romanos, qui in custodijs erant, confugit: quibus carcere eductis, cum Sclero de ratione gerendi belli agit, petita uenia malæ tractationis, qui principiò bello recusato, tandem illo urgente, annuit: sed ea conditione, ut solos Romanos in aciem educat. Carceribus igitur perquisitis, ad tria millia Romanorum sunt inuenta, & arma eis data, qui cum Scleri ductu & auspicijs Persas uicissent: nec ipsi nec ille ad Chosroen redeundum esse statuerunt, ueriti, ne denuò à Barbaro in carcerem compingerentur, præsertim tanto uirtutis suæ specimine edito. At Chosroës dum in fugam intenti sunt, magnam turbam ad eos persequendos mittit: qui etsi numero longè superiores, commisso prælio, pauciores euaserunt ijs, quos persequebantur, cæteris ibi Romanorum manibus interfectis. Sclerus igitur cum suis Romanorum fines ingressus, ad Phocam se confert, quem regnũ spectare ac tyrãnidem iam affectasse cognorat, & belli & Imperij socius futurus. Ille societatẽ amplexus, si uotorũ cõpotes fierẽt, sibi urbẽ Imperatoriã & plurimũ gẽtium ac prouinciarũ imperiũ uendicat: Sclero Antiochiam, Cœlesyriã, Phœniciã, Palæstinã, Mesopotamiã & Ægyptũ attribuit, eaque pacta iureiurãdo sancit. Quo Sclerus fretus, cũ ad illũ se cõtulisset, ac iã intra casses esset: primũ habitu regio priuatur: deinde in carcerẽ confecto custodia adhibetur: & copijs illius

Basilius profligato Phoca insolentior factus, cubicularij acta rescindit.

ascitis, Phocas tyrannidẽ suã firmat. Enimuerò Sclerus priusquã ab illo cõprehenderetur, ut, si res malè cessisset, receptũ aliquem haberet, ac spem salutis curarat, ut filius suus Romanus, clàm arrepta fuga, ad Imperatorẽ deficeret, à quo cum gaudio exceptus est, & statim Magister designatus. Phocas autem Delphina Patricio cum parte copiarum Chrysopolim, quæ est è regione urbis regiæ, misso, ipse cum reliquo exercitu Abydum proficiscitur. Imperator uerò Delphinam ad Chrysopolim castrametatũ, subitò cum Rossico populo adortus (Nam cum Bladimero duce eorum, sorore Anna ducta, affinitatem iunxerat, atque auxilia inde accersierat) hostibus facilè superatis, ipsum Delphinam captum palo affixit. Deinde Abydum cum fratre Constantino proficiscitur. Quum exercitus utrique in procinctu starent, & Phocas suas copias antecedens, Basilium equo circumuectum, Legiones cohortari

ὡς αὐτοῖς ἐδόκει, διῳκεῖτο. ὁ δέ γε σκληρὸς ἐν Βαβυλῶνι φρουρούμενος, ἀνελπίστως ἐξάγεται τῆς φρουρᾶς. τῆς γὰρ τῶν περσῶν ἀρχῆς καταλυθείσης ὑπὸ τῶν σαρακηνῶν, ἀνήρ τις πέρσης, ἴναργος ὄνομα, λόγοις ἠρεθικὼς τὸ περσικὸν, πείθει ἐπαναστῆναι τῆς τῶν σαρακηνῶν δουλείας, καὶ ὅπλα ἄρασθαι κατ' αὐτῶν, αὐτοῦ τοῦ ἰνάργου στρατηγοῦντος αὐτῶν. πολλάκις μὲν οὖν ὁ χοσρόης τοῖς πέρσαις ἀντηγωνίσατο. τοσαυτάκις δ' ἡττήθη, ὁσάκις συνέμιξε, καὶ ἀπογνοὺς πρὸς τοὺς ἐμφρούρους καταφεύγει ῥωμαίους, καὶ ἀνίησι μὲν αὐτοὺς τῆς εἱρκτῆς, διαλέγεται δὲ τῷ σκληρῷ περὶ τοῦ πολέμου, καὶ μὴ μνησικακῆσαι τῆς κακώσεως αὐτῷ ἀξιοῖ. ὁ δὲ πρότερον μὲν παρῃτεῖτο τὸν πόλεμον, εἶτ' ἐγκειμένου τοῦ βαβυλωνίου, κατανεύει μὲν, σὺν μόνοις δὲ τοῖς ῥωμαίοις ὑπέσχετο τὸν πόλεμον ὑπελθεῖν. ἠρευνῶντο τοίνυν τὰ δεσμωτήρια, καὶ ὅσοι εὕρηντο ἐν αὐτοῖς ῥωμαῖοι, ἐξήγοντο καὶ ὡπλίζοντο, καὶ ὡσεὶ τρισχίλιοι συνηθροίσθησαν, οὓς παραλαβὼν ὁ σκληρὸς ἐχώρησε κατὰ τῶν περσῶν, καὶ συμβαλὼν νικᾷ. ἀναζεῦξαι δὲ πρὸς τὸν χοσρόην οὐκέτ' ἔκρινεν οὔτ' αὐτὸς οὔθ' οἱ μετ' αὐτοῦ. ἐδεδίεσαν γὰρ μὴ καὶ αὖθις αὐτοὺς καθείρξῃ ὁ βάρβαρος, καὶ μᾶλλον, ὅτι ἐν πείρᾳ γέγονε τῆς αὐτῶν γενναιότητος. ἤρξαντο γοῦν τῆς φυγῆς, καὶ ὁ χοσρόης πλῆθος εἰς αὐτῶν καταδίωξιν ἔστειλε, καὶ οἱ σταλέντες καταλαβόντες τοὺς φεύγοντας, ἐκείνων ὑπάρχοντες πολλαπλάσιοι, μόλις τῶν φευγόντων ἀποδρᾶναι δεδύνηνται, τῶν ἄλλων ἐκεῖ πεσόντων, καὶ ῥωμαϊκαῖς διαφθαρέντων χερσίν. ὁ μὲν οὖν σκληρὸς καὶ οἱ σὺν αὐτῷ εἰς τὰ ῥωμαίων ἐπανεληλύθασιν ὅρια. μαθὼν δὲ καὶ τὸν φωκᾶν ἤδη βασιλεύοντα καὶ τυραννίδος ἀρξάμενον, ἀπεστάλκει πρὸς τὸν φωκᾶν, κοινωνὸς ἀξιῶν εἶναι καὶ τοῦ πολέμου καὶ τῆς βασιλείας αὐτῷ. ὁ δὲ τὴν κοινοπραγίαν ἐδέξατο, καὶ εἰ τῶν ἐφιεμένων τύχοιεν, ἑαυτῷ μὲν τὴν βασιλίδα τῶν πόλεων ἀπένειμε καὶ τῶν πλειόνων ἐθνῶν καὶ χωρῶν τὸ κράτος. τῷ δὲ σκληρῷ προσκληροῖ τὴν ἀντιόχειαν, τήν τε κοίλην συρίαν, καὶ φοινίκην, καὶ παλαιστίνην, καὶ μεσοποταμίαν, καὶ αἴγυπτον, καὶ τὰς συνθήκας ὅρκοις καθοσιῶν ἐμπεπέδωκεν. ἐπὶ τούτοις τεθαρρηκὼς ὁ σκληρὸς, πρόσεισι τῷ φωκᾷ. ὁ δ' ἐντὸς ἀρκύων τοῦτον λαβὼν, ἀφαιρεῖται μὲν αὐτοῦ τὸ σχῆμα τὸ βασίλειον, καθείργνυσι δὲ, καὶ φρουρὰν αὐτῷ περιΐστησιν. ὑφ' ἑαυτὸν δὲ καὶ τὴν σὺν ἐκείνῳ στρατιὰν ποιησάμενος, τῆς τυραννίδος εἴχετο κραταιότερον. ὁ μέντοι σκληρὸς προμηθευόμενος ἑαυτῷ πρὸς τὸ μέλλον ἐξ ἀτυχίας σωτηρίαν τινὰ, πρὸ τοῦ κατασχεθῆναι πρὸς τοῦ φωκᾶ, τὸν υἱὸν ῥωμανὸν λάθρα φυγῆν παρεσκεύασεν ὡς αὐτομολοῦντα τῷ βασιλεῖ, ὃς καὶ μετὰ χαρᾶς παρὰ τοῦ κρατοῦντος ἐδέχθη, καὶ μάγιστρος ἐτιμήθη εὐθύς. ὁ φωκᾶς δὲ ἀπόμοιράν τινα τῆς στρατιᾶς ὑπὸ τὸν πατρίκιον τάξας τὸν δελφινᾶν, εἰς τὴν ἀντικρὺ τῆς βασιλίδος ἐκπέμπει χρυσόπολιν, αὐτὸς δὲ σὺν τῇ λοιπῇ δυνάμει ἀφικνεῖται πρὸς τὴν ἄβυδον. τῷ μέντοι δελφινᾷ ἐστρατοπεδευκότι κατὰ χρυσόπολιν, αἰφνίδιον ἐπῆλθεν ὁ βασιλεὺς μετὰ λαοῦ ῥωσικοῦ (κῆδος γὰρ πρὸς βλαδιμηρὸν τὸν ἄρχοντα τούτων ἐπὶ ἄννῃ τῇ ἀδελφῇ αὐτοῦ θέμενος, συμμαχικὸν ἐκεῖθεν ἐδέξατο) καὶ ῥᾷον τῶν ἐναντίων ἐκράτησε, καὶ αὐτὸν τὸν δελφινᾶν χειρωσάμενος, ἀνεσκολόπισεν. εἶτα πρὸς τὴν ἄβυδον ἄπεισι μετὰ τοῦ ἀδελφοῦ κωνσταντίνου. καὶ ἤδη ἀντιμέτωπα ἵσταντο τὰ ἐναντία στρατεύματα, καὶ τοῦ μὲν οἰκείου προϊστάμενος ὁ φωκᾶς, τὸ δ' ἀντίμαχον ὁ βασιλεὺς βασίλειος ἔφιππος περιϊὼν, παρεθάρρυνεν, ὃν ὁ φω-

ὅτι ὁ σκληρὸς καὶ οἱ παρὰ τοῖς ἀγαρηνοῖς ῥωμαῖοι ἀνέθεσαν τῶν δεσμῶν, καὶ ἐπανελθόντες εἰς τὰ ῥωμαίων ἴδια ἀνέστησαν.

ὅτι κοινωνίαν δίδωσι φωκᾶ ἐπὶ τῇ τυραννίδι ὁ σκληρὸς, καὶ ὅπως κατεσχέθη ὑπ' αὐτοῦ.

ὅτι πρὸ τοῦ συλληφθῆναι λάθρα ὡς αὐτόμολον ἐκπέμπει τὸν υἱὸν αὐτοῦ πρὸς τὸν βασιλέα ὁ σκληρός.

[illegible] τοῦ δελφινᾶ.

[illegible] ἀνεσκολοπίσθη.

Ὅπως ὁ Φωκᾶς ἐτελεύτησε τὸν βίον. [illegible]

ὃν ὁ Φωκᾶς θεασάμενος, κατ' αὐτοῦ τὸν ἵππον ἐλαύνει, ὅλην ἐκείνῳ τὴν ἡνίαν χαλάσας, ὡς εἰ ἐκεῖνον καταβαλεῖ, ἕξοντος τὸν ἀγῶνα νενικηκώς. ἀλλ' ὑπὸ τῶν οἰκείων προέλαβε πολύ, καὶ οἱ μὲν αὐτὸν ἐκκυλισθῆναι τοῦ ἵππου φασίν, οἱ δὲ εἴς τινα λόφον ἐκκλῖναι, καὶ καταβάντα τοῦ ἵππου ἐκταθῆναι ἐπὶ τῆς γῆς, καὶ εὐθὺς αὐτὸν τὸ πνεῦμα λιπεῖν. οἱ μὲν οὖν πληγῆναι πρός τινος καιρίαν τὸν ἄνδρα ἔλεγον. καὶ ὁ βασιλεὺς δὲ Κωνσταντῖνος ἑαυτῷ τὴν ἐκείνου ἀναίρεσιν ἐπεφήμιζε, τοῦτο δ' ἦν λόγος ἄλλως. οὐδὲ γὰρ τετρωμένον αὐτοῦ τὸ σῶμα εὑρέθη μηδαμῆ. οἱ δὲ φαρμάκῳ δηλητηρίῳ ἐδόξαζον κατεργασθῆναι αὐτόν, ὃ καὶ μᾶλλον ἔδοξε πιθανώτερον, τὸ μέντοι φάρμακον ἡτοιμάσατο μὲν ὁ Βασίλειος, προσήνεγκε δὲ τῷ Φωκᾷ ὁ τούτου οἰνοχοεύων, παρὰ τοῦ βασιλέως ὑποκλαπείς. πεσόντος δὲ τοῦ Βάρδα, τὸ μετ' αὐτοῦ στράτευμα διελύθη, καὶ οἱ μὲν ἐκτείνοντο καταλαμβανόμενοι, οἱ δ' ἐζωγροῦντο καὶ συλληφθέντες ἐπὶ τὸ δόξαν τῷ βασιλεῖ ἐκολάσθησαν. ὁ δ' ἀγερωχότερος ἦν ἢ τὸ πρότερον, σοβαρός τε γὰρ ἐγεγόνει, καὶ τὸ ἦθος ὑποκαθειμένος, καὶ πάντας ὑποπτεύων, καὶ τῇ ὀργῇ ἐντυγχάνων ἀπαραίτητος, καὶ οὐ τοῖς ἄλλοις μόνον τὸ σοβαρὸν ἐπεδείκνυτο, ἀλλὰ μὴν καὶ τῷ παρακοιμωμένῳ αὐτοῦ, ἤχθετό τ' αὐτῷ, καὶ εἰς ἑαυτὸν ἐσπούδασε μετενεγκεῖν τὴν τῶν πραγμάτων διοίκησιν, καὶ μέντοι καὶ μεθίστησιν ἐκ τῆς κοινῶν οἰκονομίας αὐτόν, οἴκοι μένειν τὸ πρότερον ἀπειλήσας αὐτῷ, εἶτα μετὰ μικρὸν ὑπερόριον τίθησι, καὶ τῶν ἐκείνῳ πεπραγμένων ἕκαστον ἀνακρίνων, ἀπραξίαν τῶν πλειόνων κατεψηφίσατο, καὶ τὸ παρ' ἐκείνου δομηθὲν σεμνεῖον τὰ πλείω ἐσύλησε, καὶ οὐκ ἀγρῶν μόνον ἢ χωρίων καὶ οἰκιῶν, ἀλλὰ καὶ ἀναθημάτων τε καὶ πλακῶν καὶ κιόνων πολυτελῶν. ὅθεν ἐκεῖνος διὰ ταῦτα νόσῳ περισχεθεὶς ἀθυμίας, παρεῖτο τὰ μέλη, καὶ ἔμπνους ἦν νεκρός, καὶ βραχύ τι διαλιπών, οἰκτρῶς τὸν βίον ἐξέλιπεν. ὁ δὲ τότε πρῶτον γέγονεν αὐτοκράτωρ ὡς ἀληθῶς, καὶ γνοὺς ἡλίκων δεῖται φροντίδων ἡ τῆς βασιλείας διοίκησις, ἐπί τε βασιλικῆς ἁβρότητος κατεφρόνησε, καὶ τῶν λαμπρῶν ἀπείχετο ἐσθημάτων, καὶ γλυκυθυμίαν ἅπασαν ἀπεσείσατο, καίτοι πρώην μὴ οὕτω βιούς, ἀλλὰ καὶ ἐρώτων ἡττώμενος, καὶ κώμοις καὶ τρυφαῖς ἑαυτὸν ἐκδιδούς, καὶ βασιλείας περιουσίᾳ ἡδόμενος. ἑαυτῷ δὲ μόνῳ περικληρώσας τὴν ἐξουσίαν, τοῦ ὀνόματος μόνον τῆς βασιλείας καὶ τοῦ ἐπισήμου χρώματος μετεδίδου τῷ ἀδελφῷ, καί τινα δορυφορίαν ἐκείνῳ ἀπέταξε, βραχεῖαν μέντοι καὶ οὐχ ὑπέρογκον. ὁ δ' ἔφερε, καὶ οὐκ ἠμφισβήτει τῷ ἀδελφῷ, ἤθους ἀνειμένου τυχὼν οἶμαι, καὶ χαίρων ὑγροτέρᾳ ζωῇ καὶ διαγωγῇ τρυφηλᾷ, καὶ θήραις καὶ ἡλικιωτῶν συνουσίαις τῶν εἰς συνετρίβετο. τὰ μὲν οὖν ἀδελφὼ καὶ ἄμφω εἰχέτην οὕτως. ὁ δέ γε Σκληρὸς τοῦ Φωκᾶ θανόντος λυθεὶς τῆς εἱρκτῆς, εἴχετο καὶ αὖθις τοῦ πρὶν ἐγχειρήματος, καὶ τυραννεῖν καὶ πάλιν οὐχ ὑπεβάλλετο. ὁ δὲ βασιλεὺς γράμμασι πρὸς αὐτὸν ἐγχαραχθεῖσι παρῄνει τὸν ἄνδρα, παύσασθαι τῆς ἀπονοίας ποτέ, καὶ μὴ ἀεὶ βούλεσθαι αἴτιον τῶν πολέμων ὁμογενέσι, καὶ τὴν γῆν αἵμασι χραίνειν, καὶ τούτοις χριστιανῶν. ὁ δὲ τῷ τε γήρᾳ τρυχόμενος ἤδη, καὶ πρὸς τὸ μέλλον ἰλιγγιάσας, σπένδεται, καὶ πρόσεισι τῷ κρατοῦντι. ἐκεῖνος ὑπὸ σκηνὴν καθῆστο βασίλειον, καὶ ὁ Σκληρὸς βάδην ἰὼν πρὸς τὴν σκηνήν, ὑποβασταζόμενος ἑκατέρωθεν, τὸ μέν τι διὰ τὸ γῆρας, τὸ δὲ διὰ τὸν ὄγκον τοῦ σώματος (ἦν γὰρ εὐμεγέθης) ὅτε καὶ τὸ ᾀδόμενον ἀπεῖπεν ὁ βασιλεὺς Βασίλειος λέγεται. ὃν ἐδεδίειν, προσάγεταί μοι χειραγωγούμενος.

[illegible]

uidisset, totis habenis laxatis, equo concitato, in illum fertur, eo prostrato se toto discrimine fore defunctum ratus: sed antequàm suos multū antecessisset, alij eum equo deuolutū ferunt: alij cum in tumulum quendam declinasset, equoq́ descendisset, humi extentum statim expirasse: alij à quodam lethali uulnere affectum esse. Constantinus quidem Imperator cædem eius sibi arrogabat, falso utique, cum eius cadauer nusquam uulneratum fuerit: alij (quod quidem probabilius est) putauere, toxicum ei à Basilio præparatum, à pincerna corrupto largitionibus Imperatorijs, fuisse propinatum. Barda strato, illius exercitus dissipatus est, alijs cæsis, alijs captis, in quos Imperator suo arbitratu animaduertit, mutatus ab illo qui dudum fuerat, & factus arrogans, demisso ingenio, suspicax in omnes, iracundia inexorabili: nec in alios duntaxat, sed in ipsum etiam Cubicularium talem se præbuit. Quem cum odisset, atq; ipse rerum administrationem capessere uellet, tum à Reipublicæ negocijs remouit, tum domo egredi uetuit, nec multò pòst relegauit, tum actis eius omnibus perquisitis, pleraq; rescidit, tū monasterium eo extructū maxima ex parte spoliauit, nec agros duntaxat aut fundos inuasit & ædes, sed etiam donaria, tabulas, columnas preciosas. Quas ille ob res animi ægritudine oppressus, membrisq; resolutis, nihil aliud nisi spirans cadauer, breui miserabiliter est extinctus. Basilius uerò tum demum uerè Imperator factus, cum intellexisset, quantam solicitudinem regni administratio postularet, delitias regias spreuit, splendidis uestibus abstinuit, omnemq; suauitatem repudiauit: cum prius haud ita uixisset, sed & amoribus indulsisset, commessationibus & uoluptatibus deditus, regioq; luxu delectatus: & omni autoritate sibi uendicata, fratri nihil, nisi nomen & colorem insignem impertijt, custodia illi quidem attributa, cæterum exigua & non magnifica. Quæ ille, ut homo remissionis ac mollioris ingenij & uoluptarius, uenationibus & æqualium suorum consuetudine gaudens, æquo ferebat animo, neque fratri aduersabatur. Ac illorum hic status erat. Sclerus autem, Barda mortuo, uinculis solutus, à priore instituto non recedebat, regnum properè affectaturus. Sed ab imperatore per literas monitus, ut tandem omissa desperatione, continenti bellorum autor esse desineret, neque terram sanguine pollueret, eoq; Christianorum: cum & senectute iam affligeretur, & spem non optimam foueret, per pactiones ad illum se confert: qui cum in Regio tabernaculo sedens Sclerum pedite accedere uideret, utrinq; suffultum, cùm ob senium, tum ob molem corporis (grandis enim erat) celebratum illud dixisse fertur: Quem timuerit, eum ad se manu duci. Alij

Basilij cubicularij calamitas & interitus.

Basilius luxu repulso rebus gerendis adijcit animum.

Sclerus cū Basilio redit in gratiā.

Alij Sclerum in illo accessu ad imperatorem usum amisisse ferunt, eaque de causa ductoribus fuisse usum. Cum prope tabernaculum uenisset, Imperator animaduersis puniceis in eo calceis (nam cætera insignia regia deposuerat, calceis solis siue per obliuionem, siue per incogitantiam retentis) statim auertit oculos, neque cũ eo nisi habitu priuati, colloqui sustinuit. Cum igitur ante tabernaculum inuidiosos illos calceos abiecisset, ingresso Imperator assurrexit, porrectaque dextera, collocutus, & eadem uterque mensa usus est, atque ex eodem calice biberunt. Hoc modo sopita Scleri tyrannide, ipse curator palatij est designatus, & quem quisque adiutorum eius dignitatis & potestatis gradum, quas'ue possessiones ab illo regnante acceperat, ea retinere licuit. Imperator curis defectionum leuatus, in Thraciam abijt, & Thessalonicam accessit, ut celebri martyri gratias ageret, ibique uiro illustri cum magnis copijs, duce relicto ad excursiones Samuelis coërcendas, Byzantium regreditur. Inde in Iberiam proficiscitur, Dauide Curatore palatij mortuo, à quo eius ditionis hæres institutus fuerat, quam ille tenuerat. Ibi relicta sibi ditione occupata, cum Georgiũ Dauidis fratrem interioris Iberiæ principem compescuisset, ut suis finibus contentus esset, filio eius obside accepto: Phœniciam adijt, & principẽ Tripolitanũ, Damascenum, Tyrium & Berytium, qui conspiratione inita, Daphneæ Antiochiæ agrum incursionibus uexabant, coërcuit, & Romanis seruire coëgit, acceptisque ab his etiam obsidibus, domum redijt. Interea Nicolao Chrysobergo, cum pontificatũ annos XII & VIII menses ornasset, defuncto, Sisinnius Magister uir ab ineunte ætate in literis uersatus, Patriarcha designatur: quo & ipso eum trienniũ ecclesiam rexisset, mortuo, Sergius Patriarcha eligitur, qui Manuelis monasterio præerat, Patriarchę Photio genere coniunctus. Cum autem Samuel Bulgarorum princeps non Thraciã tantum & Macedoniã, sed Græciam ipsamque Peloponesum popularetur: Imperator Magistrum Nicephorum Uranum prætorem Occidentis ablegat, qui, cũ Samuel ad Sperchiũ fluuium tentoria fixisset, in opposita continente castra posuit. Quia uero flumen crebris pluuijs auctum ultra ripas sese effuderat: Samuel Romanorum aggresionem minimè uerebatur. Cum autem Uranus noctu, quodam in loco uadum peruestigasset, ea tacitè traducto exercitu, Samuelẽ securũ subitò inuadit, ac Barbari, re inexpectata attoniti, ne armis quidẽ contrà illatis cadunt. Vulneratus est & Samuel unà cum filio, & ambo capti essent, nisi inter cadauera occultati, clàm aufugissent. Post hæc ipse Imperator bellum intulit Bulgaris, & quibusdam Sardicæ castellis expugnatis, Mosynopolim rediit,

Expeditio Iberica & Phœnicia.

Nicolaus Chrysobergus, Sisinnius et Sergius Patriarchæ.

Nicephori Urani Bulgarica uictoria.

οἱ δ' ἀκριβέστερα ἀπαγγέλλειν φασὶ τὸν Σκληρὸν ἐν τῷ ἀπιέναι πρὸς τὸν αὐτοκράτορα, καὶ διὰ τοῦτο χειραγωγεῖσθαι. ἐγγίσαντος δὲ τοῦ ἀνδρὸς τῇ σκηνῇ, κατανοήσας ὁ βασιλεὺς ἐπὶ τοῖς ποσὶν αὐτοῦ ὑποδεδεμένους ὑποδήμασι φοινικοῖς (τὰ μὲν γὰρ ἄλλα τῆς βασιλείας γνωρίσματα ὁ Σκληρὸς ἀπεδύσατο, τὰ δέ γε πέδιλα οὐκ ἀπέθετο, ἢ γὰρ λαθὼν ἢ οὐκ ἐννοήσας) ἀπέστρεψε τοὺς ὀφθαλμούς, μὴ ἄλλως αὐτῷ ἐντυχεῖν αἰσχυνόμενος, εἰ μὴ ἐν ἰδιώτου στολῇ. ὁ δὲ πρὸ τῆς σκηνῆς ἐκρίψας τὰ ἐπίφθονα πέδιλα, οὕτως εἰσῆλθε πρὸς αὐτόν, καὶ ὁ βασιλεὺς ἐξανέστη καὶ τὸν ἄνδρα ἐδεξιώσατο, καὶ ὡμιλησάτην ἀλλήλοιν, καὶ ἐκοινώνησαν τραπέζης, καὶ ἔπιον ἐκ τῆς αὐτῆς κύλικος. τοῦτον μὲν οὖν τὸν τρόπον ἡ τοῦ Σκληροῦ τυραννὶς καταλέλυται, αὐτοῦ μὲν κουροπαλάτου τιμηθέντος, τῶν δὲ συναραμένων αὐτῷ παραχωρηθέντων ἔχειν ὅ τι ἕκαστος ἐξ ἐκείνου τυραννοῦντος εἰλήφει, εἴτ' ἐν ἀξίαις ἦν, εἴτ' ἐν ἀρχαῖς, εἴτε μέντοι ἐν κτήσεσιν. ὁ δὲ βασιλεὺς τὰς τῶν ἀποστασιῶν φροντίδας ἀποφορτισάμενος, ἐπὶ τὴν Θρᾴκην ᾔει, καὶ εἰς Θεσσαλονίκην ἐφοίτησε, τῷ πολυωνύμῳ μάρτυρι ἀνθομολογούμενος, καταλείψας δ' ἐκεῖ στρατάρχην τῶν ἐπισήμων μετὰ βαρείας δυνάμεως, ἵνα κωλύῃ τὰς τοῦ Σαμουὴλ ἐκδρομάς. ἐπάνεισι πρὸς τὸ Βυζάντιον, καὶ εἰς Ἰβηρίαν ἄπεισι, κληρονόμος καταλειφθεὶς παρὰ τοῦ κουροπαλάτου Δαβὶδ θανόντος, τῆς ἐκείνου διαφερούσης ἀρχῆς. ἐκεῖ τοίνυν γεγονώς, καὶ τῆς καταλειφθείσης αὐτῷ χώρας ἐπιλαβόμενος, καὶ τὸν τοῦ Δαβὶδ ἀδελφὸν τὸν Γεώργιον τῆς ἐνδοτέρας Ἰβηρίας ἡγεμονεύοντα παρασκευάσας ἡσυχίαν ἄγειν καὶ τοῖς ἰδίοις ἀρκεῖσθαι, καὶ ὅμηρον τὸν ἐκείνου παῖδα λαβών, ἐπὶ Φοινίκην ἐχώρησε, καὶ τόν τε τῆς Τριπόλεως ἄρχοντα καὶ τὸν τῆς Δαμασκοῦ, καὶ τὸν τῆς Τύρου καὶ Βηρυτοῦ, κατὰ συνθήκας τῇ πρὸς τῇ Δάφνῃ Ἀντιοχείας ἐπιόντας, καὶ κακοῦντας τὰ ὑπ' αὐτήν, ἀνέστειλε, καὶ δουλεύειν Ῥωμαίοις τούτους ἠνάγκασε, καὶ ὁμήρους κἀκ τούτων λαβών, ἐπανέζευξεν. ἀλλὰ ταῦτα μὲν οὕτω. τοῦ δὲ πατριάρχου Νικολάου τοῦ Χρυσοβέργη ἐπ' ἔτεσι δυοκαίδεκα καὶ μησὶν ὀκτὼ τῇ ἀρχιερωσύνῃ ἐνδιαπρέψαντος, εἶτα τὸν βίον ἐκλελοιπότος, ὁ μάγιστρος Σισίννιος, ἀνὴρ λόγοις ἐντεθραμμένος, προχειρίζεται πατριάρχης. καὶ τούτου δὲ ἐπὶ τρισὶν ἐνιαυτοῖς τὴν ἐκκλησίαν ἰθύναντος καὶ θανόντος, Σέργιος ἐκχειροτονεῖται πατριάρχης, ὃς καθηγεῖτο μὲν τῆς τοῦ Μανουὴλ μονῆς, τῷ πατριάρχῃ δὲ Φωτίῳ κατὰ γένος προσήκων ἐτύγχανε. τοῦ Σαμουὴλ δὲ τοῦ τῶν Βουλγάρων ἄρχοντος οὐ τὰ Θρᾳκῷα μόνον οὐδὲ τὰ Μακεδόνων μόνα ληϊζομένου, ἀλλὰ καὶ τὴν Ἑλλάδα καὶ αὐτὴν δέ γε τὴν Πελοπόννησον, τὸν μάγιστρον Νικηφόρον τὸν Οὐρανὸν ἐκπέμπει ὁ βασιλεὺς τῆς δύσεως ἄρχοντα, ὃς παρὰ τῷ Σπερχειῷ ποταμῷ τοῦ Σαμουὴλ κατασκηνωσαμένου, παρὰ τῷ ἀντιπέρας ἠπείρῳ ηὐλίσατο. ὄντων δ' ὑετῶν τότε πολλῶν, καὶ ὁ ποταμὸς ἐπὶ βάθει ἄπλωτος ἦν. ἀνέλπιστος ἐδόκει τῷ Σαμουὴλ ἡ κατ' αὐτοῦ τῶν Ῥωμαίων ἐπέλευσις. ὁ Οὐρανὸς δὲ νυκτὸς ἀνερευνήσας, καὶ κατά τινα τόπον βατὸν καταμαθὼν τὸν ποταμόν, διαβαίνει τοῦτον ἡσύχως μετὰ τῆς στρατιᾶς, καὶ ἀφροντιστοῦσιν αἰφνίδιον ἐμβάλλει τοῖς περὶ τὸν Σαμουήλ, καὶ τῷ ἀδοκήτῳ καταπλαγέντες οἱ βάρβαροι ἔπιπτον, μηδὲ χεῖρας ἀνταίροντες. καὶ τῷ Σαμουὴλ δὲ καὶ τῷ ἐκείνου υἱῷ ῥωμαϊκαὶ πληγαὶ ἐπηνέχθησαν, καὶ ἑάλωσαν ἄν, εἰ μὴ τοῖς νεκροῖς συναναμιχθέντες ἔκειντο, καὶ οὕτω λαθόντες διέφυγον. εἶτα καὶ ὁ βασιλεὺς ἐπεστράτευσε κατὰ τῶν Βουλγάρων, καὶ τῶν ἐν Σαρδικῇ φρουρίων κατακρατησάμενος ἔνια, ἐπανῆλθεν εἰς Μοσυνούπολιν.

ἀλλὰ δ'

εἷλε δὲ καὶ τὴν μεγάλην Περσθλάβαν καὶ τὴν μικρὰν καὶ τὴν Πλίσκοβαν διὰ στρατηγῶν. καὶ ἡ Βέῤῥοια δὲ παρεδόθη αὐτῷ παρὰ τοῦ Δοβρομηροῦ, προσχωρήσαντος τοῖς Ῥωμαίοις. τὰ μέντοι Σέρβια πολιορκίᾳ ἑάλω, καὶ ὁ τὴν αὐτῶν φυλακὴν ἐμπεπιστευμένος Νικόλαος, ὃν Νικολιτζὰν ὑποκορίζοντες ὡς βραχὺν τὴν ἡλικίαν ὠνόμαζον, ὃς καίτοι πατρίκιος τιμηθεὶς ἀπέδρα πάλιν, καὶ πρὸς τὸν Σαμουὴλ ἀπελήλυθεν. εἶτ' αὖθις κατὰ τῆς Βιδίνης ὁ βασιλεὺς ἐπεστράτευσε, καὶ τὴν πόλιν αἱρεῖ. ἐν ὅσῳ δὲ ταύτην ἐπολιόρκει ὁ βασιλεύς, ἐπεισιν ὁ Σαμουὴλ τῇ Ἀδριανουπόλει ἀθρόον, καὶ πανηγύρεως ἐκεῖ τελουμένης, τάς τε ἐμπορίας λείαν πεποίηται, καὶ αἰχμαλώτων πλῆθος λαβὼν, ὑπενόστησε. τὴν Βιδίνην δὲ ὑφ' ἑαυτὸν ὁ βασιλεὺς ποιησάμενος καὶ ἐπανερχόμενος, κατέλαβε παρὰ τὸν Ἀξιὸν ποταμὸν τὸν Σαμουὴλ αὐλιζόμενον. ὁ Βαρδάριος οὗτος παρὰ τοῖς παλαιοῖς ὀνομάζεται. πολλοῦ δὲ τοῦ ποταμοῦ ῥέοντος, ἀμελῶς οἱ βάρβαροι κατεσκήνωσαν. οὐ γὰρ αὐτοῖς δυνήσεσθαι διαβῆναι τὸν ποταμὸν ἤλπιζον τὸ Ῥωμαϊκὸν σύνταγμα. πόρου δὲ γνωσθέντος δι' αὐτοῦ ὁ βασιλεὺς διέβη καὶ τὸ στρατόπεδον, καὶ πολλοὶ μὲν τῶν Βουλγάρων ἀπώλοντο, ὁ δὲ Σαμουὴλ διέδρα, τῶν τε σκηνῶν καὶ τῆς παρεμβολῆς ἁπάσης διαρπαγείσης. καὶ τὴν πόλιν δὲ τῶν Σκοπίων ὁ βασιλεὺς παρέλαβεν, ἐνδόντος αὐτῷ τοῦ Ῥωμανοῦ τοῦ υἱοῦ Πέτρου τοῦ ἄρξαντος τῶν Βουλγάρων, ᾧ ταύτης φυλακὴ παρὰ τοῦ Σαμουὴλ ἐμπεπίστευτο. ἔπειτα εἰς τὴν Κωνσταντίνου ἐπανελθὼν, ἐδογμάτισε τὰς τῶν ἀπόρων συντελείας εἰσπράττεσθαι ἐκ τῶν δυνατῶν, ὅπερ ἐκλήθη ἀλληλέγγυον. πολλῶν δὲ περὶ τούτου δεηθέντων, καὶ αὐτοῦ τοῦ πατριάρχου Σεργίου, ὡς ἂν ἡ ἄδικος αὕτη χαλάσοι καὶ παράλογος εἴσπραξις, ἦν ὁ βασιλεὺς ἀμετάπειστος. τῷ χρόνῳ γὰρ καὶ ταῖς νίκαις ἁπάντων κατεπαρθεὶς, ὑπερόπτης πρὸς πάντας ἐδείκνυτο, καὶ οὐκ εὐνοεῖν αὐτῷ, φοβεῖσθαι δ' ἐβούλετο τὸ ὑπήκοον. καὶ τό, τε στρατιωτικὸν τό, τε πολιτικὸν οὐ πρὸς τὸ κρατῆσαν ἔθος, ὃ καὶ νόμου δύναμιν οἱ νομοθέται τεθείκασι, διεξάγειν ἤθελεν, ἀλλὰ πρὸς τὴν οἰκείαν κρίσιν καὶ τὸ θέλημα ἑαυτοῦ. διὸ οὐδὲ τῶν λογίων ἀνδρῶν ἐπεστρέφετο, ἀλλὰ καὶ τοὺς λόγους ἡγεῖτο περιττόν τι χρῆμα καὶ οὐκ ὀνήσιμον, ὅθεν ἄνδρας ἐκλεξάμενος ἑαυτῷ ἔτι τῷ γένει, ἔτι μέντοι γε λόγῳ τὸ ἐπίσημον ἔχοντας, ἐκείνοις τάς τε βασιλείους ἐπιστολὰς ἐνεχείριζε, καὶ ἐκοινώνει τῶν βουλευμάτων, καὶ αὐτὸς ἐκείνοις ἀφελῶς τὰς γραφὰς ὡς ἔτυχεν ὑπηγόρευεν. ἀλλὰ καὶ τοῖς ταμείοις ἀποφράξας τὰς διεξόδους, χρημάτων ταῦτα πλήρη πεποίηκε. φασὶ γοῦν ὡς εἴκοσι μυριάδας ταλάντων χρυσοῦ ἐναποτεθησαυρίσθαι αὐτῷ. τὸν γὰρ ἄλλον χρηματισμὸν οὐκ ἄν τις ὑπ' ἀριθμὸν δυνήσαιτο ἀγαγεῖν, ὡς τῶν ταμείων αὐτοῦ πληρωθέντων, ὑπὸ γῆν τὰ λοιπὰ ἐθησαύριζεν, ἕλικας ὀρύξας λαβυρινθώδεις, καὶ ὑπερχειλῆ μὲν ἦσαν λίθων πολυτελῶν, τῶν τε ἄλλων καὶ τῶν λευκῶν οὓς ἰδιαζούσῃ κλήσει οἱ μαργάρους τὰ κιβώτια. τούτοις δὲ εἰς χρῆσιν οὐκ ἦσαν, ἀλλὰ βραχέσι τισὶν αὐτῷ τὴν πορφυρᾶν ἀντικόσμουν, ἵν' εἶχε τοὐπίσημον, ὅπερ ἐν προόδοις ἐκέχρητο, καὶ ὅτε ἐχρημάτιζε πρέσβεσι, καὶ ὅτε τινὰ ἄλλην δημοτελῆ ἐτέλει πανήγυριν. οἱ δ' ἄλλοι τοῖς ταμείοις ἐναποκείμενοι ἄχθος ἦσαν ἐτώσιον. ἦν δ' ἐν τοῖς τοῦ πολέμου καιροῖς ποικίλος τις, καὶ τῇ γνώμῃ πρὸς τὸ ὑπὸ χεῖρα πολυειδής, ἐν δὲ ἠρεμίαις καὶ εἰρηνικαῖς καταστάσεσιν ἀρχικώτερος, καὶ τὰς ὀργὰς ἐταμίευε, καὶ ταύτας συνεῖχε παρ' ἑαυτῷ. ἐδημοσίευεν ἐν καιροῖς, καὶ ἀνταπεδίδου τοῖς ἁμαρτήσασιν.

ὅτι ὁ Βασί-λειος ἐδογμά-τισεν. [illegible] χρήματα, καὶ [illegible] ἐθησαύρισεν.

Sed & magnam & paruam Persthlabam & Pliscobam per duces cepit. Et et Berrœa per Dobromerum, qui ad Romanos se contulerat, tradita. Serbia uerò expugnata sunt, & Nicolaus quem per diminutionem ob staturæ breuitatem Nicolizam uocabant, cuius ea custodiæ tradita erant, captus: qui quamuis Patricij dignitate ornatus esset, tamen aufugit, atq; ad Samuelem rediit. Deinde Imperator Budinam expugnat, quam dum obsidet, Samuel Adrianopolim subitò inuadit, cum Iudorum celebritas extra mœnia agitaretur, mercibusq; direptis, ac plurimis captis recedit, quem Imperator Budina capta rediens ad Axium fluuium (Bardarius olim sic dictus est) statiua habentem deprehendit. Is cum exundaret, Barbari castra negligenter tuebantur. Neq; enim Romanas legiones eum transituras putabant Sed uado ab Imperatore indagato, traductoq; exercitu, multis Bulgaris cæsis, Samelis tentorium & castra uniuersa direpta sunt, Samuel ipse aufugit. Sed & Scopiarum urbem accepit Imperator, à Romano, Petri Bulgarorum olim principis, filio traditam, cui eius custodia à Samuele commissa fuerat. Posthæc Constantinopolim reuersus, decreuit tributum pauperum, qui perijssent à locupletibus, exigendum esse, quod Allelengyum uocabatur. Etsi autem multi atque ipse Patriarcha Sergius deprecabantur, ut iniqua illa & inusitata exactio tolleretur: tamen Imperator à proposito non recedebat. Nam tempore ac tot uictorijs elatus, insolentem se erga omnes præbuit: ac subditis formidabilis quàm charus esse maluit: neq; ciues, neq; milites pro recepta cõsuetudine, quam & legislatores instar legis habere pronunciant, sed suo iudicio & arbitratu tractare uoluit. Proinde nullã doctorum uirorum rationem habuit, ipsamq; doctrinam, rem inutilem & superuacaneam iudicans: uiros neque genere nec eruditione claros, & ab epistolis & à consilijs habuit, quibus literas simpliciter, nullaq; cum cura dictauit. Sed & fiscum obstructis foribus pecunia refersit. Fertur enim ducenta millia talentûm auri in thesauris habuisse. Nam alterius pecuniæ nullus miri numerus potest, adeò ut conclauibus repletis, eam terræ mandarit, anfractibus instar labyrinthorum effossis: sed & cistellæ plenæ erant gemmis cùm alijs tum candidis illis, quæ peculiari nomine margaritæ dicuntur. Neque uerò ijs utebatur, paucis exceptis, ad insignia, purpuræ exornanda: qua, cum prodibat, aut Legatis respondebat, aut alias publicas festiuitates celebrabat, utebatur. Reliquæ, in conclauibus inutile pondus iacebant. Belli temporibus ingenio fuit uario & multiplici. Rebus tranquillis & pacatis uehementior. Iram dissimulabat, apud sese suppressam per occasionẽ proferens, delinquẽtibus uicẽ reddebat, cumq;

Nicolizas.

Budina Adrianopolis.

Axius siue Bardarius.

Scopia.

Basilij auaritia, mores & dictus Allelegyũ.

cumque pertinaci esset ingenio, decreta sua nō facilè immutabat. Quare si quibus iratus erat, ijs non facilè placabatur. Atque hæc ad declarandos Imperatoris mores dicta sint. Nunc ad res sub eo gestas ordine referendas oratio redeat. Ægypti princeps soluto Romano fœdere, & Hierosolymitanum templum, in quo Christi sepulchrum est, & illius loci monasteria destruxit. At Imperator Bulgariam crebris impreßionibus uastabat & urebat, cui cum Samuel acie resistere non posset, operam dabat, ut aditus regni occluderet, & angustias locorum castellis & præsidijs occuparet. Imperator autem reuersus, magnaque ui penetrare aggressus, etsi uirtute præsidiariorum repulsus: tamen cœptis non destitit, sed permansit, subinde castellum tentans, uno ex ducibus eum sua legione misso, an uspiam alibi per ambages ingressum aperire posset. Is per montes multasque difficultates Bulgaris deceptis ingressus, à tergo in præsidiarios irruit, qui re subita perterriti, non iam de munitione tuenda, sed de interitu uitando laborabant. Ibi Romanus exercitus nemine prohibente rupta munitione transit, hostesque persequens, multos occidit, plures capit, Samuele uix elapso. Imperator captiuis omnibus qui circiter quindecim millia erant, oculos effodit, singulis centurijs uno monoculo duce relicto, eosque sic ad suum ducem abire iubet. Quibus ille uisis, atrocitatem rei non ferens, oborta uertigine uiribusque destitutus humi procidit, ac parum recreatus, ex cardiogmo interit, principatu Bulgarorum in Gabrielem filium, qui & Romanus dicebatur, translato: quem nondum anno elapso frater patruelis, Aaronis filius Bladisthlabus Ioannes (binominis enim & hic erat) occidit. Imperator uerò castello angustiarum, ut diximus, superato, cum alia firma præsidia unà cum defensoribus cepisset, Mosynopolim pergebat. Vbi nuncio de Samuelis interitu accepto, Bulgarica oppida & præsidia expugnabat. At Samuelis filius Romanus Gabriel (necdum enim cęsus erat) per legatos Imperatori seruitutem pollicebatur, & tempore aliquanto interposito, Ioannis Bladisthlabi minister adest, cædem Gabrielis ab hero suo factam nuncians, alijque multi ex illustribus Bulgaris ad Imperatorem confluunt. qui cum intellexisset, aliud agitare animo Bladisthlabum quā promisisset, iterū impreßione in Bulgariā facta, longè lateque prædas egit, & Aehrida urbe regia Bulgarorum expugnata, alijsque castellis per duces suos captis, Constantinopolim regreditur. Sed rursus bello illato Barbaris illis, & castellis occupatis, Bulgaros complures partim interfecit, partim cepit. Quorum princeps Ioannes Bladisthlabus, dum Dyrrachiū obsidet, cadit, cum genti bienniū & quinque menses præfuisset. Quo Imperator intellecto statim egredit, cui

Hierosolymorum clades.

Basilij crudelitas in Bulgaros.

Samuelis et Gabrielis interitus.

Basilius tota Bulgaria potitur.

ἦν δὲ τὴν γνώμην στεῤῥὸς, οὐ ῥᾳδίως ἀλλοιῶν τὰ δόξαντα. διὸ καὶ πρὸς ὃν ἂν ἐτύγχανε μήνιμά τι ἔχων, οὐ ταχὺ μετήλλαττε τὸ ἦθος αὐτοῦ. ἀλλὰ ταῦτα μὲν παραστατικὰ τοῦ ἤθους τούτου τοῦ αὐτοκράτορος, ἡ δ' ἱστορία ἐχέσθω τῶν ἐπ' αὐτοῦ πεπραγμένων, καὶ διηγείσθω τὰ ἐφεξῆς. ὁ τῆς Αἰγύπτου κατάρχων τὰς πρὸς Ῥωμαίους λύσας σπονδὰς, τόν τε ἐν Ἱεροσολύμοις ναὸν, ἐν ᾧ τὸ τοῦ κυρίου μνῆμα, κατέστρεψε, καὶ τὰ ἐκεῖ μοναστήρια. ὁ δὲ βασιλεὺς συνεχῶς τῇ Βουλγαρίᾳ προσβάλλων, ἐκάκου ταύτην καὶ ἐκεράϊζε. μὴ δυνάμενος δ' ἄλλως ὁ Σαμουὴλ ἀντιπαρατάξασθαι ἐπὶ τῷ Ῥωμαίων στρατεύματι, τάφροις τὰς εἰσόδους ἀποκλεῖσαι αὐτῷ ἐπεχείρησε, τὰς δυσχωρίας ἀποφράξας οἰκοδομαῖς καὶ φύλακας ἐπιστήσας αὐταῖς. ἧκεν οὖν ὁ βασιλεὺς αὖθις, καὶ ἐβιάζετο μὲν τὴν πάροδον, ἀπεκρούετο δὲ τῶν φυλάκων ἀνθισταμένων ἐῤῥωμενέστερον. πλὴν οὐκ ἀπέστη τῆς ἐγχειρήσεως, ἀλλ' αὐτὸς μὲν προσέμενε πειρώμενος τοῦ ἐρύματος, ἐκπέμπει δὲ τῶν στρατηγῶν ἕνα μετὰ τοῦ ὑπ' αὐτὸν τάγματος ἑτέρωθί πουθεν εἰ δύναιτο περιελθεῖν, καὶ μηχανήσασθαί τι πρὸς τὴν διάδυσιν. ὁ δὲ δι' ὀρῶν καὶ δυσχωριῶν πολλῶν διελθὼν, καὶ λαθὼν τοὺς Βουλγάρους, ἐμπίπτει κατὰ νώτου τοῖς τὸ ἔρυμα φυλάσσουσιν, οἳ ἐπ' ἀδοκήτῳ πληγέντες, οὐκέτι περὶ φυλακῆς ἐφρόντιζον τοῦ φραγμοῦ, ἀλλ' ὅπως αὐτοὶ τὸν ὄλεθρον φυλάξωνται πολὺ πλέον ἐπόθουν. τότε δὴ ἀδείας τὸ Ῥωμαϊκὸν δραξάμενον στράτευμα, ῥήγνυσι τὸν φραγμόν. καὶ διώκει καὶ διώκει, καὶ πολλοὺς μὲν ἀναιρεῖ, πλείονας δέ γε ζωγρεῖ, μόλις διαδράντος αὐτοῦ τοῦ Σαμουήλ. ὁ γοῦν βασιλεὺς τοῖς δορυαλώτοις εἰς πεντεκαίδεκα χιλιάδας ἀριθμουμένοις, ἐξώρυξε πᾶσι τὰ ὄμματα, ἐφ' ἑκάστῃ ἑκατοστύϊ ἕνα καταλιπὼν ἑτερόφθαλμον, ἵν' ᾖ τούτοις χειραγωγὸς, καὶ οὕτως αὐτοὺς ἀπιέναι κελεύσας πρὸς τὸν σφέτερον ἀρχηγόν. ὃ ἐκεῖνος ἰδὼν καὶ τὸ πάθος μὴ ἐνεγκὼν, ἰλιγγιᾷ τε καὶ εἰς γῆν λειποθυμῶν καταβάλλεται, μικρὸν δέ τι ἀνενεγκὼν, καρδιωγμῷ περιπίπτει καὶ θνήσκει. ἡ δὲ τῶν Βουλγάρων ἡγεμονία ἐπὶ υἱῷ αὐτοῦ τῷ Γαβριὴλ τῷ καὶ Ῥωμανῷ περιῆλθεν, ὃν οὔπω ἐνιαυτὸν ἄρξαντα ὁ υἱὸς τοῦ πατραδέλφου αὐτοῦ Ἀαρὼν ὁ Βλαδισθλάβος Ἰωάννης (διώνυμος γὰρ καὶ οὗτος ἦν) ἀπέκτεινε. διελθὼν δὲ τὸ ἐν ταῖς δυσχωρίαις ἔρυμα ὁ αὐτοκράτωρ, ὡς εἴρηται, ἄλλα τε φρούρια ἐχειρώσατο ἐρυμνὰ καὶ σὺν αὐτοῖς Βουλγάρους, καὶ ἧκεν εἰς Μοσυνόπολιν, ὅπου αὐτῷ ἡ τοῦ Σαμουὴλ τελευτὴ ἀπηγγέλθη. ἄρας οὖν αὐτίκα προσβάλλει τῇ Βουλγαρίᾳ, καὶ πόλεις τε αὐτῆς αἱρεῖ καὶ φρούρια. ὁ δέ γε τοῦ Σαμουὴλ υἱὸς ὁ Ῥωμανὸς καὶ Γαβριὴλ (οὔπω γὰρ ἀνῄρητο), πέμψας πρὸς τὸν βασιλέα δούλωσιν ὑπισχνεῖτο. μετὰ δέ τινα καιρὸν τοῦ δὲ Γαβριὴλ ἀνελόντος Ἰωάννου τοῦ Βλαδισθλάβου θεράπων ἀφίκετο, διαγγελλόμενος τὴν ἀναίρεσιν τοῦ υἱοῦ τοῦ Σαμουὴλ, καὶ γράμματα κομίζων, ἐπαγγελλόμενα ἐπὶ βασιλεῖ δούλωσιν, προσεῤῥύησαν δὲ αὐτῷ καὶ πολλοὶ τῶν ἐπισήμων παρὰ Βουλγάροις. γνοὺς μέντοι τὸν Βλαδισθλάβον ὁ βασιλεὺς ἄλλα παρὰ τὰς ἐπαγγελίας διανοούμενον, ἐπῆλθεν αὖθις τῇ Βουλγαρίᾳ, καὶ πολλὰς μὲν αὐτῆς ἐληΐσατο χώρας, τὴν δὲ Ἀχρίδα πόλιν, ἐν ᾗ τὰ βασίλεια τοῖς τῶν Βουλγάρων ἀρχηγοῖς ᾠκοδόμηντο, πολιορκίᾳ λαβὼν καὶ ἕτερα φρούρια διὰ στρατηγῶν, ἐπανέζευξεν εἰς τὴν Κωνσταντίνου. καὶ αὖθις δὲ κατὰ Βουλγάρων ἐστράτευσε, καὶ αὖθις φρούριά τε καὶ πολλοὺς τῶν βαρβάρων τοὺς μὲν διέφθειρε, τοὺς δὲ συνέλαβε ζῶντας. ὁ δὲ τῶν Βουλγάρων ἄρχων ὁ Ἰωάννης καὶ Βλαδισθλάβος ἐπὶ τὸ Δυῤῥάχιον ἐξορμήσας, καὶ πολιορκῶν αὐτὸ πίπτει, ἄρξας ἔτη δύο καὶ μῆνας πέντε. ὃ μαθὼν ὁ βασιλεὺς, εὐθὺς ἔξεισι, καὶ πρὸς τὴν Ἀχρι-

ὅτι οἱ Ἀγαρηνοὶ τὸν ἐν Ἱεροσολύμοις κατέλυσαν ναόν.

ἐκάκου Βουλγαρίαν ἐνδελεχῶς ὁ βασιλεὺς Βασίλειος.

[illegible]

ὅτι ὁ Σαμουὴλ [illegible]

ὅτι πολλοὶ τῶν ἐπισήμων Βουλγάρων προσεῤῥύησαν τῷ βασιλεῖ.

ὅτι καὶ αὖθις ὁ βασιλεὺς ἐστράτευσε κατὰ Βουλγάρων [illegible]

τὴν Ἀδριανούπολιν γενομένῳ προσίασιν αὐτῷ τῶν Βουλγάρων ἐπιφανεῖς τινες, παραδιδόντες αὐτῷ τὸ Περνίκον, καὶ ἕτερα φρούρια τριάκοντα ἐπὶ πέντε, καὶ ἄλλοι δὲ τῶν βαρβάρων πλεῖστοι αὐτῷ προσεχώρησαν. καὶ ἡ γυνὴ δὲ τοῦ Ἰωάννου καὶ Βλαδισθλάβου Μαρία ἔπεμψε πρὸς τὸν βασιλέα τὸν ἀρχιεπίσκοπον Βουλγαρίας Δαβὶδ μετὰ γραμμάτων ὑπισχνουμένη ἐκστῆναι τῆς Βουλγαρίας, εἰ, ὧν περ βούλεται, τεύξεται. καὶ μετὰ μικρὸν ἧκεν ἡ γυνὴ πρὸς τὸν αὐτοκράτορα, υἱοὺς ἐπαγομένη τρεῖς καὶ θυγατέρας ἓξ. ἕτεροι δὲ τρεῖς ταύτης υἱοὶ φυγάδες ἐγένοντο ἐν τοῖς ὄρεσιν, ἀλλὰ κἀκεῖνοι τῶν ὀρῶν φυλαττομένων ἐκπολιορκηθέντες προσῆλθον τῷ βασιλεῖ, ὧν ὁ πρεσβύτερος Προυσιάνος καὶ ἄμφω οἱ ἀδελφοὶ αὐτοῦ, ὧν τὸν μὲν Προυσιάνον ἐτίμησε μάγιστρον, πατρικίους δὲ τοὺς λοιπούς. ὑφ' ἑαυτὸν δὲ τὴν ἅπασαν Βουλγαρίαν πεποιηκώς, καὶ τὰ μὲν τῶν φρουρίων κατεστρεψάμενος, τὰ δὲ κατοχυρώσας, καὶ φρουρὰς αὐτοῖς ἀρκούσας καταλιπών, αὐτὸς εἰς Ἀθήνας ἀφίκετο, δώσων τῇ θεοτόκῳ τὰ χαριστήρια, καὶ ἀναθέμενος τῷ ναῷ πολλὰ καὶ πολυτελῆ, ἐπανέζευξεν εἰς τὴν ὑπερκειμένην τῶν πόλεων, καὶ κατήγαγε θρίαμβον, ἐπὶ κεφαλῆς τιάραν ὀρθίαν, ἣν τούφαν καλεῖ ὁ δημώδης καὶ πολὺς ἄνθρωπος, τύφον οἶμαι ὀνομασμένην, ὡς τὸν τῦφον ἐμποιοῦσαν τοῖς ταύτην ἀναδουμένοις. καὶ οὕτως ἄχρι τοῦ τῆς τοῦ θεοῦ λόγου σοφίας ἀφίκετο, ἀποδώσων καὶ ταύτῃ τῷ κυρίῳ τὰ χαριστήρια. ἔνθα γενόμενος ὁ πατριάρχης πολλὰ ἱκετεύσας ἐκκόψαι τὸ ἀλληλέγγυον, οὐ κατέπεισεν, καὶ ταῦτα ὑποσχόμενον τοῦτο ποιήσειν, εἰ τῶν Βουλγάρων κρατήσειεν. οὗτος ὁ πατριάρχης Σέργιος τὴν ἐκκλησίαν ἐπὶ εἴκοσι ποιμάνας ἔτη, μετήλλαξε τὴν ζωήν, καὶ προχειρίζεται τῆς Κωνσταντινουπόλεως ἐκκλησίας ἀρχιερεὺς Εὐστάθιος, ὃς τῶν τοῦ ἐν παλατίῳ ναοῦ ἱερέων ἐπρώτευε. τῆς Βουλγαρίας δὲ δεδουλωμένης τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ, καὶ τὸ τῶν Χρωβάτων ἔθνος ἀπείκασεν, ἀλλὰ μὴν καὶ τὸ Σίρμιον. ἐπὶ τὴν Ἀβασγίαν ἐπεστράτευσεν ὁ βασιλεύς, τοῦ ταύτης κρατοῦντος παρασπονδήσαντος. ἐκεῖ δὲ τούτου γεγονότος, ὄπισθεν ἀπεστάτησαν ὅ τε Ξιφίας καὶ Νικηφόρος ὁ υἱὸς Βάρδα τοῦ Φωκᾶ, οἱ πατρίκιοι, ἀλλὰ ταχέως ἡ τούτων διελύθη ἀποστασία, τοῦ μὲν Ξιφία τὸν Φωκᾶν ἀνελόντος, αὐτοῦ δὲ συλληφθέντος, καὶ δεσμίου ἀπαχθέντος εἰς τὴν τῶν πόλεων βασιλεύουσαν. ἀφῆκε δὲ τὰς περὶ τῆς τυραννίδος ταύτης φροντίδας ὁ βασιλεὺς ἐκστρατευσάμενος, συρρήγνυται τοῖς Ἀβασγοῖς, καὶ μάχης ἰσχυρᾶς γενομένης, ἔπεσον πολλοὶ ἀμφοτέρωθεν, καὶ ἦν ἰσόρροπος ὁ ἀγών. εἶτ' αὖθις ἐπιτεθέντος τοῦ πολέμου νικῶσι Ῥωμαῖοι, καὶ ὁ τῶν Ἀβασγῶν ἡγεμὼν ὁ Γεώργιος εἰς τὰ τῆς Ἰβηρίας ἀπέδρα βαθύτερα, καὶ μετὰ βραχὺ σπονδὰς αἰτήσας, ἐξέστη τῷ βασιλεῖ χώρας, ὁπόσης ὁ αὐτοκράτωρ ἐβούλετο, εἰς ὁμηρείαν παρασχὼν Παγκράτιον τὸν υἱὸν αὐτοῦ, καὶ ταῦτα διανύσας ὁ βασιλεὺς ἐπανέζευξεν. ἦν δὲ διὰ μελέτης αὐτῷ καὶ πρὸς Σικελίαν ἀπᾶραι, ἀλλ' οὐκ εἰς ἔργον αὐτῷ προέβη τὸ βούλημα. ἤδη γὰρ αὐτῷ πρὸς τέλος κατήντησε τὸ βιώσιμον καὶ ἐνοσηλεύετο. πρὸ βραχέως δὲ τοῦ αὐτὸν ἐκλιπεῖν, ὁ πατριάρχης Εὐστάθιος θνήσκει, προστὰς τῆς ἐκκλησίας τῶν ὀρθοδόξων ἐπ' ἔτεσιν ὀκτώ. τοῦ βασιλέως δὲ νοσοῦντος, Ἀλέξιος ὁ τότε τὴν προστασίαν ἔχων τῆς τοῦ Στουδίου μονῆς πρὸς τὸν βασιλέα ἀφίκετο, τὴν ἱερὰν κάραν τοῦ Προδρόμου κομίζων αὐτῷ, καὶ αὐτίκα ὑπὸ τοῦ βασιλέως πατριάρχης προχειρίζεται. κατὰ τὴν ἑσπέραν ἐκείνην καὶ τὴν ζωὴν ἐκλιπών, ζήσας μὲν καὶ βασιλεύσας χρόνους ἑβδομήκοντα ἐπὶ δυσίν, αὐταρχήσας δὲ ἐπὶ πεντήκοντα, καὶ πρὸς ἔτεσι. τοὺς γὰρ ἄλλους συνεβασίλευσε τῷ πατρί, εἶτα τῷ Φωκᾷ, καὶ μετ' ἐκεῖνον τῷ Τζιμισκῇ.

ad Adrianopolim quidam illustres Bulgari se dedunt, tradito Pernico et alijs triginta quinque castellis. Sed & alij multi ex his Barbaris ad eum confluxerunt. Maria quoque Ioannis Bladisthlabi uxor, Dauide Bulgariæ Archiepiscopo cum literis ad illũ misso, se illi Bulgaria cessurã pollicita, si ea quæ uellet impetrasset, paulò post ipsa cum tribus filijs & sex filiabus aduenit. Sunt & tres eius alij filij, Prusianus cum duobus fratribus, qui in montes profugerant, præsidijs occupatos, coacti ad Imperatoris fidem se conferre: è quibus Prusianum Magistrum, cæteros patritios fecit. Vniuersa Bulgaria subacta, & castellis alijs euersis, alijs munitis, iustisque præsidijs impositis, Athenas ad exoluenda Deiparæ uota est profectus, ac dedicatis in æde eius multis preciosis donarijs, in principem urbem reuersus triumphum duxit, recta tiara ornatus, quam uulgus Tuphum uocat, à typho nimirum & superbia, quam in animis gestantium excitat: Et sic usque ad Dei uerbi Sapientiam peruenit, ibi quoque uota Domino exoluturus. Quò quum uenisset, Patriarcha multum eum obtestatus, ut Allelengyum aboleret, nihil impetrauit: quamuis pollicitus fuisset, se id Bulgaris subactis facturum. Is Patriarcha Sergius cùm Ecclesiam ad annos uiginti pauisset, mortem obijt, ac in eius locum suffectus est Eustathius, sacerdotum ædis Palatinæ princeps. Bulgaria domita, etiam Crabatarum genus, & Sirmium Romano imperio se submiserunt. Deinde in Abasgiam expeditionem suscipit, cuius princeps pacta uiolarat. Quò cùm uenisset, à tergo defecerũt Xiphias & Nicephorus, Bardæ Phocæ filius, Patricij: sed motus ille celeriter est compressus, Phoca à Xiphia interempto, & Xiphia capto, & Byzantiũ perducto. Qua cura Imperator defunctus, cum Abasgis ingreditur, ualidaque pugna cõmissa, & multis utrinque cęsis, æquo Marte discessum est. Sed altero prælio Romani uicerunt, Abasgorumque princeps Georgius in Iberiæ interiora profugit, nec multò post tantum agri cessit Imperatori, quantum is postulauit, filio Pancratio obside dato. His prosperè gestis, castra mouit, & cùm in animo haberet ire in Siciliam, consilium eius fatalis morbus interrupit. Sed paulò ante eius obitũ Eustathius Patriarcha moritur, cùm orthodoxorum Ecclesiæ annos octo præfuisset. Cùm autem Monasterij Studij gubernator Alexius, Imperatori ægrotanti sacrum caput Præcursoris attulisset, illo statim Patriarcha designato, eodem uespere mortuus est. Vixit & regnauit annos septuaginta duos, solus rerum potitus est annis quinquaginta, & amplius. Reliquo tempore collega fuit primùm patris, deinde Phocæ, ac post illum Zimiscæ.

Eustathius Sergio Patriarchæ succedit.

Crabatæ Sirmium Abasgia.

Xiphiæ & Nicephori seditio.

Eustathij Patriarchæ et Basilij obitus.

IMPERIVM CONSTANTINI fratris Basilij.

Constantini mores. BAsilio iam sene mortuo, frater Constãtinus statim suscepit imperium, illo non multo natu minor: qui cùm esset socors et dissolutus, uitæq; ociosæ & ignauæ assueuisset (neq; enim frater quicquã cum eo cõmuni sententia gesserat) etiam rerum potitus, eandem uitæ rationem tenuit, & administratione alijs mãdata, ijsq; qui nullum suæ industriæ specimen præbuerãt, hominibus non modò ignobilibus, sed ne ingenuæ quidẽ conditionis, gentilibus, indisertis, ac planè barbaris: ipse uoluptatibus indulsit, uentris & ueneris mancipiũ, insanoq; studio aleæ, theatri, uenationis occupatus. & quamuis corpore procero & robustissimo esset: tamẽ præ animi ignauia Barbarorum motus, non bellis, sed muneribus & honoribus cõpescendos statuebat. Subditos autem ob nudam suspicionẽ puniebat: calumnijs faciles præbebat aures: iracundus, sed iræ non ita tenax ut frater, ac placabilior, & si quem malè tractasset, facti pœnitens. Cùm autem multos puniret, plerisque oculos effodiebat, id supplicij ut cęteris leuius, quodque condemnatos quiescere cogeret, magis usurpans. *Constantini coniugiũ et liberi.* Ex Helena uxore, Alypij uiri illis temporibus potentissimi filia, tres filiolas adolescẽs susceperat, quas illa mortua in Regia educabat. Cæterũ Eudocia natu maxima, ultrò se Deo cõsecrarat, ob formam pestilenti morbo læsam. Reliquas nulla patria cura, Imperator factus, complectebatur. Erat ille quidem manu ad largiendũ prompta, sed cùm benignitate non rectè uteretur, in opposita liberalitati uitia impingebat. Nam in Barbaros familiares suos, mancipia quæ ipse empta castrarat, cubiculoq; curando & somno conciliando præfecerat, summos honores & magistratus conferebat, eisdemq; tota plaustra pecuniarum largiebatur: cæteris parcè admodum manum porrigebat. Ac hi mores eius fuerunt. Nunc qua fortuna fuerit, exponamus. *Pazinacæ à Diogene profligati.* Pazinacæ, quam Scythicam esse gentem suprà diximus, traiecto Istro, Bulgariæ non parua detrimenta inferebant. Verùm eos Constantinus Diogenes Sirmij præfectus, qui & Bulgariæ Dux appellatus est, ultra Istrum profligatos quiescere coegit. *Constantini acerbitas.* Quum autem Basilio mortuo (is enim tributarijs clementer spatium dabat) biennij uectigalia deberentur, & ea & eius triennij, quo ipse imperauit, tributa immisericorditer exegit, quamuis toto tempore imperij eius, pauperes malis frugibus ægrè agitarent. *Classis Agarenica deleta.* Classem Agarenorum contra Cycladas insulas missam Sami dux deuicit, duodecim nauibus unà cum uectoribus captis, reliquis dissipatis. *Romanus Argyrus Cæsar appellatur.* Imperator porrò iam prouectæ ætatis, præter senectutis tabem, etiam

ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ἀδελφοῦ τοῦ Βασιλείου.

Τέθνηκε μὲν οὖν γηραιὸς ὁ Βασίλειος, τῆς δ' ἐξουσίας εὐθὺς ὁ ἐκείνου σύγγονος ἐπελάβετο, τὸν Κωνσταντῖνόν φημι, μικρόν τι ἐκείνου κατὰ τὸν χρόνον τῆς ζωῆς ἀπολειπόμενος. ῥᾴθυμος δὲ πεφυκὼς οὗτος *(οἷος ἦν ὁ Κωνσταντῖνος καὶ τὴν διαγωγήν.)* καὶ ἀνειμένος, ὡς καὶ εἰς ἐξώλειαν βίον ἐξαπανώμενον τι καὶ ἀργὸν (οὐδὲ γὰρ ἐκοινώνει αὐτῷ Βασίλειος ὁ σύγγονος πράξεως) καὶ αὐταρχήσας τοιαύτην ἔσχε διαγωγήν, ἐπ' ἄλλοις μὲν τὴν τῶν κοινῶν διοίκησιν θέμενος, καὶ τούτοις οὐ τοῖς ἑαυτῶν ἤδη προκεχειρισμένοις δοκίμοις, ἀλλ' ἀνδράσιν οὐχ ὅτι τῶν εὖ γεγονότων, ἀλλ' οὐδ' ἐλευθέρας τύχης τυγχάνουσιν, ἐθνικοῖς δὲ καὶ μὴ δυναμένοις ὀρθοεπεῖν, ἀλλ' ἀπειρῶς βαρβαρίζουσιν. ἐκεῖνος δὲ τρυφαῖς ἐξεδεδώκει ἑαυτόν. ἥττητο γὰρ γαστρὸς καὶ ἀφροδισίων, καὶ ἐμεμήνει περὶ τοὺς κύβους τε καὶ τὰ θέατρα, ἀλλὰ μήν τοι καὶ περὶ τὰ κυνηγέσια. ἦν δ' εὐμεγέθης μὲν τὸν ὄγκον τοῦ σώματος, καὶ τὴν ἀλκὴν γενναιότατος, δειλὸς δὲ τὴν ἕξιν τῆς ψυχῆς, ὅθεν οὐδὲ πολέμοις κατευνάζειν ἐπειρᾶτο τὰς τῶν βαρβάρων ὁρμὰς, δωρεαῖς δὲ μᾶλλον καὶ ἀξιώμασι. τοὺς δ' ὑπηκόους καὶ ἐκ ψιλῆς ὑπονοίας ἐκόλαζε, καὶ διαβολαῖς ῥᾳδίως ὑπεῖχε τὰ ὦτα, καὶ πρὸς θυμὸν ὑπῆρχεν ὀξύρροπος, οὐ κατὰ τὸν ἀδελφὸν δ' ἐμμανής, οὐδ' ἐνέμενε τῇ ὀργῇ, ἀλλὰ ῥᾷον εἰς τὴν ἀντίρροπον διάθεσιν μετετίθετο, καὶ ἠνιᾶτο κακῶς τινα διαθέμενος. πολλοὺς δὲ τιμωρούμενος, τοὺς φωρὰς ἐστερημένους τοὺς πλείονας, ἐκκόπτων σβέννυσι τὰ ὄμματα, καὶ κουφοτέραν τῶν ἄλλων ταύτην τὴν κόλασιν ἡγεῖτο, καὶ ταύτῃ ἐπεχείρει μᾶλλον, ὡς ἀπράκτους ποιούσῃ τοὺς καταδικαζομένους αὐτῷ. γυναικὶ δὲ νέος ὢν συζυγεὶς Ἑλένῃ τῇ θυγατρὶ Ἀλυπίου, ἀνδρὸς τῶν ὑπὲρ λίαν τότε τυγχάνοντος, τρία δὴ ἐκ ταύτης ἔσχε θυγάτρια, καὶ τὴν μὲν ταύτας τεκοῦσαν θανάτῳ ἀποβαλών, αἱ δὲ παῖδες αὐτῷ ἐν τοῖς βασιλείοις ἀνετρέφοντο. *(περὶ τῆς γυναικὸς τοῦ βασιλέως, καὶ τῶν ἐκγόνων αὐτοῦ θυγατέρων.)* ὧν ἡ μὲν πρεσβυτέρα Εὐδοκία, λοιμικῷ τὸ κάλλος λωβηθεῖσα νοσήματι, θελήματι τῷ θεῷ καθιερώθη, αἱ δέ γε λοιπαὶ οὐδεμίαν πατρικῆς αὐταρχήσαντι μικρόν τι πρὸς αὐτοῦ περὶ πλείονος λογισαμένου. τὴν χεῖρα δ' ὢν ἐλευθέριος, οὐκ ὀρθῶς ἐχρῆτο τῇ ἀρετῇ, ὅθεν καὶ εἰς τὰς ἀντιθέτους κακίας ἐξέπιπτε. τοῖς μὲν γὰρ περὶ αὐτὸν, οἳ βάρβαροι ὄντες ἀνδράποδα, ἃ πρὸς αὐτὸς ἐκτόνισε καὶ ἐξέτεμε, καὶ θαλαμηπόλους καὶ κατευναστῆρας ἐποίει, οὓς καὶ τιμῶν καὶ ἀρχῶν τῶν πρώτων ἠξίωσεν, ἁμάξαις ὅλαις ἐχορήγει τὰ χρήματα, τοῖς δ' ἄλλοις φειδομένως ἄγαν τὴν χεῖρα προὐτείνετο. τὰ μὲν οὖν τῆς γνώμης οὕτως εἶχε τούτῳ τῷ αὐτοκράτορι. τὰ δ' ἐκτὸς συμπεσόντα δηλώσει ὁ λόγος. οἱ Πατζινάκαι (Σκύθαι δ' οὗτοι, ὡς καὶ ἔμπροσθεν εἴρηται) *(περὶ Πατζινάκων.)* διαβάντες τὸν Ἴστρον, τὴν χώραν τῆς Βουλγαρίας οὐ μικρῶς ἐλυμαίνοντο. ἀλλὰ τούτους ἀνέστειλε Κωνσταντῖνος ὁ Διογένης ὁ τοῦ Σιρμίου ἐξάρχων, ὃς καὶ δοὺξ ὠνομάσθη τῆς Βουλγαρίας, τρεψάμενός τε αὐτοὺς, καὶ ἠρεμεῖν ἠνάγκασε, τὸν Ἴστρον διαπεράσαντας. τοῦ Βασιλείου δὲ βασιλέως θανόντος, δύο ἐνιαυτῶν ὄντων φόροι ἀνείσπρακτοι *(ὅπως τῶν εἰσπράξεων ὁ βασιλεὺς φόρους ἀπῄτει πλεονεκτικῶς.)* (ἐδίδου γὰρ ἐκεῖνος ὑπερθέσεις τοῖς εἰσπράξεσι φειδόμενος τῶν ὑποτελῶν) τούτους δὴ καὶ τοὺς τῶν παρελθόντων ἐνιαυτῶν καὶ τοὺς ἐφ' οἷς αὐτὸς ἐκράτει ἀσυμπαθῶς εἰσέπραξε, καὶ τοῦτο αὐχμοῦ συμβάντος πολλοῦ ἐφ' ὅλον τὸν χρόνον τῆς βασιλείας αὐτοῦ, ὅθεν οἱ πένητες ἐξετρίβησαν. στόλον δὲ τῶν Ἀγαρηνῶν κατὰ τῶν λεγομένων Κυκλάδων νήσων ἐκπεμφθέντα ὁ τῆς Σάμου στρατηγὸς κατηγωνίσατο, δώδεκα μὲν νῆας αὐτάνδρους ἑλὼν, τὰς δὲ λοιπὰς σκεδασθῆναι πεποιηκώς. ἤδη δ' ἐν γήρᾳ ἐλάσας ὁ αὐτοκράτωρ βαθὺ, καὶ πρὸς ἐκ τούτου μαρασμῷ καὶ νόσον τινὰ συμφανῆ περὶ τὸ σῶμα τι ἐσχηκὼς

νόσον ἐσχηκὼς, περὶ τοῦ διαδεξομένου τὸ κράτος ἐσκέπτετο, [illegible] τὸν πατρίκιον Κωνσταντῖνον τὸν Δαλασσηνὸν, ὥστε μιᾷ τῶν θυγατέρων κηδεστὴν ποιήσασθαι, καὶ τῆς βασιλείας διάδοχον, καὶ στέλλει τοὺς αὐτὸν ἄξοντας, ἐν τῷ τῶν Ἀρμενιακῶν θέματι τὴν κατοικίαν ποιούμενον. ἀλλὰ μήπω τοῦ ἀνδρὸς ἐκείνου ἀφιγμένου, ἑτέρας γίνεται γνώμης ὁ Κωνσταντῖνος, καὶ ἕνα τῶν ἐν τέλει ἄνδρα εὐγενῆ τε τὰ ἐς αἷμα, καὶ ἀνηγμένον εἰς τὴν τοῦ ἐπάρχου ἀρχὴν, αἱρεῖται πρὸς τὴν διαδοχὴν καὶ πρὸς κῆδος τῶν θυγατέρων μιᾶς. ἀλλ' εἶχέ τι πρὸς ἔκβασιν ἀπορίας προσέχοντος. γυναικὶ γὰρ ὁ λαμπρὸς ἐκεῖνος συνεβίου ἀνὴρ, ἦν δὲ οὗτος ὁ Ἀργυρὸς Ῥωμανός. τί γοῦν πρὸς τοῦτο μηχανᾶται ὁ βασιλεύς; σκήπτεται κατὰ τοῦ ἀνθρώπου χόλον, καὶ τοῦτον ἐπισχεῖν τε καὶ βίαιον, καὶ στέλλει τοὺς ἐκεῖνον μετὰ κολάσεως ἀπάξοντας, τῇ δ' αὐτῷ συνοικούσῃ κείροντας τὴν θρίχα, καὶ ἐφ' ἑτέραν ζωὴν μεταστήσοντας. ἡ δὲ τὸ σκαιώρημα ἀγνοήσασα, ἑτοίμως ἑαυτὴν παρέσχε πρὸς τὴν τοῦ βίου ἀπαλλαγήν. ἡ μὲν οὖν τὴν κόμην τε ἀπετμήθη, καὶ μέλανα μετημφιάσατο. ὁ δὲ μετήχθη πρὸς τὰ βασίλεια, καὶ ἡ δευτέρα τῶν θυγατέρων τοῦ Κωνσταντίνου συζεύγνυται αὐτῷ πρὸς συμβίωσιν. ἡ γὰρ πρώτη διὰ τὸ τὴν ἐκείνου δευτέραν ἄκοιτιν διαζευχθῆναι καὶ τὸ παραιτήσασθαι τὴν μετ' αὐτοῦ συμβίωσιν λέγεται. καὶ ὁ μὲν καῖσαρ ἀναρρηθεὶς συνήρμοστο τῇ Ζωῇ. ὁ δὲ βασιλεὺς Κωνσταντῖνος τρεῖς ἐπιβιοὺς ἡμέρας τῇ συνοικήσει αὐτῆς, ἀπέλιπε τὸν βίον, ἑβδομηκοντούτης ἢ πρὸς γεγονὼς, φθινούσης δὲ τρεῖς ἑνὸς ἐνδέοντος μηνὸς, τῆς βασιλείας κατορχησάμενος.

alio morbo affectus, de successore imperij deligendo deliberãs, in animo habebat, Constantinum Dalassenũ Patricium, desponsa filia, & generum asciscere, & Imperatorẽ creare. Mittit igit, qui eum ex Armeniaca prouincia, ubi uitam agebat, accerserent: sed ante aduentum eius, mutata sententia, quendam uirum primarium nobiliq; genere ortum, & ad præfecti dignitatem euectum, tam successorem imperij quàm filiæ maritum eligit. Sed cùm res difficultatem haberet, propterea quòd illustris ille uir Romanus Argyrus uxorẽ habebat: quid machinatur? iram grauissimã & præcipitem contra hominem simulat, & satellites mittit, qui eum ad supplicium ducerent, & uxorem eius, coma tonsa, ad aliud uitæ genus transferrent. Illa simulationis ignara, mutationem eam alacri animo admittit, resectoq; capillo, nigrũ uestitum sumit. At illi in Regiam traducto, altera filia Imperatoris nubit: nã tertia, quòd prior illius uxor, inuita ab eo segregata esset, coniugium eius recusasse ferebat. Sic ille Cæsar declaratus, Zoën duxit. Constantinus uerò triduo post nuptias debitum naturæ persoluit, septuagenario maior, quum imperio tres annos uno mense dempto, insultasset.

Diuortij fraudulentum commentum.

Constantini obitus.

ΒΑΣΙΛΕΙΑ ΡΩΜΑΝΟΥ
τοῦ Ἀργυροπούλου.

Ῥωμανὸς δὲ λοιπὸν, ὃς Ἀργυρόπουλος ἐκαλεῖτο, τῶν σκήπτρων ἐπιλαμβάνεται, καὶ αὐτίκα τὸ ἀλληλέγγυον φορολόγημα ῥιζόθεν ἐξέκοψε, καὶ τοῖς τοῦ θεοῦ ὑμνῳδοῖς, τοῖς τῇ μεγάλῃ ἐκκλησίᾳ κληρωθεῖσι, τὴν ἐκ τῶν βασιλικῶν ταμιείων χορηγουμένην τῶν χρυσίνων διανομὴν προσθήκῃ ἐπηύξησεν, εἰδὼς ἐνδεῶς αὐτοῖς ἔχειν τὰ χορηγούμενα. γέγονε γάρ ποτε καὶ τοῦ θείου λόγου ἐπωνύμου σοφίας μέγας οἰκονόμος, ἐπεὶ παρὰ βασιλέως ἀνεῖτο πρόσοδος οἰκονόμους τῆς ἐκκλησίας τοιούτους προχειρίζεσθαι, καὶ τοὺς διὰ χρέα δημόσια καθειργμένους ἢ καὶ ἰδιωτικὰ, ἠλευθέρωσε, τὰ μὲν ἐκτίννυς, τὰ δὲ δημόσια ἀφιεὶς, καὶ χρημάτων πολλῶν διάδοσιν ἐποιήσατο ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου τοῦ πενθεροῦ αὐτοῦ, καὶ αἰχμαλώτους πλείστους ἐπρίατο, καὶ ὅσοι τῶν ἐπισκόπων ἐκ τοῦ ἀλληλεγγύου φορολογήματος εἰς ἔνδειαν συνηλάθησαν, παρ' αὐτοῦ ἀνεκτήθησαν, καὶ τοὺς κακωθέντας παρὰ τοῦ τελευτήσαντος βασιλέως, ἢ ἐν πηρώσει μελῶν, ἢ ἐν δημεύσει οὐσιῶν, ἢ ἄλλοις παρεμυθήσατο. ὑποπτευθεὶς δὲ ὁ μάγιστρος Προυσιανὸς ὁ Βούλγαρος, λάθρα τῇ τῆς αὐγούστης Ζωῆς ἀδελφῇ τῇ Θεοδώρᾳ κοινολογεῖσθαι, καὶ τῇ βασιλείᾳ ἐποφθαλμιᾶν, συλλαμβάνεται καὶ φρουρεῖται, εἶτα καὶ πηροῦται τοὺς ὀφθαλμοὺς, καὶ ἡ Θεοδώρα εἰς τὸ Πέτριον περιορίζεται, καὶ ὁ ἐπ' ἀδελφιδῇ δὲ τοῦ βασιλέως γαμβρὸς Κωνσταντῖνος ὁ Διογένης, ὡς τυραννίδα μελετᾶν κατηγορηθεὶς, δεσμευθεὶς ἐν πύργῳ καθείργνυται. τοῦ μέντοι τῆς Ἀβασγίας ἄρχοντος Γεωργίου θανόντος, ἡ τούτου σύζυγος σπονδὰς ἐζήτησε, καὶ συνοικέσιον τῷ υἱῷ. καὶ ὁ βασιλεὺς τάς τε σπονδὰς ἀνανεοῖ, καὶ τὴν παῖδα Βασιλείου τοῦ ἀδελφοῦ αὐτοῦ τὴν Ἑλένην νύμφην εἰς Ἀβασγίαν ἀπέστειλε, τὸν νυμφίον πατρίκιον [illegible] κουροπαλάτην τιμήσας. ὁ δὲ βασιλεὺς μετὰ τὴν [illegible]

IMPERIVM ROMANI
Argyropoli.

Romanus deinceps, qui Argyropolus uocabatur, sceptris potitus, tributum Allelengyum statim funditùs extirpauit: Dei cantoribus magnæ Ecclesiæ attributis, imperatoriã aureorum largitionem è fisco tribui solitam adauxit: cùm ex eo sciret id stipendium eis non sufficere, quòd aliquando ędis Sapientię uerbi diuini œconomus fuerat, dũ id munus ab Imperatore tribui solebat. ob æs alienũ siue publicũ siue priuatũ nexos liberauit, illo abolito, hoc soluto: pro Constantino socero maximã pecuniã distribuit: plurimos captiuos redemit: episcopos per Allelengyum ad egestatẽ redactos, refocillauit: à defuncto Imperatore siue mutilatione corporis, siue bonorum publicatione, siue alijs modis afflictos, consolatus est. Sed Prusianum Magistrũ, Bulgarum, suspectũ quasi clandestina cum Theodora Zoës Augustæ sorore consilia tractaret, regnoq; inhiaret, cõprehensum in custodiam dedit, ac postea cæcauit: Theodoram, Petrium relegauit: Constantinum Diogenem neptis ex sorore maritum, ob affectatæ tyrannidis crimen, uinctũ in turrem coniecit. Mortuo Georgio Abasgiæ principe, uiduam eius, renouationem fœderis, & filio uxorem potentẽ, utriusque uoti compotem fecit, renouato fœdere, & Helena ex fratre Basilio nepte, in Abasgiam missa, cuius sponsum Pancratium Palatij curatorem designauit. Chalepum urbem,

Romani benignitas.

Suspiciones insidiarum uindicatæ.

Abasgianũ fœdus.

Romani calamitosa expeditio contra Agarenos.

quę & Berroea dicitur, oppugnare instituit, ad eamque rem se parauit. Nam quum Nicephorus & Ioãnes Imperatores, multas urbes Phœniciæ & Syrię Romanorum imperio subiecissent: Basilius qui secutus est, Bulgaricis expeditionibus occupatus, eas firmandi ocium nõ habuit: neque tamen, quoad is uixit, illæ ausæ fuerunt iugum seruitutis apertè excutere. Cæterùm Constantino rerum potito, & dissolutè imperium administrante: Agareni tempus id exequendi ea quæ animis agitarãt, commodum esse rati: cæsis præsidijs, urbes occupant. Chalepi uerò princeps cõtinentibus excursionibus & populationibus ipsam Antiochiam, aliasque finitimas Syriæ gentes Romanæ ditionis, uexabat: á quo Dux Antiochenus, Constantino adhuc superstite, turpiter uictus, plerisque suorum amissis, uix effugerat: cui Romanus successore dato, ipse quoque ad bellum iuit.

Chalepitana legatio temerè repudiata.

Cùm autem in itinere Chalepitæ legati cum muneribus multis ei occurrissent, ueniam petentes, ac seruitutis renouationem & pensionem non solutorum tributorum, quæ inposterum etiam citra tergiuersationem daturus esset, pollicentes: quamuis multis illustribus ducibus ab ulteriore progressu tanquã inutili deterrentibus, pacemque suadentibus: tamen cœptis non destitit, Agarenos facilè se uicturum opinatus, & re bene gesta magnum & memorabile nomen consecuturũ. Progressus igitur in Syriam, uallum communit. Sed Arabes, homines audaces atque expediti in celeribus equis, & nudi, ab utraque ualli parte collocatis insidijs: si qui pabulatum aut aquatum exibant, eos impetu facto cædebant aut capiebãt, qua re fiebat, ut & milites & equi præ siti deficerent. Deinde incursionibus illis magis assuefacti, & Romanos ignauiæ damnantes, subitò ex montibus decurrere, & clamore Barbarico sublato, speciem multitudinis ingerentes, quòd nõ densata acie, sed laxata excurrerent, citraque ordinem uallum inuaderent: omnem exercitum territum in fugam uerterunt, atque ipse Imperator captus esset, à turbata custodia incustoditus relictus, nisi quidã eum in equum sublatum ad fugam cohortatus esset, metu penè exanimatum. Romani igitur nullo ordine temereque fugiebant: Barbari uerò inexpectata fuga stupefacti, fugientes non sunt persecuti, sed uallum ingressi, paucis illustribus captis, direptoque imperatorio tabernaculo, uariarum opum & regiæ magnificẽtiæ plenum, cæterisque impedimentis in equos suos impositis, recesserunt.

Romanus acerbus quæstor, & uetus ædificator.

Imperator uerò studio militum suorum Antiochiam perductus, atque inde properè Byzantium regressus, non eundem animi habitum conseruauit, sed mutatus in deterius, ut amissa pensaret, pro Imperatore factus est exactor, et acerbus quęstor, obsoleta patrum debita à liberis exigens, regis contra subditos redaccensis, quos tẽporis diu-

ὡρμήσατο, ἣ καὶ Βέῤῥοια λέγεται, ἐβούλετό τε καὶ ἡτοιμάζετο. πολλὰς γὰρ τῶν πόλεων τῆς τε Φοινίκης καὶ τῆς Συρίας τοῦ Νικηφόρου καὶ τοῦ Ἰωάννου τῶν βασιλέων ὑπαγαγόντων τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ, ὁ μετ' ἐκείνους Βασίλειος, ταῖς περὶ Βουλγάρων σχολάζων μάχαις, καιρὸν οὐκ ἔσχε τὰς ἐκεῖ κτηθείσας ἀσφαλίσασθαι πόλεις, ἀλλ' ὅμως μέχρι μὲν περιῆν ἐκεῖνος, οὐκ ἐτόλμων ὡς προῦπτον τὸν τῆς δουλείας ζυγὸν ἀποσείσασθαι. τοῦ δὲ Κωνσταντίνου τῶν σκήπτρων ἐπειλημμένου, καὶ ἀνειμένως τὴν βασιλείαν ἰθύνοντος, οἱ τῆς Ἄγαρ ἀπόγονοι ἔσχον εὖ τὸν καιρὸν γνόντες πρὸς τὰ μελετώμενα αὐτοῖς ἐπιτήδειον, τοῖς τῶν πόλεων φρουροῖς ἐπιτίθενται καὶ τούτους διαχειρισάμενοι, αὐτοὶ τῶν πόλεων γεγόνασιν ἐγκρατεῖς. ὁ δὲ τοῦ Χάλεπ ἀρχηγὸς καὶ ἐκδρομὰς ποιούμενος συνεχεῖς, αὐτήν τε τὴν Ἀντιόχειαν, καὶ ὅσα προσοικεῖ ἔθνη τῇ Σύρων γῇ καὶ τοῖς Ῥωμαίοις ὑπήκοα, ἐλῄζετο. ὑπ' αὐτοῦ καταστρατηγηθεὶς ὁ τῆς Ἀντιοχείας δοὺξ, ἔτι περιόντος τοῦ αὐτοκράτορος Κωνσταντίνου, αἰσχρῶς ἡττήθη, καὶ τοὺς πλείους τῶν σὺν αὐτῷ ἀποβεβληκὼς, μόλις διεσώθη φυγῇ ἐκεῖνος. τότε γοῦν ὁ Ῥωμανὸς ἀφελόμενος τὴν ἀρχὴν, πρὸς χειρίζεσθαι ἐκεῖνον, ἐξώρμησε δὲ κἀκεῖνος, καὶ ἀπιόντι παρῆσαν πρέσβεις μετὰ δώρων πολυτελῶν, πρὸς τοῦ Χαλεπίτου ἐσταλμένοι, αἰτούμενοι συγγνώμης τυχεῖν, καὶ τὴν δουλείαν ἀνανεώσασθαι, καὶ ἀποδοῦναι τὰς εἰσφορὰς, ἃς ἐπὶ ἔτεσιν ὑστερήκασι, καὶ ταύτας ἐτησίους εἰσφέρειν μετ' εὐγνωμοσύνης εἰς τὸ ἑξῆς. ὁ δὲ καίτοι πολλῶν καὶ στρατηγικῶν ἀνδρῶν ἀποτρεπόντων αὐτὸν τῆς εἰς τὰ πρόσω φορᾶς ὡς ἀσυμφόρου, καὶ ἀσπάσασθαι συμβουλευόντων, οὐκ ἀνέσχετο τῆς ὁρμῆς, ἀλλὰ ῥᾷον κρατῆσαι τῶν Ἀγαρηνῶν ἐφαντάζετο, καὶ ὥσπερ κατορθώσας μέγα τι καὶ ὑπέρογκον ὑπὲρ ἑαυτοῦ περιποιήσεσθαι σεμνολόγημα. ἀπάρας γοῦν εἰς Συρίαν, καὶ βάλλεται χάρακα. Ἄραβες δὲ αὐτόσκευοί τινες ἄνθρωποι καὶ τολμηταὶ κἀλλῶς, ἐφ' ἵππων ὠκυπόδων γυμνοὶ κατετίθεντο λόχους ἑκατέρωθεν τοῦ χάρακος, καὶ τοὺς εἰς συλλογὴν ἐξιόντας χιλοῦ ὕδατός τε ἀρδείαν, ἐκθορόντες ἀνῄρουν ἢ καὶ συνήρπαζον, ὡς τούς τε στρατιώτας καὶ τοὺς ἵππους αὐτῶν ἀπειρηκέναι τῷ δίψει. εἶτα συνήθεις γεγονότες ταῖς ἐκδρομαῖς πρὸς τοὺς Ῥωμαίους οἱ Ἄραβες, καὶ οἷον καταγνόντες δειλίαν αὐτῶν, ἀθρόον ἐκ τῶν μετεώρων διαδραμόντες, καὶ βαρβαρικὸν ἀλαλάξαντες, καὶ πλῆθος φαντασίαν ἀπεργασάμενοι τῷ μὴ συνασπισμὸν τηρεῖν, ἀλλὰ διεσπασμένως ἐκτρέχειν, καὶ ἐπιδραμεῖν ἀσυντάκτως τῷ χάρακι, ἐκπλήττουσιν ἅπαν τὸ στρατιωτικὸν, καὶ εἰς φυγὴν τρέπουσι, καὶ μικροῦ ἂν ἑάλω καὶ ὁ αὐτοκράτωρ αὐτὸς, τῆς περὶ αὐτὸν ἐκταραχθείσης φρουρᾶς, καὶ λιποτακτησάσης ἀφρούρητον τὸν φρουρούμενον, εἰ μή τις αὐτὸν ἐπὶ τὸν ἵππον ἀνέλαβε, καὶ φεύγειν ἐπέῤῥωσεν ἐκπεπνευκότα τῷ δέει μικροῦ. ἀπῄεσαν μὲν οὖν οἱ Ῥωμαῖοι ἀτάκτως, ὡς ἕκαστος ἔτυχε θέοντες, οἱ δὲ βάρβαροι τὸ παράλογον τῆς τροπῆς τεθηπότες, περὶ τὴν τῶν ἀποδιδρασκόντων οὐκ ἐπεξῆλθον, ἀλλὰ ἐπὶ τοῦ χάρακος ᾔεσαν, ὀλίγους τῶν ἐπιφανεστέρων ζωγρήσαντες, καὶ τήν τε σκηνὴν διηρπάκασι τὴν βασίλειον, μεστὴν οὖσαν πλούτου παντοδαποῦ καὶ πολυτελείας βασιλικῆς, καὶ τὴν ἄλλην ἀποσκευὴν ἐφ' ἑαυτῶν ἀναθέμενοι, ἐπανέζευξαν. ὁ δὲ βασιλεὺς εἰς Ἀντιόχειαν διασωθεὶς σπουδῇ τῶν περὶ αὐτὸν, κἀκεῖθεν εἰς τὴν Κωνσταντινούπολιν ἀνέδραμε, οὐκ ἔτι τὴν πρόσθεν τῆς ψυχῆς διασώζων διάθεσιν, ἀλλ' ἀλλοιωθεὶς τὴν ἐπὶ τὸ χεῖρον ἀλλοίωσιν. ἵνα γὰρ τῶν ἀπολωλότων ἀνασώσαιτο, πράκτωρ ἀντὶ κρατοῦντος ἐγένετο, καὶ πικρὸς λογιστὴς, παῖδας πατέρων γεγηρακότα χρέα πραττόμενος, καὶ πυρσεύσας ἀνάψας κατὰ τῶν ὑπηκόων, ὅσας ὁ χρόνος

ὅτι οἱ Ἀγαρηνοὶ καιρὸν λαβόμενοι, τῶν πόλεων ἐκράτησαν, ὡς παρὰ τοῦ Ῥωμαίων καὶ τοῦ ἀφορμῆς λαβόντες.

περὶ πρεσβείας κατὰ τὸ Χάλεπ καὶ προσβολῆς αὐτοῦ πρὸς βασιλέα οὐ δεχθείσης.

ὅτι Ἄραβες ἐπελθόντες τῷ χάρακι ἐτρέψαντο τοὺς Ῥωμαίους, καὶ ἡ βασιλικὴ σκηνὴ καὶ τὸ στρατόπεδον διηρπάγη.

ὅτι Ῥωμανὸς ὁ βασιλεὺς ἀπὸ τούτου φορολόγος τῶν ὑπ' αὐτῷ γέγονε.

ἀπο

ἣν πολὺς πρὸ αὐτοῦ χρόνος κατέσβεσεν, ἢ τέως κατέχωσεν ὑπὸ σποδῷ. ἐντεῦθεν πολλοὶ τῶν πατρῴων οἴκων καὶ ἀγρῶν ἀπηλαύνοντο, καὶ τὴν πρὶν εὐπορίαν ἐκδιδυσκόμενοι, εἰς πενίαν λαμπρὰν συνηλαύνοντο. τῶν δ' οὕτως εἰσπραττομένων, οὐδὲν εἰς τὸ δημόσιον εἰσεφέρετο, ἀλλὰ σεμνεῖον οἰκοδομῆσαι, καὶ ναὸν τῇ θεομήτορι προθέμενος καθιδρύσασθαι, ἐκεῖ καὶ ταῦτα κατεδαπάνα, καὶ ἐκ τῶν βασιλικῶν θησαυρῶν ἀνήλισκεν ἕτερα· ἄρτι μὲν ἀνεγείρων, ἄρτι δὲ καταστρέφων τὸ ἤδη ἀνεγερθὲν, καὶ ἀναμετρῶν αὖθις αὐτὸ, ἢ εὐρύτερον, ἢ τὸν σχηματισμὸν ποικίλλων, ἢ τρόπον ἄλλον τὸ κατασκευαζόμενον ἀλλοιῶν. ἀπένειμε δὲ καὶ προσόδους τοῖς μοναχοῖς, οὐχ οἷα λόγος μονάζουσιν, ἀλλὰ τρυφῶσι προσηκούσας, καὶ βίον ἕλκουσιν ἀνειμένον καὶ ἁβροδίαιτον, χώρας ὅλας καὶ πόλεις τῶν δημοσίων, καὶ ταύτας τὰς πιοτάτας καὶ παμφόρους ἀφιερώσας αὐτοῖς. ἀλλὰ μὴ πλείω περὶ τούτων. κατέλαβε δὲ τὴν βασιλίδα τῶν πόλεων Ἀμὲρ ὁ τοῦ Χαλεπίτου υἱὸς σὺν δώροις πολλοῖς, τὴν εἰρήνην ἀνανεούμενος, καὶ ὁ βασιλεὺς ὑπὲρ ταύτης ἐπρέσβευσεν. ἡ βασιλὶς δὲ Ζωὴ ἀφικομένη εἰς τὸ Πέτριον, τὴν ἑαυτῆς ἀδελφὴν Θεοδώραν ἀπέκειρε μοναχήν. ἐκδημήσαντος δὲ τοῦ βασιλέως τῆς πόλεως, ὁ Διογένης Κωνσταντῖνος τυραννίδα μελετῶν, καὶ ἀποδρᾶναι μέλλων εἰς τὸ Ἰλλυρικὸν, κατεσχέθη· καὶ ἐταζόμενος ἑαυτὸν κατεκρήμνισε καὶ ἀπέθανεν, ἵνα μὴ τοὺς συνειδότας ἐκφάνῃ, τῇ βίᾳ νικώμενος. τότε μέντοι Ἄραβες μὲν τὴν Μεσοποταμίαν κατέδραμον, οἱ δέ γε Πατζινάκαι τὴν Βουλγαρίαν, καὶ τὴν τοῦ Ἰλλυρικοῦ παράλιον οἱ Ἀγαρηνοί. τούτοις δὲ μόνοις στόλος Ῥωμαϊκὸς προσβαλὼν, τὰ πλείω τῶν σκαφῶν ἐνέπρησε καὶ κατέκαυσεν, οἱ δ' ἐκ τῆς ναυμαχίας ἀποδιδράσκοντες κλύδωνι περὶ τὸ Σικελικὸν διεφθάρησαν πέλαγος. καὶ αὖθις δ' ἐξ Ἀφρικῆς περί που τὰς χιλίας νῆες ἐξέπλευσαν, καὶ πολλὰς τῶν νήσων χωρία τε τῶν παραλίων ἐλῄσαντο. ἀλλὰ τούτων μοίρᾳ τινὶ περιτυχοῦσαι τριήρεις Ῥωμαϊκαὶ πολλοὺς ἀνεῖλον, καὶ πεντακοσίους ἑλόντες ζωοὺς οἱ τῷ βασιλεῖ ὑπὸ δεσμοῖς ἐκόμισαν. ἀλλὰ καὶ ὁ πρωτοσπαθάριος Γεώργιος ὁ Μανιάκης, τῶν παρευφρατιδίων πόλεων στρατηγῶν, τῆς Ἐδέσσης ἐκράτησεν. ὅθεν καὶ τὴν αὐτόγραφον ἐπιστολὴν τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εὑρηκὼς, τῷ βασιλεῖ ἐξαπέστειλε. λιμοῦ δὲ τὴν Καππαδοκίαν, καὶ τὸ Ἀρμενιακὸν, καὶ τὴν Παφλαγονίαν πιέζοντος, καὶ αὖθις ἀκρίδος τὴν ἑῴαν σχεδὸν πᾶσαν ληϊζούσης, πολλοὶ μεταναστεῦσαι τῶν πατρίδων αὐτῶν ἠναγκάσθησαν, οὓς χρυσίου διανομαῖς ἀνακτησάμενος ὁ κρατῶν ἐπιστρέψαι, αὖθις τὰς ἐνεγκούσας κατέλαβον. σεισμῶν δὲ γενομένων, ξενῶνάς τε καλῶς διετίθει, καὶ οἱ ἀντίπορθμοι τοῦ Βυζαντίου ἀνδρῶνες, οἱ πάλαι τοῖς τὰ σώματα λελωβημένοις ἐκ τῆς νόσου τῆς ἱερᾶς, καὶ τοῖς λελεπρωμένοις τετάχαται, ἀλλὰ καὶ τούτους ὁ βασιλεὺς ἀνεκαίνισε. καὶ τοῦ τὸ ὕδωρ εἰς τὴν μεγάλην πόλιν εἰσάγοντος ὀλκοῦ διαρραγέντος ἐπεμελήσατο. ἤδη δέ οἱ πρὸς τέλος ἤγγικε τὸ βιώσιμον, τὸ δ' ὅπως ἀπεβίω, διηγητέον. ἄρτι τῆς βασιλείας ἐπιτυχὼν, χρόνους ἑαυτῷ καὶ τῆς ζωῆς καὶ τῆς ἀρχῆς ἐπεμέτρει μακροὺς, καὶ ταῦτα ἑξηκοντούτης ὢν ὅτε τοῦ σκήπτρου ἐπελάβετο, καὶ διαδοχὴν τῇ βασιλείᾳ καταλιπεῖν ἐκ τῆς ὀσφύος αὐτοῦ ἐφαντάζετο, καίτοι ἡ βασιλὶς ᾗ συνῴκιστο πεντηκοντοῦτις ἦν, καὶ ἐστείρωμένη, καὶ ἀνίκανος τὴν νηδὺν πρὸς σπερμάτων ὑποδοχὴν, δυνάμενος συνιδεῖν. πρότερον μὲν οὖν ἀπεσπούδαζε περὶ τὰ ἀφροδίσια, καὶ κατέτεινεν ἑαυτὸν, καὶ χρίμασί τισιν ἐκέχρητο, καὶ τῇ συνοίκῳ περιετίθει λιθίδια, ὡς δή τι συνεργοῦντα πρὸς τὴν κύησιν.

περὶ δὲ ναοῦ τῆς ... οἰκοδομηθέντος παρ' αὐτοῦ.

περὶ τοῦ ... μοναστηρίου.

περὶ Κωνσταντίνου τοῦ Διογένους.

περὶ διαφθορᾶς ... ὑπὸ Ῥωμαίων.

περὶ τῆς αὐτογράφου ἐπιστολῆς τοῦ Χριστοῦ.

περὶ τῆς μεταναστάσεως διὰ τὸν λιμόν.

περὶ σεισμῶν.

ὅτι πρότερον ὁ βασιλεὺς ἐκαίνισεν ξενῶνας, καὶ περὶ τοῦ ὕδατος ...

... τῆς βασιλείας ... αὐτοῦ ...

turnitas uel extinxerat, uel cineribus obruerat. Inde multi paternis ędibus & fundis pellebantur, & pristinis opibus spoliati, ad insignē egestatem adigebant. Quæ quum fierent, nihil in fiscum inferebat, sed monasterio magnifico & æde in matris Dei honorem extructa, nō eam modò pecuniā, uerum & è fisco deprompiam consumebat, dum, ut ille ait,

Diruit, ædificat, mutat quadrata rotundis.

Sumptus monachis suppeditauit, non illi uitæ generi, sed hominibus delicatis & uoluptarijs aptos, consecratis è publico prouincijs totis & urbibus, ijsq; pinguissimis & fertilissimis. Atque hęc hactenus. Amer autem Chalepitæ filius, urbem regiā ingressus, pacem multis muneribus ab Imperatore impetratā, renouauit. Zoë Imperatrix Petrium profecta, sororem Theodoram pro monacha totondit. Diogenes Constantinus post Imperatoris ex urbe discessum, regnum affectans, dum in Illyricū aufugit, captus est. qui cùm interrogaret, se præcipitē dedit, morisq; præoptauit potius, quàm ui coactus prodere conscios. Iis temporibus Arabes Mesopotamiā incursarunt, Pazinacæ Bulgariam, & oram Illyrici maritimam Agareni: cum quibus solis congressa classis Romana, plerasq; naues eorum incensas combussit: qui è pugna euaserant, in mari Siculo tempestate perierunt. Ex Africa quoq; circiter mille naues egressæ, multas insulas & loca maritima quædam uastauerunt. Sed Romanę triremes partem quandam earum adeptæ, multos sustulerunt, & quingentos captos ad Imperatorem in uinculis miserūt. Georgius uerò Maniaces Prothospatharius, urbium ad Euphratem Prętor, Edessa potitus, epistolā Seruatoris nostri Iesu Christi manu scriptam, quam ibi inuenerat, Imperatori misit. Fame porrò Cappadociam, Armeniam, & Paphlagoniam premente, locustis uerò penè totum Orientem infestantibus, multi coacti sunt patria relicta, nouas sedes quæritare: quibus Imperator auri largitionibus subleuatis persuasit, ut ad sua reuerterentur. Idem hospitales domos atque ædificia Byzātio obuersa, in quæ antiquitus ij quorum corpora uel sacro morbo uitiata, uel lepra infecta erant, recipiebantur, terræmotibus labefactata renouauit, aquæductum etiam urbis fractum refecit. His peractis fata ei instabant, quo autem pacto sit defunctus, exponendum est. Imperio recens potitus, longa sibi & uitæ & regni tempora pollicebatur: quāuis eo iam sexagenarius potitus, seq; imperij successorem è lumbis suis ortum relicturum somniabat. neque reputabat, Imperatricem quam in matrimonio habebat quinquagenariam, effœto utero ineptam esse ad semen prolificū excipiendum, ac principiò rei ueneræ magna contentione incumbebat, unctionibus quibusdam utendo, & coniugi gemmas appendendo, quæ conceptum adiuturæ uiderentur,

Monachi locupletati.

Chalepitica pax.

Theodora fit monacha.

Romani ab Agarenis et Pazinacis infestantur.

Romanus frustrà è sterili Sara Isaacum excudere conatur.

illa ferente omnia, ac ne à carminibus quidem & incantationibus abhorrente. Sed quum omnia frustrà esse, neque se uoti compotem posse fieri cerneret: non perinde erga uxorem affectus, rarius illam inuisebat, cùm natura segnior ad coitum & mollior: tum uerò ætate salacitate hebetata. Vt igitur exactis aliquot in imperio annis, Imperatricem auersabatur: illa & sui cõtemptu, & libidine irritata est ad uiri odiũ. Erat autẽ Romano priuato adhuc spado, cuius fratris Michaelis faciẽ natura ad exquisitam pulchritudinem expolierat. qui iam Imperatori à fratre commendatus, inter cubiculi ministros ascitus fuerat. Eius igitur amore capta Imperatrix, ardebat animo, quem ardorem quotidianus cõspectus pulchritudinis illius inflammabat. Cùm autem spadonem illum pridem odisset, tum hominẽ accersebat, & inter familiarius colloquendum, percontationes de Michaele interijciebat. Id quum sæpius fieret, homo acutus amore intellecto, fratrem monuit, ut Imperatricem conueniret: sique ab illa tentaretur, nihil uerecundatus, eam & contrectaret, & oscularetur & amplecteretur. Quid multa? usque ad coitum processit amor, ac tandem eò res deuenit, ut mulieris erga Michaelem affectus palàm erumperet, neque in Regia tantùm, sed & in triuijs susurraretur, soli Imperatori ignotus, cui in eodem cum Imperatrice lecto cubanti, fricare pedes iubebatur Michael. Quis uerò eum mulieris quoque pedes non attrectasse credat? Ita factus est Imperator amborum quasi leno & concubinus. Vt autem eum & soror Pulcheria, & alij eam fabulam edoctum, ut sibi caueret, monuerunt: nihil egit, aliud nisi ut suspectũ rogaret, num ab Imperatrice amaretur: eumque inficiantem & negantem, sacramento obstringeret. quumque ille peierasset, calumniã esse putauit uerba aliorum. Cæterùm Michaelem, ob id periurium atrox morbus inuasisse fertur. Nam, ut quidam tradunt, certis interuallis & mente alienabatur, & oculos distorquebat, & tremore corripiebatur, & humi procidebat. Deinde ad se redibat. idque sæpius et etiam Imperatore uidente accidebat: qui uicem hominis dolens, magis etiam suspicionẽ falsam iudicabat. neque enim talem uel amare uel amari posse putabat. Sunt etiam qui dicant, amorem illum non latuisse Imperatorem, sed quum sciret mulierem lasciuire ac insanire libidine, tolerasse propensionem eius erga Michaelem, simulata ignorantia, ne illa cũ pluribus rem haberet. Quæ cùm ita essent, Imperator in morbum incidit, inflata facie, quæ quidem mortui similis erat, & crebrò anhelitu ægrè spiritum trahebat, maxima parte capitis caluus, capillis delapsis. Quod malum ei ueneficijs cõciliatum putabatur. Sic affectus in quoddam Regiæ balneũ lauatum abit, à nemine sustẽtatus, neque ullo putãte eum statim moriturũ. Vt autem purgato corpore

Romanus quum nihil posset, uxoris adulteræ insidijs necatur.

Zoe Michaelem Cappadocẽ deperit.

Michaelis morbus ob periurium.

Romani interitus.

ἡ δὲ καὶ ἀμμάτων καὶ ἐπασμάτων ἀνέχετο, καὶ περιάπτων ἐπῳδάς. ἐπεὶ δ' ἐγνώκει πάντα μάταια γινόμενα ὁ κρατῶν, καὶ ἀπεγνώκει τὸ σπουδαζόμενον, οὐκέθ' ὁμοίως εἴχετο πρὸς τὴν εὐνέτειραν, ἀλλ' ἧττον αὐτῇ προσῴκει. ἦν γὰρ καὶ φύσει νωθὴς πρὸς μῖξιν καὶ μαλθακώτερος. ἤδη δὲ καὶ ὁ χρόνος αὐτοῦ τὴν ἰσχὺν ἤμβλυνεν. ὡς δέ τινες αὐτῷ ἤδη τῇ βασιλείᾳ διεμετρήθησαν ἐνιαυτοί, καὶ ἀποστροφὰς εἶχε πρὸς τὴν βασίλισσαν, ἡ δὲ καταφρονουμένη πρὸς μῖσος ἠρέθιστο, καὶ πλέον δι' ὁμιλίαν ἀνδρός. ἦν δέ τις καὶ πρὸ τῆς βασιλείας ἐκτομίας ὑπηρέτης τῷ βασιλεῖ, τούτῳ δ' ἦσαν ὁμαίμονες, ὧν εἷς ἦν καὶ ὁ Μιχαὴλ, ἀνὴρ ὃν τὴν ὄψιν ἡ φύσις ἀπείργαστο εἰς ἀκριβῆ ὡραιότητα. τοῦτον ὁ ἀδελφὸς μετὰ τὴν βασιλείαν παρίστησι τῷ Ῥωμανῷ προσληφθησόμενον ὑπ' αὐτοῦ, ὁ δὲ τοῖς θαλαμηπολοῦσι τὸν νεανίαν κατέταξε. τούτου τῷ ἔρωτι ἁλοῦσα ἡ βασιλὶς, ἐπυρπολεῖτο τὴν ψυχὴν, καὶ τὸ πῦρ, τὸ ἐκείνου κάλλος, καθ' ἑκάστην ὁρώμενον ὑπανέφλεγε. μισούμενος δ' αὐτῇ πρώην ὁ ἐκτομίας, τότε καὶ προσεκαλεῖτο, καὶ ὁμιλίας ἠξιοῦτο γνησιωτέρας. εἶτα καὶ περὶ τοῦ Μιχαὴλ ἠρωτᾶτο τοῦ ἀδελφοῦ. πολλάκις δὲ τούτου γινομένου, δεινὸς ὢν ἐκεῖνος, συνῆκε τὸν ἔρωτα, καὶ τῷ ἀδελφῷ ὑπέθετο καὶ προσιέναι τῇ βασιλίσσῃ, καὶ εἰ παρέχοιτο ἐκείνη αὐτῷ, μὴ ὑποσταλῆναι, ἀλλὰ καὶ ἅψασθαι καὶ ψηλαφῆσαι καὶ προσφῦναι αὐτῇ. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; μέχρι καὶ συνουσιασμοῦ τὰ τοῦ ἔρωτος κατηντήκεσαν, καὶ προϊόντος τοῦ χρόνου εἰς πρόδηλον σχεδὸν τὸ πρὸς τὸν Μιχαὴλ ἐξήγγελτο φίλτρον, καὶ ἦν ὑποψιθυριζόμενον οὐ τοῖς περὶ τὰ βασίλεια μόνον, ἀλλὰ καὶ τοῖς ἐν ταῖς τριόδοις, μόνῳ δ' ἠγνοεῖτο τῷ αὐτοκράτορι, ὅθεν καὶ συγκαθεύδων τῇ βασιλίσσῃ αὐτοῦ ἐπὶ τῆς εὐνῆς ὁ Μιχαὴλ ἐγκελευόμενος ἀνατρίβειν οἱ τὼ πόδας ἐκεκέλευστο. τί γοῦν ἄν τις οἰήσεται ἢ ὅτι καὶ τῶν ἐκείνης ἥψατο ποδῶν; καὶ οἷον προαγωγὸς ἀμφοῖν ὁ βασιλεὺς καὶ ἐμβροντήτως ἐγένετο. ὡς δὲ καὶ ἡ ἀδελφὴ Πουλχερία καὶ ἕτεροι περὶ τοῦ δράματος αὐτὸν ἐδίδαξαν, καὶ φυλάττεσθαι παρηγγύησαν, οὐδὲν ἕτερον ἐποίησεν, ἀλλὰ τὸν ὑποπτευόμενον αὐτοῦ καλέσας, εἰ ἐρῷτο πρὸς τῆς βασιλίσσης ἠρώτα; ὁ δὲ ἀπηγόρευσε, καὶ ἀπαρνούμενος, πίστιν τοῦ λόγου καὶ ὅρκους ἀπῃτεῖτο καθ' ἱερῶν. ἐπεὶ δ' ἐκεῖνος ἐπιορκήσας τοὺς ὅρκους ἐτέλεσε, διαβολὴν τοὺς τῶν ἄλλων ἡγεῖτο λόγους. λέγεται μέντοι διὰ τὴν ἐπιορκίαν νόσημά τι δεινὸν φοιτῆσαι τῷ Μιχαήλ. τὸ δ' ἦν κατά τινας περιόδους αὐτῷ παρακοπὴ τοῦ νοὸς, τῶν ὀφθαλμῶν τε διαστροφὴ, καὶ κλόνος τοῦ σώματος, καὶ καταπτώσεις ἐπὶ γῆς, εἶτ' ἐπανῄει εἰς ἑαυτὸν, καὶ ἐκαθίστατο. τοῦτο πολλάκις καὶ τοῦ βασιλέως φθάνοντος ἔπαθεν, ὁ δὲ τοῦ πάθους οἰκτείρας τὸν Μιχαὴλ, ἔτι μᾶλλον ψευδῆ ᾤετο τὰ λεγόμενα, καὶ μήτ' ἐρᾶν μήτ' ἐρᾶσθαι τοῦτον οὕτως ἔχοντα ᾤετο. εἰσὶ δ' οἳ λέγουσι, μὴ δ' ἀγνοῆσαι τὸν βασιλέα τὸν ἔρωτα, εἰδότα δ' ὅτι σφριγᾷ ἡ βασίλισσα, καὶ περὶ τὰ ἀφροδίσια μέμηνε, τῆς πρὸς τὸν Μιχαὴλ αὐτῆς ῥοπῆς ἀνέχεσθαι, ὑποκρινόμενον ἄγνοιαν, ἵνα μὴ πλείοσιν ὁμιλοίη. τούτων δ' οὕτως ἐχόντων, ὁ αὐτοκράτωρ ἐνόσησε, καὶ οἱ διῳδήκει τὸ πρόσωπον, καὶ τὸ ἆσθμα ἦν συνεχὲς, καὶ ἡ ὄψις αὐτῷ ἐῴκει νεκρῷ, καὶ τῆς κεφαλῆς αὐτοῦ τὸ πλέον ἐψίλωτο· αἱ γὰρ τρίχες αὐτῆς ἀπερρυήκεσαν. λέγεται γοῦν φαρμάκοις περιεργασθῆναι ὁ ἄνθρωπος. οὕτω δ' ἔχων ἀπῄει πρὸς βαλανεῖον τῶν ἐν τοῖς βασιλείοις λουσόμενος, καὶ ἀπῄει ὑπὸ χειραγωγούμενος, ὡς αὐτίκα τεθνήξεσθαι προσδοκώμενος. ὡς δὲ τὸ σῶμα ἐκαθήρατο

ἴσως ὁ Παφλαγὼν Μιχαὴλ προσελήφθη παρὰ τοῦ βασιλέως, ἢ ὡς ὡραῖος αὐτὸς ὤν, ἢ ὅτι διὰ τὸν ἔρωτα τῆς βασιλίσσης Ῥωμανὸς ὑποβληθεὶς ἐτελεύτησεν.

ἀσί διω

ἀλλὰ τὴν ἐκεῖ κολυμβήθραν, ἐν ᾗ δὴ τὸ πᾶν ἀπαρτισθῆναι τοῦ δράματος. συμπνίξαι γάρ τινας αὐτοῦ τὴν κεφαλήν, φασίν, ὑπὸ τὸ ὕδωρ ἐφ' ἱκανόν, καὶ οὕτως ἐκεῖθεν ἄπνουν ἀνιμηθῆναι σχεδόν, καὶ ἀνακλιθῆναι πρὸς τὴν στρωμνήν. θροῦ δ' ἤδη τούτῳ συμβάντος, παρῆλθε καὶ ἡ βασιλίς, ὡς δή τι ἐπὶ τῷ πάθει ὑποστενάζουσα, καὶ πληροφορηθεῖσα τοῦ βασιλέως τὴν τελευτήν, ἀπῆλθεν εὐθύς. ὁ δὲ βραχύ τι ἐπιβιοὺς ἄναυδος, ὥστε καὶ μελάντερόν τι ἀναγαγὼν διὰ τοῦ στόματος, ἀφῆκε τὸ πνεῦμα, ἔτη βασιλεύσας πέντε πρὸς τῷ ἡμίσει, λόγοις μὲν ἐντραφείς, ἑλληνικῆς τε παιδείας μετεσχηκώς, καὶ τῶν τῆς πολιτείας νόμων οὐκ ἀδαής, πλείω δ' εἰδέναι ὢν ἢ ὡς ἀληθῶς, οἰόμενός τε καὶ σεμνυνόμενος.

ΒΑΣΙΛΕΙΑ ΜΙΧΑΗΛ τοῦ Παφλαγόνος.

Τοῦτον μὲν οὖν τοιοῦτον κατέλαβε τὸ τέλος τοῦ βίου, ἡ δὲ βασιλὶς ὅλη τοῦ τὸν Μιχαὴλ ἐγκαθιδρῦσαι ἐπὶ θρόνου τῆς βασιλείας ἐγεγόνει, καὶ τῶν περὶ αὐτήν, τῶν πατρῴων δηλαδὴ θεραπόντων αὐτῆς, ἀναβαλεῖν τὸ πρᾶγμα δεῖν καὶ σκέψει συμβουλευόντων, ἡ δὲ οὐκ ἠνέσχετο, κατεπειγομένη πρὸς τὴν τελεσιουργίαν καὶ παρὰ τοῦ ἐκτομίου Ἰωάννου τοῦ συγγόνου τοῦ Μιχαήλ, λάθρα πρὸς αὐτὴν ὑποψιθυρίσαντος, ὡς ἀπολούμεθα αὐτίκα, εἰ βραχύ τι καιρῷ τὸ ἐγχείρημα βραδυνθῇ. λαβοῦσα τοίνυν εὐθὺς τὸν Μιχαήλ, καὶ στολὴν αὐτῷ περιθεμένη βασιλικήν, καὶ διάδημα τῇ ἐκείνου κεφαλῇ αὐτὴ ἀναδήσασα, καὶ ἐπὶ θώκου βασιλικοῦ καθιδρύσασα, καὶ αὐτὴ παρακαθεσαμένη, πᾶσι τοῖς τότε παροῦσι καὶ εὐφημεῖν καὶ προσκυνεῖν προσέταττε. φασὶ δὲ καὶ τότε αὐτίκα νυκτὸς τὴν ἱεροτελεστίαν τῶν γαμικῶν ἐπ' αὐτοῖς γενέσθαι ἱστόρηκεν (?), τὸν πατριάρχην Ἀλέξιον ἀνακαλούμενον πρὸς τὰ βασίλεια, καὶ τὸν μὲν Ῥωμανὸν τεθνεῶτα καταλαβόντα, τὸν δέ γε Μιχαὴλ ἔτι τὰ ἤδη τῆς βασιλείας τελούμενον. ἤδη δὲ καὶ τοῖς ἔξω διαδοθέντος τοῦ γεγονότος, καὶ πᾶσα ἡ πόλις τὸν νέον αὐτοκράτορα ἀνηγόρευεν (?), τὸ μὲν αὐτῷ χαριζόμενοι, τὸ δ' ὅτι τὸν ἐκπνεύσαντα ἀπεφορτίσαντο χαίροντες. ἡ μὲν οὖν βασιλὶς ᾤετο βασιλεύσειν ἀεί, καὶ ἑαυτῇ τὴν πᾶσαν ἐξουσίαν περιποιήσεσθαι, καὶ τὸν Μιχαὴλ ὑπηρέτην ἕξειν, τὸ δ' ἐναντίον συμβέβηκε. μέχρι μὲν γάρ τινος ἐσχημάτιζε τηρεῖν τὴν πρὸς τὴν βασιλίδα διάθεσιν, καὶ ταύτῃ χαρίζεσθαι, καὶ τὰ ἐκείνῃ θυμήρη ποιεῖν, ὕστερον δ' οὐκ εἰς μακρὸν ἐκτεῖναι τὴν προσποίησιν ἀνεχόμενος, μεθαρμόζεται, καὶ ὑποπτεύει αὐτήν, καὶ δέδιε περὶ ἑαυτῷ, μεθίστησι μὲν τῆς βασιλείας τοὺς ἐκ τῶν ἐκτομίας (?) τοὺς αὐτῆς πατρῴους θεράποντας, καὶ τὰς αὐτῇ συνήθεις θεραπαίνας, ἀλλὰς διαμείβει, ἑτέρας δ' αὐτῇ πρὸς θεραπείαν ἀντικαθίστησι· καὶ ἤδη τοῖς τῆς γυναικωνίτιδος αὐτὴν ἐναποφράγνυσι, καὶ φρουρὰν περιΐστησι, καὶ οὐδενὶ προσιέναι ταύτῃ συνεχώρησεν, εἰ μὴ τὸν προσιόντα ὁ φρούραρχος κατεξέτασεν, ὅθεν ἥκοι, καὶ τίνος δεόμενος πάρεισιν· ἐδεδίει γὰρ οἰκόθεν ἔχων τοῦ δέους τὰς ἀφορμάς. ὡς ταῦτα δ' ἐνάγεσθαι πλεῖον ὁ Μιχαὴλ λέγεται παρὰ τοῦ συγγόνου αὐτοῦ Ἰωάννου τοῦ ἐκτομίου. ἦν γὰρ δεινὸς ὁ ἄνθρωπος καὶ δραστήριος, καὶ τὸ ἦθος ὑποκεκρυμμένος, καὶ πρὸς τοὺς ἐντυγχάνοντας ποικιλλόμενος, προσαπορχός (?) τε καὶ πρὸς φροντίδων ἔργον ἀκάματος. καὶ οὐδὲ γαστριζόμενος, οὐδὲ περὶ τὸν ἄκρατον λιχνευόμενος, οὐδὲ ἡττώμενος οἴνου, τῆς περὶ τὰς δημοσίας διοικήσεις καθυφίει σπουδῆς. τὰ μὲν οὖν περὶ τὴν βασίλισσαν οὕτως ᾠκονόμητο· ὁ δὲ Μιχαὴλ τῆς τῶν κοινῶν πραγμάτων οἰκονομίας ἀντείχετο. ἐπεὶ δὲ ἐπεκράτει ἡ νόσος, ἣν οἱ μὲν ἐκ δαιμόνων μήνιμα διὰ τὴν ἐπιορκίαν ἐπισκῆψαι αὐτῷ, καὶ συμπνίγειν τὸν ἄνθρωπον,

in alueum descendit. Ibi tota fabula peracta esse fertur: nam quosdā caput eius diu in aquam depressisse, & iam ferè exanimem inde extractum, & in lecto reclinatum. Qua de re rumore orto, etiam Imperatrix, ob casum illum gemens scilicet, accessit: ac iam certa de illius necessitate secessit. Is uerò cùm paulisper adhuc sine uoce iacuisset, reiecta per os nigra quadā materia, spiritū emisit. Regnauit annos quinque cū dimidio, ab ineunte ætate in literis eruditus, & græca doctrina institutus, legumq́ ciuilium nō ignarus. Plura tamen omnino se scire quàm sciebat, & putabat & gloriabatur.

IMPERIVM MICHAELIS Paphlagonis.

Quo hunc uitæ exitum sortito: Imperatrix tota in eum fuit, ut Michaelē in regio solio collocaret. Quamuis autem familiares eius, paterni uidelicet ministri, suaderent, ut mora interposita deliberaret: id aspernata consilium, rem ad finem perducere festinabat, incitante præsertim spadone Ioāne, fratre Michaelis, qui ei clàm insusurrarat, sese omnes statim perituros, si qua in negocio mora interponeretur. Statim igitur Michaeli ornatū Regium accommodat, eiq́ in regio solio collocato, assidens, omnes qui aderāt hortatur, ut eum cōsalutent & adorent. Quidam autores sunt, eadem nocte sacrū nuptiale peractū, Alexio Patriarcha in Regiam accersito, qui & Romanum mortuū, & Michaelem imperij auspicia adhuc peragentē inuenerit. Enimuero eo facinore etiā foris uulgato, tota ciuitas nouum Imperatorē cōsalutauit, partim huic gratificātes, partim læti, q̄ defuncti odio liberati essent. Imperatrix porrò cùm se eq̄ rectissimè sibi prospexisse, omniq́ potestate in se translata, Michaelē ministri uice habiturū putaret: opinione sua decepta est. Nam ad tempus ille quidē, pristinū amorem simulans, obsequijs mulierē demulcere, eaq́ facere, quæ illi grata & iucunda essent. Sed cùm simulationē lōgius producere nō posset, mutatis moribus, eam suspectā habere: sibiq́ metuens, primarios illius ministros Regia eijcere, ancillis item familiaribus amotis, alias substituere: deniq́ gynæconitidē claudere, custodiaq́ adhibita, à nemine illam adiri pati, ni satellitū præfecto exposuisset, unde & quid ueniret? Nā & suopte exemplo terrebatur, & fratris Ioannis spadonis impulsu potissimū id facere putabat. qui spado homo erat acutus & acer, obscuroq́ ingenio, uarius erga eos quibus cum agebat, promptus, mole curarum indefessus, neq́ epulis neq́ uino deditus. Proinde nihil de Reipublicæ gerendæ studio remittebat. Ac Imperatricis hic status fuit. Michael uerò cōmuniū rerum cura suscepta, cū morbus eius ingrauesceret, quē alij uindictā numinis offensi periurio interpretabant,

Zoe Michaelem Imperatorem facit.

Zoe à Michaele in ordinem cogitur.

Ioannis spadonis mores.

quo nō secus atq; olim Saul angebatur, alij amentiam & insaniā: in Ioānem spadonē totius imperij gubernatio incubuit, cùm quidē monachi uestē iam olim sumpsisset, sed habitu dūtaxat illud uitę genus profiteretur. Enimuerò Cōstantinus Dalassenus Patricius, domi degens, cū de nouo Imperatore audiuisset, indignabatū summā rerū ad talem hominē esse deuolutam. Quare Michael cū suis uehementer perturbatus, uerebatur, ne Dalassenus regnū affectaret. Itaq; Ioannes quendā mittit, qui iureiurādo affirmaret, nihil ei metuendum esse mali, uiroq; persuaderet, ut Imperatorē conueniret. Qui cū uenisset, ab Imperatore benignē susceptus, ac muneribus et dignitate auctus, in urbe degere iussus est. Nicetas uerò Imperatoris frater, dux Daphneæ Antiochiæ designatus, nō est in urbem ab Antiochenis admissus. Nam publicorum uectigaliū exactore, a quo se duri⁹ tractatos putabant, interfecto, ueriti, ne eius facinoris pœnas darent, portas ei clauserāt: nec prius admisere, q̄ iureiurādo cōfirmasset, eadē illam eis fraudi nō futurā. Verū eo iureiurādo nihil deterritus, multos occidit, & quibusdā insignibus ciuibus uinctis, in magnā urbē missis, fratri Ioāni scripsit, se ab Antiochenis ob beneuolentiam eorū erga Dalassenū, exclusum fuisse. Hinc Dalassenus in insulā Platen relegatur, et Cōstantinus Ducas eius gener, de iniuria quiritans, & periuriū nō dissimulās, turri cuidam includitur. Pòst Dalassenus etiā è Plata translatus, in turrim cōpingitur. Sub id tempus Agareni Myra ceperunt, Pazinacæ * passim è Romanis prouincijs prędas egerunt. Antiocheno duce Niceta mortuo, Constantinus & ipse Imperatoris frater, successit, altero eius fratre Protouestiario designato. Cū autē Agareni Africani & Siciliēses, insulas & oram maritimā infestarent: Romana classis multas eorū naues cū uiris demersit, multos uiuos cepit, quorum alij ad Imperatorē missi sunt, alij in littore trabibus affixi. Pācratius uerò Abasgiæ princeps, cui Romanus Imperator suā neptem desponderat, fœdus Romanū soluit, & quibus castellis & urbibus olim Romanis cesserat, ea rursus sibi uendicabat, fortasis, ut Romanorum iniuriam Imperatori, suæ coniugis patruo factam, ulcisceretur. Pazinacæ Istro sæpe traiecto prouincias malè tractarunt, captiuis omnibus interficiendis. Arabes Edessam obsederunt, eamq; expugnassent, nisi Antiochiæ Dux Constātinus, Imperatoris frater opem tulisset: cuius industriam sic remuneratus est Imperator, ut eum Orientalium legionum Domesticum crearet. Amere Aegypti principe mortuo: uidua illius, quæ Christiana erat, unà cum filio, pacem cum Romanis facere studuit. Quare Imperator inducias triginta annorum cum ea pepigit. Cùm duo fratres Agareni Siciliæ imperātes, inter se dissiderent, eorūq; alter Imperatoris opē implorasset

Dalassenus in carcerē coniicitur.

Nicetas Antiochiæ Dux.

Cōstantinus Ducas.

Agareni Pazinacæ.

Constantinus Antiochiæ Dux & Domesticus orientis.

Abasgiæ defectio.

Edessa à Cōstantino defensa.

Aegyptiacæ induciæ.

ὡς πάλαι δὴ τὸν Σαούλ. οἱ δὲ μανίαν τε, καὶ παραφοράν. ὁ δ' ἐκτομίας Ἰωάννης τὴν ὅλην αὐτοδίκαστο τῆς βασιλείας κυβέρνησιν, μοναχικὸν τὴν ἔνδυμα πάλαι ἀμφιεσάμενος. ἄρτι δὲ τρόπον ἄχρι μόνου τοῦ σχήματος. Κωνσταντῖνος δὲ πατρίκιος ὁ Δαλασσηνὸς, οἴκοι διατρίβων, καὶ περὶ τοῦ νέου βασιλέως πυθόμενος, δυσανασχετῶν ἦν, ὅτι εἰς ἄνδρα τοιοῦτον ἡ βασιλεία περιεστράφη. ἄρτι θορυβοῦσι περὶ τὸν βασιλέα ἐμίσουν, ὑποπτεύσαντες, μή ποτε ὁ Δαλασσηνὸς τυραννίδι ἐπιθῆται. καὶ στέλλει ὁ Ἰωάννης τὸν ὅρκοις αὐτὸν βεβαιώσοντα, ὡς οὐδενὸς ἀνιαροῦ πειραθήσεται, καὶ πείσοντα τὸν ἄνδρα πρὸς βασιλέα προσελθεῖν. καὶ ὁ μὲν προσῆλθε, καὶ ὁ βασιλεὺς αὐτὸν ἀσπασίως προσήκατο, καὶ ἐδεξιώσατο δωρεαῖς, καὶ μείζονι ἀξιώματι ἐτίμησε, καὶ ἐν τῇ πόλει διάγειν ἐκέλευσε. Νικήτας δὲ ὁ τοῦ βασιλέως ὁμαίμων δοὺξ τῆς ὑπὸ Δάφνη Ἀντιοχείας προχειρισθεὶς, ἀπείρχθη παρὰ τῶν Ἀντιοχέων τῆς εἰς τὴν πόλιν εἰσόδου. πράκτορα γάρ τινα τῶν δημοσίων τελῶν, ὡς αὐτοῖς φορτικῶς προσενηνεγμένον, ἀνελόντες οἱ τῆς Ἀντιοχείας πολῖται, καὶ δεδιότες, μὴ δίκας δῶσι τοῦ πλημμελήματος, ἀπῶσιν, ἐπεζύγωσαν αὐτῷ τὰς πύλας τῆς πόλεως. ὁ δὲ ἐνόρκως αὐτοῖς παρασχόμενος πίστιν, ὡς οὐδὲν διὰ τὸν φόνον ὑποστήσονται κακὸν, παραχωρεῖται τῆς εἰσόδου. εἶτα τῶν ὅρκων οὐδὲν λογισάμενος, πολλοὺς μὲν ἀπέκτεινε, τινὰς δὲ τῶν παρ' αὐτοῖς ἐπισήμων δεσμίους εἰς τὴν μεγαλόπολιν ἔπεμψε, γράψας πρὸς ἀδελφὸν Ἰωάννην, διὰ τὴν πρὸς τὸν Δαλασσηνὸν εὔνοιαν ἀπεῖρξαι αὐτῷ τὴν εἴσοδον τοὺς Ἀντιοχεῖς. ἐντεῦθεν ὁ Δαλασσηνὸς εἰς τὴν νῆσον τὴν Πλάτην περιορίζεται, καὶ ὁ ἐπὶ θυγατρὶ κηδεστὴς αὐτοῦ Κωνσταντῖνος ὁ Δούκας τὴν ἀδικίαν ὑποβοώμενος, καὶ τὴν ἐπιορκίαν οὐ σιωπῶν, πύργῳ τινὶ κατακλείεται. εἶτα μετάγεται ὁ Δαλασσηνὸς ἐκ τῆς Πλάτης, καὶ πύργῳ καθείργνυται. ἑάλω δὲ τότε τοῖς μὲν ἐκ τῆς Ἄγαρ τὰ Μύρα, καὶ τοῖς Πατζινάκαις * λεία γέγονε τῶν Μυσῶν. τοῦ δὲ δουκὸς Ἀντιοχείας Νικήτα καταστρέψαντος τὴν ζωὴν, ὁ Κωνσταντῖνος ἀδελφὸς ὢν καὶ οὗτος τοῦ βασιλέως, ἐπὶ τῇ Ἀντιοχείᾳ τοῦτον τελευτήσαντα διεδέξατο, καὶ ὁ ἕτερος αὐτοῦ ἀδελφὸς πρωτοβεστιάριος προκεχείριστο. τῶν δ' ἀφρικῶν μέντοι καὶ σικελικῶν στόλος τῶν πλείων ἀγαρηνῶν, ἐκάκου τάς τε νήσους καὶ τὰ παράλια, ἀλλὰ τούτους στόλος ὁ πλείων ῥωμαϊκὸς, πολλὰ μὲν τῶν σκαφῶν κατέδυσεν αὐτανδρα, πολλοὺς δ' ἐζώγρησε, καὶ τοὺς μὲν πρὸς τὸν βασιλέα ἐξαπέπομφεν, οἱ δὲ αὐτοῦ σταυροῖς προσηλώθησαν κατὰ τὴν παράλιον. Παγκράτιος δὲ ὁ ἄρχων Ἀβασγίας, ᾧ τὴν οἰκείαν ἀνεψιὰν ὁ βασιλεὺς ἡρμόσατο Ῥωμανὸς, τάς τε πρὸς Ῥωμαίους σπονδὰς ἔλυσε, καὶ ὧν παρεχώρησε πρὶν Ῥωμαίοις φρουρίων καὶ πόλεων, ἐπελάβετο πάλιν, ὡς τάχα δίκας Ῥωμαίους πρατόμενος ὑπὲρ τοῦ βασιλέως καὶ θείου τῆς αὐτοῦ ὁμεύνετιδος. πολλάκις δ' οἱ Πατζινάκαι, καὶ τὸν Ἴστρον διαβαίνοντες, τὰ Ῥωμαίων κακῶς διετίθεντο, τοὺς ἁλισκομένους ἀφειδῶς ἀναιροῦντες. καὶ Ἄραβες τὴν Ἔδεσσαν ἐπολιόρκησαν, καὶ ἥλω ἂν ἡ πόλις, εἰ μὴ ὁ δοὺξ Ἀντιοχείας Κωνσταντῖνος ὁ τοῦ αὐτοκράτορος ἀδελφὸς αὐτῇ ἐπεκούρησεν. ὃν ὁ βασιλεὺς τῆς ἀνδρείας ἀμειβόμενος, τῶν ἑῴων ταγμάτων δομέστικον προεβάλλετο. τοῦ δὲ τῆς Αἰγύπτου κρατοῦντος Ἀμερ θανόντος, ἡ ἐκείνου γυνὴ, χριστιανὴ οὖσα, σπένδεσθαι σὺν τῷ υἱῷ μετὰ Ῥωμαίων ἐζήτησε. καὶ ὁ βασιλεὺς ἐκύρωσε μετ' αὐτῶν τριακοντούτεις σπονδάς. ἀδελφοὶ δὲ δύο Σαρακηνοὶ τῆς Σικελίας κρατοῦντες, πρὸς ἀλλήλους ἔσχον διαφορὰς, ὧν θάτερος πρὸς βασιλέα Ῥωμαίων προσπεφευγὼς, συμμαχίαν αἰτῶν, εἰληφὼς ἦν. ὁ πατρί-

περὶ τοῦ Δαλασσηνοῦ καὶ διὰ τίνα αἰτίαν καθείρχθη.

περὶ τοῦ ἀδ. Νικήτα.

περὶ Παγκρατίου τοῦ ἄρχοντος Ἀβασγίας.

περὶ σπονδῶν.

ὅτι μετὰ τὸ ἀ[...] γυναῖκα οἱ Ῥωμαῖοι ἐσπείσαντο.

ὁ πατρίκιος γεώργιος ὁ μανιάκης ὑπερήσων αὐτῷ, λογγιβαρδίας προχειρισθεὶς στρατηγός. μήπω δὲ τὴν σικελίαν καταλαβόντος τοῦ μανιάκη, οἱ ταύτης ἡγεμονεύοντες σύγγονοι πρὸς ἀλλήλους ἐσπείσαντο, καὶ καταλαβόντα τὸν μανιάκην ἀπελάσαι τῆς νήσου διεμελέτων καὶ συμμαχίαν ἐξ ἀφρικῆς μετεπέμψαντο. συρραγέντος δὲ πολέμου, τὸ ῥωμαϊκὸν ἐκράτησε στράτευμα, καὶ φόνου πολλοῦ τῶν καρχηδονίων γεγονότος, πόλεις μὲν πρότερον ὑπεποίησατο δέκα ἐπὶ τρισίν. εἶτα κατὰ μικρὸν προβαίνων ὁ μανιάκης, καὶ πᾶσαν τὴν σικελίαν τῇ ῥωμαίων ἡγεμονίᾳ προσήγαγε. μικροῦ δ' αὖ καὶ ἡ ἔδεσσα, δόλῳ αὐτὴν τῶν ἀράβων μελετησάντων χειρώσασθαι. δώδεκα γὰρ αὐτῶν ἄρχοντες ἐπαγόμενοι καμήλους πεντακοσίας, ὧν ἑκάστη κιβώτια δύο ἐπέφερε, εἰς ἔδεσσαν, ἕκαστον δὲ τῶν κιβωτίων ὁπλίτην εἶχεν ἐντός, ἔλεγον δ' ἀπιέναι πρὸς βασιλέα δωροφοροῦντες καὶ ἐβούλοντο, εἰ παραχωρηθεῖεν, ἔνδον εἰσαγαγεῖν τὰ κιβώτια, νυκτὸς σὺν τοῖς αὐτοῖς ὁπλίταις ἐξαγαγεῖν, καὶ τὴν πόλιν ἑλεῖν. εἰσελθόντας οὖν πρὸς τὸν τῆς πόλεως στρατηγόν, τοὺς ἄρχοντας φιλοτίμως ἐκεῖνος ἐδέξατο. οἱ δ' ἐκείνοις ὑπηρετοῦντες μετὰ τῶν καμήλων ἐπὶ τῆς πόλεως ηὐλίζοντο ἔξω. προσαιτῶν δέ τις ἀρμένιος, εἰδὼς καὶ τὴν ἀράβων διάλεκτον, προσῆλθε τοῖς ἐκτὸς αὐλιζομένοις ψωμὸν μεταιτούμενος, ἀκούσει δ' ἐκ κιβωτίου τινὸς ἐρωτῶντος, ὅποι εἰσὶ καὶ εἰ εἰς τὴν πόλιν ἐλθόντων, ἀπήγγειλε τὸ δρᾶμα τῷ στρατηγῷ. ὁ δὲ τοὺς μὲν ἄρχοντας τῶν ἀράβων εὐωχουμένους ἐν τῇ πόλει κατέλιπεν, αὐτὸς δὲ μετά τινων εἰς αὐτοὺς ἐξελθών, καὶ τὰ κιβώτια διαρρήξας, τοὺς ἐν αὐτοῖς ὁπλίτας ἀπέκτεινεν ἅπαντας, καὶ εἰς τὴν πόλιν αὖθις ὑποστρέψας, τοὺς μὲν λοιποὺς τῶν ἀρχόντων αὐτῶν μαχαίρας ἔργον ἐποίησεν, ἑνὸς δὲ τὰς χεῖρας ἐκτεμὼν, τὰ ὦτά τε καὶ τὴν ῥῖνα ἀφῆκεν, ἵνα τοῖς οἰκείοις τὴν συμφορὰν καταγγείλειεν. ὁ δὲ καρχηδόνιος τὸν ὄλεθρον τῶν ὑπ' αὐτοῦ πεμφθέντων εἰς σικελίαν μαθὼν, αὐτὸς εἰς τὴν νῆσον ἐστράτευσε μετὰ δυνάμεως πλείονος. καὶ ὁ μανιάκης ἀντιστρατοπεδεύεται τοῖς ἀγαρηνοῖς, καὶ τῷ τοῦ στόλου κατάρχοντι τῷ πατρικίῳ στεφάνῳ τῷ τοῦ βασιλέως γαμβρῷ (συνεστάλη γὰρ καὶ οὗτος αὐτῷ μετὰ τοῦ στόλου) ἀσφαλῶς τηρεῖν ἐντέλλεται τὴν θάλασσαν, ἵνα μὴ ἡττηθεὶς ἴσως ὁ καρχηδόνιος ἐκδρᾶναι δυνήσεται. μάχης τοίνυν συστάσης, πλῆθος μὲν τῶν ἀφρῶν ἀνῄρητο, σχεδὸν δὲ κρεῖττον καὶ ἀριθμοῦ. ὁ δὲ αὐτῶν ἀρχηγὸς διαδρὰς ἐκ τῆς μάχης, καὶ λεπτῷ ἐμβεβηκὼς, λαθών τε τὸν ἐν τῷ στόλῳ οἴκαδε διεσώσατο. ὃ τὸν μανιάκην ἐν συμφορᾶς ἦγεν μέρει, καὶ τῷ τοῦ στόλου ἄρχοντι ἐλοιδορεῖτο. τοῦ δὲ τῇ συγγενείᾳ τῇ βασιλικῇ πεποιθότος, καὶ δυσχεραίνοντος πρὸς τὰς ὕβρεις, καί τι ἀντεπενεγκόντος, θυμῷ ληφθεὶς ὁ μανιάκης, καὶ πληγὰς ἐντείνει αὐτῷ. ὁ δὲ αὐτίκα γράφει τῷ γυναικὸς ἀδελφῷ ἰωάννῃ τῷ ἐκτομίᾳ, ὀρφανοτρόφῳ ὀνομαζομένῳ, ἀποστασίαν ἐπιχειρεῖν τὸν μανιάκην. ἐντεῦθεν ὁ μὲν μανιάκης δέσμιος εἰς τὴν πόλιν ἀνεχθεὶς, φυλακῇ παρεδόθη, ἡ σύμπασα δ' ἀρχὴ τῷ στεφάνῳ περιελήλυθε. καὶ ἡ νῆσος οὐκ εἰς μακρὰν ὑπὸ τοὺς ἀγαρηνοὺς αὖθις ἐγένετο, ἀπειρίᾳ καὶ ῥᾳθυμίᾳ τοῦ ἄρχοντος, καὶ πρὸ τούτων αἰσχροκερδείας, μόνης τῆς μεσσήνης (πόλις δὲ αὕτη τῶν σικελικῶν) περιλειφθείσης ῥωμαίοις, καὶ ταύτης τοῦ ἐν αὐτῇ στρατηγοῦντος ἀνδραγαθίᾳ. οὗτος δ' ἦν ὁ κεκαυμένος κατακαλών. ὃς οὐ τὴν πόλιν μόνον περιεφύλαξεν, ἀλλὰ καὶ χιλιάδας ἀνεῖλε τῶν ἐναντίων. ὁ δὲ τοῦ βασιλέως ἀδελφὸς, ὁ ἐκτομίας ἰωάννης, δριμυτάτῳ βληθεὶς ἔρωτι τοῦ προστῆναι τῆς ἐκκλησίας, ἐνίους τῶν ἀρχιερέων προσεταιρίζεται, οἳ αὐτῷ ἐπηγγείλαντο καθαιρήσειν τὸν πατριάρχην ἀλέξιον, ὡς οὐ ψήφῳ κοινῇ προχειρισθέντα, ἀλλ'

Patricius Georgius Maniaces auxilio illi missus est, Longobardiæ Prætor designatus. Qui antequã in Siciliam uenisset, illi inter se reconciliati, & Maniacem insulæ aditu prohibere conati, auxilia Carthagine euocarũt. Sed pugna commissa, Romanus exercitus uicit, magnaq; cæde Carthaginensium edita, tredecim urbes principió ualtauit: deinde paulatim progrediens, Maniaces totam Siciliam Romano imperio restituit. Edessa uerò parum abfuit, quin ab Arabibus dolo caperetur. Nam duodecim eorum principes quingẽtos camelos Edessam adduxere, binas cistellas gestantes, quæ totidem armatos claudebant, simulantes se Imperatori munera oblaturos, sed si intromissi essent, in animo habebant, noctu eductis armatis urbẽ capere. Præter principes ad se ingressos honorifice excepit, corũ ministris cum camelis adhuc extra urbem relictis. Sed quum quidam Armenius mendicus, Arabicæ linguæ gnarus, apud Arabes foris diuersantes mendicaret, audiuit quendam è cista percontantem, ubi essent: & urbem ingressus, cõmentum prætori aperuit. Is Arabum principes in urbe conuiuantes reliquit, & cum suis egressus, apertis cistis, armatos omnes interfecit, ac in urbem regressus, duces qui reliqui erant, gladio confecit, uno tantum dimisso, ambabus manibus, naso & auribus truncato, qui cladem illam domi nunciaret. At Carthaginensis suarũ copiarum interitu cognito, ipse cum maiore exercitu in Siciliam proficiscitur. Maniaces castris contra eum positis, & classis præfecto Patricio Stephano Imperatoris affini (nam is quoque unà missus erat) mandat, ut oram maritimam diligenter tueatur, ne Carthaginensis uictus effugere queat. Prælio cõmisso, tanta multitudo Afrorum perijt, ut nullo propè numero comprehendi queat. Sed eorum princeps pugna elapsus, conscenso celoce, deceptis classiarijs, domum redijt. Id Maniaces ægerrimè ferens, classis præfecto conuiciatur. Is uerò Imperatoris affinitate fretus, quum iniquo animo contumelias accepisset, ac uicissim aliquid dixisset: à Maniace ira percito uerberatus, statim literis scriptis ad spadonem Ioannem uxoris suæ fratrem, cognomento ab alendis pupillis orphanotrophum, Maniacem calumniatur, ut defectionẽ molientem. Qua ille de causa uinctus in urbem ductus, custodiæ mandatur, omni autoritate in Stephanum translata, neq; multò pòst insula in Agarenorum potestatem redijt, Ducis imperitia, socordia, ac sordibus in primis, sola Messana (quæ & ipsa Siciliæ urbs est) uirtute Catacalonis Ambusti præfecti, Romanis conseruata, qui idẽ multa hostiũ millia occidit. At Imperatoris frater, spado Ioannes, pontificatus cupiditate flagrans, quosdam ex primarijs sacerdotibus sibi cõciliauit, qui ei pollicebant, se loco moturos Alexiũ Patriarchã, ut qui non cõmunibus suffragijs, sed

Impe-

Georgius Maniaces res in Sicilia bene gesta, male tractatur.

Agarenorũ dolo Edessam occupare conantiũ cædes.

Stephanus amoto Maniace amittit Siciliam.

Vsus Catacalo Messana defenditur.

Orphanotrophus spe patriarchatus excidit.

Imperatoris autoritate creatus esset. Ille uerò, Si, inquit, cõtra canones me Patriarcham esse factũ asseritis, ij etiam qui à me electi sunt, loco moueantur. Id responsum effecit, ut cæteri sacerdotes à Patriarchæ accusatoribus dissiderent, & orphanotrophus impos uoti redderetur: qui ad quæstus excogitãdos callidissimus, cùm multis insolitis exactionib subditos uexaret, accidit ut soror eius Maria Michaelis Calaphatæ, qui pòst imperauit, mater, uotis exolutis, Ephe so reuersa narraret, quàm miserè subditi nouis illis exactionibus tractarẽtur, ac peteret, ut onus illud laxaretur. Cui cũ cachinno respõdit Orphanotrophus, eam sentire ut mulierem, quæ ignoraret, quantã pecuniã postulet imperium. Zoë uerò Imperatrix illi insidiata esse fertur. Medico enim potionẽ purgantem ei propinaturo muneribus & pollicitationibus persuasit, ut toxicum pro salutari medicina offerret, sed ille animaduersis insidijs, periculum euitauit. Cùm autem Respublica sic ab eo administraretur, fratres eius nõ minus omnes exagitabant, homines iniustissimi & auarissimi: quos quum Imperator etiam ea de causa odisset, tamen maior frater spado Ioannes eos coherceri non patiebatur, aliàs excusando, aliàs tegendo facinora eorum, uel ad cognitionem Imperatoris peruenirent. Cæterũ morbo inualescente, & mentis alienatione sæpius inuadente: neq; frequẽter in publicũ prodijt Imperator, neq; põpa regia usus est, neq; securus in solio regio sedens, respõsa dedit, sed uela circũ suspensa, ij qui signa mali aduentantis obseruabãt (quæ quidẽ complura erãt) animaduersa mentis alienatione, statim obducebant, & astantes secedere iubebãt. Is uerò morbus ut subitò accedebat, ita etiã subitò recedebat. Sic affectus Michael, paulatim à cõspectu et accessu Imperatricis abstinebat, seu uerecũdia, q pro tãtis meritis talem ei gratiã reponeret, seu pudore, ne in morbo suo sæpissimè & subito corripiebatur, ab ea uideret, seu ob corruptũ corporis habitũ, & ad coniugalẽ consuetudinem iam ineptũ. Quidam uerò aiunt, eum uiris spiritualib. & adulteriũ & cædem Imperatoris cõfessum, cum alia ab eis præcepta accepisse, tum ut re uenerea abstineret, eademq; de causa multũ pecuniæ erogabat, & sacras ædes extruebat, & ad inclytũ martyrem Demetriũ Thessalonicã peregrinabatẽ, illius mali depulsionem orãs. Verũ ad illud etiã hydrops accessit. Quæ cũ frater eius Ioannes uideret, ueritus, ne eo subitò extincto, imperiũ ad Zoën iure hæreditario rediret, ipseq; cũ omni familia extirparetur: probabilib. uerbis Imperatori persuadet, ut nepotẽ ex sorore Michaelẽ in imperij successionẽ Cæsarẽ appellet. cui quia Zoë heres erat, ut dictũ est, illam quoq; arte tractat. Ita matronã nobilem, matrẽ ignobilis pueri fingunt. Ambo enim fratres ea de re cũ illa collocuti, Michaelẽ filium eius adoptiuũ nominãt,

Orphanotrophi & fratrum rapacitas.

Orphanotrophi fratres.

Michael et publico, & consuetudine uxoris abstinet.

Michael Calaphates Cæsar appellatus, à Zoe adoptatur.

ἐξουσίᾳ βασιλικῇ. ὁ δέ, εἰ οὐ κανονικῶς, ὡς φατέ, γέγονα πατριάρχης, εἶπε, καὶ ὅσοι παρ' ἐμοῦ ἐχειροτονήθησαν, καθαιρεθήτωσαν σὺν ἐμοὶ καὶ οὗτοι. οἱ λοιποὶ τῶν ἀρχιερέων ἀπέστησαν τῶν τοῦ πατριάρχου κατηγορούντων ἐρίθων, καὶ ἔμεινεν ἀτέλεστος τοῦ ὀρφανοτρόφου ἡ ἔφεσις. πολλαῖς δὲ καὶ ἀσυνήθεσιν εἰσπράξεσιν οὗτος ἐξέτρυχε τὸ ὑπήκοον, πορισμάτων ἐπινοητὴς δεινότατος γενόμενος. τῆς οὖν ἀδελφῆς αὐτοῦ Μαρίας, ἣ μήτηρ ἦν τοῦ ὕστερον βασιλεύσαντος Μιχαὴλ τοῦ Καλαφάτου, δι' εὐχὴν εἰς Ἔφεσον ἀπελθούσης, κἀκεῖθεν ἐπανελθούσης, καὶ διηγησαμένης ὅσα πάσχουσιν οἱ ὑπήκοοι, ταῖς καιναῖς δασμοφορίαις πιεζόμενοι, καὶ ἀξιούσης ἀνεθῆναι τοῖς ὑπηκόοις τὸ τοῦ ἄχθους πολύ, ὁ ὀρφανοτρόφος ὑποκαγχάσας, ὡς γυνὴ φρονεῖς, εἶπε πρὸς αὐτήν, μὴ εἰδυῖα, ὅσων ἡ βασιλεία δεῖται ἀναλωμάτων. τούτῳ ἐπιβουλευθῆναι λέγεται παρὰ τῆς βασιλίσσης Ζωῆς. φαρμακεῦσαι γὰρ αὐτὸν καθαρσίῳ τὸν ἰατρὸν μέλλοντα, ἀναπεῖσαι τὸν φαρμακεύοντα δώροις καὶ ὑποσχέσεσι διὰ ἐκείνων τὴν βασίλισσαν, ἀντὶ σωτηρίου προσενεγκεῖν αὐτῷ δηλητήριον. γνωσθέντος δὲ τοῦ ἐγχειρήματος, διαδρᾶναι τὸν κίνδυνον. ἀλλ' οὕτω μὲν παρὰ τοῦ ὀρφανοτρόφου Ἰωάννου τὰ κοινὰ ᾠκονομεῖτο, οὐ μεῖον δ' ἐκείνου οἱ ἀδελφοὶ αὐτοῦ, ἀλλὰ μᾶλλον καὶ μᾶλλον ἐκείνων ξύμπαντες, ἀδικώτατοι ὄντες καὶ φιλοχρηματώτατοι, οἷς διὰ ταῦτα καὶ ὁ βασιλεὺς ἀπηχθάνετο, ἀνασεῖλαι δὲ τὴν κακίαν αὐτῶν οὐ συνεχωρεῖτο παρὰ τοῦ μείζονος ἀδελφοῦ τοῦ εὐνούχου Ἰωάννου, ποτὲ μὲν παραιτουμένου αὐτούς, ποτὲ δὲ τὰς αὐτῶν πράξεις περικαλύπτοντος, καὶ οὐκ ἐῶντος εἰς γνῶσιν ἥκειν τοῦ αὐτοκράτορος. ἤδη δὲ τῆς νόσου κατακρατούσης τοῦ βασιλέως, καὶ θαμὰ τῆς τοῦ λογισμοῦ παραφορᾶς αὐτὸν ἐπιούσης, οὔτε προόδοις ἐκέχρητο συνεχῶς, οὔτε βασιλείοις πομπαῖς, οὔτ' ἐν βήμασιν ἐχρημάτιζε, τοῦ βασιλείου θρόνου αὐτὸς ἐφιζόμενος, ἀλλὰ παραπετάσματα περὶ αὐτὸν ἀπῃώρηντο, καί τινες ἐκ τῶν θεραπόντων τεταγμένοι αὐτῷ παρειστήκεισαν, οἳ ὁπηνίκα τι σημεῖον εἶδον τῆς τοῦ νοῦ παραφορᾶς (πολλὰ δὲ ταύτης αὐτῷ προὐφαίνοντο) εἷλκον ἐπ' ἐκεῖνον εὐθὺς τὰ παραπετάσματα, καὶ τοὺς παρόντας συγκαλύπτοντες, ἐξιέναι τοῖς παρεστῶσιν ἐκέλευον. τῷ δὲ ἀθρόον τι τὸ πάθος ἐπῄει, καὶ ἀθρόον ἀφίστατο. οὕτως οὖν ἔχων ὁ Μιχαὴλ κατὰ βραχὺ καὶ τοῦ ὁρᾶν τὴν βασίλισσαν καὶ τοῦ προσιέναι ἀπείχετο, ἢ αἰδούμενος, ὅτι οἷα αὐτῇ ἀντεπιδείκνυτο, ἢ ὅτι θαμὰ καὶ ὑπ' ὄψει μέτεστι τοῦ πάθους αὐτῷ ἐπιγινομένου, ἐκείνην πάσχειν οὕτω πρὸς ἐκείνης ὁρᾶσθαι, ἢ διὰ τὸ τὴν ἕξιν τοῦ σώματος διεφθάρθαι οἱ, καὶ πρὸς μῖξιν μὴ πεφυκέναι. τινὲς δέ φασιν, ὡς ἀνδράσι πνευματικοῖς ἐξομολογησάμενος τό τε μοιχείας καὶ τοῦ φόνου τοῦ βασιλέως ἁμάρτημα, παρ' ἐκείνων ἄλλας τε ἐντολὰς ἐδέξατο, καὶ τῆς ἀφροδισίου ἀπέχεσθαι μίξεως, διὰ τοῦτο καὶ διαδότης ἐγένετο χρημάτων πολλῶν, καὶ σεμνεῖα ᾠκοδόμει, καὶ εἰς Θεσσαλονίκην ἀπῄει, τὸν καλλίνικον μάρτυρα Δημήτριον δεόμενος, ἵνα τι τοῦ πάθους εὕρῃ ἀλέξημα. ἤδη δὲ καὶ νόσῳ ὑδερικῇ περιεπέπτωκεν. ὡς οὖν οὕτως ἔχοντα τὸν ἀδελφὸν ἑώρα ὁ Ἰωάννης, δείσας περὶ τῇ βασιλείᾳ, μὴ ἀθρόον θανόντος τοῦ αὐτοκράτορος, ὑπὸ τῇ Ζωῇ γένηται ὡς κληρονόμῳ αὐτῆς, κἀντεῦθεν αὐτός τε καὶ τὸ γένος ὅλον εἰς ἐξολόθρευσιν γένηται, πείθει τὸν αὐτοκράτορα πιθανότησι, καὶ υἱὸν τὸν ἀδελφιδοῦν αὐτοῦ τὸν Μιχαήλ, προχειρίσασθαι καίσαρα, ἵν' ἔφεδρος εἴη τῇ τῆς βασιλείας ἀρχῇ. ἐπεὶ δὲ τῆς βασιλείας, ὡς εἴρηται, κληρονόμον τὴν Ζωὴν ᾔδει, μετέρχεται κἀκείνην, καὶ μητέρα τὴν εὐγενῆ τοῦ δυσγενοῦς ἀναπλάττουσιν. ἄμφω γὰρ τὼ ἀδελφὼ διαλεχθέντε αὐτῇ περὶ τούτου, εἰσποιητὸν ταύτης τὸν Μιχαὴλ υἱὸν ὀνομάζουσιν.

ὅτι πρὸς τὴν ἀδελφὴν [illegible] ὀρφανοτρόφος [illegible].

ὅτι ἐπιβουλεύθη παρὰ τῆς βασιλίσσης Ζωῆς ὁ ὀρφανοτρόφος.

ὅτι ἡ νόσος τοῦ παραφρονεῖν κατακρατοῦσα [illegible] τοῦ βασιλέως.

ὅτι οὐκ ἔτι εἶδε τὴν βασίλισσαν ὁ βασιλεὺς Μιχαήλ.

ὅτι καὶ ὑδέρῳ [illegible] ὁ βασιλεὺς Μιχαήλ.

ὅτι ὁ Καλαφάτης Μιχαὴλ υἱοθετεῖται τῇ βασιλίσσῃ καὶ καῖσαρ ἀναγορεύεται.

ὁ δὲ μὲν

ἡ δὲ μήτ' ἀντιτείνειν θαρροῦσα τοῖς ἐκείνων θελήμασι, καὶ ἄλλως εὔκολος οὖσα καὶ τὴν γνώμην εὐάγωγος, κατένευσε. καὶ συνήθροιστο μὲν εἰς τὸν ἐν Βλαχέρναις ναὸν ἡ γερουσία ἐκ προκηρύγματος, καὶ οἱ πληροῦντες τὴν τάξιν δὴ τὴν βασίλειον, ἐν μέσοις δὲ τούτοις ἡ βασιλὶς προαχθεῖσα καὶ τοῖς κιγκλίσι γενομένη τοῦ θυσιαστηρίου, ἐκεῖθεν εἰς υἱὸν ποιεῖται τὸν Μιχαήλ, καὶ ὡς υἱὸν ἐναγκαλίζεται. ὁ δὲ αὐτοκράτωρ αὐτίκα τοῦτον προχειρίζεται καίσαρα, καὶ τὸ ἄθροισμα ἐπευφήμησεν. ἔδοξε μὲν οὖν ὁ Ἰωάννης ἤδη τὸ πᾶν κατωργάσθαι, καὶ τὸ κράτος τῷ οἰκείῳ γένει περιπεποιῆσθαι, τὸ δ' ἦν ἀναστροπὴ τοῦ παντὸς αὐτῷ τε καὶ τοῖς προσήκουσιν ἅπασιν, ὅπως δὲ ὁ λόγος δηλώσει κατὰ καιρόν. τὸ δὲ τῶν Βουλγάρων, ὡς ἤδη εἴρηται, ὑπὸ βασιλέως τοῦ Βασιλείου καταπολεμηθέντων, καὶ τῆς αὐτῶν βασιλείας καταλυθείσης, μέχρι μέν τινος ἔφερον οἱ βάρβαροι τὸν τῆς δουλείας ζυγόν. ἅτε τοῦτον ἀποσείσασθαι διενοοῦντο καὶ ἀφηνιάζειν, ἀλλὰ σφίσι τὸ ἀναρχεῖν ἐκώλυε τὸ ἐγχείρημα. ἀνὴρ δέ τις ἄσημος μὲν τὸ γένος, Δολιανὸς καλούμενος, δόλου δὲ μεστὸς καὶ δεινότητος, υἱὸν ἑαυτὸν ὑποφημίσας τοῦ Ἀαρὼν, ὃς τοῦ Σαμουὴλ τοῦ ἄρξαντος τοῦ ἔθνους ἦν ἀδελφὸς, ἐκ Βυζαντίου, ὡς λέγεται, ἀποδράς, καὶ πείσας τὸ ἔθνος παῖς εἶναι τοῦ Ἀαρὼν, ἐξ ἡμιτελοῦς ἐκείνῳ γενόμενος, ἀλλ' οὐκ ἐκ δὴ γυναικὸς νομίμου, ὡς βασιλεὺς τοῖς βαρβάροις ᾑρέθη. ἐντεῦθεν εἰς φανερὰν ἀποστασίαν ἐξερράγη τὸ ἔθνος, καὶ εἰς λῃστείας ἐκινεῖτο, καὶ τὰ Ῥωμαίων κατέτρεχε. στέλλεται τοίνυν στρατηγὸς μετὰ δυνάμεως, ἵν' ἀνακόψῃ τὰς ἐκδρομὰς τῶν λῃστευόντων. ὁ δὲ κακῶς τοῖς ὑπ' αὐτὸν προσφερόμενος, ἐξηρέθισε τούτους καθ' ἑαυτοῦ, καὶ ἀπώλετο ἄν, εἰ μὴ ἀπέδρα νυκτός. ὁ γοῦν ὑπ' αὐτὸν στρατὸς δείσας, πρὸς ἀποστασίαν ἐχώρησε, καί τινα τῶν ἐξ αὐτῶν Τειχομηρὸν καλούμενον, ἐκ δὲ γένους φύντα Βουλγαρικοῦ, ἀρχηγὸν ἑαυτοῖς προχειρίζονται, καὶ βασιλέα Βουλγαρίας αὐτὸν ὀνομάζουσι. καὶ τὰ τῶν Βουλγάρων διέστη, τῶν μὲν ὑπὸ Δολιανῷ, τῶν δὲ ὑπὸ Τειχομηρῷ προσερρυηκότων. ἀλλὰ δόλῳ μετῆλθεν ὁ Δολιανὸς τὸν ἀντικαθιστάμενον. μετακαλεῖται γὰρ αὐτὸν ὡς κοινωνὸν καὶ τῆς ἀρχῆς καὶ τῆς πρὸς Ῥωμαίους μάχης. καὶ ὃς πείθεται. ἐπεὶ γοῦν ἠνώθησαν ἄμφω οἱ ἀρχηγοί, καὶ τὸ πλῆθος τῶν Βουλγάρων συνήθροιστο, ὁ Δολιανὸς πρὸς τὸ συνειλεγμένον ἔφη, μὴ ἄν ποτε σωθήσεσθαι τὸ τῶν Βουλγάρων ἔθνος, ὑπ' ἀρχηγῶν δυοῖν κυβερνώμενον, καὶ εἰ τὴν σωτηρίαν ὑμῶν βούλεσθε, τὸν ἕνα δὴ ὑμῶν ποιήσατε ἐκποδών. εἰ μὲν οὖν ἐμὲ τοῦ γένους εἶναι τοῦ Σαμουὴλ οἴδατε, ἀποσκευάσασθε τὸν Τειχομηρόν. εἰ δ' οὐ τοῦτο, αὐτῷ μὲν ἑαυτοὺς ὑποτάξατε, ἐμὲ δ' ἐκ μέσου ποιήσατε. ὡς τούτοις ἐρρέθη, καὶ οἱ τῆς βασιλείας ξύμπαντες ἐπευφήμησαν, καὶ ὁ Τειχομηρὸς κατελεύσθη. ὁ δὲ Δολιανὸς αὐτοκράτωρ γενόμενος, αἱρεῖ τὸ Δυρράχιον, καὶ ἐπὶ τὴν Ἑλλάδα ἐχώρησε, καὶ τὴν Νικόπολιν καὶ τὰ ὑπ' αὐτὴν προσποιεῖται, τῶν ἐν αὐτοῖς οἰκούντων προσχωρησάντων αὐτῷ, ἐπεὶ μὴ ἔφερον τὴν τοῦ ὀρφανοτρόφου ἀπληστίαν καὶ τὸ ἀκόρεστον. καὶ ὁ μὲν οὕτω λείαν Μυσῶν, τὸ τοῦ λόγου, τὰ Ῥωμαίων ἐτίθετο. ὁ δὲ βασιλεὺς τῆς ἀγγελίας κομισθείσης αὐτῷ, αὐτίκα ὥρμα καταλαβεῖν τὸν ἀποστατήσαντα, δεινὸν ἡγεῖσθαι λέγων, εἰ μηδὲν αὐτὸς τῇ βασιλείᾳ προσγενόμενος, μέρος ταύτης ἀφαιρεθῆναι τινὰ παραβλέψεται. ἐπεὶ δὲ ἀπέγνωστο τὸ βιώσιμον (ἤδη γὰρ ὁ ὕδερος αὐτοῦ κατεκράτησε, καὶ αὐτοῦ τὸ σῶμα ἐξώγκωσε) τότε συγγενεῖς ἀπεῖργον τῆς ἐκστρατείας αὐτὸν ἐκλιπαροῦντες, καὶ οἱ προύχοντες τῆς βουλῆς οὐκ ἐπῄνουν τὸ βούλευμα. ἀλλ' ἐκεῖνος ζήλῳ ῥωννύμενος, καὶ ἀντιτιθεὶς τῇ ἀσθενείᾳ τὸ πρόθυμον, ἤδη κατὰ τῶν ἀποστατῶν χωρεῖ, καὶ ἦν τὸ πρᾶγμα θαύματος ἄξιον. νυκτὸς γὰρ τῇ νόσῳ καταπονούμενος, καὶ οὐκ ἂν οὐδ' αὔριον ἀναστήσεσθαι προσδοκώμενος, ὁ δὲ ἡμέρας ἤδη διαφαινούσης ἔφιππός τε

...ος ἀντιτά- ... ἀλλήλοις τὸ Βουλγάρων ἔθνος περὶ τοῦ ... ὡς δύο ἀρχηγοὺς ...

ἐπὶ ὁ βασιλεὺς ὑδρωπιῶν στρατεύει κατὰ Βουλγάρων.

Ea uerò quæ nec uoluntatibus eorũ refragari auderet, et alioqui facilis ac tractabilis esset, annuit. Senatu igitur & * ijs qui ordinem imperatorium explent, in Blachernianã ædem conuocatis: Imperatrix producta in medium, & intra sacrarij cancellos progressa: inde Michaelem adoptatum, pro filio ulnis excipit, eundemq́ Imperator statim Cæsarẽ appellat, & populi frequentia cõsalutat. Ac Ioãnes quidẽ se negociũ omne cõfecisse iam, & imperium suæ familiæ cõstabilisse putabat: sed eo pacto et semetipsũ, & oẽs suos necessarios funditùs euertit, ut suo loco referet. Bulgari porrò ab Imperatore Basilio, ut dictum est, subacti, suo regno euerso iugum seruitutis ad tẽpus tulerunt. Tandẽ uerò cùm de eo excutiendo, & detrectãdis imperatis cogitantibus dux & autor deesset: uir quidam obscuro ille quidem genere ortus Dolianus, sed doli & astutiæ plenus, Byzantio ut fertur, fuga elapsus, & se filium naturalem, non legiõmũ Aaronis, qui frater Samuelis fuit: principis Bulgarorũ, professus, à Barbaris Rex eligitur. Ex eo tempore gens apertè defecit, & ad latrocinia conuersa est. Ad eorũ igitur grassationes cohercendas, quidam Dux cum copijs missus, cùm milites suos malè tractaret, eorum iracũdia perisset, nisi aufugisset noctu. Eius uerò exercitus metu pœnæ defecit, & quendam è suo numero Tichomerum Bulgarũ genere, ducem creat, & regem Bulgariæ nominat. Sic res Bulgarorum diuisæ sunt, alijs ad Dolianũ, alijs ad Tichomerum confluentibus. Sed Dolianus aduersarium dolo aggressus, ad regni & belli Romani consortiũ accersit. Qui cùm paruisset, congregato Bulgarico populo, Dolianus ait: Res Bulgarica nunq̃ salua erit sub duobus regibus. Quòd si uestræ saluti consultũ cupitis, alterũ nostrũ è medio tollite. Ac si me ex genere Samuelis esse nostis, Tichomerũ amouete. Sin minus, illi parete, meq́ tollite. Hinc clamore sublato, ab omnibus Rex consalutatur, Tichomerus lapidibus obruitur. Dolianus ita rerum potitus, Dyrrachium capit, & Græciam aggressus, Nicopoli cum finitimo agro potitur, ultrò deditione facta à ciuibus, orphanotrophi insatiabilem rapacitatem non ferentibus, ac, ut prouerbio dicitur, Mysorum prædam facit Romanas ditiones. At Imperator defectione nunciata, ad autorem eius comprehendendum incitatus, iniquum esse dicebat, si ipse, qui nihil ad imperium attulisset, partem eius aliquam rapi ab ullo pateretur. Sed quia de salute eius iam desperatum erat (inualuerat enim hydrops tumefacto corpore) tum cognati expeditionẽ eius deprecabãtur, tum principes senatus consiliũ improbabãt. Ille uerò æmulatione cõfirmatus, & corporis imbecillitatẽ animi uiribus sustentãs, cõtra seditiosos ꝓficiscit̃, ac res mira quędã accidit. Nã cũ noctu morbo opprimeret̃, nec postridie surrecturus putaret̃: diluculo in equo conspi-

Michael quamuis hydropicus Bulgariam recuperat.

Dolianus & Tichomerus temporarij Bulgarorum reges.

cōspiciebatur, & exercitum præcedebat. ut in Bulgarorum fines uenerat, seq; ad aciem decertandum parabat: priusquā exercitus congrederentur, quiddam interuenit, quod Imperatori celerem uictoriā sine labore ullo peperit. Nā Aaronis illius filius, Patricius, Alusianus, cùm apud Romanos esset, atq; Imperatorem nonnihil offendisset, ea pœna mulctatus erat, ut domi se tenens neq; Regiam frequentaret, neq; Byzantium intraret, sine permissu Imperatoris. Ea calamitate dolens, ubi gentis suæ defectionem cognorat, et Doliani electionem, cui parendum esset: domo effugit, mutatoq; uestitu, & Armenij habitu sumpto, Theodorocani se famulum esse, & in castra ire simulans, à nemine agnitus est donec in Bulgariam peruenisset: ac ne ibi quidem statim se cognoscendū præbuit, sed inter colloquendū, Aaronis mentionem apud quosdam interiecit, ac dixit: Si quis illius liberorum adesset: nunquid uobis legitimus spurio in regni suffragijs præferendus uideretur? Cùm omnes germanum Aaronis filium regem optarent, ut principatus in uirum cuius natales haud ambigui essent, quiq; ex uetusta regia stirpe citra controuersiā originem duceret: arcanum cuidam ex ijs, quibus Aaronia familia notior erat, aperit: qui cùm faciem illius oculis curiosius perlustrasset, tandem signum etiam indubitatum uidere cupit. Id uero erat nigra macula in cubito dextro, densis pilis circundata. Quod quum uidisset, iam omni scrupulo exempto, prostratus, uiri pedes amplectitur, ac cæteros quoq; docet, adesse regij generis hominem. Multi igitur ab ambiguo illo auulsi, ad germanū se contulerunt. Sed cum diuiso imperio, principibus inter se dissidentibus regnum cōsistere omnino haud posse censerent, inter sese pacifscuntur, ut communi consilio Rempub. administrarent, nihilo secius uterque alteri suspectus atq; insidians. Verùm Alusianus ad insidiandum promptior, Doliani dolum anteuertit. Nam conuiuio apparato, & collega inuitato: miserum hominem inter pocula comprehensum excæcat. Sic * Scythicæ gentis imperio solus potitus, Imperatori se crertò nunciari iubet, se illi deditionem facturum, si clemēter suscipiatur, & iustis præmijs non fraudetur. Ille nec accessum eius abnuit, & parem gratiam relaturum pollicetur. Cùm igitur uenisset, magister creatur. Imperator uerò gentem rege destitutam & dispersam, statim haud difficulter superatam, Romano imperio rursus subijcit, & in urbē reuersus triumphat, cū multos alios captiuos, tum Dolianū cæcatū adducens. Sed cum malè haberet, nec longè à dissolutione compagis abesset, despecto imperio relictaq; Regia, in monasterium suburbanum à se extructū, mirificorum Anargyrorum indito nomine, secedit: ibiq; purpura cęterisq; insignibus imperij abiectis, raso capillo initiat, & Christianæ submissionis lacer-

Alusiani opera Bulgari subiguntur.

Dolianus cæcatur.

Michael fit monachus.

ὥρμητο, καὶ πρὸ τῆς στρατιᾶς. ὡς δ' ἐν τοῖς τῶν Βουλγάρων ὁρίοις ἐγγέγονε, παρεσκευάζετο πρὸς ἀντιπαράταξιν. οὔπω δ' ἀλλήλοις τὰ στρατεύματα συνερρωγότα ἦν, καί τι συμβὰν ἀπόνως σχεδὸν τῷ βασιλεῖ τὴν νίκην προὐξένησεν. ὁ γάρ τοι τοῦ Ἀαρὼν ἐκείνου υἱός, ὁ πατρίκιος Ἀλουσιάνος, παρὰ Ῥωμαίοις ὤν, καί τι προσκεκρουκὼς τῷ κρατοῦντι, ἐπ' οἴκου μένειν κατεκέκριτο, καὶ μήτε προσιέναι πρὸς τὰ ἀνάκτορα, μήθ' ὅλως εἰσιέναι πρὸς τὸ Βυζάντιον, εἰ μὴ ἐπιτραπείη τὴν εἴσοδον. ἀθυμῶν γοῦν διὰ ταῦτα, ἐπεὶ δ' ἔγνωκε τὴν τοῦ ἔθνους ἀποστασίαν, καὶ τὴν τοῦ Δολιάνου αἵρεσιν εἰς τὸ ἄρχειν αὐτοῦ, ἀποδιδράσκει μὲν τῆς οἰκίας αὐτοῦ, καὶ μεταμφιεσάμενος, Ἀρμένιόν τε στολὴν περιθέμενος ἑαυτῷ, καὶ θεράπων εἶναι τοῦ Θεοδωροκάνου πλαττόμενος, καὶ ἀπιέναι πρὸς τὸ στρατόπεδον, ἔλαθε πάντας, καὶ πρὸς Βουλγαρίαν κατήντησεν. ἀλλ' οὐκ αὐτίκα δῆλον ἔθετο ἑαυτόν, προσομιλῶν δέ τισι, τοῦ Ἀαρὼν ἀνεμιμνήσκετο, καὶ ἆρα, ἔλεγεν, εἴ τις τῶν ἐκείνου παίδων παρῆν, ἐδόκει ἂν ὑμῖν εἰς τὴν τοῦ ἔθνους ἀρχὴν προτιμότερος τοῦ νόθου ὁ γνήσιος. ὡς δὲ πάντες πεποίηντο δι' εὐχῆς τὸ ὑπὸ γνησίου παιδὸς ἄρχεσθαι τοῦ Ἀαρών, καὶ τὴν βασιλείαν αὖθις αὐτῶν εἰς ἀναμφίβολον περιστῆναι αὐθέντην, καὶ τῷ πάλαι βασιλέων γένει προσήκοντα καθαρῶς, πιστεύει τινὶ τὸ ἀπόρρητον τῶν μᾶλλον εἰδότων τὸ γένος τοῦ Ἀαρών. ὁ δὲ περιεργότερον αὐτῷ ἐνιχνεύσας τὸ εἶδος τοῖς ὀφθαλμοῖς, ἅτε καί τι σημεῖον εἰδὼς πρὸς τὸ ἀναμφίβολον, καὶ τοῦτο ἰδεῖν ἀπαιτεῖ. τὸ δ' ἦν περὶ τὸν δεξιὸν ἀγκῶνα χρῶμά τι μέλαν, καὶ θριξὶ δασεῖα τις ἐπ' αὐτῷ. ἰδὼν οὖν καὶ τοῦτο, καὶ ἐκ τοῦ τοίχου φυλακτικῶς, καταβάλλει μὲν ἑαυτὸν ἐνώπιον τοῦ ἀνδρός, καὶ τοὺς πόδας αὐτοῦ περιπτύσσεται. διδάσκει δὲ καὶ τοὺς ἄλλους, τὸν ἐκ τοῦ βασιλέως γένους αὐτοῖς ἀφιγμένον. καὶ πολλοὶ τοῦ ἀμφιβόλου ἀπορραγέντες τῷ γνησίῳ προσέθεντο, καὶ μεμέριστο ἡ ἀρχή. ὡς δ' οὐ πάντως τῆς βασιλείας αὐτοῖς συμβαινούσης, εἰ πρὸς ἀλλήλους οἱ ἀρχηγοὶ διαφέροιντο, κοινοπραγοῦσι καὶ σπένδονται, ἀλλήλους δὲ καὶ ὑποπτεύοντες κἀνεδρεύοντες. ἀλλ' ὀξύτερος εὑρέθη ὁ Ἀλουσιάνος πρὸς τὴν ἐπιβουλήν, καὶ τὴν τοῦ Δολιάνου προέφθασε δολιότητα. καὶ πότον ἑτοιμασάμενος, καὶ συμπότην παραλαβὼν τὸν συνάρχοντα, ἐπιτίθεταί οἱ συμποσιάζοντι, καὶ ἐξορύττει τῷ ἀθλίῳ τὰ ὄμματα, καὶ εἰς μίαν συνελθοῦσαν ἀρχὴν τὸ σκυθικὸν περιΐσταται. εἶτα δὴ ἀπορρήτως μηνύει τῷ βασιλεῖ, βούλεσθαι προσχωρῆσαι αὐτῷ, εἰ εὐμενοῦς αὐτοῦ τεύξεται, καὶ ἀναλόγων οὐκ ἀμοιρήσει τῶν ἀμοιβῶν. ὁ δὲ τὴν ἔνδειξιν προσήκατο, καὶ ἀξίως ἀμείψασθαι αὐτὸν ὑπέσχετο. καὶ ὃς αὐτίκα προσελήλυθε, καὶ τετίμητο μάγιστρος. ὁ δὲ βασιλεὺς ἐπιστὰς τῷ ἔθνει, τὸ δὲ ἄναρχον ὂν καὶ διεσπαρμένον, οὐ δυσχερῶς καταπολεμηθὲν αὖθις τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ ὑπέκυψε, καὶ ὁ βασιλεὺς πρὸς τὸ Βυζάντιον ἐπανέζευξε, καὶ κατήγαγε θρίαμβον αἰχμαλώτους τε πολλοὺς εἰσαγαγὼν σὺν αὐτῷ, καὶ τὸν Δολιάνον αὐτὸν πεπηρωμένον τὰ ὄμματα. εἶχε δ' ὁ αὐτοκράτωρ κακῶς, καὶ ἤδη τῇ λύσει προσήγγιστο τῆς συνδέσεως. καταφρονεῖ γοῦν τῆς ἀρχῆς, καὶ ἐκ τῶν βασιλείων μεταχωρεῖ, καὶ ἄπεισιν εἰς ὅπερ αὐτὸς πρὸ τῶν τειχῶν τῆς πόλεως ἱδρύσατο ἀσκητήριον, ὃ δὴ τῇ κλήσει τῶν θαυματουργῶν ἀναργύρων ὠνόμαστο. ἔνθα δὴ γεγονώς, ἐκδύεται μὲν τὴν ἁλουργίδα καὶ τἆλλα πάντα τῆς βασιλείας γνωρίσματα, κείρεται δὲ τὴν τρίχα, καὶ τελεῖται τὴν ἱερὰν τελετήν, καὶ ἐπεγ-

ὅτι ὁ Ἀλουσιανὸς φυγὼν ἐκ τῶν Ῥωμαίων εἰς τοὺς Βουλγάρους ἐγνωρίσθη τοῦ Ἀαρὼν υἱὸς, καὶ τὸν Δολιανὸν ἐκτυφλώσας αὐτός.

ὅτι προσῆλθεν ὁ Ἀλουσιανὸς τῷ βασιλεῖ.

ὅτι ἐκάρη ὁ βασιλεὺς ἐν τῇ μονῇ τῶν ἁγίων ἀναργύρων καὶ ἀπέθανε.

ἀπεδύετο τὴν ἐσθῆτα τὴν ἐκ χρυσοῦ πεποικιλμένην, καὶ περιζώννυται τὸ θεῖον δέρας, τὸ τῆς ἑκουσίου νεκρώσεως σύμβολον, ὁ ἀθλίως καὶ ἄκων νεκρούμενος. ὡς οὖν ἠγγέλθη τῇ βασιλίσσῃ τὸ γεγονός, πεζῇ τῶν βασιλείων ἐξῄεσι, καὶ πρὸς ἐκεῖνον ἀφίκετο. ὁ δὲ ταύτῃ τὰς θύρας ἀπέζευξε, καὶ τὴν πρὸς αὐτὸν ἀπηγόρευσεν εἴσοδον, οὐκ οἶδα εἴτ' αἰδούμενος αὐθ' ὧν πρὸς αὐτὴν ἐφυλάξατο, εἴθ' ὅλως τῆς μετανοίας γενόμενος, καὶ μὴ θέλων εἰς μνήμην ἐλθεῖν τῆς πρὸς ἐκείνην παλαιᾶς διαθέσεως. ἡ μὲν οὖν μὴ ἐντυχοῦσα τῷ μιχαὴλ, ὑπέστρεψεν. ὁ δὲ βραχύ τι τῇ μεταθέσει τοῦ βίου ἐπιβιώσας, πρὸς τὰς ἀϊδίους μονὰς μετέθετο τὴν ζωὴν, μέχρις ἐσχάτης ἀναπνοῆς τὸ πρὸς τὸν βασιλέα ῥωμανὸν αὐτῷ τολμηθὲν ἐκλοφυρόμενος. βασιλεὺς γεγονὼς ἐπιεικὴς καὶ χρηστὸς, ὅσον τὸ εἰς αὐτόν, τὸ συγγενὲς δέ οἱ ὥσπερ κηλίς τις παραπεφύκει αὐτῷ ῥυπαίνουσά πως τὴν ἐκείνου χρηστότητα. ἱστόρηται δὲ ὁ βασιλεὺς οὗτος τοῖς μὲν ἐπ' ἔτος ἕβδομον τὸ σκῆπτρον κατασχεῖν τὸ ῥωμαϊκὸν, τοῖς δὲ καί τι τούτου ἐπέκεινα.

τελευτὴ τοῦ βασιλέως μιχαὴλ τοῦ παφλαγόνος.

ΒΑΣΙΛΕΙΑ ΜΙΧΑΗΛ ΤΟΥ καλαφάτου.

Ἧκε δ' ἡ τῶν ῥωμαίων ἀρχὴ πρὸς τὸν καίσαρα, ταῦτα τοῦ μητραδέλφου αὐτοῦ τοῦ ἰωάννου ἀνύοντος. ὁ μὲν γὰρ βασιλεὺς μιχαὴλ, καίσαρα τοῦτον ἐτίμησεν, ὡς προγέγραπται, εἶτα ὥσπερ μεταμελόμενος, οὐ χρηστὴν πρὸς ἐκεῖνον ἐτήρει διάθεσιν. ὅθεν καὶ ἔξω που τῆς πόλεως ἀφώριστο αὐτῷ ἡ καταγωγὴ, καὶ οὐδ' ἐφεῖτο τούτῳ, εἰ μὴ κελευσθείη πρὸς τὸν βασιλέα φοιτᾶν. ἐπεὶ δὲ τῶν βασιλείων ἐξεληλύθει ὁ αὐτοκράτωρ, ὡς εἴρηται, οἱ ἐκείνου αὐτάδελφοι βασίλειον πλάττονται γράμμα, ἐπιτρέπον ἐκείνῳ τὴν πρὸς τὰ ἀνάκτορα πάροδον. καὶ ὁ μὲν εἰσελήλυθεν. ὁ δὲ πρῶτος τῶν ἀδελφῶν ὁ ὀρφανοτρόφος, μὴ δεῖν συνεβούλευσεν ἐγχειρῆσαι πράξει τινὶ, γνώμης τῆς βασιλίδος χωρίς. προσίασι τοίνυν αὐτῇ, καὶ τοῖς ἐκείνης ποσὶ τὸν καίσαρα καταβάλλουσι, καὶ προΐσχονται τὴν εἰσποίησιν, καὶ πίστεις διδόασι, καὶ φρικώδεις ὅρκους ὀμνύουσιν, ἦ μὴν τοῦ ὀνόματος μόνου τῆς βασιλείας μετέχειν τὸν μιχαὴλ, ἐκείνης δ' εἶναι τὴν ἐξουσίαν, καὶ ὡς ἀργυρωνήτῳ, εἰ βούλεται, κεχρῆσθαι αὐτῷ. τούτοις ἐκείνην, καὶ ἄλλως εὐάγωγον οὖσαν, καταγοητεύσαντες, καὶ καταθέλξαντες τοῖς μειλίγμασι, συλλαμβάνουσι καὶ τοῦ ἑαυτῶν ποιοῦσι θελήματος. καὶ ἐγχειρίζεται μὲν ὁ μιχαὴλ τὸ σκῆπτρον, καὶ ἀναδεῖται τῷ βασιλικῷ στεφάνῳ, ὁ ταύτης ἀνάξιος, οὐ μᾶλλον ἐκ γένους, καίτοι τότε τυχὸν δυσγενέστατος καὶ ἀφανὴς (τὰς γὰρ τῶν νηῶν κατεπίττων ἦν αὐτῷ ὁ πατὴρ) ὅσον ἐκ τρόπων κακότητος. ἦν γὰρ ὕπουλος μὲν τὴν γνώμην, ἀγνώμων δὲ τὴν ψυχὴν καὶ ἀχάριστος, καὶ μήτε συγγενείας θεσμοὺς μήτε φιλίας αἰδούμενος, ᾧ δὲ οὐδὲ ἡ γλῶττα πρὸς τὰ βουλεύματα τῆς ψυχῆς ἀσύμφωνος καὶ ἀσύμβατος, ἀλλὰ τὰ μὲν ἐνὶ φρεσὶ κεύθοντι, ἄλλα δὲ λέγοντι, καὶ ἦν τοῖς τε ἄλλοις βάσκανος ὁ ἀνὴρ, δουλοπρεπής τε περὶ τὰς τῶν καιρῶν δυσκολίας καὶ ἀνελεύθερος, δύσοργός τε καὶ εὐμετάβολος, οὐκ ἐξ ὀργῆς ῥᾷον μεταβαλλόμενος εἰς πρᾳότητα, ἀλλ' ἐκ χρηστοτέρας διαθέσεως εἰς μῖσος ἐκ τοῦ τυχόντος μεταφερόμενος. ὁ μὲν δὴ τοιοῦτος ὢν, ἐπὶ τὸν ἄξονα τῆς βασιλείας ἀνάγεται, τῷ δὲ ὀρφανοτρόφῳ καὶ θείῳ αὐτοῦ καὶ τῷ συγγενικῷ σύμπαντι ὁ κολοφὼν γέγονεν ἐπ' αὐτῷ τῶν συμφορῶν. οὐ γὰρ ἐπὶ μακρὸν ὑπεκρίνατο τὴν σκηνὴν καὶ τὴν προσποίησιν, ἀλλ' ἐπί τινας βραχυτάτας ἡμέρας δεσπότην τὸν θεῖον ὀνομάζων, καὶ συν-

ὅτι ἀνάγουσιν εἰς τὰ βασίλεια τὸν καίσαρα μιχαήλ.

ἀνάρρησις εἰς βασιλέα τοῦ καίσαρος· ἢ οἷος ἦν τὸ ἦθος ὁ μιχαήλ.

ὅπως διετέθη πρὸς τὸν θεῖον αὐτοῦ τὸν ὀρφανοτρόφον.

na induta, sacro uellere uoluntariæ mortificationis signo cingitur, iam uel ingratis mortificādus. Eo facto nunciato, Imperatrix pedes illò profecta excluditur, ad colloquiū non admissa: haud scio num uerecundia malæ tractationis, an quod totus pœnitentiæ deditus, ueteris erga illam affectionis memoriam renouare noluerit. Sic illa Michaelem non allocuta, discessit. Ipse uerò isti mutationi haud diu superstes, usq; ad extremum spiritum admissum, in Romanum facinus deplorare nunquam destitit. In Imperio se clementem & æquum prębuit, quantum in ipso fuit, sed fratres bonitati eius quandam ignominię quasi maculam asperserunt. Regnasse fertur ab alijs annos septem, ab alijs paulò diutius.

IMPERIVM MICHAELIS Calaphati.

Romanorum uerò maiestas ad Cæsarem deuenit, auunculi eius industria. Nam Michael Imperator, Cæsarem illum quidem appellarat, ut suprà scripsimus, sed ueluti facti pœnitens, beneuolentiam erga illum non conseruarat. Vnde & extra urbem diuersorium ei constitutum erat, neq; permissum adire Imperatorem, nisi iuberetur. Sed cum is Regia excessisset, ut dictum est, fratres illius, nomine imperatorio literas cōfinxerunt, quibus illi accessus in Regiam permittebatur. Quò cum uenisset, autore Orphanotropho nullam rem sine consensu Imperatricis suscipiendam censuit. Eam igitur adeunt, & Cęsare ad pedes illius prostrato, adoptionis commonefaciunt, fideq; data sanctissimè iurant, Michaelem uerbotenus duntaxat, Imperatorem fore, illius uerò autoritatem omnem esse oportere, usumq; ipsis non secus ac ære & libra emptis mancipijs. His illam, per se quoque facilem, præstigijs ac blanditijs delinitam ita ceperunt, ut in ipsorum potestate esset. Itaq; Michael sceptrum accipit, & regia corona redimitur, qua indignus erat, nō tam ob genus uilissimum & obscurum (pater enim eius naues picare solebat) quàm ob morum improbitatem. Fuit enim ingenio subdolo, animo iniquo & ingrato, neque cognationis nec amicitiæ iura reuerens, lingua porrò ab animi sententia dissentiente ac discrepante, alia tegere, alia dicere solitus. Ad ea accedebat singularis inuidentia. Temporibus difficilibus seruilis erat & illiberalis, iracundus & mutabilis: sic tamen, ut à beneuolentia facilius quauis de causa ad maleuolentiam declinaret, quàm ab iracundia ad clementiam. Quamuis autem talis esset, ad gubernacula imperij ascendit, in ruinam & exitium Orphanotrophi auunculi, & totius familiæ suæ. Neque enim fictos & simulatos mores diu tenuit, sed perpaucis diebus auunculum dominum appellauit, consessu suo di-

Calaphates Orphanotrophi opera potitur Imperio.

Calaphatæ natales & mores.

Orphanotrophus malè tractatur à Calaphate.

gnatus, & omnia ad illũ retulit. Deinde paulatim aliquid de honore subtraxit, Pôst plerisque in rebus eius autoritatem nihili fecit, & aliâs aliud egit, quo ille morderetur. Qui etsi studium erga nepotem suum damnabat, tamen quid in præsentia faceret, non habebat, sed clàm nescio quid cum animo suo agitans, rarius adibat Imperatorem. Enimuero controuersia inter ipsum & fratrem Constantinum orta, cui soli ex omnibus necessarijs Imperator adhærebat, ac nobilissimi titulũ concesserat: cum Imperator Constantinum non castigasset, ob Orphanotrophum asperius se præsente increpatum: ille dolore contumeliæ exacerbatus, longius ab urbe recessit. Quo cognito magnam Senatus partem ad se attraxit, non quòd eum tanta beneuolentia prosequerentur, sed ut eius beneuolentiam colligerent. Imperator uerò multorum ad illum conuentum metuens, per literas ei superbia obiecta, petit ut ad se ueniat. Sed cum ille iret, non expectato auunculi aduentu, ludis Circensibus in theatrum se contulerat. Eo igitur non inuento, ob contumeliam adhuc ira æstuans Orphanotrophus, recedit. Tum uerò Imperator in manifestas inimicitias erumpit, missaque naue eum adesse iubet, ut superbiæ suæ rationem reddat, & ad Regiam nauigantem, ex superiore loco, nota ijs a quibus uehebatur tessera data, aditu phibet, statimque missa triremi hominẽ relegat, hoc modo remuneratus eum, cuius beneficio primùm Cęsar, pôst etiã Imperator fuerat designatus. Quem cum amouisset, cognatos inuadit, & uiros nõ sexu duntaxat, sed ætate etiam, barbatos iam, maritos & patres, uirilibus excectis, eunuchos facit. Cum de cognato sanguine ita triũphasset, unum sibi Herculanum etiam certamen superesse ratus Imperatricis eiam exigendæ, ad id quoque se parat, suasu & impulsu Constantini auunculi. Filius igitur ignobilissimus contra matrem nobilissimam rumores spargit & crimina comminiscitur, eamque insontem ueneficam uocat, uitæque suæ insidiari queritur. Et quid ambages agam? Eijcit eam regia, & in Principis insulam relegat, denique bene de se meritam tondet, aliumque habitum sumere cogit, & pro purpura, quę ab atauis inde illi cõueniebat, lacernam induere. Quo ille facto, quasi rebus omnibus cõfectis lætus atque insolens, lusibus & delicijs se dedebat. Cęterũ uindicta nõ dormitãs, celeriter iniquũ & ingratũ hominẽ est assecuta. Nam facinore illo in urbe uulgato, omnes mœstos & tristes erat cernere, nec secus atque in propria calamitate affectos. Tandẽ etiam conuicia in tyrannũ iaciebãt. Mulierũ uerò cętus lugebãt & Imperatricẽ inuocabãt. Postremò tota ciuitas in manifestã erupit seditionẽ. Et ut audaciã illi⁹ ulciscerenẽ, uita neglecta, quicquid erat obuiũ, eo dexteras armãtes, ad Regiã cõcurrerũt. Illũ uerò

Calaphates, cognatos castrat et Zoë relegat.

Seditio ob Zoen relegatam.

θαλῆν αὐτῷ ἀξιῶν, καὶ πάντα ἐπ' ἐκείνῳ τιθέμενος, εἶτα ὑφήρει τὶ τῆς τιμῆς, εἶτα οὐκ ἦν αὐτῷ παθεινὸς ἐν τοῖς πλείοσι, καὶ ἄλλοτε ἄλλό τι πρὸς τὸν θεῖον ὑπεκνίζον αὐτὸν, ἐνεδείκνυτο. τῷ δὲ μετέμελε τῆς εἰς τὸν ἀνεψιὸν σπουδῆς, οὐκ εἶχε δ' ὅτι καὶ δράσειεν ἐν τῷ τέως, ἀλλ' ἐβυσσοδόμευε τὸ ἐγχείρημα, τέως δὲ οὐ συνεχῶς προσῄει τῷ βασιλεῖ. διαφορᾶς δὲ πρὸς Κωνσταντῖνον τὸν ἀδελφὸν αὐτοῦ γενομένης, ᾧ μόνῳ ἐξ ἁπάσης τῆς συγγενείας ὁ Μιχαὴλ προσέκειτο, καὶ ἐτίμησε νωβελλίσιμον, καὶ τραχυνθέντος ἐκείνου κατὰ τοῦ Ἰωάννου τοῦ βασιλέως παρόντος, ὁ Ἰωάννης τοῖς λόγοις ἀχθεὶς καὶ μᾶλλον ὅτι μὴ πρὸς τοῦ βασιλέως διὰ τὰς πρὸς αὐτὸν λοιδορίας ἀντετίμητο, ἀπεδυσπέτησέ τε, καὶ πόρρω που τοῦ ἄστεος γέγονε. τοῦτο δὲ γνωσθὲν πολύ τι τῆς γερουσίας μέρος συνεπεσπάσατο, οὐχ ὅτι αὐτῷ προσέφεροντο οὐκ εὐνοίᾳ, ἀλλ' ἵν' ἐφ' ἑαυτοὺς τὴν αὐτοῦ εὐμένειαν ἐφελκύσωνται. καὶ ὁ βασιλεὺς τὴν πρὸς ἐκεῖνον συνέλευσιν τῶν πολλῶν εὐλαβηθεὶς, διὰ γραμμάτων αὐτῷ τὴν ὑπεροψίαν προσονειδίσας, καὶ παρ' ἑαυτὸν ἠξίου ἀφικέσθαι. καὶ ὁ μὲν ᾔει, ὁ δὲ μὴ ἀναμείνας τοῦ θείου τὴν ἄφιξιν, ἐπορεύετο πρὸς τὸ θέατρον, ἦν γὰρ ἡμέρα ἵπποις ἁμιλλητήριος. ὡς δ' ἐλθὼν ὁ θεῖος οὐχ εὗρε τὸν βασιλεύοντα, ἐπὶ τῷ θυμῷ ὑποβρυχίσας, ὡς περιυβρισμένος, ὑπέστρεψε. καὶ ὁ βασιλεὺς αὐτῷ τὴν δυσμένειαν εἰς προῦπτον ἐξέφηνε, καὶ στέλλει ναῦν κελεύων αὐτῷ, διὰ ταύτης ἀφικέσθαι, δώσοντι λόγους τῆς εἰς ἐκεῖνον ὑπεροψίας, ὁ μὲν ἔπλει πρὸς τὰ βασίλεια. ὁ δὲ βασιλεὺς ἄνωθεν διά τινος συνθήματος, ὃ τοῖς ἄγουσι τὸν Ἰωάννην προέγνωστο, ἐπέσχε τῇ νηῒ τὴν εἰς τὰ βασίλεια πάροδον, αὐτίκα δὲ τριήρης ἐπελθοῦσα λαμβάνει τοῦτον, καὶ ὑπερόριον τίθησι. τοῦτοις ἀμείβεται τὸν εὐεργέτην, ὃ δι' ἐκεῖνο καῖσαρ, εἶτα καὶ βασιλεὺς γεγονώς. ἐπεὶ δ' ἐκεῖνον ἐκ μέσου πεποίηκε, μέτεισι τὸ συγγενὲς, καὶ ἄνδρας οὐχὶ τῇ τῆς φύσεως μόνῃ δυνατικῇ σημασίᾳ, ἀλλὰ καὶ τῇ σημαινούσῃ τὴν γένεσιν, καὶ εἰς τὴν ἀνδρῶν ἡλικίαν ἐληλακότας ὑπήνας ἤδη, καὶ παίδων γεγονότας πατέρας, τῶν παιδογόνων μορίων ἀπεστέρει, καὶ ἐκτομίας εἰργάζετο. ὡς δὲ κατὰ τοῦ ὁμογενοῦς αἵματος τοιοῦτον ἤρατο τρόπαιον, ἵνα ἐπὶ ποῦ λειφθείη αὐτῷ νόμιζων ἡράκλειον ἆθλον, τὸ καὶ τῆς βασιλίδος ἀποσκευάσασθαι, καὶ πρὸς τοῦτο λοιπὸν ἀπεδύετο, συνάγοντα πρὸς τοὔργον καὶ τὸν θεῖον ἔχων Κωνσταντῖνον καὶ παραθήγοντα. λογοποιεῖ τοίνυν ὁ δυσγενέστατος κατὰ τῆς εὐγενεστάτης μητρὸς, καὶ συμπλέκει κατ' αὐτῆς αἰτιάματα, φαρμακόν τι καλεῖ, καὶ ἐπιβουλεύειν αὐτοῦ τῇ ζωῇ τὴν ἀθῴαν κατηγορεῖ. καὶ τί δεῖ κύκλῳ ἐλίττειν; ἐξωθεῖ τῶν βασιλείων αὐτὴν, καὶ περιορίζει τῇ νήσῳ τοῦ πρίγκιπος λεγομένῃ, καὶ τέλος ἀποκείρει τὴν εὐεργέτιν καὶ μεταμφιέννυσι, καὶ ἀντὶ τῆς ἐκ προπατόρων προσηκούσης αὐτῇ πορφύρας ἐνδιδύσκει τριβώνιον. καὶ ὁ μὲν ὡς ὅλα τὸ πᾶν ἀνυκὼς, ἔχαιρέ τε καὶ γαῦρος ἦν, καὶ παιδιαῖς ἑαυτὸν ἐπεδίδου καὶ τρυφαῖς. ἡ δὲ δίκη οὐκ ἐνύσταξεν, ἀλλ' αὐτίκα μετῆλθε τὸν ἀλιτήριον. ὡς γὰρ τὸ περὶ τὴν βασιλίδα δρᾶμα τοῖς ἐν τῇ πόλει κεκήρυκτο, κατήφειαν ἦν ὁρᾶν παρὰ πᾶσι καὶ σκυθρωπότητα, καὶ ὡς ἐν οἰκείᾳ συμφορᾷ διετίθετο ἕκαστος. εἶτα καὶ φανερῶς ἐλοιδοροῦντο τῷ τυραννήσαντι. αἱ δὲ γυναῖκες καὶ θρήνους συνίστων, ἀνακαλούμεναι τὴν βασίλισσαν. καὶ τέλος εἰς στάσιν φανερὰν ἀνερράγησαν οἱ τῆς πόλεως ξύμπαντες. καὶ ἵνα τὸν τόλμητην τιμωρήσωνται, οὐδὲ φείδῳ τῆς οἰκείας ζωῆς, ἀλλ' ἕκαστος τῷ προστυχόντι τὴν δεξιὰν ὁπλίσας, συνέθεον ἐπὶ τὰ ἀνάκτορα. τὸν δὲ, πρῶτον μὲν ὁ

Ἐφορία τοῦ ὀρφανοτρόφου.

Ὅτι τοὺς αὐτοῦ συγγενεῖς ὁ Μιχαὴλ ἐξέτεμε.

Ὅτι ἐξώρισε κακῶς ὁ ἀμαθὴς ... πλασάμενος ὁ Μιχαὴλ ἀπο... αὐτὴν ... τὴν τῶν πρίγκιπος νῆσον ... ἀπεκείρισεν αὐτήν.

μὲν ὁ καλαφάτης, τὸ δὲ πλῆθος συγκίνημα ἐθορύβησεν, ἅτε τὸν δῆμον ὁρῶν ἐκμαινόμενον, ὡς λόχους τε συνιστάμενον, καὶ τὸν λαὸν ὠθιζόμενον, καὶ ἀτὰρ περὶ αὐτὸν ἀμφιβόλους ταῖς γνώμαις κατανοῶν (ἐκείνοις γὰρ τὸ περὶ τὴν βασίλισσαν μεμίσητο τόλμημα) περιδεής τε καὶ φιλαγώνιος γέγονεν. ἀλλά τι μικρὸν τὴν ἀγωνίαν αὐτοῦ ὁ νωβελίσιμος ἐπεκούφισεν. οἴκοι γὰρ ὤν, καὶ τὴν στάσιν μεμαθηκώς, σὺν περὶ αὐτὸν ὁπλίσας (πολλοὶ δ' αὐτῷ παρετρέφοντο) διὰ μέσης τῆς ἀγορᾶς πεζὸς ἀπῆλθεν εἰς τὰ βασίλεια, καὶ αὐτίκα στέλλουσι σὺν ἐπανάξοντας τὴν βασίλισσαν, τοῖς δὲ στασιάζουσιν ἀντέστησαν τινὲς ἐκ τῆς φανοῦς βέλη κατ' αὐτῶν ἀφιέντες, καὶ λίθους ἐκ σφενδονῶν, ἐξ ὧν οὐ βραχεῖς ἀνῃρέθησαν. ἤδη δὲ τὴν βασιλίδα ἐπανακομισθεῖσαν ἐκθέντες ἤδη μετεώρου ἐν τῷ θεάτρῳ, τοῖς στασιάζουσιν ἐπεδείκνυον, ἵνα δι' αὐτῆς κατευνασθῇ ὁ θυμός, ὡς ἀνακληθείσης τῆς σφετέρας δεσποίνης. τοῖς δὲ τοῦτο μᾶλλον ἀνῆψε τὸν θυμόν, καὶ ἐξέκαυσε τὴν ὀργήν. ὡς γὰρ μεταμφιεσμένην αὐτὴν ἑωράκεισαν, ἔτι πλέον ἀνερρώγασιν εἰς τὸν πόλεμον, καὶ τῆς κακοηθείας τὸν τυραννοῦντα μισήσαντες, ἀφέντες μὲν τὴν βασιλίδα Ζωήν, πρὸς δὲ τὴν Θεοδώραν τὴν ταύτης σύγγονον τρέπονται, ἥν πρὸ χρόνου μετηνδύσασαν ἐκείνην παρὰ τῆς ἀδελφῆς, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, καί τινα τῶν πατρῴων αὐτῶν θεραπόντων παραλαβόντες, ἀφίκοντο ἐπ' αὐτήν, καὶ ταύτην τῆς κατοικίας ἐξαγαγόντες, καὶ οἷον περὶ αὐτὴν συνασπίσαντες, εἰς τὸ μέγα τέμενος ἄγουσι τῆς τοῦ θεοῦ λόγου σοφίας, καὶ παρὰ πάντων τῶν τε τῆς βουλῆς, καὶ τοῦ δήμου καὶ αὐτῶν τῶν τῆς ἐκκλησίας ἡ Θεοδώρα αὐγοῦστα βασιλὶς ἀνηγόρευτο. τοῦτο δὲ πᾶσαν ἐλπίδα τοῦ Μιχαὴλ καὶ τοῖς περὶ ἐκεῖνον ἀπέσβεσε, καὶ δεδιὼς περὶ τῇ ζωῇ, τῶν βασιλείων μεθίσταται, καὶ ναῒ τῷ βασιλικῷ ἐμβεβηκὼς αὐτός τε καὶ ὁ νωβελίσιμος, εἰς τὴν περιώνυμον ἀπῆλθον τοῦ Στουδίου μονήν, τὰ μὲν τῆς βασιλείας γνωρίσματα ἀποθέμενος, μοναχοῦ δ' ἐνδυσάμενος ἀμφίεσιν. ἐπεὶ δ' ἐγνώσθη τοῦτο τῷ δήμῳ, οὐκ ἔσχον ὅπως ἐκ τῆς χαρᾶς κατάσχωσιν ἑαυτούς, καὶ ἐπ' ἐκεῖνον συνέθεον. ἤδη δὲ κλινούσης ἡμέρας, οἱ περὶ τὴν Θεοδώραν δείσαντες, μὴ ἡ βασιλὶς Ζωὴ αὖθις τὸν ἐκβεβληκότα ἀνακαλέσηται, ἵνα μὴ ἡ ἀδελφὴ αὐτῇ συγκοινωνήσῃ τῆς βασιλείας. στέλλουσι τοὺς ὄμματα καὶ ἀμφοῖν ἐξορύξοντας. οἱ μὲν οὖν ἐξ αὐτοῦ τοῦ θυσιαστηρίου τῆς τοῦ Στουδίου μονῆς ἐκσπασθέντες, ἀπήγοντο. τὸ δὲ πλῆθος συρρεῦσαν περὶ αὐτούς, ἐχλεύαζόν τε καὶ ἐπετώθαζον, καὶ μέλη συντιθέντες, ἐπετραγῴδουν αὐτοῖς. ὡς δ' ἧκον περὶ τὸ σίγμα (τόπος δ' οὗτος κεκλημένος τοῦτο) ἐκεῖ τοὺς ὀφθαλμοὺς ἐξεκόπησαν, ὁ μὲν κωνσταντῖνος γενναίως φέρων τὴν συμφοράν, ὁ δὲ Μιχαὴλ θρηνῶν τε καὶ ὀλοφυρόμενος. ἐπεὶ δὲ ἄμφω σκότος ἐκάλυψε, πρὸς τὴν Θεοδώραν οἱ τὴν πήρωσιν ἐκείνοις χειρίσαντες, ἐπανήλθοσαν, ἐπὶ τοῦ μεγάλου τεμένους προσμένουσαν. ἡ δὲ Ζωὴ ἐτύγχανε περὶ τὰ βασίλεια. ἦν μὲν οὖν αὐτῇ τὸ βουλόμενον, μὴ προσοίσασθαι τοῦ κράτους κοινωνὸν τὴν ὁμαίμονα, ἐζηλοτύπει γὰρ ἐκτόπως. ἀλλ' οἱ τῆς γερουσίας καὶ ἄμφω σεβόμενοι, τὴν μὲν ὡς βασιλίδα σφῶν ἐκ μακροῦ, τὴν δέ, ὡς ἄρτι ἀναρρηθεῖσαν, καὶ τοῦ καταλυθῆναι τὴν τυραννίδα γενομένην αἰτίαν. πείθουσι τὴν πρεσβυτέραν, κοινωνὸν τοῦ κράτους προσλαβέσθαι τὴν ἀδελφήν. ἥκει τοίνυν καὶ ἡ Θεοδώρα πρὸς τὰ βασίλεια, καὶ συμμετέχει τοῦ κράτους τῇ ἀδελφῇ, ἐκτυφλωθέντες ὑπερόριοι οἱ πηρωθέντες τοὺς ὀφθαλμοὺς κατεκρίνοντο, τῆς βασιλείας αὐτοῖς ἤδη μῆνας τέσσαρας καὶ πέντε ἡμέρας συστησάσης, ὡς ὄφελε καὶ βραχύτερον.

Ὅτι διὰ τὴν στάσιν ἀνακομισθεῖσα ἡ βασιλὶς καὶ ὁ λαὸς μεταμφιεσμένην ἰδὼν αὐτὴν ἐπὶ πλέον ἐθυμώθη.

Ὅτι πρὸς τὴν Θεοδώραν ἐλθὼν ὁ λαὸς ἀναγορεύει, καὶ ὁ Μιχαὴλ ἀποθέμενος τὰ βασίλεια κατέφυγεν ἐν τῇ μονῇ τοῦ Στουδίου, καὶ ὁ Μιχαὴλ καὶ ὁ θεῖος αὐτοῦ ἐξετυφλώθησαν.

Ὅτι ἐτυφλώθη ὁ βασιλεὺς Μιχαὴλ καὶ ὁ θεῖος αὐτοῦ ὁ νωβελίσιμος Κωνσταντῖνος ἀπαγόμενοι ἐτυφλώθησαν.

principio motus populi non adeò commouit, sed cum plebem furere uideret, seq; centuriare, & affluere turbam, suos autem satellites, animi esse dubios cerneret. (Nam ij quoque facinus in Imperatricem admissum oderant) territus æstuare cœpit. Sed eum angorem Nobilissimus ei nonnihil leuauit. Qui cum domi seditionem cognouisset, suis ministris, quos alebat plurimos, armatis, per medium forum in Regiam abijt, statimq; mittit, qui Imperatricem reducant, & seditiosis quosdā opponit, qui ex occulto eos telis peterent, & fundis incesserent, unde nō sanè pauci perierunt. Imperatricem uerò iam reductam, atq; in summo theatro collocatam, tumultuantibus ostenderūt, ut uisa domina, furor eorum cōpesceretur. Id uerò uelut incentiuum quoddam seditionis fuit, & iracundiam populi inflammauit. Nam conspecta uestium mutatione, bellum uiolentius exarsit, ac tyrannicę malignitatis odia relicta Imperatrice Zoe, ad sororem eius Theodoram conuersi: quæ & ipsa, ut suprà expositum est, sororis iussu habitum mutarat, duce quodam paterno eius famulo, ueluti militari globo circumdatam, ex ædibus in magnam Ecclesiam Diuini uerbi sapientiæ perduxerunt: ubi à toto senatu, populo & sacerdotibus, Augusta & Imperatrix est cōsalutata. Ea res Michaeli & suis omnem spem ademit. Itaq; uitæ metuens, relicta regia cum Nobilissimo naui Imperatoria con scensa, in celebre Studij monasterium, abiectis Imperij insignibus, habituq; monastico sumpto, concessit. Quo populus cognito, lætitiam dissimulare nequiens, ad illum concur rit. Die uerò iam ad occasum uergente, Theodoræ studiosi ueriti, ne Zoe eiectum reuocaret, quò sororem consortem Imperij habere non cogeretur, mittunt, qui utriq; oculos effodiant. Cum igitur ex ipso sacrario Studiensis monasterij extracti, abducerentur: multitudo quæ illò confluxerat, eis illudebat & insultabat, cantilenas quasdam tanquam in tragœdia occinens, donec eis in loco qui Sigma dicitur, oculi sunt effossi, Constantino calamitatem eam fortiter ferente: Michaele uerò quiritāte & lamentāte. Ea re peracta ministri pœnæ ad Theodoram adhuc in templo uersantem redierunt. Zoæ uerò in Regiam reuersæ minimè placebat, ut erat ambitiosissima, sororem potestatis consortium admittere. Verum Senatus utranque uenerans, hanc ut iam pridem Imperatricem suam, illam, ut recens designatam, & euersæ tyrānidis causam: natu maiori persuadet, ut sororem collegam admittat. Theodora igitur Regiam ingressa pari cum Zoe potestate usa est, cęcati autem exilio multati sunt: Imperio eorum quatuor mensibus et quinque diebus terminato, quod utinam citius amisissent.

Theodora Imperatrix salutatur.

Michael & Cōstantinus cæcantur.

IMPERIVM ZOES ET THEOdoræ Sororum.

Romanorũ Imperio in gynæceũ deuoluto, nemo insidiat^o est mulieribus, sed paruerunt omnes tã principes Senat^o, quã tribuni militares. Sederũt igit ambæ ꝓtribunali, omnes regiæ cærimoniæ apud eas peractę. adhibita de more custodia, primarijs senatorib^o, & magistratibus uenerabũdis circũstantibus, quæstiones porro cõtrouersiarũ, trãsactiones publicarũ disceptationũ, auscultationes legatorũ, comitia, cæteraq; regni solennia usurpata apud illas. Cęterũ uel metu, ne soror, rerũ sola potiretur (susurrabant enim quidã, ad solam Theodoram pertinere imperium, quod causa fuisset pellendi tyranni) uel desiderio uiri & coitus impulsa Zoe, de Imperatore & marito in Regiam accersendo deliberauit. Adductus igitur est Constantinus Dalassenus, quasi alia de causa accersitus. Sed cum asperius locutus esset, & ingenio uideretur præfracto & intractabili, repudiatus est. Deinde ad alium inclinauit neq; nobilitate neq; dignitatibus aut magistratibus illustrioribus gestis insignem, sed ob formam Imperio dignum, quæ animum etiam non deditũ luxuriæ in amorem pellicere posset. Ad eum igitur Imperatrix plenis uelis ferebatur, sed eius suffragio morbus intercessit, qui uirũ subitò è uita sustulit. Neq; suspicionis expers fuit cõiunx illius, ut quæ eum ex zelotypia toxico dato necarit, ne uiuente adhuc marito priuaretur, atq; aliã ei accubantẽ uideret. Sic ille spe, Imperatrix uoto suo frustrata est. Verum eius calculi ad Cõstantinũ Monomachũ inclinarũt, uirũ nobilẽ & illustrẽ, formaq; excellẽti præditũ, qui prima cõiuge defuncta, Romani Imperatoris nepte ex fratre ducta, nihil ab illo magnificũ consecutus erat: tamẽ cũ propter affinitatẽ in aula uersaret, Imperatrici charus et familiaris factus, multorũ talentũ munera ab ea, ut erat manu liberali, & animo regio, acceperat. Vnde suspicaces & maleuoli ansam male de eis loquẽdi arripuerũt, & Michael Romani successor, q illa quoq; audierat, rerũ potitus, uirũ cõfictisq; busdã criminib^o Lesbũ relegauit, cũ uera causa una zelotypia esset. In eo exilio, toto imperij Michaelis tẽpore, fuit, nec alterum Michaelẽ magis ꝓpitiũ habuit. Sed potestate Zoæ restituta, ab exilio in urbẽ regiã reuocat. Cui cũ appropinquasset, subsistere iubet, & iuxta Damocraniũ Archiducis templũ à q̃dã ex aula misso ueste imperatoria exornat^o urbẽ cũ imperatorio comitatu ingreditur. Ac nuptiale sacrũ à quodã sacerdote peragitur, Alexio id munus ob terna snuptias defugiente, idẽ tamẽ postridie solennitatẽ coronationis peregit. Sic Monomachus & coronam et sceptrum imperatorium accepit.

Zoe Constãtino Monomacho nubit.

ΒΑΣΙΛΕΙΑ ΖΩΗΣ ΚΑΙ ΘΕΟδώρας τῆς αὐταδέλφης.

Κατέστη τοίνυν περὶ τὴν γυναικωνῖτιν ἡ τῶν ῥωμαίων ἀρχὴ, καὶ οὐδείς τι περὶ ταύτας ἐνεωτέριζεν, ἀλλὰ πάντες αὐταῖς ὑπεῖκον, τό, τε τῆς γερουσίας ἔξοχον, καὶ τὸ τοῦ στρατιωτικοῦ ἐπισημότερον. καὶ δ' ἄμφω ἐκάθηντο ἐπὶ βήματος, καὶ πᾶσαι περὶ αὐτὰς ἐτελοῦντο τελεταὶ αἱ βασίλειοι, καὶ τῇ δορυφορίᾳ τὸ ἐπὶ τῶν βασιλείων σχῆμα τετήρητο, καὶ οἱ τῆς πρώτης βουλῆς καὶ οἱ ἐν τέλει σὺν αἰδοῖ παρεστήκεσαν ξύμπαντες. καὶ ζητήσεις δικῶν, καὶ λύσεις δημοσίων ἀμφισβητήσεων, καὶ ἐντεύξεις πρεσβευτῶν καὶ ἀρχαιρεσίαι, καὶ τἆλλα τὰ τῇ βασιλείᾳ προσήκοντα ἐγίνοντο παρ' αὐταῖς. ἀλλ' ὑπὸ φόβου, μὴ τῇ ἀδελφῇ μόνῃ περιστῇ τὰ τῆς ἀρχῆς (ὑπεψιθυρίζετο γάρ τισιν, αὐτῇ μᾶλλον προσήκειν τὰ τῆς ἀρχῆς, ἅτε καὶ τῆς τοῦ τυραννήσαντος καθαιρέσεως αἰτίᾳ) εἴτ' αὖ δι' ἀνδρὸς ἐπιθυμίαν καὶ μίξεως ἵμερον αὖθις ἡ ζωὴ ἐπεισαγαγεῖν τοῖς βασιλείοις τὸν βασιλεύσοντα καὶ αὐτῇ συμβιώσοντα. καὶ ἤχθη μὲν ὁ δαλασσηνὸς κωνσταντῖνος, ὡς ἐπ' ἄλλο τι μετακεκλημένος. ἐπεὶ δὲ αὐθαδέστερον τοῖς λόγοις ἐχρήσατο, καὶ τὸ ἦθος φορτικός τις ἔδοξε καὶ δυσχερὴς, ἀπεδοκιμάσθη. εἶτα ἐπ' ἄλλον ἀπέβλεψεν, ὅτι τῶν ἀγαν ὄντα εὐπατριδῶν, ἔτι τῶν ἐν ἀξίαις λαμπροτέραις ἐξητασμένων, οὔτε τῶν ἐν περιφανέσιν ἀρχαῖς, τὸ δὲ εἶδος ἄξιον τυραννίδος, καὶ οἷον πρὸς ἔρωτας ἐφελκύσασθαι, καὶ μὴ μαχλοσύναις προσκειμένην ψυχήν. ἐπ' ἐκεῖνον οὖν ὅλοις ἱστίοις ἐπένευσεν ἡ βασίλισσα. ἀλλ' ἀνέκρουσε τὰς ψήφους αὐτῆς νόσος ἀθρόον τὸν ἄνδρα τῆς ζωῆς ἐξαρπάσασα. ὑπωπτεύθη δὲ καὶ ἡ συνοικοῦσα τούτῳ ὡς τὸν θάνατον αὐτῷ χαλκεύσασα, καὶ φάρμακον αὐτῷ διὰ ζηλοτυπίαν κεράσασα δηλητήριον, ἵνα μὴ ἔτι ζῶντος στερήσοιτο τοῦ ἀνδρὸς, καὶ ὁρῴη ἑτέραν αὐτῷ πλησιάζουσαν. ὁ μὲν οὖν οὕτω τῆς ἐλπίδος ἐξεπεπτώκει, καὶ τῆς ὁρμῆς ἡ βασίλισσα. αἱ δὲ ψῆφοι πρὸς τὸν μονομάχον κωνσταντῖνον ἀπέκλιναν, ἄνδρα καὶ εὐγενῆ, καὶ τῶν ἐπισήμων, καὶ κάλλει διαπρέποντα, ὃς τὴν προτέραν ἀποβαλὼν σύζυγον, ἀνεψιὰν τοῦ βασιλέως ῥωμανοῦ ἐπ' ἀδελφῷ θυγατέρα ἠγάγετο (ταύτην γὰρ ἐπὶ δευτέροις γάμοις ὡμίλησε) καὶ τῆς ὥρας ὑπὲρ λαμπρὸν. τούτῳ ὅπου μὲν μεγαλοπρεπές τι ὁ βασιλεὺς ῥωμανὸς ἐνδείξατο, διὰ δὲ τὴν πρὸς αὐτὸν ἀγχιστείαν περὶ τὰς βασιλείους αὐλὰς ἀναστρέφοντα, καὶ τῇ βασιλίδι ἐγνώριστο, καὶ κεκτῆτο φιλίας πρὸς τὸν ἄνδρα δίκαιον, καὶ ἐρασθεῖσα αὐτοῦ, καὶ χρήματα ἐδεξιοῦτο πολυτάλαντα, οἷα ἐκείνη τὴν χεῖρα τε ἀφειδὴς, καὶ βασιλικὴ τὴν προαίρεσιν, ὥστε ταῦτα τοῖς κακοήθεσι καὶ λοιδορίας κατ' αὐτῶν ἐγένετο ἀφορμή. ὅθεν ὁ μετὰ τὸν ῥωμανὸν αὐτοκράτωρ ὁ μιχαὴλ, ἐκ τῶν λεγομένων αὐτὴν κοινώς, βασιλεύσας, εἰς λέσβον περιορίζει τὸν ἄνδρα ἐπ' αἰτίαις δῆθεν πεπλασμέναις, τὸ δ' ὅλον ἦν τὸ ζηλότυπον. καὶ ἦν τὸν ἅπαντα χρόνον τῆς βασιλείας τοῦ μιχαὴλ ὑπερόριος, καὶ οὐδὲ τοῦ δευτέρου μιχαὴλ εὐμενείας τετύχηκεν. ἐπεὶ δὲ τὸ κράτος ἐπανῆλθε πρὸς τὴν ζωὴν, λύεται μὲν τῆς ὑπερορίας ὁ ἄνθρωπος, καὶ ἥκει πρὸς τὴν τῶν πόλεων βασιλεύουσαν. ὡς δ' ἐγγὺς ἐγένετο, ἐπισχεθεὶς τοῦ πρόσω, κἀντεῦθεν ἐκ τῶν βασιλείων πεμφθεὶς, καὶ περὶ τὸν ἐν δαμοκρανίᾳ τοῦ ἀρχιστρατήγου ναὸν αὐτῷ ἐντετυχηκὼς, στολὴν αὐτῷ ἐνδυσάμενος βασιλικὴν, καὶ σὺν δορυφορίᾳ βασιλικῇ ἐκεῖθεν ἀπάρας, εἰσελήλυθε τὴν βασιλεύουσαν. καὶ τελεῖται μὲν τοῖς βασιλεύσιν ἡ ἱεροτελεστία ἡ γαμικὴ παρά του τῶν ἱερέων. ὁ γὰρ πατριάρχης ἀλέξιος διὰ τὴν τριγαμίαν εὐλαβεῖτο τὴν ἐπὶ τῇ συναφείᾳ τελετὴν αὐτουργῆσαι αὐτοῖς. τῇ δ' ἐξῆς τὴν ἐπὶ τοῦ βασιλέως στέφει μετακεχείρισται τελετὴν, καὶ ἀναδεῖται ὁ μονομάχος, καὶ τὸ σκῆπτρον τὸ βασιλικὸν ἐγχειρίζεται.

Ἐπὶ ἀδελφαὶ ὁ βασιλεύει (?) ...

Περὶ τοῦ μονομάχου ...

Ἐπὶ ... μονομάχος.

ΒΑΣΙΛΕΙΑ ΤΟΥ ΜΟΝΟΜΑχου Κωνσταντίνου.

Ἐντεῦθεν ἡ μὲν τῶν αὐταδέλφων ἀρχὴ τέλος ἔσχεν, ἐπὶ τρίτον διαρκέσασα μῆνα, ἡ δὲ τῶν κοινῶν διοίκησις πρὸς τὸν μονομάχον μετέπεσε, καὶ ὃς αὐτίκα οὐ σὺν λόγῳ οὐδὲ μετά τινος ἔμφρονος οἰκονομίας, οὔτε τὰς τῶν ἀξιωμάτων ἐποιεῖτο τιμάς, οὔτε τὰς τῶν χρημάτων διανομάς, ἀλλὰ καὶ τὰς τιμὰς χύδην παρεῖχε, καὶ οἷς μὴ προσῆκεν, αὐτὰς ἐχαρίζετο, καὶ τοὺς βασιλικοὺς θησαυροὺς εἰ αὐθημερὸν ἐκκενωθῆναι συμβεβήκει, οὐδὲν αὐτῷ τὸ πρᾶγμα λελόγιστο. τοῖς γε μὴν ἰδιωτεύοντι προσκεκρουκόσιν αὐτῷ, ἀφῆκεν ἅπασι τὰς αἰτίας, καὶ ἐμέλησε τούτων οὐδὲ τινί. ἀλυπήτως δ' ἑαυτὸν ἐκδέδωκε ταῖς τρυφαῖς, τὸ μὲν τὴν ἐκ τοῦ σάλου τῶν συμφορῶν ἀηδίαν ἐκπτύσαι παρορμισάμενος ἄρτι πρὸς ἄκλυστον τάχα λιμένα κατὰ τὴν ἀρχὴν τὴν βασίλειον, τὸ δέ τι ταῖς βασιλίσσαις χαριζόμενος, καὶ γλυκυθυμίας αὐταῖς μνώμενος ἀναμβλύων ὄντας ἠθῶν. λόγοις δὲ προσεῖχεν ἢ μᾶλλον τοῖς λόγοις μετιοῦσι καὶ δόξαν ἔχουσι λογιότητος, αὐτὸς τῶν λόγων ἄκρῳ μόνον δακτύλῳ τοῦ λόγου γευσάμενος. τὰ μὲν οὖν περὶ τὰ βασίλεια οὕτως εἶχε, τὰ δ' ἐκτὸς οὐκ εὐτυχῶς τοῖς Ῥωμαίοις ἐφέρετο. ἀποδρὰς γάρ τις ἐκ Βυζαντίου Σκύθης ἀνήρ, Βοϊσθλάβος ὀνομαζόμενος, καὶ χεῖρα περὶ αὐτὸν συλλέξας, κἀν τοῖς ὄρεσι τοῖς Ἰλλυρικοῖς ἐμφωλεύων ὥσπερ ἄγριος θήρ, τὰ πρόσοικα τοῖς ὄρεσι τούτοις ἔθνη καὶ Ῥωμαίοις ὑπήκοα ἐλῄζετο, Τριβαλλούς τε καὶ Σέρβους, καὶ ὅσοι τούτοις ὁμογλωσσοῦσιν. ὡς δ' οὖν ἠγγέλθη τοῦτο τῷ βασιλεῖ, γράφει τῷ τοῦ Δυρραχίου ἄρχοντι, τῷ Στεφάνῳ συμβαλεῖν. καὶ τοῦτο γὰρ ὁ Βοϊσθλάβος ὠνόμαστο. ὁ δὲ ἀτέχνως ἐγχειρήσας τῇ πρὸς ἐκεῖνον μάχῃ (ἦν γὰρ στρατηγικῆς ἐμπειρίας ἀμέθεκτος) μεγάλαις τοῖς μετ' αὐτοῦ στρατευομένοις ἐγένετο περιπετείας συμφορᾶς, αὐτὸς μὲν μόλις μετὰ βραχέων σωθείς, τὸ δ' ἄλλο στράτευμα σύμπαν κατεστρώθη ἐκεῖ, μηδὲ χερσὶ δυνάμενον χρήσασθαι, ἢ τοὺς ἀναιροῦντας ἀμύνασθαι. τὰ μὲν οὖν κατὰ τὸ Ἰλλυρικὸν τοῦτον εἶχε τὸν τρόπον. ὁ δὲ μονομάχος (ὡς τὰ κατ' οἶκον γὰρ αὐτῷ πάλιν ὁ λόγος ἐμφιλοχωρησάτω) ἐπεὶ καὶ ἡ δευτέρα σύνοικος αὐτῷ ἐτεθνήκει, εἰς τρίτον μὲν γάμον ἐκκλῖναι οὐκ ἔκρινεν, ἀνεψιᾷ δὲ τῆς αὐτοῦ γαμετῆς χηρεύσῃ συνῴκει, λάθρα μὲν πρώην, εἶτα καὶ εἰς τὸ ἐμφανὲς συνεφθείρετο. ἡ δὲ καὶ νέας ἦν ἡλικίας, καὶ κάλλος εἶχε τοῦ σώματος περιττῶς, καὶ γένους ἐπιφανοῦς. ἔφυ γὰρ τοῦ σπέρματος τῶν Σκληρῶν. οὕτω δ' ἀλλήλοις ἐνεπεπήγεσαν, καὶ οὕτω σφίσιν ὁ ἔρως ἐγκέκαυτο, ὡς εἰ μὴ συνεῖεν ἀλλήλοις, μηδὲ ζῆν δοκεῖν μηδ' ἀνέχεσθαι. διὸ καὶ ὑπερορίαν ὡς εἴρηται, καταδικασθέντι τούτῳ τῷ βασιλεῖ, λιποῦσα τῶν ἁπάντων ἑαυτὴν ἐπεμφθεῖσα, ἵν' ὁρῴη τόν ἐρῶντά τε καὶ ἐρώμενον, καὶ μὴ εἴη αὐτοῦ ὑπερόριος, καὶ συναπῄει ταῦθ' ἕξ, πάντα γινομένη αὐτῷ καὶ τὴν συμφορὰν, ὡς οἷόν τε, συνεπικουφίζουσα, κἀκ τῶν οἰκείων ἐπιχορηγοῦσα τούτῳ, ἵνα μὴ πρὸς τοῖς ἄλλοις λυπηροῖς καὶ ἐνδείᾳ πιέζοιτο. ἔτρεφε γὰρ κἀκείνην ἡγεμονίας ἐλπίς. ἐπεὶ δ' ἐκεῖνος εἰς τὴν τῆς βασιλείας ἤρθη περιωπήν, τῇ δὲ αἱ ἐλπίδες οὐκ ἐκβεβήκεσαν, οὐκ ἠμνημόνησε τῆς γυναικός, οὐδ' ἐν τῇ εὐκαιρίᾳ ὁ βασιλεύς, ἀλλὰ προσάγει λόγους τῇ βασιλίδι περὶ αὐτῆς, καὶ ἀξιοῖ ἀνακληθῆναι τὴν γυναῖκα, καὶ τυχὼν ἐντεύξεως τινός, ἡ δὲ οὐκ αἰγύδυσε. ὅ, τι γὰρ χρόνος παρῴχηκεν, αὐτῇ τὸ ζηλότυπον, ἤδη τυγχανούσῃ παρήλικι, καὶ

περὶ τοῦ Βοϊσθλάβου καὶ ὅσα παρ' ἐκείνου ἐγένετο.

περὶ τοῦ μονομάχου καὶ τῆς συνοικούσης περὶ ἀλλήλους ἔρωτος.

IMPERIVM CONSTANTINI MOnomachi, seu Gladiatoris.

Ex eo finita sororum potestas, quæ trimestre durarat, ad Monomachū est trāslata. Is nulla ratione prudenti'ue cōsilio uel dignitates uel pecuniam est largitus. Sed & dignitates promiscuè in indignos contulit, & si fiscum eodem exhauriri die cōtigisset, nihil referre putauit. Iis tamen à quibus priuatus offensus fuerat, iniurias bona fide condonauit, seq; uoluptatibus & delicijs dedidit, partim ut molestiā ex tempestate calamitatum conceptam ex animo expueret, recens in tranquillum Imperatoriæ potentiæ ueluti portum peruectus, partim ut Imperatricibus gratificaretur. iucundumq; se præberet, quæ leuibus erant ingenijs. Eruditioni ac potius uiris eruditione claris operam dedit, cum ipse doctrinam uix primis labris, ut dicitur, degustasset. Hoc Regiæ statu, prouinciæ Romanæ fortuna parum secunda utebantur. Nam Scytha quidam Boisthlauus, Byzantio profugus collecta manu Illyrici montes instar feræ insedit, gentesq; ijs montibus finitimas Romanæ ditionis ut Triballos, Seruios & id genus alios latrocinijs infestauit. Quo nunciato Imperator Dyrrachij præfecto scribit, ut cum Stephano (Nam id quoq; nomen Boisthlauus habebat) congrediatur. Qui cum pugnam temerè commisisset, (neq; enim artis imperatorum peritiam habebat) suos milites in magnā cladem coniecit, ipse cum paucis ægrè elapsus, reliquo exercitu omni illic cæso, qui nec manibus uti, nec interfectores ulcisci potuit. Et hæc in Illyrico gesta sunt. Monomachus autem (nam de rebus eius domesticis agendum est prolixius) altera uxore mortua, tertias sibi nuptias celebrandas non putabat, sed consobrina uxoris suæ, uiduæ consuetudine, principiò clàm, pòst etiam haud dissimulanter utebatur. Ea uerò & adolescentula erat, & formosissima, & nobili Sclerorum stemmate orta. Eo porrò animorum nexu deuincti, eo amoris ardore inflammati erant, ut nisi unà essent, uitam sibi morte acerbiorum putarent. Itaque illum mulier ultrò in exilium, cuius suprà facta est mentio, relictis omnibus, est consequuta, ut amans redamantem uideret, neque ab illo exularet. Comitata igitur uirum, omnibus obsequijs deliniuit, calamitatem pro uirili leuauit, de suo suppeditatis sumptibus, ne præter alias molestias, etiam inopia conflictaretur. Nam & ipsa spe principatus, inani quidem, illa tum nitebatur. Vt uerò ille in speculam Imperij sublatus fuit nec in rebus secundis mulieris est oblitus, sed cū Imperatrice egit, ut reuocaretur, & commodis eius cōsuleretur. Ea uerò, tum zelotypia ob prouectiorē ætatem aboli-

Monomachi negligētia & mollicies.

Boisthlauus Stephanus in Illyrico grassatur.

Monomachus unà cū Zoe Scleræ nam uxoris loco habet.

ra, tum experientia malorū facta moderatior, non abnuit. Sic Scleræna Mitylena reducitur, cui non statim splendidum domicilium, aut delicatum ministerium est paratum, sed progressu temporis, & regia custodia est adhibita, & domus eius in palatium transformata. Nam se sibi ædes extruere simulabat Monomachus, quo in loco illa habitabat, ut per speciem inspiciendæ structuræ, sæpius eam uiseret. Ac ad tempus quasi uerecundans, amorem uelo quodam obducebat, tandem uero & pudore & dissimulatione abiecta, mulierem non ut concubinam & ex semisse coniugem, sed planè pro uxore tractabat. Itaq; illi ex Imperatorijs thesauris fluminis instar diuitiæ affluebant, & aureę uenę aperiebantur, Imperatore apertè illam conueniente: qui intolerabile sibi fore existimans, nisi perpetua eius consuetudine frueretur: re prius cum Imperatrice communicata, & eius consensu impetrato, Sclerænam in Regiam traducit. Qui nimo fœdus amicitiæ inter mulierculas ictū esse de Imperatoris sententia perhibetur. Ac mulier Augustæ honorem adepta est, & dignitate & appellatione pridem imperatoria, in primam eam collata, cum Domina uocaretur. Quę omnia Imperatrix nec iracundè nec molestè tulit. Sed cum maritus medius & inter ipsam & Augustam habitaret: prius eum conuenire non solebat, quàm accuratè perquisisset, adamatam apud eum non esse. Quę cum eo loco tātumq; felicitatis adepta esset, ac maiora etiam speraret: magno cum luctu Imperatoris, subitò ex morbo decedit. Post eius obitum idem bello ciuili conflictatur.

Georgius Maniaces tyrānide affectata occumbit.

Nam Georgius Maniaces uir & animo fortissimo, & manu promptissima, & ducendi exercitus periuissimus dum mulieres rerū potiebantur, ad Italiam tutandam, & ad ea quæ ab exteris occupata erant, recuperanda ablegatus, cū hostibus decertabat. Verum axe Imperij ad Monomachū deuoluto, Romanus Sclerus, adamatæ mulieris frater, cuius ob sororem magnæ opes erant. (Nam ab Imperatore & Magistri & Protostratoris honorem adeptus erat) domum Maniacis, in Orientali prouincia sibi finitimam, malè tractauit, memor ueteris iniuriæ, qua ab illo in cōtentione quadam oppressus fuerat. Idem thorum quoque Maniacis polluisse ferebatur. Quæ uiro nūciata magnā & indignationē & mœrorem attulerūt. Post magistratu etiā Romani opera erepto, si Cōstantinopolim reuerteretur, se Imperatorē ꝑpter Sclerū malè propinū habiturum cogitās, iacta alea regnū affectat. Multi igitur milites ad eum, ut summū ducem & uirū bellicosum cōfluxerunt. Itaq; exercitū nauibus impositū, in continentē Italiæ obuersam traijcit. Ea re Imperator perturbatus, Maniacen ꝑ literas omni metu liberat, si ab armis discesserit, pollicitationibus additis. Quum

οἱ συμβεβηκότες αὐτῇ παρασκευαὶ μετριωτέραν εἰργάσαντο, μὴ ἀνένευσε. ἀνάγεται τοίνυν ἐκ Μιτυλήνης ἡ Σκλήραινα, καὶ οὐκ εὐθὺς αὐτῇ περιφανὴς κατοίκησις ἡτοίμαστο, οὐδὲ θεραπεία ἁβρά. τοῦ χρόνου δὲ προϊόντος, καὶ βασίλειος αὐτῇ δορυφορία νενέμητο, καὶ ὁ οἶκος αὐτῇ μετεσχημάτιστο εἰς ἀνάκτορον. οἶκον γὰρ οἰκεῖον οἰκοδομεῖν ὁ Μονομάχος ἐσχηματίσατο, τὴν ἐκείνης καταγωγήν, ἵνα δῆθεν πρὸς ἐκείνην ἀπίοι, ὡς δῆτα τῶν δομουμένων ἐφορῶν, μέχρι μέν τινος ἐπικρυπτόμενος τὸν ἔρωτα, καὶ ὥσπερ ἐρυθριῶν πρὸς τὸ γινόμενον. εἶτα καὶ τὴν αἰδῶ καὶ τὴν σκηνὴν ἐκτίθεται, καὶ τῇ γυναικὶ συνῆν οὐχ ὡς παλλακῇ, οὐδ' ὡς ἡμιγάμῳ, ἀλλ' ὡς ἐμφανῶς ξυνευνέτιδι, καὶ αὐτῇ ἐκ τῶν βασιλικῶν ταμείων καθ' ἑκάστην ἐπέρρεε τὰ χρήματα δίκην ποταμοῦ, καὶ φλέβες ἀνεστομοῦντο χρυσίτιδες, καὶ ἀπαρακαλύπτως αὐτῇ προσεφοίτα ὁ βασιλεύς. ἀλλὰ δεινὸν ἡγούμενος εἰ μὴ καὶ συμβιώη αὐτῇ καὶ συνοικοίη διηνεκῶς, μετάγει ἐκεῖθεν τὴν γυναῖκα εἰς τὰ βασίλεια, τῇ βασιλίδι πρότερον περὶ τούτου κοινολογησάμενος, καὶ πείσας μὴ δυσχεραίνειν πρὸς τὸ γινόμενον. μᾶλλον μέντοι καὶ φιλίας ὅρκια λέγεται παρὰ τῶν γυναικῶν ἀμφοῖν τεθεῖσθαι, τοῦτο τοῦ αὐτοκράτορος ἀξιώσαντος. τετίμητο δὲ ἡ γυνὴ σεβαστή, αὐτῇ πρώτῃ τῆς τοιαύτης βασιλικῆς ἐπινοηθείσης καὶ ἀξίας καὶ κλήσεως, καὶ ὠνομάζετο δέσποινα. καὶ ἡ βασιλὶς ἐπὶ τούτοις οὔτ' ἐμήνια, οὔτ' ἤχθετο, μέσον δὲ σκηνοῦντος τοῦ βασιλέως ἑκατέρων ὤκουν ἐναλλὰξ ἡ βασιλὶς καὶ ἡ σεβαστή. καὶ οὔποτε ἡ αὐγοῦστα προσῄει τῷ βασιλεῖ, εἰ μὴ τῆς ἐρωμένης μεμονῶσθαι τοῦτον ἀπηκριβώσατο. ἀλλ' οὕτως ἐχούσῃ, καὶ εἰς τοσοῦτον εὐκληρίας ἀρθείσῃ, καὶ μείζονας δ' ἐλπίδας ἐφ' ἑαυτῇ θαλπούσῃ, ἀθρόον ἐναρπάζεται νόσῳ, καὶ θνήσκει μέγα πένθος καταλιποῦσα τῷ βασιλεῖ. καὶ ἡ μὲν ἀπῆλθεν, τῷ δὲ βασιλεῖ πόλεμος ἐπῆλθεν ἐμφύλιος. ὁ γάρ τοι Μανιάκης Γεώργιος, ἀνὴρ καὶ τὴν ψυχὴν ἀνδρειότατος, τὴν χεῖρα τε γενναιότατος, καὶ στρατηγεῖν δεξιώτατος, παρὰ τῶν βασιλίδων, ὅτ' ἐκεῖναι τοῖς τῆς βασιλείας πράγμασιν ἐφεστήκεισαν, εἰς Ἰταλίαν πεμφθείς, πολεμήσων τοῖς αὐτῇ ἐπεμβαίνουσι, καὶ ταύτης οἰκειωσαμένοις τινά, καὶ τῇ τῶν Ῥωμαίων αὖθις ἡγεμονίᾳ ἐπανασώσων αὐτά, τοῖς τῶν Ῥωμαίων ἀντιπολέμοις ἀντικαθίστατο. ἐπεὶ δ' εἰς τὸν Μονομάχον ὁ τῆς βασιλείας ἄξων μετεκεκύλιστο, καὶ ὁ Σκληρὸς Ῥωμανὸς (ἀδελφὸς δ' ἦν οὗτος τῆς ἐρωμένης τῷ βασιλεῖ) μέγα ἐδύνατο διὰ τὴν ὁμαίμονα, καὶ μάγιστρος καὶ πρωτοστράτωρ τετίμητο. τῷ δὲ τὸ θέμα τῶν Ἀνατολικῶν οἰκοῦντι τοῦ Μανιάκη ἀγχιτερμονοῦν, κακῶς διετίθει τὰ τοῦ ἀνδρός, μνησικακῶν ὅτι πρώην διαφερόμενος ἐκείνῳ κατεπονεῖτο. λέγεται δὲ καὶ τὰς εὐνὰς ἐπιβῆναι τοῦ Μανιάκη. ταῦτα τῷ ἀνδρὶ ἀγγελλόμενα, εἰς θυμὸν ἐξῆπτεν αὐτόν, καὶ ἔχθος ἐνεποίει πολύ. εἶτα καὶ τὴν ἀρχὴν ἀφαιρεῖται, καὶ τοῦτο κατεσκευασμένου τοῦ Ῥωμανοῦ, γνοὺς τοίνυν, ὡς εἰ πρὸς τὴν Κωνσταντίνου ἐπανέλθοι, οὐ χρηστῶς αὐτῷ διατεθήσεται, ὁ κρατῶν διὰ τὸν Σκληρόν, τυραννίδι ἐπιχειρεῖ. καὶ οἱ ὡς κορυφαιοτάτῳ τῶν στρατηγῶν καὶ ἀρηΐῳ ἀνδρὶ πολλοὶ τοῦ στρατιωτικοῦ προσεχώρησαν. ὁ δὲ ἐξ Ἰταλίας πρὸς τὴν ἀντικρὺ ταύτης ἤπειρον, πλοίοις ἐμβιβάσας τὸ στράτευμα, γίνεται. τοῦτο ἐς θόρυβον τὸν βασιλέα ἐνέβαλε, καὶ γραφὴν ἐγχειρίζεται τῷ Μανιάκῃ, παντὸς μὲν δείματος αὐτὸν ἀπολύουσαν, εἰ τὰ ὅπλα καταθεῖτο, ἐπαγγελλομένην δὲ τὰ χρηστότερα, ὡς δ'

τελευτὴ τῆς σκληραίνης.

περὶ τῆς τοῦ μανιάκου ἀποστασίας, ὑφ' ἧς ἀπώλετο.

ὡς δ' ἐκεῖνος ἅπαξ κύβον ἀνεῤῥίψατο, οὐκέτι τῶν ὅπλων μεθίετο, ἀντιστρατεύει κατ' αὐτοῦ καὶ ὁ βασιλεύς. ἐφίστησι δὲ τῷ στρατεύματι οὔτινα τῶν γενναίων ἀνδρῶν, ἢ τῶν ἐν στρατηγίαις ἐξητασμένων, δεδιὼς μὴ κἀκεῖνος τολμήσῃ τὰ αὐτά. ἀλλ' ἐκτομίαν τῶν θαλαμηπολούντων, πιστὸν μάλιστα αὐτῷ. ὁ δὲ τὰς δυνάμεις ἀναλαβὼν ἀπῄει, καὶ ὁ Μανιάκης ἠπείγετο ἀσυντάκτους τοὺς πολεμίους καταλαβεῖν. ἐπεὶ δὲ προσέβαλον ἀλλήλοις αἱ στρατιαὶ, τὸ μὲν ἤδη τῷ πρωταγωνιστῇ, τῷ Μανιάκῃ φημὶ, ἐτροπώθη τὸ τῶν ἐναντίων στρατόπεδον. τὸ δ' ἤδη τὰ καθ' ἡμᾶς διεξαγούσῃ προνοίᾳ ἀθρόον ἀντέστραπτο τὰ τῆς μάχης, καὶ ἡττῶντο οἱ περὶ τὸν Μανιάκην. ὡς γὰρ ἐκεῖνος ἐπελαύνων τὰς τάξεις, διέλυε τὰς φάλαγγας, καὶ οἷς ἐμβοήσειεν εὐθὺς ἀνεχώρουν, καὶ ὁ συνασπισμὸς διελύετο, ἄφνως πεπληγμένος ἐνεφάνη καὶ πληγὴν καιρίαν, ἐξ ἧς τὸ αἷμα καταῤῥέον πολὺ, ἀχλὺν αὐτοῦ κατασκεδάσαι, καὶ πάρεσιν τοῖς μέλεσιν ἐμποιῆσαι, ὥστε καὶ τὸν χαλινὸν διαπεσεῖν τῆς χειρὸς αὐτοῦ, κἀκεῖνον καταβληθῆναι εἰς γῆν ἐκ τοῦ ἵππου, τῆς ἕδρας ἐκκλιθέντα. ἐκεῖτο γοῦν αὐτίκα θανὼν, ἔξω τι τοῦ μεταιχμίου βραχὺ, καὶ οἱ βασιλικοὶ ἐπελθόντες αὐτῷ ἐπεδίωξαν. ὡς δ' οἱ ἐκείνου τὸν σφέτερον εἶδον ἀρχηγὸν πεσόντα, καὶ πλοίοις λειφθέντες διεσκεδάσθησαν. τότε τῶν βασιλικῶν ἐπιφέρονται οἱ τῆς ὑστέρας μοίρας, καὶ τὴν τοῦ τυράννου κεφαλὴν ἐκτεμόντες, τῷ σφῶν προσήγαγον στρατηγῷ. ὁ δὲ ταύτην αὐτίκα πρὸς αὐτοκράτορα ἀπέπεμψε, κἀκεῖνος μετέωρον ταύτην ἀρτᾷ ἐπὶ τοῦ θεάτρου, ὅτε καὶ τὸν πόλεμον καταπολεμήσαντος δόξαντος ἐκτομίου, ἐπανελθόντος μετὰ τῆς στρατιᾶς, θρίαμβος γίνεται, τοῦ βασιλέως ἐν τῷ πρὸς τῇ ἀγορᾷ ἐπισεσημασμένῳ προτεμενίσματι τοῦ ἐν τῇ χαλκῇ λεγομένου τοῦ σωτῆρος ναοῦ, προκαθημένου μετὰ πολλῆς τῆς λαμπρότητος, καὶ παρόντων αὐτῷ καὶ τῶν βασιλίδων συγκαθημένων. ἀλλὰ τὰ μὲν περὶ τὸν Μανιάκην ἐν τούτοις τετελεύτηκεν. ἄλλη δ' αὖθις ἐκινεῖτο τυραννὶς, ἧς ἦρχε Θεόφιλος ὁ Ἐρωτικὸς ὃς τὰ περὶ τὸν δεύτερον Μιχαὴλ, τὸν τοῦ πρώτου ἀδελφιδοῦν, μαθὼν, καὶ ὡς γυναιξὶν ἡ βασιλεία πεπίστευται, τοὺς Κυπρίους ὑπελθὼν (τούτων γὰρ ἐτύγχανεν ἄρχων τότε) ἀποστασίαν ἐγχειρεῖ. ὁ μέντοι τάχος τῷ Μονομάχῳ ἰδέαν πρὸς τὴν τούτου καθαίρεσιν. στόλον γὰρ στείλας, ἐκεῖνόν τε ὑποχείριον ἐχειρώσατο, καὶ τὴν νῆσον ῥᾳδίως δουλείας ὑπηγάγετο. θνήσκει δ' ὁ πατριάρχης Ἀλέξιος, ἐπ' ἔτη δέκα πρὸς τοῖς ὀκτὼ κατασχὼν τὸν θρόνον τοῦ πατριαρχείου, καὶ Μιχαὴλ ὁ λεγόμενος Κηρουλάριος πρὸς αὐτὸν ἀνιδρύεται. χρυσοῦ δὲ κεντηνάρια πέντε καὶ εἴκοσι ἐκ τῆς τοῦ πατριάρχου Ἀλεξίου μονῆς ὁ Μονομάχος ἀφείλετο, παρ' ἐκείνου τοῦ πατριάρχου θησαυρισθέντα ἐκεῖ. ὅ γε μὴν ἐκτομίας Ἰωάννης, ὁ γεγονὼς ὀρφανοτρόφος ὁ τοῦ βασιλεύσαντος Μιχαὴλ τοῦ Παφλαγόνος αὐτάδελφος, ἐς Μιτυλήνην, τοῦ Μονομάχου κρατήσαντος, μεταχθεὶς, ἐκεῖ πηροῦται τοὺς ὀφθαλμοὺς, ὡς μέν τινες δοκοῦσι, παρὰ τῆς βασιλίδος Θεοδώρας, γνώμης ἄτερ τοῦ αὐτοκράτορος, ὡς δ' ἕτεροι, αὐτοῦ τοῦ κρατοῦντος τοῦτο κελεύσαντος, μηνιῶντος αὐτῷ διὰ τὸ τῆς ἐξορίας πολυετὲς καὶ ἀνάξιον. ὃς βραχείας ἡμέρας τῇ πηρώσει ἐπιβιώσας, τῆς ζωῆς ἐξεμέτρησεν. ἄλλη δ' αὖθις τυραννὶς τῷ Μονομάχῳ δεινοτέρα ἐξανέστη. ὁ τοῦ Τορνικίου δ' ἦν αὕτη Λέοντος, ὃς μητρόθεν περὶ γένος προσῆκε τῷ αὐτοκράτορι. οὗτος τὴν Ὀρεστιάδα οἰκῶν (οὕτω δὲ πάλαι ἡ πόλις ἐκαλεῖτο τοῦ βασιλέως Ἀδριανοῦ ἐξ Ὀρέστου τοῦ Ἀγαμέμνονος) τοὺς Μακεδόνας εἶχε προσέχοντας αὐτῷ, ὡς δή τινι κρείττονι. ἦν γὰρ ὁ ἀνὴρ οὔτε τὸ εἶδος φαῦλος, οὔτε τὸ φρόνημα. οὐχ ἧττον καὶ ἕτερον, ὃ πρὸς ἑαυτὸν τοὺς πλείους ἐφείλκετο. ἐχρησμολόγει γὰρ ἡ φήμη περὶ αὐτοῦ, οἷα ἐν πολλοῖς ἄλλων λέγεται μάτην, ὡς τῶν ῥωμαϊκῶν σκήπτρων ἔσοιτό ποτε ἐγκρατής. πρὸς ὃν ὁ βασιλεὺς, ὅτι ὡς αὐτῷ προσήκοντα διετίθετο, ἀλλὰ μᾶλλον ἀπηχθάνετο τῷ ἀνδρί. ἡ δὲ τοῦ κρατοῦντος ὁμαίμων ἡ Εὐπρεπία, ἐφιλοῦντο τι καὶ ἐδεξιοῦτο αὐτὸν, γυνὴ γενναία τὸ

ἀποστασία τοῦ ἐρωτικοῦ.

περὶ κηρουλαρίου.

ὅτι ὀρφανοτρόφος ὁ γεγονὼς ὀρφανοτρόφος ἰωάννης.

ἀποστασία τοῦ τορνικίου λέοντος.

uerò ille semel affectato regno arma retineret: bellum contra eum suscipit, duce copijs præposito non strenuo aliquo uiro & in re bellica exercitato, ueritus ne talis idem auderet, sed spadone perspectæ fidei, cubiculi ministro. Quo cum exercitu abeũte, Maniaces festinat, ut hostes imparatos adhuc opprimat, eosq; commisso prælio in prima acie uersans profligat. Sed prouidentiæ nutu res nostras gubernãtis, subitò commutata belli fortuna, milites eius uincũtur. Nã dum aciẽ obequitãs phalanges dissipat, & ij quos inclamat, statim dissoluta testudine cedũt, lethale uulnus accipit, ac multi sanguinis profluuio caligine oculis oborta, habenis manu elapsis sella deuoluitur, statimq; mortuus cõcidit, nõ lõgè à cãpo in q̃ prælių cõmittebat. Imperatorij tamẽ nõ prius eũ aggredi ausi, q̃ eius milites ducis interitu cognito perterriti ac dissipati sunt: tũ demũ miseri caput amputatũ, suo duci attulerũt, q̃d ille statim ad Imperatorẽ misit, q id in sublimis theatro suspendit, & spadoni cũ exercitu reduci, ut re benè gesta, triũphũ decernit: ipse in uestibulo ædis Seruatoris in Chalce, forũ spectãte medi⁹ inter Imperatrices cũ magna maiestate præsidẽs. Ac Maniacis hic fuit exit⁹. Verùm alia tyrãnis est exorta, autore Theophilo Erotico. Is cũ secundi Michaelis, q primi nepos erat, exitũ, & mulierũ Imperium cognouisset. Cyprijs quorũ tũ prætor erat, arte sibi conciliatis, deficit. Sed motus ille citra moram classe missa, est suppressus, uicto Erotico, et insula in seruitutẽ redacta. Alexio Patriarcha mortuo, cùm sedẽ illã annos XVIII quietè tenuisset, Michael cognomẽto Cerularius, in ei⁹ locũ est suffectus. Monomach⁹ uerò auri cẽtenarios XXV è Monasterio Alexij ab illo in thesauros relatos, abstulit. Ioannes porrò spado, Orphanotrophus, Imperatoris Michaelis Paphlagonis frater, Monomacho imperãte, Mitylenẽ trãslatus, cęcat, siue Theodoræ iussu, ignorãte Imperatore: siue Imperatoris mãdato, ei ppter immeritũ tot annorũ exiliũ irato, q cladi oculorũ paucos dies superuixit. Cęterũ alia tyrãnis atrocior est cõtra Monomachũ exorta, Leone Tornicio autore, materno ei⁹ cognato. Qui cũ Orestiadẽ habitaret (sic ẽm olim Adrianopolis appellata est ab Oreste Agamẽnonis filio) Macedones habebat dicto audiẽtes, tanquã uir præstãtior cæteris. Nã neq; facie neq; ingenio erat contemnẽdo: inerat ei etiã aliud quiddã, q homines alliciebat. Fama ẽm temerè de illo, ut & de alijs, uaticinabatur, fore ut Romanis sceptris potiret. Imperator uerò nõ modò nõ erga eũ, ut cognatũ affect⁹ fuit, sed & odio eũ psecut⁹ est. Cõtrà soror illi⁹ Euprepia uirũ sibi & cõciliabat & amplectebatur, generosa matrona

Theophili Erotici defectio compressa.

Alexij thesaurus.

Orphanotrophus cæcatur.

Leonis Tornicij defectio.

Euprepia Monomachi soror.

constantiq́ animo, ad illustrem fortunam & opum affluentiam euecta: ne ipsa quidem fratri chara, quod eam ob insignem prudentiam uerebatur. Quæ cum nihil ab illo magnificum consequeretur: neq́ frequentabat Regiam, superbeq́ cum eo agebat, si quando accesserat, eum arguens & obiurgans, & eius ob illa iracundiam per contemptum silentio dissimulans. Imperator uerò syncerum illum sororis erga Tornicium affectum grauiter molesteq́ ferens, ut eos lōgè seiungeret, Tornicium Iberibus Romanæ ditionis præfecit, relegatione specioso titulo obumbrata. Cum igitur ille abiret, & fama eum spe magnæ fortunæ prosequi non desisteret: quidam inde ansam arripuerunt, eius apud Imperatorē calumniandi. Quorum uerbis commotus ille Tornicio comā tondet, se spem eius unà detonsurū ratus, nigramq́ lacernā induit, quasi eo colore expectato illi fortunæ splendori tenebras offusurus. Ita reuersum adeò nō est miseratus, ut cachinno etiam prosecutus sit abeuntem. Enimuero Macedones prius etiā, ut dictum est, illi addicti, ac benè de eo sperantes, eum noctu ex urbe Imperatrice in Metropolim suam Adrianopolim abducūt, ubi seu fautorū eius studio, maxima pars exercituū conuenit: seu Imperatoris odio, qui ob causas quasdam milites non benè tractarat, & suspectos habebat, unde illis inuisus esse cœperat. Statim igitur illic congressi, Tornicium faustis ominibus prosecuti, Imperatorem consalutarunt. Ille uerò citra moram rem, cum sua factione aggressus, subitò Constantinopolim inuadit, cumq́ multi ad eum tam ciues quàm milites confluerēt: in spem erigebatur, neminem fore, qui sibi resistere auderet, sed ciues portas urbis potius non grauatim aperturos, tum quod Orientales exercitus bellis ibi gerendis occupati, tum quod ciues Imperatori irati essent, à quo aliter quàm uellēt haberentur. Huiusmodi spe inflatus, castra ante urbē ponit, oppugnaturus eam, nisi alacriter reciperetur. Mane igitur instructa acie ad mœnia urbis circa Blachernas progressus, portas aperiri sibi petit, custodes ad id facinus magnis pollicitationibus inuitans. Qui cū eum & negligerēt penitus & deriderent, & dicterijs incesserent: oppugnationem inchoat. Imperator uerò cū paucis militib⁹ urbanaq́ multitudine, & alijs quibusdā uiris senatus ministris, qui omnes uix millenariū numerū explebāt, se ad defensionē parat: quos cū pro mœnibus tyrāni militibus opposuisset, putabat se terrorem aduersarijs incussurū: atq́ ipse in quodam imperatorio conclaui prominente ante cætera, pro maiestate cōsedit, ut hostes & uideret, & uicissim uideretur. Macedones uerò scurrilitati assueti, conspectum Imperatorem partim palàm contumelijs insectati sunt, partim c̄etib⁹ institutis comicas quasdā cātilenas

Tornicius per speciem honoris relegatur & tondetur in clericum.

Tornicius Byzantium oppugnat.

καὶ σεμνοτέρα τὸ φρόνημα, καὶ εἰς τύχης ἐλάσασα περιφάνειαν καὶ εἰς πλούτου δαψίλειαν. ἡ γὰρ ἀδελφὴ σφετέρα ἐκείνη, εὐλαβεῖτο δ' αὐτὴν διὰ τὸ περιὸν τῆς φρονήσεως. ἡ δὲ μηδενὸς ἐξ ἐκείνου τυγχάνουσα τῶν μειζόνων, οὔτε συχνάκις αὐτῷ προσῄει, καὶ ὑπερηφάνως ὅτε προσεληλύθει προσεφέρετο, διελέγχουσά τε καὶ ὀνειδίζουσα. ἡ δ' ἐπὶ τούτοις ὁρῶσα τὸν ἀδελφὸν ὀργιζόμενον, ἀπεσιώπα αὐτὰ καταφρονητικῶς. ὁρῶν οὖν τὴν πρὸς τὸν Τορνίκιον τῆς ἀδελφῆς ὁ βασιλεὺς γνησιότητα, ὑπώπτευέ τε καὶ ἐμελέτα, καὶ ἵνα πόῤῥω ἀλλήλων θεῖτο αὐτοὺς, τῶν ἐν Ἴβηρσι τῆς Ῥωμαίων ἡγεμονίας διαφερόντων αὐτῷ τὴν ἀρχὴν ἀνατίθησι, κατακεχρωματισμένην εὐπροσώπως ὑπερορίαν αὐτῷ κατασκευαζόμενος. καὶ ὁ μὲν ἀπῆλθεν. ἡ δέ γε φήμη, ὡς πρὸς μέγα τύχης αὐτὸν ἐξάγοι ἐν ἐλπίσιν, οὐκ ἔληγε. καί τινες ἐκ τούτου τὸν ἄνδρα πρὸς τὸν βασιλέα διέβαλλον. ὁ δὲ τοῖς λόγοις τούτοις τὴν γνώμην διασεισθεὶς, εἶλκε καὶ κείρει μὲν τὴν κόμην τοῦ Τορνικίου, συγκείρειν αὐτῷ ταῖς θριξὶ καὶ τὰς ἐλπίδας οἰόμενος, φαιὸν δὲ μέλαν αὐτὸν ἀμφιέννυσι, ζόφον αὐτῷ νομίζων ἐντεῦθεν τὴν προσδοκωμένην τῆς τύχης λαμπρότητα, οὕτω δ' ἐπανελθόντα μήτ' οἰκτείρας, ἀλλὰ καὶ ὑποκαγχάσας ἀφῆκεν. οἱ δέ γε Μακεδόνες καὶ πρώην, ὡς εἴρηται, προσκείμενοι τῷ ἀνδρὶ, καὶ χρηστὰς ἐλπίδας ἐπ' αὐτῷ θάλποντες, νυκτὸς αὐτὸν ὑπεξαγαγόντες τῆς βασιλίδος τῶν πόλεων, εἰς τὴν αὐτῶν μητρόπολιν ἄγουσιν αὐτὸν τὴν Ἀδριανούπολιν, καὶ ἢ σπουδῇ τῶν προστατευμένων αὐτῷ, ταχὺ τὰ πλεῖστα τῶν στρατευμάτων ἐκεῖσε συνηθροίσθησαν, ἢ καὶ μίσει τῷ πρὸς τὸν αὐτοκράτορα. διά τινας γὰρ αἰτίας οὔτ' ἐκεῖνος καλῶς τοὺς στρατιώτας ἐπεῖχεν, ἀλλὰ καὶ ὑποψίας ὑπέτρεφε κατ' αὐτῶν, κἀκεῖνοι διὰ ταῦτα πρὸς ἔχθος κατ' αὐτοῦ ἠρεθίζοντο. ὡς δ' οὖν συνειλέγησαν, εὐφημίας αὐτὸν αὐτίκα βασιλικῆς ἀναφανδὸν κατηξίωσαν. ὁ δὲ σὺν αὐτοῖς εὐθὺς ἔργου εἴχετο, καὶ ἀθρόον τῇ βασιλευούσῃ ἐπιφοιτᾷ, καί οἱ προσιόντι προσεφοίτων πολλοὶ καὶ στρατιῶται καὶ ἀστικοί, κἀκεῖνος ταῖς ἐλπίσιν ᾐωρεῖτο, ὡς οὔτινος αὐτῷ ἀντιστησομένου, ἀλλὰ μᾶλλον ἀναπετασόντων αὐτῷ εὐπετῶς τῶν ἀστῶν, καὶ τὰς πύλας τῆς πόλεως, ὅτι τε τὰ ἑῷα στρατεύματα πολέμοις ἐκεῖ προσησχόλητο, καὶ ὅτι καὶ οἱ τῆς πόλεως δι' ὀργῆς ἐποιοῦντο τὸν αὐτοκράτορα, ὡς δή τι μὴ κατὰ γνώμην αὐτοῖς προσφερόμενον. τοιαύταις οὖν αἰωρούμενος ταῖς ἐλπίσι, στρατοπεδεύεται πρὸ τῆς πόλεως, πολιορκήσων αὐτὴν, εἰ μὴ δέξοιτο αὐτὸν προθυμότατα. ἕωθεν οὖν παραταξάμενος, καὶ ἐγγὺς τοῦ περιβόλου τῆς πόλεως γεγονὼς περὶ τὰς Βλαχέρνας, ἀνοῖξαί οἱ τὰς πύλας ἠξίου τοὺς φύλακας, ὑπισχνούμενος τούτοις πρὸς τὴν πρᾶξιν παραθαῤῥύνων λαμπράς. τῶν δὲ μὴ δ' ἐπιστρεφομένων αὐτοῦ, ἀλλὰ καὶ χλευαζόντων, καὶ πρὸς ἐκεῖνον ἀποσκωπτόντων, ἐπεχείρει τῇ προσβολῇ. ἀντιπαρετέτακτο δὲ καὶ ὁ βασιλεὺς, στρατιώταις ὀλίγοις καὶ ὄχλῳ δημοτικῷ καί τισιν ἄλλοις ἀνδράσιν ἐκ τῶν τῆς γερουσίας θεραπόντων, τῶν πάντων οὐδ' εἰς ἀκριβῆ συναριθμουμένων χιλιοστύν. καὶ τούτους πρὸ τοῦ περιβόλου στήσας τῆς πόλεως ἀντιμετώπους τοῖς τοῦ τυράννου, ᾤετο καταπλήξειν αὐτοῖς τὸν ἀντίπαλον. καὶ αὐτὸς δὲ ὁ αὐτοκράτωρ ἔν τινι τῶν βασιλικῶν θαλάμων προβεβλημένῳ τῶν ἄλλων, καὶ ὑπὲρ τὸ πρὸ τῆς πόλεως ἐστρωμένον πεδίον, καθῆστο βασιλικῶς, ἵν' ὁρῴη τοὺς ἐναντίους καὶ ὁρῷτο αὐτοῖς. οἱ δὲ Μακεδόνες βωμολοχίας ὄντες ἐθάδες, ἰδόντες τὸν βασιλέα, οἱ μὲν ἄντικρυς ἐξύβριζον εἰς αὐτὸν, οἱ δὲ καὶ χοροὺς συνιστῶντες μέλη τινὰ χυδάζοντες, κωμῳδίας ὀρχοῦντο

ἀρχόντων, καὶ ἄλλην τοιαῦτα, τοῖς ποσὶν ὑποκροτοῦντες τὴν γῆν. ἅτε τοῖς ἔνδον τοῦ τείχους περιβεβλημένοις βασιλικοῖς μοίρας τινὸς ἐπελθούσης τῶν ἐναντίων, οἱ μὲν περὶ τὰς πύλας ὥρμησαν, οἱ δ' ὑπὸ τὴν τάφρον γενόμενοι καὶ ἀπώλλυντο, τοσοῦτον δ' ἅπασι τὸ δέος ἐγγέγονεν, ὥστε τούς τε τοῖς τείχεσιν ἐφεστῶτας ἑαυτοὺς ἐκεῖθεν καταβάλλοντας φεύγειν, καὶ τοὺς τὰς εἰσόδους φρουροῦντας τῆς πόλεως φρούδους αὐτίκα γενέσθαι, μὴ δὲ τὰς πύλας ἐπιζυγώσαντας. εἰ γοῦν ἀγχίνους ὁ τότε πολέμιος ἦν, εἰδότα νικᾶν. οὐδὲν ἂν τὸ κωλῦον εὐθὺς τὸν τορνίκιον ἐντὸς γενέσθαι τοῦ ἄστεος, καὶ τέλος ἐπιθεῖναι τῷ ἐγχειρήματι. ἀλλὰ τοῦτο μὲν, ἐπεὶ μὴ τῷ θεῷ ἔδοξεν οὕτω διοικήσειν, τὸν τυραννοῦντα διέφυγε. ὀλίγου βασιλεὺς μικροῦ ἐκινδύνευσεν. τῶν γάρ τις ἐναντίων τὸν δ' ὑπὸ τοξάζεται, καὶ βέλος ἀφίησι κατ' αὐτοῦ, τὸ δ' ἀστοχῆσαν τοῦ βασιλέως, βάλλει μειράκιόν τι τῶν θαλαμηπόλων. ἀλλ' οὐδ' ἐκείνῳ καιρία γέγονεν ἡ ἐκ τοῦ βέλους πληγή. οἱ δ' ἀμφὶ τὸν βασιλέα δείσαντες, αὐτίκα μετέστησαν, κἀκεῖνος αὐτὸς ἀλλαχοῦ ποι σὺν τῷ θρόνῳ μετῳκίσθη. ὃν δ' εὑρηκὼς τρόπον τὸν τορνίκιον διαφυγὸν τὸ εὐτύχημα, εἰς τοὐναντίον αὐτῷ τὰ πράγματα περιέτρεψεν, ὅτε γὰρ πόλις αὖθις ὑπὸ φρουρὰν ἐγεγόνει, καὶ ὁ τύραννος πάλιν ἕωθεν προσβαλὼν καὶ ἀκροβολισάμενος, παρὰ βραχὺ καὶ ἀπώλετο αὖ. λίθων γὰρ ἐκ μηχανῆς ταλαντιαίων σφενδονωμένων κατὰ τῶν ἐναντίων, εἷς ἐπὶ τὸν τύραννον ἵετο, καὶ τοῦ μὲν ἀπέτυχε, διαλίαν δ' ἐκεῖνον καὶ τοὺς περὶ αὐτὸν ἐξεπτόησε, καὶ λύσαντες τὴν παράταξιν ὑπεχώρησαν εἰς τὴν σφετέραν παρεμβολὴν, καὶ οὐκέτι τῇ πολιορκίᾳ ἐπεχείρησαν. ἀλλ' ἐπ' ὀλίγας βραχείας ἡμέρας προσμείνας ὁ τύραννος, ἐπεὶ ἑώρα τοὺς μὲν τῶν οἰκείων προσχωροῦντας τῷ βασιλεῖ, τοὺς δὲ σκεδαννυμένους καὶ ἐκδιδράσκοντας, ἀπανίσταται μὲν τῆς περὶ τὸ ἄστυ προσεδρείας, ἀπῄει δ' ὡς δυνατὸς τῶν θρᾳκῴων κρατήσων φρουρίων, ἀλλ' ἀπεκρούσθη κἀκείνων. ἐν τοσούτῳ δὲ ἧκον αἱ τῆς ἑῴας δυνάμεις ἀνακεκλημέναι παρὰ τοῦ αὐτοκράτορος, καὶ κατὰ τοῦ τυραννοῦντος ἀφείθησαν. οἱ δ' αὐτῷ τὴν ἀποστασίαν συγκροτοῦντες ὡς ἔγνων τοῦτο, δείσαντες περὶ σφίσιν, ἀλλὰ καὶ τοῦ τῶν ἑῴων ταγμάτων ἐξάρχοντος παραστρατοπεδευσαμένου τοῖς ἀποστάταις, καὶ τοὺς μὲν ὁμιλίαις, τοὺς δὲ καὶ γράμμασι πείθοντος αὐτομολῆσαι τῷ αὐτοκράτορι. πάντες σχεδὸν ἐγκαταλιπόντες τὸν τυραννήσαντα, προσεχώρησαν τοῖς βασιλικοῖς, καὶ οὐ τῶν ἀσήμων μόνον ἦσαν οὗτοι στρατιωτῶν, ἀλλὰ καὶ τῶν ἐπιφανῶν, καὶ ἐστρατηγηκότων καὶ λαμπρυνθέντων ἀρχαῖς. ἑνὸς μόνου τῶν ἐπισήμων παραμεμενηκότος αὐτῷ τοῦ Βατάτζη. ὡς δ' οὖν ἐγκατελείφθη πάντων τῶν λοιπῶν ὁ τορνίκιος, καὶ πανταχόθεν αὐτῷ ἄφυκτος ἦν ἡ κατάληψις, θείῳ ναῷ προσκαταφεύγουσιν, αὐτός τε καὶ ὁ Βατάτζης. ἐκεῖθεν δὲ πεδηθέντες τῷ μονομάχῳ προσήχθησαν, ὁ δὲ στέρησιν ἀμφοῖν κατεψηφίζετο τοῦ φωτὸς, καὶ τοῖς μὲν ἐξεβιάσθησαν εὐθὺς οἱ λύχνοι τοῦ σώματος, ἡ δ' ἀποστασία διελέλυτο τέλεον. μέχρι μὲν οὖν τοῦδε μάχας ἐμφυλίους ὁ λόγος διηγησάμενος μεταβήσεται νῦν πρὸς μάχας βαρβαρικάς. προσκείσθω δὲ τῶν ἄλλων τῶν ῥῶς αἱ ἐπελεύσεις. τοῦτο τὸ ἔθνος καὶ ἄλλοτε πολλάκις κατὰ ῥωμαίων ἐχώρησε, ἡττήθη δὲ, τέλος καὶ σπονδὰς πεποίηκε πρὸς ῥωμαίους καὶ κῆδος, ἵνα διὰ τῆς ἀγχιστείας πρὸς ὁμόνοιαν τὰ γένη συνδέοιτο, καὶ πρὸς ἀλλήλους ἐφοίτων ἐμπορευόμενοι. ἦσαν οὖν καὶ τότε ταυροσκύθαι πολλοὶ παρὰ τῇ Κωνσταντίνου, τὰ παρ' ἑαυτῶν ἀποδιδόμενοι καὶ τὰ παρ' ἡμῖν ἀντωνούμενοι. συνέβη δὲ τισὶ τῶν σκυθῶν ἔριν γενέσθαι πρὸς ῥωμαίους τινὰς, πληγαὶ δ' ἐπηκολούθουν ταύτῃ καὶ τραύματα,

ἐτυφλώθησαν ὁ τορνίκιος καὶ ὁ Βατάτζης.

περὶ τῶν [illegible]

ex tempore cecinerunt, & saltarunt, pedibus terram pulsantes, immissaque cohorte in eos qui extra mœnia obiecti fuerũt, homines partim ad portas, partim ad fossas compulerunt, in quas præcipitati perierunt, tantaque formido incessit omnibus, ut ij etiam, qui in mœnibus stabant, desilientes fugerent, & qui aditus urbis custodiebãt, ne portis quidem clausis se subducerent. Quòd si bellum illud uirum habuisset, qui uti uictoria scisset: nihil Tornicium ab urbis ingressu uel executione conatus sui prohibuisset. Sed eam occasionẽ, cùm Deo aliter uisum esset, Tyrãnus amisit. Imperator tamen periculo proximus fuit. Nam quidam emissa contra illum sagitta, ipsum quidem non perculit, sed adolescentem cubiculi ministrum, ac ne eum quidem letaliter uulnerauit. Tamen satellites territi, statim recesserũt, & ipse Imperator in sella aliò translatus est. Tornicio, tanta felicitate neglecta, res in contrarium uertit. Nam urbe denuò custodijs munita, tyrannus mane rursus impetu in mœnia facto, repulsus est, nec multum abfuit, quin ipse periret. Nam cum ex machina saxa talenti pondere in hostes excuterentur, unum in ipsum directum: aberrauit illud quidem, sed & ipsi & satellitibus eius terrorem incussit, ut dissipata acie, in castra reuerti, ab oppugnatione desisterent. Paucis igitur diebus ibi commoratus, cum ex suis alios ad Imperatorem deficere, alios dispergi & aufugere uideret: relicta urbis obsidione, castella Thraciæ se facilè occupaturum ratus, ab illis quoque repulsus est. Interea copiæ Orientales reuocatæ adsunt, & contra tyrannum mittuntur. Quo defectionis socij cognito, sibi metuentes, cùm Orientalium quoque dux castra propè illos posuisset, & alios colloquijs, alios literis impulisset, ut ad Imperatorẽ transfugerent: ferè omnes deserto tyranno cũ imperatorijs se coniunxerunt: neque ij gregarij tantum milites, sed etiã uiri illustres, duces & magistratus. Vnus duntaxat ex insignioribus Batazes apud illum mansit. Tornicius igitur destitutus ab omnibus, nulla spe euadendi relicta, cum Bataze in templum quoddam confugit. Vnde in cõpedibus ad Monomachum perducti atque effossis oculis excæcati sunt, seditione penitus compressa. Hactenus intestina bella commemorauimus, Nunc ad externa se conuertat oratio, ac Rossorum in primis expeditio narretur. Quæ gens cum aliàs quoque sæpissimè Romanos aggressa esset, uicta fuit. Tandem fœdere icto, & affinitate iuncta, utrunque populum deuincire studuerunt, & commercia inuicem agitarunt. Quum autem tunc multi Tauroscythæ Constantinopoli merces suas uenderent, & nostrates commercarentur: accidit, ut inter eos, & Romanos quosdam, contentione orta, à pugnis ad uulnera,

Tornicius & Batazes excæcantur.

Rossicum bellum.

à uulneribus ad cædes fieret progreſsio, & inter cæteros illuſtris quidem Scytha caderet. Ex eo Roſſorum princeps occaſione ſumpta, ſtatim plurimis nauigijs compactis, quæ apud eos Monoxyla uocantur, multitudine quæ omnem propè numerum excedit, ijs impoſita, Propontidem penetrat, bellumq; Romanis non antè indictum infert. Quos ubi Imperaror aduentare cognouit, miſsis legatis petit, ut arma deponāt, ſe paratum eſſe, ſi quid moleſti eis accidiſſet, ſatisfacere. At Barbarus legatos ſuperbè excepit, eosq; inſolentibus & moleſtis uerbis eructatis, cum ignominia dimiſit. Imperator igitur pace deſperata, & ipſe ad bellum nauale ſe parat, & quia claſsis longiſsimè aberat, tutandis prouincijs occupata: triremes alias & onerarias naues, plurimo Græco igni impoſito, aduerſus hoſtilem claſſem mittit, atq; ipſe in ſummo portu conſidet. Vt autem magna diei parte elapſa, Barbari quieſcēbant, nec tamen aciem ſoluebant: Theodorocanum iubet cum tribus triremibus laceſſere Barbaros, & ad pugnā elicere. Is uerò non uelitari cœpit, ſed planè pugnam eſt auſpicatus, & Græco igni aliquot naues Barbaricas cremauit, alias unà cum uiris demerſit, unamq; comprehendit, in quam ipſe inſilijt, alijs cæſis, alijs perterrefactis & metu quaſi conſtrictis. Tribus triremibus feliciter iſta auſis, ſigno ab imperatore dato plures onerariæ ſoluunt: quibus Barbari conſpectis, pugnę immemores, ſoluta acie in fugam conuerſi paulatim receſſerunt, Romanis in ea pugna diuinitus etiam adiutis. Nam ſubito uentus Orientalis coortus, fluctibus uerſus Occidentem ingenubus in Barbarorum naues deuolutis, multas ſubmerſit, multas petris & occultis ſcopulis illiſas comminuit: uectores porrò partim undæ abſorpſerunt, partim fluctu in terram eiectos, milites obſeſsis littoribus trucidarunt. Barbarorum multitudine ad hunc modum debellata, Imperator uictoria illuſtris in Regiam reuerſus eſt. Expoſito uno Barbarico bello Tauroſcytharū, ad alterius gentis Turcicæ uidelicet motum eſt tranſeundum, qui Orientem tum inuaſerunt, & in hunc uſq; diem infeſtant. Sunt autem Turci gens Hūnica, populoſiſsima & libera, Caucaſiorum monuium ſeptentrionale latus accolens. Nam quum Perſæ Macedonibus inter ſeſe dimicantibus, regnum ſuum, ut ſuprà oſtenſum eſt, recuperaſſent: idem à Sarracenis uicti, & oppreſsi, rurſus amiſerunt. Sarraceni uerò, non uni Principi paruerunt, ſed ſeditione inter ipſos orta, in factiones diuiſi, alij alios oppugnarunt. Muhumetus igitur Imbraelis filius, Perſidis, Choraſmiorum, Mediæ, & aliorum quorundam populorum princeps, temporibus Baſilij Porphyrogeniti, cū ſuſcepto contra Indos & Babylonios bello ſuccubuiſſet,

Theodorocanus claſſē Roßicam profligat.

Turcorum origo & uaſtatio Orientis.

τοῖς δὲ προϋπῆρχε θάνατος, καὶ τοῖς θανοῦσι καὶ εἷς τις τῶν ἐπισήμων παρ' αὐτοῖς συνηρίθμητο. τοῦτο τῷ τῆς χώρας ἄρχοντι πρόφασις τῆς συγκινήσεως καθ' ἡμῶν γέγονε, καὶ αὐτίκα πλοῖα συμπηξάμενος, ἃ παρ' αὐτοῖς μονόξυλα λέγονται, σφόδρα πολλά, καὶ τούτοις ἐμβιβάσας πλῆθος ὑπερβαῖνον σχεδόν τι καὶ ἀριθμόν, ἀκήρυκτον Ῥωμαίοις ἐπήνεγκε πόλεμον, καὶ γίνεται τῆς Προποντίδος ἐντός. ὡς δ' ἔγνω τὴν ἐπέλευσιν ὁ κρατῶν, στέλλει παρ' αὐτοὺς τοὺς πρεσβεύσοντας, καταθέσθαι τὰ ὅπλα σφᾶς, ὡς ἑτοίμως τοῦ βασιλέως, εἴ τι γέγονεν αὐτοῖς πρὸς λύπην, ἐξιλασομένου καὶ θεραπεύσοντος. ὁ δὲ βάρβαρος ὑπερηφάνως τε τοὺς πρέσβεις ἐδέξατο, καὶ λόγους μεγαλαύχους καὶ φορτικοὺς ἐξηρεύξατο, καὶ ἀτίμως αὐτοὺς ἀπεπέμψατο. ἀπογνοὺς τοίνυν τὰς σπονδὰς ὁ κρατῶν, καὶ αὐτὸς πρὸς ναυμαχίαν παρεσκευάζετο, καὶ ἐπεὶ μὴ ἔτυχε τὸ ναυτικὸν ἐνδημοῦν, πορρωτάτω δ' ὂν φυλακαῖς χωρῶν προσησχόλητο, τριήρεις τινὰς καὶ ὁλκάδας ἄλλας ἐξοπλισάμενος, καὶ ταύταις τὸ πῦρ τὸ ὑγρὸν ἐνθέμενος ἄφθονον, ἀντέταξε ταύτας τοῖς σκάφεσι τοῖς βαρβαρικοῖς, καὶ αὐτὸς ὁ αὐτοκράτωρ παρὼν, καὶ ἄνω που τοῦ λιμένος καθήμενος. ὡς δὲ τὸ πολὺ τῆς ἡμέρας παρῆλθε, καὶ ἠρέμουν οἱ βάρβαροι, καὶ τὴν σύνταξιν οὐ διέλυον, τρεῖς τῶν τριήρων ἐκέλευσεν ὁ βασιλεὺς τῷ Θεοδωροκάνῳ λαβεῖν, καὶ ἀκροβολίσασθαι κατὰ τῶν βαρβάρων, ἵν' αὐτοὺς εἰς πόλεμον ἐκπροκαλέσηται. ὁ δὲ οὐκ ἀκροβολισμοῖς ἐπεχείρησεν, ἀλλὰ καθαρᾷ ναυμαχίᾳ, καί τινα μὲν σκάφη βαρβαρικὰ κατέφλεξε τῷ ὑγρῷ πυρί, τινὰ δὲ κατέδυσεν αὔτανδρα, ἓν δὲ κατέσχεν, ἐνθορὼν αὐτὸς ἐν αὐτῷ, καὶ οὓς μὲν ξίφει συγκόψας, οὓς δὲ καταπλήξας, καὶ δέει μόνον ἅπαν τῷ δέει παρειληφώς. ὡς δ' οὕτω ταῖς τρισὶ τριήρεσι κατευτύχητο ἡ κατὰ τῶν ἐναντίων ἐπέλευσις, καὶ ἄλλαις τῶν ὁλκάδων σύνθημα παρέσχεν ὁ βασιλεὺς, καὶ ἀνήγοντο πλείους. ἃς ὁρῶντες ἀνιούσας οἱ βάρβαροι, οὐκέτι μάχης ἐμέμνηντο. ἀλλὰ τὴν σύνταξιν διαλύσαντες, πρύμναν ἐκρούσαντο, καὶ ὥρμησαν εἰς φυγήν, συνεμάχησε δὲ Ῥωμαίοις τότε καὶ ἄνωθέν τις ῥοπή. πνεῦμα γὰρ ἐξαίφνης σκληρὸν πνεύσαν ἐξ ἑώας πρὸς τὰ ἑσπέρια, καὶ καταιγίδας κινῆσαν, τοῖς τῶν βαρβάρων ἐπῴκειλε σκάφεσι, καὶ πολλὰ μὲν ἐπέκλυσε, καὶ τῷ βυθῷ παραδέδωκε, πολλὰ δ' ὑφάλοις πέτραις καὶ σκοπέλοις προσέρρηξε καὶ συνέτριψε. τὰ δὲ λοιπὰ τῶν πληρωμάτων, ὧν μὲν τὸ ὕδωρ ἐκάλυψεν, οὓς δὲ τὸ σύνταγμα στρατιωτικὸν ἐφεδρεῦον ταῖς ᾐόσι διέφθειρεν, ἐκβρασσομένους τοῦ κλύδωνος. οὕτω δὲ καταπολεμηθέντος τοῦ τῶν βαρβάρων πλήθους, ὁ βασιλεὺς τροπαιοφόρος εἰς τὰ ἀνάκτορα ἐπανέζευξεν. ὡς μὲν δὴ πόλεμος βαρβαρικὸς οὑτωσὶ διῴκηται, εἰρήσθω δὲ καὶ ἑτέρα τις συγκίνησις ἔθνους, ἣ τότε τὴν ἑῴαν διέλαβε, καὶ μέχρι τοῦ νῦν αὐτὴν ἐπιβόσκεται, τοὺς Τούρκους φημί. εἰσὶ μὲν οὖν οὗτοι γένος τι Οὐννικὸν οἰκοῦν τὰ προσάρκτια τῶν Καυκασίων ὀρῶν, πολυπληθὲς καὶ αὐτόνομον. ἐπεὶ δ' ἡ Περσῶν ἀρχὴ, τῶν Μακεδόνων ἐφ' ἑαυτοὺς τραπέντων, καὶ ἀντιμαχομένων ἀλλήλοις, ἴσχυσε πάλιν τὴν ἀρχὴν ἀνασώσασθαι, ὡς ἔμπροσθέν μοι ἱστόρηται. ἡ δ' αὖθις ὑπὸ Σαρακηνῶν τὴν ἐξουσίαν ἀφῄρητο, δεδήλωται· τοῖς Σαρακηνοῖς, καὶ οὐχ ὑφ' ἕνα ὅσον ἡγεμόνα τελοῦσι, πρὸς ἀλλήλους τε καὶ οὗτοι στασιάσαντες, εἰς αὐτοτελεῖς μοίρας διῄρηντο, καὶ ἀλλήλοις ἐπέθεντο. Μαχούμετ οὖν ὁ τοῦ Ἰμβραήλ, Περσίδος ἄρχων καὶ Χωρασμίων καὶ Μηδίας καί τινων ἄλλων, πόλεμον ἤρατο κατὰ τοὺς χρόνους Βασιλείου τοῦ Πορφυρογεννήτου, κατὰ Βαβυλωνίων τε καὶ Ἰνδῶν, ἡττώμενος δὲ συμμαχικὸν ἐκ Τούρκων μετεπέμψατο.

ναυμαχία κατὰ τῶν ῥῶς καὶ ὅπλα αὐτῶν.

ὅσοι οἱ νῦν καὶ κατὰ δὲ ἀνατολὰς Ῥωμαίοις ὑπὸ τὰς μοίρας ἐξήρχοντο ... [illegible]

ἦν δὲ

ὧν δὲ τοῖς εἰς συμμαχίαν ἐλθοῦσι τῷ Μουχούμετ ταγμάρχης Ταγγρολίπηξ Μουκάλετ, καθ' ὧν ὁ Μουχούμετ τοῖς αὐτοῦ ἐθνίταις προσβαλὼν, τρέπεται αὐτοὺς, καὶ ἀναζεύξας εἰς τὰ οἰκεῖα, οὐκ εἴα τοὺς Τούρκους εἰς τὴν ἑαυτῶν ὑποστρέψαι, ἀλλ' ἤθελε παρακατασχεῖν αὐτοὺς, ἵνα καὶ ἐφ' ἑτέροις χρῷτο συμμάχοις αὐτοῖς. οἱ δὲ μὴ οἷοί τε ὄντες ἀπελθεῖν πρὸς τὴν σφετέραν, εἰ μὴ διὰ τῆς κατὰ τὸν Ἀράξην γεφύρας (ποταμὸς δ' οὗτος ἐστὶν, εἰ μὴ διὰ τῆς γεφύρας ἄπορος, ἡ δὲ γέφυρα ἐπιπύργωτο ἑκατέρωθεν, καὶ τοῖς πύργοις φρουροὶ ἐφεστήκεισαν) ἀποστατοῦσι, καὶ εἰς ὄρη καταφυγόντες (οὐ γὰρ ἐθάῤῥουν ὄντες τρισχίλιοι, πρὸς πολλὰς τῶν Σαρακηνῶν μάχεσθαι μυριάδας) ἐκτρέχοντες ἐκεῖθεν, τὰ τῶν Σαρακηνῶν ἐληΐζοντο. ἐκπέμπει τοίνυν κατ' αὐτῶν ὁ Μουχούμετ στράτευμα περίπου τὰς εἴκοσι χιλιάδας, δέκα τῶν ὁμογλώσσων ἀνδράσι τὴν αὐτῶν ἐγχειρίσας ἡγεμονίαν. οἷς οἱ Τοῦρκοι νυκτὸς ἐπιθέμενοι, ῥᾷστα τοὺς πλείους κατέκοψαν· οἱ δὲ περισωθέντες σὺν τοῖς αὐτῶν στρατηγοῖς εἰς τὸν Μουχούμετ ἀνθυπέστρεψαν. ὁ δὲ τοὺς μὲν δέκα τῆς στρατιᾶς ἡγεμόνας ἐξετύφλωσε, τοῖς δὲ τῶν περισωθέντων στρατιωτῶν ἠπείλει διαθήσειν αὐτοὺς τὰ χείριστα. οἱ δὲ δείσαντες, τοῖς Τούρκοις προσέθεντο. ἤδη δὲ καὶ ἄλλων προσρυέντων συχνῶν, δούλων τε καὶ κακούργων, λῃστείαις χαιρόντων καὶ ἁρπαγαῖς, πολυπληθὲς ἐγένετο στράτευμα, καὶ τοῦ Μουχούμετ πρὸς τὴν ἀπαντὴν συῤῥήγνυται, καὶ πολλῶν πεσόντων καὶ Σαρακηνῶν, καὶ αὐτὸς ὁ Μουχούμετ διέφθαρτο. ὁμονοησάντων οὖν τῶν στρατευμάτων, παρὰ πάντων ὁ Ταγγρολίπηξ τὴν ἀρχὴν τῶν ὑπὸ τὸν Μουχούμετ ἐγχειρίζεται χωρῶν. αἱρεθεὶς δ' εἰς ἡγεμονίαν, πέμψας τοὺς ἐν τῇ γεφύρᾳ τοῦ Ἀράξου πύργους κατέβαλεν. οὕτω δ' ἀνεθείσης τοῖς Τούρκοις τῆς διόδου τοῦ ποταμοῦ, πολὺ τῶν βαρβάρων τούτων πλῆθος προσεῤῥύη τῷ Ταγγρολίπηκι, καὶ χεῖρα βαρεῖαν ἐκ τούτων ὁ τῶν Τούρκων ἐπισπασάμενος ἀρχηγὸς, ἀφαιρεῖται μὲν τοὺς Σαρακηνοὺς τὴν ἀρχὴν, ἑαυτὸν δὲ ταύτην καὶ τοῖς ὁμογλώσσοις ἀπένειμε, καὶ ὑπηκόους οὖν ἐκ τοῦ ἄγαν κατέστησεν. ἔπειτα αὐτὸς μὲν μετὰ χειρὸς Βαβυλωνίαν προσκατεστήσατο, τὸν δὲ ἀδελφόπαιδα Κουτλουμοὺς σὺν στρατιᾷ κατὰ τῶν Ἀράβων ἐξέπεμψεν, ὁ δὲ ἡττηθεὶς ὑπέστρεψε, καὶ διαπρεσβευσάμενος πρὸς τὸν τῶν Μήδων ἄρχοντα (οὕτω δ' ἐκαλεῖτο πάλαι τὸ Βασπρακανοῦ) αἰτῶν παραχωρηθῆναι διὰ τῆς χώρας αὐτοῦ διελθεῖν. ὁ δὲ τῆς χώρας ταύτης ἐκ βασιλέως ἀρχὴν προκεχειρισμένος, οὐ μόνον οὐκ αὐτῷ τὴν δίοδον, ἀλλὰ καὶ ἀντιπαρετάξατο κατ' αὐτοῦ, καὶ συμβαλὼν ἡττᾶται, καὶ πολλοὺς μὲν τῶν οἰκείων ἀπέβαλεν, ἑάλω δ' αὐτός. ὁ γοῦν Κουτλουμοὺς πρὸς τὸν Ταγγρολίπηκα ἐπανελθὼν, τὰ περὶ τὴν Μηδίαν διηγεῖται πολέμια, καὶ τῆς χώρας ἐξύμνει τὸ πάμφορον, καὶ προσετίθει, εὐάλωτον εἶναι ταύτην, παρὰ γυναικῶν κατοικουμένην, οὕτω καλῶν τοὺς μαχεσαμένους αὐτῷ. ὁ δὲ Ταγγρολίπηξ αὐτίκα μὲν διὰ τὴν ἧτταν ἐμήνιε, ἐκινεῖτο δὲ κατὰ τῶν Ἀράβων ἐχώρει. καὶ ὁ Κουτλουμοὺς δείσας ἀπέδρα μετὰ τῶν σὺν αὐτῷ, καὶ τὸ Πάσαρ (πόλις δ' ἐστὶ τῶν Χωρασμίων) τοῦτο κατασχὼν, ἀφίσταται τοῦ σουλτὰν (οὕτω γὰρ ὁ Ταγγρολίπηξ ὠνόμαστο) καὶ ἐπὶ πολὺ πρὸς τὸν θεῖον ἀντικαθίστατο, πολιορκοῦντα αὐτόν, διὰ δὲ τὴν τῆς πόλεως ὀχυρότητα μηδὲν ἀνύσαι δυνάμενον. καὶ ὁ μὲν σουλτὰν τῇ πολιορκίᾳ τοῦ Πάσαρ προσησχόλητο, στέλλει δὲ κατὰ Μηδίας Ἀσὰν σὺν ἀξιομάχῳ δυνάμει. ὁ δὲ προσβαλὼν τῇ χώρᾳ, καὶ συμμίξας Ῥωμαίοις, πίπτει μὲν αὐτὸς, ἡττᾶται δὲ τὸ σὺν αὐτῷ στρατιωτικὸν, καὶ βραχίστων ἀτόμων, τὸ πᾶν ἀπόλλυται. ὁ μαθὼν ὁ σουλτὰν ἠθύμησε μὲν, ἐπανακαλέσαι δ' αὖθις ἐσπούδασε τὸ δυστύχημα, καὶ Ἀλὶμ Ἀβράμιον ἑτεροθαλῆ ἑαυτοῦ ἀδελφὸν στρατιὰν ἐγχειρίσας εἰς ἑκατὸν ἀριθμουμένην χιλιοστύας, κατὰ

Ἡττῶνται τοῦρκοι ὑπὸ ῥωμαίων ἐν μήδων χώρᾳ.

Turcorũ auxilijs accersitis Tangrolipice Mucaleto duce, hostes superauit: domũq; reuersus, Turcas ad sua redire non siuit, sed retinere uoluit, ut eorum opera contra alios quoque uteretur. Qui quum domum redire, nisi per Araxidis pontem nequirent (fluuius is est, qui nõ nisi ponte superari potest, utrinq; turrito, quem præsidiarij milites tenebant) deficiunt, & mõtes occupant. (nam cum tribus millibus plures non essent, cum multis millibus acie decernere non audebant) unde pro currentes, Sarracenos prædantur. Muhumetus uerò ad XX Millia contra eos mittit, decem ducibus è suis popularibus summa belli credita, quos Turci noctu aggressi maxima ex parte facilè trucidarunt, reliquiæ cum suis ducibus ad Muhumetum redierunt. Is decem illis ducibus excæcatis, & militibus atrocissima quæq; comminatus, effecit, ut præ metu ad Turcas confugerent. Ii uerò iam alijs quoque multis confluentibus, seruis & facinorosis hominibus, qui manubijs & rapinis gaudebant: numeroso confecto exercitu, prælio cũ Muhumeto cõmisso, multos Sarracenos ceciderunt, ac inter alios ipse quoq; Muhumetus cecidit. Tangrolipix igitur consensu exercituum Imperio omnium gentiũ quæ Muhumeto paruerunt, accepto, turres pontis Araxidis euertit. Fluuij porrò transitu patefacto, magna Turcorum multitudo ad eum se cõtulit. Sic magnis copijs Turcicis suffultus, omnibus Sarracenis ademptum imperium, in se & populares suos transtulit, & Agarenos sibi parêre coegit. Deinde Babylonijs bello subactis, fratris filium Cutlumum cum exercitu contra Arabes misit, à quibus superatus per legatos à principe, quem Imperator Mediæ (sic enim olim uocabatur Baaspracan) præfecerat, transitum postulat: quem is adeò non cõcessit, ut armatus illi occurreret. Sed multis suorum amissis, uictus & captus est, Curlumus autem ad Tangrolipicem reuersus, Medicum prælium referens, eius regionis fertilitatem celebrat, eam ex pugnatu facilem esse asserens, ut qua mulieres fruerentur. Sic enim appellabat eos, cum quibus pugnarat. Cæterum Tangrolipix illi ob cladem acceptam iratus, ipse contra Arabes proficiscitur. Cutlumus autem cum suis pœnę metu aufugit, & Pasare Chorasmiorum urbe occupata, à Sultano (sic enim Tangrolipix appellabatur) descit, & patruo à quo obsidebatur, diu restitit, ob loci munitionem frustra laboranti. Qui ea obsidione occupatus, Asanem cum iustis copijs contra Mediã mittit. Is impetu in prouinciam facto, & prælio cum Romanis commisso, ipse cadit, amisso, paucissimis exceptis, toto exercitu. Quo Sultanus cognito, fanè doluit, sed iacturam illam resarcire cupiens, Alimo Abramio fratri ex altero parente exercitum centum millium circiter contra Roma-

Tangrolipix Mucaletus Turca Sarracenicum imperiũ euertit.

Cutlumus ab Arabibus uictus, Medos superat.

Cutlumi defectio.

Medi cũ bellum.

Romanos ducendum committit. Sed Basprácanis prætor petitis ab Imperatore auxilijs, Liparitam, partis Iberiæ Dynastam expectabat, neq; cum Turcis dimicandũ sibi censebat, priusquam ex mandato Imperatoris Iberum auxiliares copiæ aduenissent. Romanis igitur intra munitiones se continentibus,

Arzis uici direptio.

Alimus negata pugnandi copia, Arzem uicum nullo muro circundatum, quem mercatores penè innumerabiles, homines ditissimi incolebant, se primo impetu capturum ratus, spe sua frustratus est, cum illum inuasisset. Nam incolæ aditus lignis obstruxerunt, & telis ex ædibus coniiciendis multos sustulerũt. Eo per sex dies facto, cum Turcorum Dux Arzenos fortissimè se defendere nec obsidione facilè capi posse cerneret, igni eos superare instituit: quo ædibus iniecto, cum incendium undiq; sæuiret, ciuibus in fugam uersis, Barbari uico potiti, multum auri & aliarum opum inuenerunt, quas flamma non absumpserat. Inde iterum contra Romanum exercitum properarunt. Cum autem Liparites cum Iberibus iam adesset, sub uesperam commisso

Turcorũ fuga.

prælio Alimus & Chorosanes alter Barbarorum Dux, cum suis conuersi fugerunt, Romanis eos in multã noctem persecutis. Liparites uerò in alio cornu pugnans ab hostibus

Liparitis redemptio.

captus fuerat, quem dum Romani in castra reuersi diu expectant, casus illius ignari, quidam nunciat, captum ab hostibus festinanter abduci. Quo cognito illi in mœrore erãt, Barbari uerò Lipanten ad Sultanum perduxerunt. Imperator autem liberandi illius cupidus, magnam pecuniam eius redimendi ergò & munera Sultano misit, petens, ut Turci cum Romanis fœdus ferirent. Cui Sultanus Liparitem gratis restituit, omni pecunia illi tradita, pro quo missa erat: hortatus, ne in posterum arma contra Turcas sumeret: atque ipse etiam legatum ad Imperatorem misit, quem illi Seriphen uocant. Cuius eadem ferè conditio fuit, quæ olim apud nos Syncelli. Nam ut is Patriarchæ mortui locum occupabat, sic etiam Seriphes Chalipha defuncto

Turci totũ Orientẽ occupant.

succedebat. Is igitur magnam urbem ingressus, & superbè cum Imperatore collocutus, cum ab eo postulasset, ut tributa Sultano penderet, infecta re est dimissus. Qua de causa iratus Sultanus, ipse Romanos aggressus est, eoq; tempore Turcica gens longius progressa, totum Orientem subegit, & usq; ad continentem Byzantio obuersam processit. Ac ita se res Turcicæ habuerunt. Pazinacæ uerò

Cegenis Pazinacæ ad Romanos defectio.

in Europa grassabantur, gens Scythica & populosa, ultra Istrum incolens, cui tum Tyrachus imperabat, uir nobilis ille quidẽ, sed ignauus. Alius uerò quidã Cegenes, ut genere obscuro ortus, ita homo acer & strenuus, ob multa egregia facinora in bellis edita populo charus erat. Qua de causa Tyrachus eũ per insidias

Ῥωμαίων ἐξέπεμψεν. ὁ δὲ τοῦ Βασπρακανῶν στρατηγὸς τῷ βασιλεῖ πρὸς τοῦτον διὰ γραμμάτων ἐδεδήλωκε, συμμαχίαν αἰτῶν. καὶ ὃς τῷ Λιπαρίτῃ δυνάστῃ μοίρας τῆς Ἰβήρων τυγχάνοντι ἐπέσταλκε συνελθεῖν τοῖς Ῥωμαίοις, καὶ ἐπαρῆξαι κατὰ τῶν Τούρκων. τῶν Τούρκων δὲ ἐπελθόντων ἤδη, οἱ Ῥωμαῖοι πολεμῆσαι σφίσιν οὐκ ἔκριναν, εἰ μὴ γένοιτο κατὰ τὴν βασιλικὴν γνώμην καὶ τοῖς Ἴβηρσιν. ἀπραγμόνων δὲ τῶν στρατιωτῶν, μὴ δυνάμενος αὐτοῖς ὁ Ἀλὶμ συμβαλεῖν, ὡς ὀχυρώμασι προσκαθημένοις, ἐπεισῆλθεν Ἀρτζὲ (κωμόπολις δ' ἦν αὕτη) πλῆθος δ' ᾤκουν αὐτῷ, ἵν' οὕτως εἴποιμι, καὶ ἀριθμὸν ὑπερβαίνουσα, ἔμποροι δ' ἦσαν οἱ ἄνθρωποι, καὶ πλοῦτος ἦν αὐτοῖς πρόχειρος. ὡς οὖν ἀτείχιστον τὴν κωμόπολιν ἐξ ἐφόδου αἱρήσειν οἱ βάρβαροι ἤλπιζον, ἀλλ' ἔγνωσαν παρακεκρουμένοι ταῖς ἐλπίσιν, ἔπειτα πῦρ ταύτῃ προσέβαλον. ταῖς γὰρ διόδοις ὕλας ἐπαγαγόντες οἱ ταύτης κάτοικοι, καὶ ταύτας αὐτοῖς ἀποφράξαντες, ἐκ τῶν δωμάτων ἔβαλλον τοὺς ἐπιόντας, καὶ ἀνῄρουν πολλούς, καὶ τοῦτο ἐφ' ἡμέρας ἐγίνετο ἕξ. ὡς δ' ἔγνω ὁ τῶν Τούρκων ἀρχηγὸς ὁ Ἀλὶμ ἐρρωμένως τοὺς Ἀρτζηνοὺς ἀντεχομένους, καὶ πολιορκίᾳ ῥᾳδίως μὴ ἁλωσομένους, πυρὶ τὴν τῶν ἀνδρῶν περιγενέσθαι διενοήθη, αὐτίκα τε πῦρ αὐτοῖς ἐπῆγε, καὶ τοῖς οἰκήμασιν ὑπεβάλλετο. ὡς δ' ἤρξατο πανταχόθεν πυρκαϊά, τρέπονται μὲν οἱ ἐγχώριοι, οἱ δὲ βάρβαροι κρατοῦσι τῆς κωμοπόλεως, καὶ πολὺν ἐν αὐτῇ χρυσὸν καὶ ἄλλον πλοῦτον εὑρήκασιν, ὅσος μὴ κατανάλωτο πυρί. ἐντεῦθεν αὖθις κατὰ τῆς Ῥωμαϊκῆς ὡρμήκασι στρατιᾶς. ἤδη δὲ καὶ τοῦ Λιπαρίτου σὺν τοῖς Ἴβηρσι παραγεγονότος, συμβολὴ τῶν στρατευμάτων ἐγένετο περὶ βουλυτόν. ὁ μὲν οὖν Ἀλὶμ καὶ ὁ Χοροσάνης (ἕτερος δ' οὗτος ἦν στρατηγὸς τῶν βαρβάρων) μετὰ τῶν ὑπ' αὐτοὺς τραπέντες, ἐνέκλιναν εἰς φυγήν, καὶ σφᾶς οἱ ἀντιτεταγμένοι Ῥωμαῖοι μέχρι πόρρω νυκτὸς κατεδίωκον. ὁ δὲ Λιπαρίτης κατ' ἄλλο κέρας μαχόμενος ἑάλω τοῖς πολεμίοις. ὡς δ' ἐπανῆκον τῆς διώξεως οἱ Ῥωμαῖοι, τὸν Λιπαρίτην προσέμενον, μὴ εἰδότες ὃ περὶ ἐκεῖνον συμβέβηκεν. ἐν τοσούτῳ δέ τις αὐτοῖς ἀγγέλλει τοῦ Λιπαρίτου τὴν ἅλωσιν, καὶ ὅτι λαβόντες αὐτὸν οἱ ἑλόντες, ἀπίασι σὺν σπουδῇ. οἱ μὲν οὖν Ῥωμαῖοι ταῦτα μαθόντες, ἐν ἀθυμίαις ἦσαν, οἱ βάρβαροι δὲ τῷ σουλτὰν τὸν Λιπαρίτην ἐκόμισαν. ὁ μέντοι βασιλεὺς τοῦ Λιπαρίτου μαθὼν τὴν ἅλωσιν, πέμπει πρὸς τὸν σουλτάν, ἐλευθερίας ἀξιῶσαι τὸν Λιπαρίτην ζητῶν, καὶ λύτρα τούτου πέμψας πολλά, καὶ δῶρα δὲ τῷ σουλτάν, καὶ σπονδὰς μέσον Ῥωμαίων καὶ Τούρκων γενέσθαι αἰτῶν. ὁ δὲ σουλτὰν τὸν μὲν Λιπαρίτην δωρεὰν ἀφῆκεν αὐτῷ, τὰ δέ οἱ λύτρα πάντα τῷ ὑπὲρ οὗ ἐπεπόμφεσαν, δίδωσι, καὶ μηκέτι ὅπλα κατὰ Τούρκων ἄρασθαι παραινέσας, ἐκπέπομφε δὲ κἀκεῖνος πρέσβυν πρὸς βασιλέα, ὃν ἐκάλουν ἐκεῖνοι σερίφην. ὃς δ' ἀξίᾳ παρ' αὐτοῖς πάλαι ἦν παρ' ἡμῖν ὁ λεγόμενος σύγκελλος. ὡς γὰρ ὁ σύγκελλος τοῦ πατριάρχου θανόντος εἰς τὸν ἐκείνου τόπον ἀντικαθίστατο, οὕτω καὶ ὁ σερίφης τοῦ χαλιφᾶ φθάσαντος τοῦ τελευτήσαντος διεδέχετο. εἰσελθὼν οὖν εἰς τὴν μεγάλην πόλιν ὁ σερίφης, καὶ εἰς ὁμιλίαν τῷ κρατοῦντι ἐλθών, καὶ ὁμιλήσας ὑπερηφάνως, φόρους τελεῖν ἀπαιτῶν τῷ σουλτάν, ἀπεπέμφθη. ἐντεῦθεν δὲ θυμωθεὶς ὁ σουλτάν, αὐτὸς κατὰ Ῥωμαίων ἐχώρησε, καὶ ἐκ τότε προεχώρησε τὸ τῶν Τούρκων γένος, τὴν ἕω πᾶσαν ἐκράτησε, καὶ μέχρι τῆς ἀντιπέραν τῷ Βυζαντίῳ ἠπείρου κατῆλθε. τὰ μὲν οὖν τῶν Τούρκων τοῦτον εἶχε τὸν τρόπον. τὸ δὲ τῶν Πατζινάκων ἔθνος κατὰ τὴν Εὐρωπαίαν μοῖραν ἐκινεῖτο, σκυθικὸν δὲ τὸ ἔθνος καὶ πολυάνθρωπον, πέραν Ἴστρου νεμόμενον. ἦν δὲ τότε τοῦ ἔθνους ἄρχων Τυράχ, εὐγενὴς μὲν τὸ γένος παρὰ τῷ ἔθνει λαμπρός, τὸ δὲ ἦθος νωθής. ἕτερος δέ τις Κεγένης κεκλημένος, ἄσημος μὲν ὅσον εἰς γένος, ἀναφανεὶς δὲ δεξιός τις καὶ δραστήριος ὤν, καὶ πολλάκις ἐν πολέμοις ἀνδραγαθήσας, παρὰ τοῦ ἔθνους ἐφιλεῖτο. διὸ καὶ παρὰ τοῦ Τυρὰχ ἤχθετο,

περὶ διαρπαγῆς τῆς Ἀρτζῆς.

νίκη Ῥωμαίων συμμαχούντων Ἰβήρων κατὰ Τούρκων, καὶ ἁλίσκεται ὁ Λιπαρίτης ἄρχων τῶν Ἰβήρων.

ὅτι αὐτὸς ὁ σουλτὰν κατὰ Ῥωμαίων ἐχώρησε.

περὶ Πατζινάκων καὶ ὅπως εἰς τὰ Ῥωμαίων διέβησαν.

ἐλοχᾶτο, ζητοῦντος αὐτὸν ἀνελεῖν. ὁ γνοὺς ἐκεῖνος, καὶ δύο τῶν φυλῶν προσεταιρισάμενος, οὐσῶν πασῶν δέκα ἐπὶ τρισί, σὺν αὐταῖς διέβη τὸν ἴστρον, καὶ ἐπὶ τὰ ῥωμαίων ὅρια γέγονεν, αὐτόμολος ἥκειν λέγων τῷ βασιλεῖ, καὶ οὐκ ἔσεσθαι οἱ ἀσυντελής. ἐμηνύθη ταῦτα τῷ μονομάχῳ, καὶ ὁ τῆς χώρας ἄρχων κελεύεται δέξασθαι τοὺς σκύθας. ὁ δὲ

περὶ δὲ τῶν σκυθῶν προσελεύσεως.

κεγένης καὶ εἰς τὴν βασιλίδα τῶν πόλεων φοιτήσας, εἰς ὄψιν ἦλθε τῷ βασιλεῖ, καὶ τὸ σωτήριον δεξάμενος βάπτισμα, ἐτιμήθη πατρίκιος. ἔπεισε μέντοι καὶ τοὺς σὺν αὐτῷ σκύθας, τοῦ θείου τούτου λουτροῦ μετασχεῖν. ποιούμενοι δὲ τὰς διατριβὰς ἐπὶ τὰ παρίστρια, καὶ διαβαίνοντες τὸν ποταμὸν ἀθρόον, ἐκάκουν τοὺς τυράχ, ἀναιροῦντές τε καὶ ληιζόμενοι, πρεσβείαν δὲ πέμψας ὁ τυράχ πρὸς τὸν βασιλέα ἀπέστειλεν, ἐπῃτιᾶτο ὅτι τὸν ἀποστάτην τοῦ ἔθνους ἐδέξατο, καὶ εἰ μὴ κωλύσοι κακοῦν τὸ ἔθνος τὸν πρόσφυγα, ἀπειλεῖ τὸ ἔθνος ὅλον ἕξειν πολέμιον. πρὸς ταῦτα δ' ὁ αὐτοκράτωρ ὅτι προδότης, ἔφη, τοῦ προσελθόντος γενήσεσθαι, ὅτι κωλῦσαι μὴ ἀμύνασθαι τοὺς ἐπιβουλεύσαντας. τότε τῶν μηνυμάτων τῷ

περὶ δὲ τῶν ἑτέρων σκυθῶν ἐπελθόντων ἐν ἴστρῳ.

τυράχ κομισθέντων, ἐπεὶ χειμὼν ἐπέστη, καὶ ὁ ἴστρος διὰ τὰς ὄχθας εἰς τὰς ἑτέρας τοῦ κρυοῦς πεπηγμένος κατεκρυστάλλωτο. πεζῇ διέβη τὸν ποταμὸν σὺν τῷ ἔθνει παντί, καὶ τὴν ῥωμαΐδα χώραν καταλαβών, τὰ ἐν ποσὶν ἐληίζετο. ὁ δέ γε βασιλεὺς τοῦτο μαθών, στρατιὰν αὐτίκα τῷ τῆς χώρας ἄρχοντι, καὶ τῷ κεγένῃ ἐπικουρεῖν ἔπεμψεν. οἱ μέντοι πατζινάκαι τροφῶν ἀφθονίαν εὑρόντες, καὶ οἴνου καὶ ἄλλων πομάτων ἐκ μέλιτος, καὶ ταῦτα ἀπλήστως ἐμφορούμενοι, νοσήματι κοιλιακῷ περιέπεσον. καὶ τοῦτο δὴ αὐτόμολος γνοὺς ὁ κεγένης, ἀνέπεισε καὶ τὰς ῥωμαϊκὰς δυνάμεις ἐπιθέσθαι τοῖς ἐναντίοις. ὡς δὲ εἶδον οἱ βάρβαροι τὴν κατ' αὐτῶν τῶν ῥωμαίων ἐπέλευσιν, κατατετρυχωμένοι τῇ νόσῳ τυγχάνοντες, ἰλιγγίασαν, καὶ ἀκηδιάσαντες, μεθῆκαν τὰ ὅπλα, καὶ ἱκέται γενόμενοι, τοῖς ἐχθροῖς παρέδωκαν ἑαυτούς. τότε δ' ὅσοι μὲν ὑπὸ τὸν κεγένην γεγόνασιν, οἱ μὲν ξίφεσι διεφθάρησαν, οἱ δὲ πρὸς δουλείαν χρυσοῦ ἀπεδόθησαν. τὸ πλῆθος δὲ τὸ λοιπὸν χρήσιμον ἐνομίσθη γενέσθαι ῥωμαίοις, εἰ τὰ ὅπλα ἀφαιρεθέν, εἰς τὴν τῶν βουλγάρων χώραν κατοικισθείη, ἐρήμην οὖσαν τὰ πλείονα, πρὸ μικροῦ τοῦ ἔθνους ἐκείνου καταλυθέντος. ὃ καὶ γέγονε τοῦ βασιλέως κελεύσαντος. ὁ δέ γε τυράχ σὺν τοῖς ἐξάρχοις τοῦ ἔθνους ἤχθη πρὸς τὸν κρατοῦντα, καὶ τοῦ θείου καταξιωθέντες βαπτίσματος, ἀξιώμασι λαμπροῖς ἐτιμήθησαν. ὡς δὲ μάχαι τότε ῥωμαίοις ἐπὶ τῆς ἑῴας μετὰ τῶν τούρκων ἦσαν.

ὅπως οἱ σκύθαι δὲ ὑπὸ ῥωμαίων δεθέντες ἀφορμὴν ἀνέστησαν.

πεντεκαίδεκα χιλιάδας πατζινάκων ὁ αὐτοκράτωρ ἀπελέξατο, καὶ καθοπλίσας αὐτούς, ἵπποις τε χορηγούμενος, καὶ ἐπιστήσας στρατάρχας αὐτοῖς ἐκ τῶν ὁμογενῶν, διὰ χρυσοπόλεως διαπεραιωθέντας, εἰς ἰβηρίαν κελεύσας ἀπελθεῖν, τάξας αὐτοῖς καὶ προπομπὸν τῆς ὁδοῦ. ὡς δ' οὖν περὶ τὸν δαμάτρυν ἀφίκοντο, ἔστησαν, καὶ πρόσω βαίνειν οὐκ ἤθελον, εἰς τὸ πίσω δὲ χωρήσαντες, καὶ ἄχρι τοῦ πορθμοῦ ἐφθακότες, σὺν τοῖς ἵπποις τὴν θάλασσαν διαπορθμευσάμενοι ἐπὶ τῆς τοῦ ἁγίου ταρασίου μονῆς, αὐτίκα συντεταγμένην ποιησάμενοι τὴν ὁδοιπορίαν, τοῖς ὁμογενέσι προσελαύνοντο, καὶ ἐπεὶ ὁμοῦ συνηθροίσθησαν, ἀπῆλθον, καὶ ἐν τοῖς παριστρίοις πεδίοις ἐπήξαντο τὰς σκηνάς, ἐκεῖθεν δ' ὁρμώμενοι, τὰ θρακῷα κατέτρεχον. πολλάκις δὲ τοῦ βασιλέως κατ' αὐτῶν στράτευμα πέμψαντος, ἐπικρατέστεροι ἦσαν οἱ βάρβαροι, ὥστε καὶ ἀδεῶς ἐπὶ πάσης τῆς θράκης καὶ τῆς μακεδονίας σκεδάννυσθαι, καὶ λείαν ἅπαντα τίθεσθαι, καὶ οὐ τὰ πόρρω μόνον, ἀλλὰ μέντοι καὶ τὰ τῇ πόλει ἀγχίθυρα. τέλος δὲ σπένδονται ῥωμαίοις τριακοντούτεις σπονδάς, καὶ οὕτως ὁ τῶν πατζινάκων ἔληξε πόλεμος. ὁ δὲ σουλτὰν οὐκ ἔληγεν ἐπιὼν τὰς ὑπὸ ῥωμαίους χώρας καὶ πόλεις, καὶ τὰς μὲν ληιζόμενος, τὰς δ' ἐκπορθῶν τε καὶ οἰκειούμενος·

tollere studebat. Quo ille animaduerso, duabus è tredecim tribubus sibi conciliatis, traiecto Istro in Romanorum fines uenit, se transfugisse ad Imperatorem, cique non inutilem fore pfessus. Ea re indicata, Monomachus præsidem prouinciæ Scythas suscipere iubet. Cegenes uerò Byzantium profectus, in conspectum Imperatoris uenit, & salutari baptismate ininiatus, patricius est appellatus, suisque Scythis persuasit, ut & ipsi diuino illo lauacro ablueerentur. Cum uerò in ripis Istri statiua haberet, & flumine subitò traiecto, Tyrachios cædibus & rapinis infestaret: Tyrachus per legatos cum Imperarore, ob transfugam susceptum expostulat, quem nisi coherceret, totam gentem hostem illi fore. Ad ea respondet Imperator, se neque dedititium proditurum, neque prohibiturum, quo minus insidiatores ulcisceretur. Hoc nuncio accepto Tyrachus, cum Ister hyberno tẽpore totus conglaciasset, cum tota gente pedibus flumen transijt, Romanaque prouincia occupata, obuia quæque uastauit. Sed imperator exercitum prouinciæ præsidi & Cegeni statim subsidio misit. Pazinacæ uerò cum annonæ & uini aliarumque potionum quæ ex melle conficiuntur, copiam inuenissent, & ijsauidè se ingurgitassent: in cæliacum morbum inciderunt. Quo Cegenes è transfuga cognito, Romanis copijs fit autor hostes inuadendi. Eas cum Barbari morbo confecti contra se ire uidissent, æstuantes, & animis armisque abiectis, facti supplices, hostibus se dediderũt. Quicunque uerò in Cegenem inciderunt, partim gladijs sunt trucidati, partim auro ad seruitutem uenditi. Reliqua multitudo Romanis uiui fore uisa est, si armis ademptis in Bulgaria maxima ex parte deserta, ob gentem illam non ita pridẽ euersam, collocaretur: idque iussu Imperatoris factum est. Tyrachus uerò & proceres eius, ad illum perducti, baptizati, magnisque dignitatibus ornati sunt. Vt autem eo tẽpore Romanis cũ Turcis bella erãt in Oriente: imperator delectu acto XV millia Pazinacarũ armis, equis, & suæ gentis ducibus datis, Chrysopolim trãsuectos in Iberiã ire iussit: uiæ quoque mõstratore addito. Qui cũ ad Damatrym peruenissent, restiterũt, nec ultrà pgredi uoluerũt, sed regressi usque ad fretũ, mari iuxta D. Tarasij monasteriũ equis trãsmisso, cõtinẽter pfecti sunt, donec se cũ popularib[us] suis cõiũxissent, q̃ facto, tabernaculis in cãpis ad ripas Istri fixis, thraciã incursarũt, copijs imperatorijs cõtra se missis subinde superiores, ut impunè per totã Thraciã & Macedoniã uagarẽtur, & omnia prędarent nõ remota dũtaxat, sed et urbi finitima. Tãdẽ uerò XXX annorũ inducias cũ Romanis paciscunt. Et hic belli Pazinacarũ fuit exitus. Sultan[us] uerò Romanas urbes & puincias infestare nõ destitit, alijs direptis, alijs uastatis, alijs suo regno adie-

Pazinacarũ clades et collocatio in Bulgaria.

Pazinacæ excusso iugo uastatisque prouinciis inducias faciunt cum Romanis.

Sultani grassationes.

ctis. Sub id tempus, Imperator insidias sibi factas deprehendit, à Romano Boila instructas. Is uir obscurus erat, lingua semimuta, & ui articulatè loquendi destituta, partim naturæ uitio, partim simulatione & affectatione, qua insitum sibi uitium augebat. Eo homine Imperator plus quàm ullo alio delectabatur, & nugas illius perperàm & confusè loquentis, omnibus alijs uoluptatibus præferebat: unde ita familiaris illi factus est, ut quauis hora illum conuenire & alloqui auderet. Nec minus illi gynæceum quàm Imperatoris conclaue patebat, quandocunque uolebat, & utrinque et diuitiæ affluebant. Quamuis autem è triuijs ad senatorium fastigium euectus esset: tamen ea felicitate non cõtentus, regnum etiam concupiscit, idque sibi uendicare contendit imperatore interfecto. Quos igitur Imperatori malè uelle sciebat, ijs arcanum detegebat: qui si orationem eius probarent, eos magna spe proposita ad facinus confirmabat. Sin eum conatum auersarentur, aiebat, se id tentandi gratia dixisse, ut eorum fidem erga Imperatorem exploraret, eorumque integritate collaudata, beneuolentiam illorum imperatori testaturum sanctè affirmabat. Cum autem sic plerosque tractaret, coniurati eius rem facilime posse cõfici opinabantur. Nec enim in Imperatoris duntaxat cubiculum ipso dormiente aut cum Imperatrice cubante, homini patebat aditus, sed & occultorum adituum claues crediti erant. Quare omnino destinata executus fuisset, nisi à quodam ex conscijs delatus, in manifesto scelere deprehensus esset, gladium ipsum adhuc tenens, quo Imperatorem percussurus erat. Cæterum ipse ob illius uæcordiam nullas pœnas dedit, insidiarum conscijs duntaxat supplicio affectis. Hic imperator cum se benignũ & liberalem perhiberi uellet, in eo tamẽ neque artem neque modũ adhiberet: à uirtute magnificẽtiæ, in uitiũ profusionis est deuolutus. Publicã enim pecuniam ita dilargiebatur, ut neque quibus, neque quantum, neque quando esset tribuendum, obseruaret. Nam cũ Manganorũ monasteriũ ędificaret, quod ob adamatã Sclerænã inchoasse fertur, ut eam tũ in uenatione habitãtem, per speciẽ structuræ inspiciẽdę, crebrius uiseret: fisco & publicis thesauris exhaustis, ad pecuniæ inopiã redactus, nec illicitis quæstibus, abstinuit. Sed cũ prouinciæ quædã essent immunes, quæ pro omnibus uectigalibus, locorũ angustias tuerentur, & Barbaros aditu Romanarũ ditionũ prohiberent: custodijs sublatis, tributa ijs prouincijs imperauit. Unde Barbaris sine ullo negocio patuerũt. Illud certè quidẽ, si quis uerè cõsideret, ei acceptũ ferri potẽst, quod Oriens Marte Barbarico est subactus. Imperatrice Zoe prouecta ætate mortua (septuagesimum enim annum excesserat) obitum eius non ut uiro dignum est, tulit,

Romani Boilæ insidiæ Monomacho structæ uindicatæ.

Callidissima scelerati consilij tractatio.

Monomachi profusiones rapacitas, & Orientis amissio.

Zoes obitus.

νος περὶ τούτους σὺν χρόνος καὶ ἐπιβουλὴν κατ' ἑαυτοῦ ὁ αὐτοκράτωρ ἐφώρασεν, ἣν Ῥωμανὸς ὁ Βοΐλας συνεστήσατο. ἦν δ' οὗτος τῶν ἀσήμων ἀνήρ, καὶ τὴν γλῶτταν εἶχεν ἡμίφωνον, μηδ' οἵαν ἀρθροῦν, ὀλισθαίνουσαν δ' ἐν ταῖς ὁμιλίαις, καὶ αὐτὴν ἐπαίδευε τοῖς ἀκρατῶς φθεγγομένοις. τοῦτο δ' ἦν τὸ μὲν ἐλάττωμα φυσικόν, τὸ δὲ προσποίησις καὶ σκηνή, τῇ τῆς φύσεως ἁμαρτίᾳ τῇ ὑποκρίσει τὴν σκηνὴν ἐπιτείνοντος. τῷ τοιούτῳ τοίνυν ἀνδρὶ ὡς οὐδενὶ τῶν ἄλλων ὁ βασιλεὺς ἥδετο, καὶ διημαρτημένα καὶ ἀδιάρθρωτα ἀκούων φθεγγομένου αὐτοῦ, ὑπὲρ πᾶσαν ἡγεῖτο τὰς ἐκείνου φλυαρίας γλυκυθυμίαν. καὶ οὕτω διὰ ταῦτα τῷ βασιλεῖ προσῳκείωτο, ὡς πάντα καιρὸν εἶναι αὐτῷ τὴν πρὸς ἐκεῖνον εἴσοδον καὶ τὴν ἔντευξιν. καὶ οὐχ οὕτως αὐτῷ τὰ πρὸς τὸν ἀνδρῶνα διήνοικτο, ὡς ἡ γυναικωνῖτις οἱ ἀνεπεπέτασο, ἀλλ' ἄνετος ἦν αὐτῷ ἑκατέρα, καὶ ὅτ' ἐβούλετο βάσιμος, καὶ ὁ πλοῦτος ἐπέρρει τῷ ἀνδρὶ ἑκατέρωθεν, καὶ ἐκ τῶν τριόδων ἀναρπασθεὶς, εἰς αὐτὴν ἀνήχθη τὴν συγκλητικὴν κορυφήν. ὁ δὲ οὐκ ἠγάπα τὸν εὐδαιμονήσαντα τρόπον, ἀλλὰ καὶ τῆς βασιλείας ἐρᾷ, καὶ μελετᾷ ταύτην ἑαυτῷ περιποιήσασθαι, κτείνας τὸν αὐτοκράτορα. καὶ οὓς ᾔδει δυσνοοῦντας τῷ βασιλεῖ, τούτοις τὸ ἀπόρρητον ἀνεκάλυπτε. καὶ τοὺς μὲν τὸν λόγον προσιεμένους μεγάλαις ἐλπίσιν ἐξῇρεν, πρὸς τὸ ἔργον θαρρύνων. εἰ δέ τινες καὶ πρὸς τὴν προσβολὴν ἐδυσχέραινον, ὁ δὲ παίζων ἔλεγε τὸν λόγον προσαγαγεῖν, ἵνα γνῷ τὴν ἐκείνων πίστιν τὴν εἰς τὸν αὐτοκράτορα, καὶ ἐπῄνει τοὺς ἄνδρας τῆς διαθέσεως, καὶ γνωρίσαι τῷ βασιλεῖ εὔνους αὐτῷ τυγχάνειν διώμνυτο. ὁ μὲν οὖν οὕτω μετῄει τοὺς πλείονας, καὶ οἱ ἐκείνῳ συνομοσάμενοι ῥᾷστα τὸ βούλευμα ᾤοντο γενέσθαι ἀνύσιμον. οὐ μόνον γὰρ ἡ πρὸς τὸν βασιλικὸν κοιτωνίσκον πάροδος ἐκείνῳ ἄνετος ἦν, καὶ εἰ ἐτύγχανεν ὑπνώττων ὁ βασιλεύς, καὶ εἰ τῇ βασιλίδι συνῴκει, ἀλλὰ καὶ τὰς τῶν κρυφίων εἰσόδων κλεῖς ἐμπεπίστευτο. καὶ ἤχθη ἂν εἰς ἔργον τὸ διαβούλιον, εἰ μή τις αὐτὸν τῷ βασιλεῖ κατεμήνυσε τῶν κοινωνησάντων τοῦ σκέμματος. ἁλοὺς τοίνυν ἐπ' αὐτοφώρῳ καὶ τὸ ξίφος αὐτὸ κατέχων, ᾧ τὸν αὐτοκράτορα ἔμελλεν αὐτίκα διαχειρίσασθαι. ἀλλ' ὁ μὲν διὰ τὸ τοῦ ἤθους ἀβέλτερον, οὐδὲν ὑπέστη λυπηρόν, οἱ δὲ τῆς ἐπιβουλῆς ἐκείνῳ συνίστορες οὐκ ἔμειναν ἀτιμώρητοι. οὗτος ὁ βασιλεὺς φιλότιμος δοκεῖν ἐθέλων καὶ ἐλευθέριος, μὴ μέλλων δὲ συνιστάμενος τῇ ἀρετῇ ὡς ἐχρῆν, εἰς κακίαν ταύτην μετήνεγκεν. αὐτὴ γὰρ μεγαλοπρεπείας εἰς ἀσωτίαν μετεκεκύλιστο, ὅτι οἷς ἔδει παρεῖχε τὰ δημόσια χρήματα, οὔθ' ὅσα πρέποι, οὔθ' ὅτε χρεών. καὶ τῆς μονῆς δὲ τῶν τοῦ Μαγγάνων οἰκοδομῶν (λέγεται δὲ τῆς οἰκοδομῆς ἄρξασθαι διὰ τὴν ἐρωμένην αὐτοῦ, τὴν Σκλήραιναν λέγω, ἵν' ἐκείνῃ προσφοιτᾷ συνεχῶς, ἐν τῷ οἴκῳ τοῦ κυνηγεσίου ἐχούσῃ τότε δίαιταν τὴν καθ' ἑκάστην) πρόφασιν ἔχων τὴν σπουδὴν τῶν δομήσεων, ἐξήντλησε τοὺς βασιλείους καὶ κοινοὺς θησαυρούς, ἔρημος δὲ χρημάτων γενόμενος, οὐδὲ τῶν ἀπειρημένων πορισμάτων ἀπείχετο, ἀλλὰ καὶ χωρῶν οὐσῶν αἳ πρὸς τὸ δημόσιον τοῖς βασιλεῦσιν οὐδὲν συνεισέφερον, ἀλλ' ἀντὶ πάσης δασμοφορίας, δυσχωρίας ἐφρούρουν, καὶ τοῖς βαρβάροις τὴν εἰς τὰς Ῥωμαίοις ὑποκειμένας χώρας ἀπετείχιζον πάροδον. ἐκεῖνος φόρους ταῖς χώραις ἐπιτάξας, ἐσχόλασε τὰς φρουράς. κἀντεῦθεν ἡ πρὸς τὰς Ῥωμαΐδας χώρας ῥᾳδία τοῖς βαρβάροις ἐγεγόνει πάροδος. ἐκεῖνος τοίνυν ὁ ἀνὴρ αἴτιος τοῖς ἀπαθῶς λογιζομένοις κριθήσεται, τοῦ τὴν ἑῴαν μοῖραν δουλωθῆναι βαρβαρικῇ. τῆς δὲ βασιλίδος Ζωῆς ἐν γήρᾳ βαθεῖ (ὑπὲρ γὰρ τὰ ἑβδομήκοντα ἔτη παρεξέτεινεν αὐτῇ τὸ βιώσιμον) καταλυσάσης τὴν ζωήν, οὐκ ἀνδρικῶς ἐκεῖνος ἐθρήνησεν.

ἀλλὰ

περὶ Ῥωμανοῦ Βοΐλα, καὶ οἷος ἦν ἀνήρ.

ὅτι ὁ βασιλεὺς τὰ δημόσια χρήματα εἰς πόρνας ἀνάλου καὶ εἰς ἐργασίας ὁ Μονομάχος.

τελευτὴ τῆς βασιλίδος Ζωῆς.

ἀλλὰ μέντοι γε μεγαλοπρεπῶς, λέγεται δὲ καὶ ἀγγέλοις αὐτὴν παρεξισῶσαι, ἐπειδὴ ἀπὸ τοῦ μνήματος ἐκείνης μύκης ἐκφὺς ὑγρότητος ἀνεβλάστησε, καὶ τοῦτο καλῶν σημεῖον αὐτόθεν θεῖον ὀνομάζων, ἵνα μὴ ἀγνοῇ ἡ βασιλὶς ταῖς οὐρανίαις συντετάχθαι δυνάμεσι. τῆς δὲ ὡς εἴρηται θανούσης, ὁ βασιλεὺς ἔτι φλεγμαίνων περὶ τὸν ἔρωτα, ἐπεφοίτα τοῖς βασιλείοις μείρακά τινα, ὅμηρον δοθεῖσαν Ῥωμαίοις ἐξ Ἀλανῶν, παῖδά τινος τῶν ἐκείνοις ἀρχηγετούντων, καὶ ταύτην σεβαστὴν ὀνομάσας, βασίλειον αὐτῇ τὴν θεραπείαν ἀπένειμε, καὶ πλούτου χορηγίαν δαψιλεστάτην. καὶ εἰ μὴ τὴν βασιλίδα τὴν Θεοδώραν λόγῳ τινὶ ποιούμενος δι᾽ αἰδοῦς, ἢ μᾶλλον τὸ τῆς τετραγαμίας ὀκνῶν ἀθέσμου, καὶ βασιλίδα ἂν τὴν ἐρωμένην ἑαυτοῦ ἀνεῖπε, καὶ διαδήματι κατέστεψεν ἄν. ἐκείνου δὲ θανόντος, οὐ παρέμεινε τῇ σεβαστῇ τὸ εὐτύχημα, ἀλλ᾽ εἰς τὴν προτέραν τῆς ὁμηρείας τύχην ἐπανελήλυθε. μέλλει δὲ καὶ περὶ τὸ τέλος ἱστορεῖσθαι τοῦ αὐτοκράτορος. οὐ μακρὸς διεμετρήθη χρόνος, ἀφ᾽ ὅτου τῆς ἡγεμονίας τῶν Ῥωμαίων ἐγεγόνει ἐγκρατής, καὶ νόσος ἀρθρῖτις ἐνέσκηψεν, ἣ πρότερον τοῖς ποσὶν ἐκείνου τοῦ ῥεύματος ἐπήνεγκε τὴν φοράν. ὥστε τὰς βάσεις αὐτοῦ πρὸς πορείαν, καὶ στάσιν ἀδυνατεῖν. εἰ δέ ποτε καὶ κινήσεως ἀνάγκην ἔσχηκεν, ἢ πρὸς ἄλλων ὑποστηριζόμενος, περιεβαινε δυσχερῶς, ἢ καὶ πάμπαν ἐφορούμενος ἦν. τοῦ χρόνου δὲ προϊόντος, καὶ ταῖς χερσὶν ἐπέρρει ἄλγος. εἶτα καὶ τοῖς ὤμοις ἐπλεόνασε, καὶ τέλος ὅλον αὐτῷ τὸ σῶμα τῷ ῥεύματι κατεκλύσθη, καὶ ἐπήγνυ καὶ διεφθείρετο, τοῖς τῶν ἄρθρων κοιλώμασιν ἐγκαθημένου τοῦ ῥεύματος. ἐκάμνεν οὖν ἐπὶ μακρὸν τὸ σῶμα τοῦ βασιλέως. εἶτα καὶ ἕτερον ἐπισυμβεβηκὸς (τὸ δ᾽ ἦν ἐκ πνεύματος νυγμὸς περὶ τὴν πλευρὰν) ἀνεπίδεκτον ἐκείνῳ καὶ τοῖς αὐτῷ προσήκουσιν ἐποίησε τὸ λοιπὸν τοῦ βίου, ὧν τὰ πρῶτα ὁ λογοθέτης ἦν Ἰωάννης, ἐκτετμημένον ἀνδράριον, ἄσημον μὲν ἐκ γένους καὶ δυσγενέστατον, πρὸς δὲ πραγμάτων μεταχείρισιν ἀφυέστατον, γραμματικῆς δὲ τέχνης τοσοῦτο μετεσχηκός, ὡς μήτ᾽ ὀρθοεπεῖν ἀκριβῶς ἀττικίζειν, μήτ᾽ ἀπταίστως ὀρθογραφεῖν. ἐφ᾽ ᾧ δὴ τὴν τῶν κοινῶν πραγμάτων διοίκησιν ὁ βασιλεὺς ἐποιήσατο. καὶ τῆς βουλῆς ἀπέδειξεν ἁπάντων κορυφαιότατον. ἦν μὲν γὰρ πρὸ τῶν βασιλικῶν διοικήσεων πρόεδρος ἀνὴρ τούτῳ τὰ πάντα ἀντιφέροντος καὶ γένος καὶ λόγον καὶ τὴν περὶ τὰς πολιτικὰς οἰκονομίας ἀκρίβειαν. τοιοῦτος δ᾽ ὤν, ὁπηνίκα τι παρὰ τὸ καθῆκον ἐπιτάττειν αὐτῷ ποιῆσαι ὁ βασιλεύς, οὐκ ἦν τῇ προαιρέσει τοῦ κρατοῦντος ὑπείκων, ἀλλ᾽ ἀντέλεγέ τε καὶ εἶργε τοῦ μὴ προσήκοντος. ὁ δ᾽ ἐχαλέπαινε, καὶ πολλάκις τούτου γινομένου, ἐμίσει τὴν τοῦ ἀνδρὸς ἐκείνου ἐλευθερίαν, καὶ ἵνα τὸ ἀντίξουν ἐκφορτίσαιτο, μεθίστησι μὲν ἐκεῖνον τῆς τῶν κοινῶν διοικήσεως (ὁ Λειχούδης δ᾽ ἦν οὗτος) αὐτίκα δὲ τὸν Ἰωάννην, καὶ τούτῳ τὴν τῶν πολιτικῶν πραγμάτων ἐγχειρίζει κυβέρνησιν, ἵνα μὴ πρός τινος ἐφ᾽ οἷς ὁρμήσειεν εἴργοιτο. οὗτος τοίνυν ὁ Ἰωάννης καὶ ἕτεροι, μέγα κεκτημένοι δύναμιν παρὰ τῷ βασιλεῖ, ἀπεγνωκότες αὐτῷ τὸ βιώσιμον, πείθουσι τὸν κάμνοντα, φροντίσαι περὶ διαδοχῆς, καὶ ὑποτιθέασιν αὐτῷ εἶναι πρὸς τὴν ἀρχὴν ἐπιτήδειον τὸν Προτεύοντα, ὃς δὴ τὴν τῆς Βουλγαρίας ἀρχὴν ἐπεζεύξατο, καὶ ἀπεδήμει τῆς βασιλίδος τῶν πόλεων. ἐστάλη τοίνυν ὁ τὸν ἄνθρωπον μετακαλεσόμενος. ἐκ δὲ τῆς βασιλίδος Θεοδώρας ἡ βουλὴ ἀπεκρύπτετο. ἀλλ᾽ οὐκ εἰς τέλος τὸ βούλευμα τὴν βασιλίδα διέλαθε. γνοῦσα δὲ ὡς οὐκ ἐπ᾽ αὐτῇ ποιεῖται τὸ κράτος ὁ πλησίον, τὸν μὲν ἔτι δυσθανατοῦντα περὶ τὰ ἐν τοῖς Μαγγάνοις βασίλεια, ἐκείνη δὲ διὰ τῶν ὑπηρετουμένων αὐτῇ ἐμβεβηκυῖα νηί, εἰς τὸ μέγα προσωρμίσθη ἀνάκτορον. καὶ αὐτῇ ἡ βασιλικὴ δορυφορία προσερρύη αὐτίκα, καὶ τῆς

περὶ τῆς Ἀλανῆς παλλακευομένης τῷ βασιλεῖ.

περὶ τῆς νόσου τοῦ Μονομάχου.

περὶ τοῦ λογοθέτου Ἰωάννου.

περὶ τοῦ Λειχούδη παυθέντος.

ὅτι τὸν Προτεύοντα ὁ βασιλεὺς ἐβουλεύσατο καταλιπεῖν διάδοχον τῆς ἀρχῆς.

sed muliebriter luxit, eamq; angelis æquiparasse fertur: cum ob loci humiditatem ex eius monimēto fungus germinasset, quem signū diuina prouidentia editum uocauit, ut ne ignoraretur Imperatricem in cœtum intelligentium potestatum esse receptam. Verùm adhuc amoris incendio flagrans, adolescentulam quādam Alani principis filiam, obsidem Romanis datam, in Regiam introductā Augustā appellat, addita custodia Regia & sumptibus liberalissimis. Quod ni Theodorā Imperatricem ueritus esset, ac potius quarti coniugij dedecus & nefas, amicā suam etiam Imperatricem appellasset, & diademate exornasset. Cæterum illa Augustæ felicitas nō diu durauit. Nam post Imperatoris obitum, ad pristinam conditionem est reuersa. Nunc de exitu Imperatoris est dicēdum. Non multò pòst quàm sceptro potitus esset, morbus eum articularis inuasit, humorib' principiò ad pedes decurrentibus, ut neq; stare neq; ingredi posset. Quando autem eum moueri necesse erat, aut ab alijs suffultus ægrè ingrediebatur, aut gestabatur. Verùm progressu temporis, fluxiones in manus etiam incumbebant. Deinde humeros uexabant. Deniq; totum corpus infestabant & laxabant, cauitatibus articulorum se insinuantes. Ad hæc aliud accessit malum, uellicatio lateris ex anhelitu, qua fiebat, ut nec ipse uitæ diuturnioris spem haberet, nec eius proceres, quorum primarius erat Logotheta Ioannes, castratus homuncio, obscuro & ignobilissimo genere ortus, & ad res gerendas ineptissimus, grammaticæ artis adeò peritus, ut in affectatione Atticismi, neque rectè loqui, neq; citra errorem scribere posset. Ei summam rerum imperator commisit: eundem principem senatus designauit. Nam prius Reipublicæ administratio penes uirum, huic omnino & genere & facundia & scientia regendæ ciuitatis dissimilem fuerat. Qui cum Imperator aliquid secus quàm conueniebat, iuberet, non statim ad uoluntatem eius propendebat, sed refragabatur & deterrebat. Quod cū sæpius fieret, ille grauiter & iniquo animo libertatem illius ferens, homini (Liehudes is uocabatur) ut aduersatore careret, munus id ereptū, in Ioannem transfert, ne suæ cupiditates inhiberentur. Is igitur Ioannes & alij magnates, desperata Imperatoris uita, ei autores sunt de successore deliberandi: monentq;, Proteuontem aptum esse ad Imperium, qui cum Bulgariam regeret, ab urbe aberat. Missus igitur est, qui eum accerseret: id' que clam Theodora, non tamen ita, quin arcano illo consilio deprehenso, ægrotum potestatem in alium transtulisse cognorit. Itaque illo moribundo in Mangania regia relicto, industria ministrorum suorum conscensa naue ad magnam Regiam appellit. Ibi & imperatorijs satellitibus, &

Monomachus Alanā cōcubinam asciscit.

Morbus articularis, lateris dolor.

Ioānes Logotheta princeps Senatus.

Lichudes ob integritatem loco mouetur.

Theodora Proteuontē anteuertit.

selectis senatoribus ad eam confluentibus, Imperatrix ab omnibus est salutata, ut ad quam imperium iure hæreditario pertineret. Ea res Monomacho dolorem auxit: cumque non amplius uixisset, quàm ut suspirio dolorem & tristitiam inde conceptam testari posset, expirauit. Regnauit annos duodecim, & menses octo: sepultus est in Mangania, mansione à se condita.

Monomachi obitus.

γερουσίας τὸ ἐκεῖσε, καὶ αὐτοκράτωρ πρὸς πάντων ἀνηγορεύθη, ὡς αὐτῇ τὸν κλῆρον τῆς ἀρχῆς προσήκουσα. τοῦτο τῷ μονομάχῳ γνωσθὲν, προσέθηκεν ἄλγημα, καὶ βραχύ τι ἐπιβιοὺς, ὅσον ἐπιστενάξαι τοῖς γινομένοις καὶ ἀθυμῆσαι, ἐξέλιπε, βασιλεύσας ἔτη δώδεκα καὶ μῆνας ὀκτὼ, καὶ κατετέθη εἰς τὴν παρ' αὐτοῦ δομηθεῖσαν μονὴν τῶν μαγγάνων.

IMPERIUM THEODORÆ Imperatricis.

Theodora sola potita rerum, iam effœta ætate, Imperatorem sibi adiungere noluit, sed delectata Imperio, quoad uixit, omnia in sua potestate habuit, idque consilio & opera ministrorum quoque suorum, quos summis Magistratibus præfecit. Rerum ciuilium administrationem Syncello Leoni, cognomento Paraspondylo, mandauit, qui olim imperatori Michaeli operam nauarat. Ipsa uerò pro tribunali præsedit, legatis respondit, magistratus creauit, ius dixit, suffragia tulit, sententiam suam in rebus priuatis & communibus interposuit. Ac fortunata fuit eius gubernatio. Neque enim quisquam illi se opposuit, neque subditi decreta eius neglexerunt, neque ulla gens tum Romanis bellum fecit, sed & anni partes suam temperiem habuerunt, & terra uberes fructus tulit. Quamuis autem natu grandis, ut dictum est, sceptris potita esset, tamen adhuc longum sibi uitæ tempus pollicebatur, cum corpore firmiore esset, quod laboribus haud facilè cederet. Sed cum & ipsam fata urgerent (etsi Monachi quidam nescio quot ei secula uitæ promittebant) & familiares eius ob morbum grauissimum, quem Iliacum medici uocant, de salute illius desperassent: in unum congressi deliberant, quis in eius locum substituendus esset, à quo prosperitas illa & felicitas conseruaretur. Eis porrò deliberantibus talis uisus est Stratioticus Michael, uir Byzantius ille quidem, sed ad tractationem rerum, tanti præsertim principatus, quum ob naturalem socordiam & simplicitatem, tum ob ætatem longissimam ineptus. Neque enim senex erat, ut uulgò uocabatur, sed penè decrepitus. Persuadent igitur Imperatrici, ut eum in Imperio collocet: à qua statim diademate redimitus est, sanctissimo prius iureiurando adactus, se nihil sine illorum consensu in Imperatorijs administrationibus decreturum. His peractis Imperatricem spiritus defecit, quum annum unum, & menses nouem imperasset.

Theodoræ autoritas et felicitas.

Theodoræ irrita longæ uitæ spes.

Stratioticus Michael Imperator designatur.

ΜΟΝΑΡΧΙΑ ΤΗΣ ΒΑΣΙΛΙΔΟΣ θεοδώρας.

Ἡ δὲ βασιλὶς θεοδώρα ἔξωρος τῆς αὐταρχίας ἐκράτησε, βασιλέα τοῖς πράγμασιν ἐπιστῆσαι οὐκ ἐθέλουσα, ἀλλ' ἡ δυναστεία τῇ ἐξουσίᾳ, καθ' ὅσον ἐπεβίω τῇ βασιλείᾳ καιρὸν, αὐτὴ τῶν ὅλων ἦν ἐγκρατὴς, πρὸς τοῦτο καὶ παρὰ τῶν αὐτῆς θεραπόντων ἐμβιβασθεῖσα, οὓς καὶ ταῖς μεγίσταις ἐπέστησε τῶν ἀρχῶν. τὴν δὲ τῶν πολιτικῶν πραγμάτων διοίκησιν τῷ συγκέλλῳ λέοντι, ὃς παρασπόνδυλος ὠνόμαστο, ἐνεχείρισε, τῷ πάλαι τῷ βασιλεῖ μιχαὴλ ὑπηρετήσαντι. ἡ δὲ προὐκάθητο τοῦ βήματος, καὶ ἐχρημάτιζε πρέσβεσι, καὶ ἦν ἀρχαιρεσιάζουσα, καὶ δίκαις ἐθεμιστεύουσα, καὶ ψήφους ἐκφέρουσα, καὶ διαιτῶσα δημοσίαις καὶ κοιναῖς ὑποθέσεσι, καὶ εὐδαιμον ὑπῆρξεν αὐτῇ τὸ αὐτοκρατές. οὔτε γάρ τις αὐτῇ ἐχθρὰ αὐτῇ, οὔτ' ὀλιγώρως πρὸς τὰ ἐκείνῃ δεδογμένα ὤφθη διατεθὲν τὸ ὑπήκοον, οὔτ' ἔθνος τότε κατὰ ῥωμαίων ἐκεκίνητο, ἀλλὰ καὶ εὐκρασία γέγονε τῶν ὡρῶν, καὶ ἡ γῆ τοὺς καρποὺς ἀφθόνους ἐξήνεγκεν. ἔξωρος δὲ, ὡς εἴρηται, καὶ πλήρης ἡμερῶν ἡ βασιλὶς αὐτὴ τῶν σκήπτρων ἐκράτησεν, ὅμως μακροὺς ἐπὶ τῆς ζωῆς ἑαυτῇ ἐπεμέτρει ἐνιαυτούς. εἶχε δὲ καὶ τὸ σῶμα ἐῤῥωμενέστερον, καὶ μὴ ῥᾷστα πόνοις καμπτόμενον. ἐπεὶ δὲ καὶ ταύτην κατήπειγε τὸ χρεὼν (εἰ καὶ τινὲς αὐτῇ μοναχοὶ αἰῶνας ἐπὶ ζωῆς ἐπηγγέλλοντο) καὶ νόσῳ περιπεπτώκει δεινῇ, ἣν τοὺς ἀσκληπιάδας ὀνομάσαι εἰλεὸν, καὶ τοῖς περὶ αὐτὴν αἱ ἐλπίδες αἱ περὶ αὐτῆς ἀπεγνώσθησαν. συλλεγέντες βουλεύονται, τίνα ἂν εἰς τὴν ἀρχὴν ἀντεισαξῶσιν, ὃς αὐτοῖς τὴν δυναστείαν τηρήσει καὶ τὸ εὐτύχημα. ἔδοξεν οὖν πρὸς τοῦτο σφίσι κατάλληλος ὁ στρατιωτικὸς μιχαὴλ, ἀνὴρ ἐκ βυζαντίου μὲν γεγονὼς, πρὸς πραγμάτων δὲ, καὶ ταῦτα τοσαύτης ἡγεμονίας, μεταχείρισιν ἀπειροφυὴς, ἔκ τε φυσικῆς νωθείας καὶ ἀφελείας, καὶ διὰ χρόνου μῆκος, ὃ τῇ ἐκείνου παρεξέτεινε ζωῇ. ἤδη γὰρ οὐ γέρων ἦν, ὡς παρὰ τοῦ δημώδους πλήθους ὠνόμαστο, ἀλλὰ πρεσβύτης. τοῦτον οὖν πείθουσι τὴν θεοδώραν αὐτίκα ταινιῶσαι τῇ βασιλείᾳ. ἡ δὲ αὐτίκα ταινιοῖ τῷ βασιλείῳ τὸν μιχαὴλ διαδήματι, πρότερον ὁρκίοις προκαταληφθέντα φρικωδεστάτοις, μήτι τῆς ἐκείνων γνώμης χωρὶς ἐπὶ ταῖς τῆς βασιλείας οἰκονομήσασθαι διοικήσεσιν. ἐπὶ τούτοις τὴν βασιλίδα τὸ πνεῦμα ἐξέλιπε, μοναρχήσασαν ἐνιαυτὸν ἓν ἐπὶ μησὶν ἐννέα.

[illegible]

ὅτι ὁ στρατιώτης μιχαὴλ εἰς τὴν βασιλείαν αὐτοκράτωρ ἀνηγορεύθη.

θάνατος τῆς βασιλίδος θεοδώρας.

BASI-

ΒΑΣΙΛΕΙΑ ΜΙΧΑΗΛ ΣΤΡΑΤΙΩΤΙΚΟΥ ΤΟΥ ΓΕΡΟΝΤΟΣ.

Ὃν οὖν ἀρτίως τρόπον ὁ πρεσβύτης Μιχαὴλ αὐτοκράτωρ ἀναρρηθείς, τοῖς μὲν τῆς γερουσίας καὶ τῷ δημώδει πλήθει καὶ τἆλλα τὸ προσῆνον ὑπῆρχε φιλοτιμότατος, ἑκάστους τούτων εἰς βαθμοὺς προβιβάζων ἀξιωμάτων, καὶ τιμὰς προστιθεὶς ἀνεπελπίστους τοῖς πλείοσι. τοῖς δὲ στρατιωτικοῖς καταλόγοις, καὶ μάλιστα τοῖς τούτων ἐξόχοις, οἷς στρατάρχειν τε καὶ ἰλαρχεῖν ἐγεγόνει πρὸ πολλοῦ, καὶ λίαν ἀντιστρόφως τοῖς ἄλλοις ἐκέχρητο. ὅτε γὰρ φιλότιμον ἐς πρὸς αὐτοὺς ἐπιδείξατο, ἄρτι καταλαβόντας τὴν βασιλίδα τῶν πόλεων, ὅτε μὴν προσεῖπεν αὐτούς, ἐδεξιώσατο ῥήμασιν. ἤστην δὲ τούτων προὐχόντε ἄνδρε δύο, μαγίστρω μὲν ὄντε καὶ ἄμφω, λαμπρὼ δὲ τὸ γένος, καὶ οὐχ ἧττον στρατηγικῇ συνέσει καὶ κράτει χειρῶν καὶ θάρσει ψυχῶν ἔχοντε τὴν περιφάνειαν. τούτων ἅτερος μὲν ὁ Κομνηνὸς Ἰσαάκιος, ὁ δὲ λοιπὸς ὁ Κεκαυμένος Κατακαλών, ᾧ Κολώνεια ἡ πατρίς, ὃν καὶ δοῦκα Ἀντιοχείας τυγχάνοντα, ἅμα τῇ ἀναρρήσει παρέλυσε τῆς ἀρχῆς, τὸν οἰκεῖον ἀνεψιὸν Μιχαὴλ αὐτίκα μάγιστρόν τε καὶ δοῦκα τῆς Ἀντιοχείας προχειρισάμενος, καὶ οὐρανὸν ἐκεῖνον θέμενος τὸ ἐπώνυμον, ἵνα πρὸς τὸν ἀρχαῖον οὐρανὸν ἀναφέρειν δοκοίη τὸ γένος. τὸν τοίνυν Κεκαυμένον, ὡς δῆθεν μὴ καλῶς χρησάμενον τῇ ἀρχῇ, ἀλλὰ τάς τε δυνάμεις καταλελυκότα, καὶ φορτικὸν τοῖς ὑπὸ χεῖρα γενόμενον, καὶ ἐπέπληξεν ἐμπαθέστερον, καὶ ὀνείδεσιν ἔβαλε, καὶ οὐδ' ἐφείσατο ὕβρεων. ἀλλὰ καὶ τῶν ἄλλων λαμπροτάτων ἀνδρῶν, καὶ συστρατηγούντων ἐκείνῳ, ὑπεραπολογήσασθαι τοῦ ἀνδρὸς ὡρμηκότων, οὐδ' ἐπ' ἐκείνοις τῆς γλώττης ἐφείσατο, ὅτι μὴν αὐτὸς ᾐδέσθη τὸν Κομνηνόν. τοῦτο τοὺς στρατιώτας εἰς ἀθυμίαν ἐνέβαλε, τοῖς μὲν ἄλλοις φιλοτιμότατον ὁρῶντας τὸν Μιχαήλ, ἑαυτοῖς δὲ μηδ' ἐν λόγοις τὸ εὐμενὲς φειδόμενον, ὅμως μέντοι ἐπέσχον μηδέ τι νεωτερίσαι, ἀλλὰ καὶ δευτέραν πεῖραν ἐπαγαγεῖν ἐβουλεύσαντο. πρότερον δ' ὁ λόγος ἑτέραν περὶ τῆς βασιλείας διηγήσασθαι νῦν ἐπανάστασιν. καὶ οὕτω πρὸς τὴν τῶν ἀνδρῶν τούτων ἐπανελεύσεται. ὁ γὰρ τοῦ βασιλέως Κωνσταντίνου τοῦ Μονομάχου ἐξάδελφος, ὁ πρόεδρος Θεοδόσιος, ἄρτι τοῦ Μιχαὴλ ἀναρρηθέντος, ἐν δεινῷ ποιησάμενος τὴν ἐκείνου ἀνάρρησιν, τοὺς οἰκείους θεράποντας προσλαβόμενος, καί τινας ἄλλους ὅσοι κατ' ἐκεῖνον ἐλαφρίαν ἐνόσουν φρενῶν, περὶ δείλην ὀψίαν διὰ τῆς ἀγορᾶς ἀπῄει, τούτοις δορυφορούμενος, ἑαυτῷ προσήκειν τὸ κράτος λέγων, διὰ τὴν πρὸς τὸν Μονομάχον συγγένειαν, καὶ ἀδικεῖσθαι ἐπιβοώμενος. γενόμενος δὲ περὶ τὴν δημοσίαν εἱρκτήν, ἣ πραιτώριον κέκληται, τὰ κλεῖθρα διαρρήξας, τοῖς ἐν αὐτῇ καθειργμένοις αὐτὸς παρέσχε τὴν ἔξοδον. τὸ δ' αὐτὸ καὶ ἐν τῇ περὶ Χαλκῆν εἰργάσατο φυλακῇ, ἐλπίσας διὰ τούτων τοῦ περὶ σκοπὸν ἐπιτεύξεσθαι. ὡς δ' ἔμαθε στρατιωτικὴν ἀθροίζεσθαι περὶ τὰ βασίλεια δύναμιν, καὶ ἤδη στέλλεσθαι κατ' αὐτοῦ, πρὸς τὴν μεγάλην τρέπεται ἐκκλησίαν, καὶ μόνος σὺν τῷ υἱῷ καταλειφθείς, τῶν ἑπομένων αὐτῷ διασκεδασθέντων, ἐξάγεται τῆς ἐκκλησίας, καὶ ὑπερορίαν καταδικάζεται. εἰς τοῦτο δὲ τέλος τοῦ ἐγχειρήματος αὐτῷ καταντήσαντος, ὁ δημώδης ὄχλος ἐπεγγελῶντες αὐτῷ, ῥήματά τινα συνθέντες, ἐπῇδον αὐτῷ, τὰ δ' ἦσαν·

ὁ μωρὸς ὁ Μονομάχος, ὅ τι ἐφρόνει, ἐποίησε.

καὶ ταῦτα μὲν εἶχεν οὕτως. οἱ δ' ἐμπεπαρῳνημένοι τῶν ἑῴων ἀρχόντων, καὶ αὖθις πεῖραν προσάγουσι, καὶ προσίασι τῷ τὰ κοινὰ διοικοῦντι τῷ πρωτοσυγκέλλῳ Λέοντι, καὶ μεσίτην δι' ἐκείνου ἐπιχειροῦν τὸν

ὅτι τοῖς στρατιωτικοῖς ἄρχουσιν ὁ δεσπότης ἀηδῶς ἐχρήσατο ὁ βασιλεὺς Μιχαήλ.

ἐπανάστασις τοῦ Μονομάχου Θεοδοσίου.

προσίασιν οἱ στρατιωτικοὶ ἄρχοντες τῷ παραδυναστεύοντι.

IMPERIVM STRATIOTICI SEV MIlitaris Michaelis, qui & senex dicebatur.

Michael senex hoc modo Imperator appellatus, Senatores & plebeiam multitudinem benignissimè tractauit, ad dignitatum gradus promouendo, & honores plerisque tribuendo, qui captum illorum excederent. Cum militaribus autem catalogis, ac iis potissimum qui ceteris antecellentes, multò antè exercituum alarumque ductores fuerant, longè secus egit. Nam recens urbem ingressis, neque ullum honorem habuit, neque benignis alloquiis eos deliniuit. Eorum primarii duo uiri fuere, uterque Magister, & illustri genere ortus, splendorē illum imperatoria arte, robore manuum & fiducia animorum magis etiam assecutus: alter, Isaacius Comnenus, alter Ambustus Catacalo, patria Coloniensis, cui simul ac designatus fuerat Imperator, Antiochiæ ducatū ademit, suumque consobrinum Michaelem statim Magistrum & ducē Antiochiæ declarauit, Vrani cognomento addito, ut genus ad ueterem illum Vranum referre uideretur. Eum igitur Ambustum, quasi malè gesto magistratu, & copiis militaribus imminutis, & grauem obuio cuique, acrius obiurgauit, ac ne probris quidem & cōtumeliis abstinuit: cumque alii splendidissimi uiri, collegæ eius, hominem defensuri essent, ne contra illos quidem linguæ moderatus est, aut ipsum Comnenum reueritus. Ea res militum animos deiecit, qui Michaelem in alios liberalissimū, se ne uerborū quidem benignitate dignari uiderent: neque tamē ad res nouandas cōcitati sunt, priusquam denuo periculum eius fecissent. Sed antequam ad illorū seditionem ueniam, alius motus est exponendus. Cōstantini Monomachi patruelis, Theodosius præses, Michaelis designationem ægrè ferens, statim ministris suis assumptis, & nonnullis aliis eadem animi leuitate laborantibus ascitis, crepusculo iis satellitibus circundatus, per medium forum incessit, imperium ob Monomachi cognationem ad se pertinere dicens, atque iniuriam sibi fieri clamitans. Cum uerò ad publicum carcerem quod prætoriū dicitur, uenisset, claustris perruptis, exitū clausis patefecit. Idem in ea quoque custodia fecit, quæ ad Chalcen est, eorū opera se uoti sui fore compotem sperans. Verùm ubi cognouit militares copias circa Regiam contra se collectas iamiā affore, ad magnam Ecclesiam conuertitur, ex eaque solus cū filio relictus, gregalib⁹ suis dilapsis, educitur, & relegatur. Hoc euentu conatum eius consecuto, plebeia multitudo per ludibrium hāc cantilenam in eum cecinit:

Fatuus Monomachus, quod cogitauit, egit.

Cęterū Oriētales duces iniuriis affecti, denuo fortunā piclitaturi, Protosyncellū Leonē cōmunia negocia ꝓcurantē adeūt, eo intercesso

Michael in togatos liberalis, in sagatos asper.

Isaacius Cōnenus.

Ambustus Cataealo.

Theodosij Præsidis seditio.

Orientales duces ob cōtemptū sui regnum affectant.

re Imperatorem precaturi, ne soli negligerẽtur, cum cæteri omnes liberalitatis eius fructum aliquẽ percepissent: alijs præsertim sua uiter uiuentibus, se uerò in acie stantibus, Romanumq; Imperium propugnãtibus. At ille nihilo dexterior Imperatore, ad tractandos uiros dolentes, & tumorem ex dolore ortum reprimendum: asperitatem eorum adeò non leniit, ut etiam auxerit, singulorum uirtutem eleuando, & omnes sine honore dimittendo. Hac secunda repulsa irritati, non diutius sibi cunctandum esse censuerunt, sed quisq; proximum cohortatus, animo conceptum facinus ad exitum perducere decreuerũt. Visum autem eis est Bryennium quoq; uirum illustrem, Macedonicarum copiarum ducem, & Cappadociæ præfectum in consilium & auxilium adhibere, qui causas & ipse simultatis contra Imperatorem haberet. Qui cum operam promisisset, in deliberatione deligendi Imperatoris, omnium suffragijs Comnenus cæteris est prælatus. His compositis, domum omnes redierunt, discessu suo Imperatori denunciato. Abijt & Bryennius cum suis legionibus: cumq; in Orientalem prouinciam unà cum Ioanne Opsara Patricio, qui aurum uehebat, uenisset, militarium stipendiorum distributionem administrabat: qua iam inchoata, singulis militibus frumentum admetiebatur, & pecuniæ summam augebat. Opsara uerò quæstore negante, se id ab Imperatore in mandatis habere: Bryennius eum insolentius tacere, & quod iuberetur, facere iussit. Adhuc detrectantem & audacius refragantẽ, ira percitus arrepta coma & barba eius, solo illisum, in uincula coniecit. Quo dux Pisidarũ & Lycaonum, qui castra in propinquo habebat, cognito, id facinus tyrannidis principium iudicans, Bryennij tabernaculum cum suis legionibus ex improuiso inuadit, solutoq; Opsaræ illum tradit, qui hominẽ statim effossis oculis ad Imperatorem cum facinorum eius commemoratione misit. Hoc ita gesto, coniurati congressi in unum, rem nihilominus urgebant, ex militaribus catalogis aliunde alio ad ipsos confluente. Omnibus enim militibus in uotis erat, ut miles Imperio potiretur. Nã iniquis animis togato parebant, neq; tamen desiderium suum prodere ausi, cupiditatem illam, dum se maturandi facinoris offerret occasio, tegebant. Verum ubi Comnenum affectasse regnum compererunt, atq; ipsum caput esse negocij, & à præstantissimis familijs adiutari: id demum esse rati, quod diu animis agitassent, arrepta opportunitate alij alios anteuertere properarunt. Vnde Comnenus maximis copijs comparatis, tributa per totum Orientem exegit, quæstoribus & inscriptoribus eorum quæ allata essent, constitutis. Deinde uersus Nicæam mouit, iam Imperator ab omnibus suis militibus

Bryennius ab Opsara cæcatus ad Imperatorẽ mittitur.

Comnenus militibus Imperator salutatus Nicæam occupat.

βασιλέα, μὴ μόνοι αὐτοὶ καταλειφθῶσιν ἀγέραστοι, πάντων τῶν φιλοτιμιῶν κατακλυσάντων τοῦ αὐτοκράτορος. καὶ ταῦτα τῶν ἄλλων ἀπολαυόντων, αὐτοὶ καὶ τῆς ἐλπίδος ἐστερῆσθαι, καὶ τῶν πολεμούντων τῆς ῥωμαίων ἀρχῆς. ὁ δὲ δέον ἦττον τῶν βασιλέων ἀξίως ἂν μειλίξασθαι λυπουμένους ἄνδρας, καὶ κατασιγάσαι τὸ ἐκ τῆς λύπης αὐτοῖς γινόμενον οἴδημα, ὁ μὲν οὐκ ἠπίοις φιλόγοις τῶν ἀνδρῶν τὸ τραχύτατα, ἀλλὰ καὶ μᾶλλον αὐτοὺς ἐξετράχυνεν, ἀκραιφνεῖς ἕκαστον, καὶ ἀτίμους πάντας ἐκπέμψας ἀμείψας. οὕτως οὖν καὶ τῆς δευτέρας ἀποτυχόντες πείρας, οὐκέτι μέλλειν ἔκριναν, ἀλλ' ἕκαστος τὸν πλησίον παρακροτήσαντες, ἀποδύεσθαι εἰς προὖπτον ἔκριναν τὸ μελετώμενον. ἔδοξεν οὖν αὐτοῖς καὶ τὸν Βρυέννιον ἔχειν συνίστορα καὶ συλλήπτορα τοῦ ἐγχειρήματος, ὄντα τε τῶν ἐπιφανῶν, καὶ στρατηγοῦντα τῆς ἐκ Μακεδονίας δυνάμεως, καὶ τὴν τῆς Καππαδοκίας περιεζωσμένον ἀρχήν, λύπης τ' αἰτίας κἀκεῖνον ἔχοντα ἐπὶ τῷ αὐτοκράτορι. ὡς δ' οὖν κἀκεῖνον ἕτοιμον εὗρον πρὸς τὸ σφέτερον βούλημα, ἐξ ὅτου τὸν δὴ αὐτῶν βασιλεύσοντα, καὶ πᾶσιν ὁ Κομνηνὸς ἁπάντων προὐκρίθη. ἐπεὶ δὲ ταῦτα συνέβη, ἐπ' οἴκου ξύμπαντες ἀνεχώρησαν, τῷ βασιλεῖ προσειπόντες τὰ ἐξιτήρια. ἀπῄει δὲ καὶ ὁ Βρυέννιος μετὰ τῶν ὑπ' αὐτὸν ταγμάτων, καὶ ἐν τῷ θέματι τῶν ἀνατολικῶν γεγονὼς, τὴν τῶν στρατιωτῶν ὀψωνίων διανομὴν ἐκεῖ διετίθετο (συνῆν γὰρ αὐτῷ καὶ ὁ πατρίκιος Ἰωάννης ὁ Ὀψαρᾶς) χρυσίον ὑποφερόμενος. ἤδη δὲ τῆς διανομῆς ἠργμένης, ὁ Βρυέννιος προσετίθει τοῖς στρατιώταις τὰ σιτηρέσια, καὶ ηὔξει τὸ ἑκάστῳ νενεμημένον ποσόν. ὁ δὲ τοῦ χρυσοῦ ταμίας ὁ εἰρημένος ἀνὴρ μὴ τοῦτο ἔλεγεν ἐντετάλθαι οἱ πρὸς τοῦ αὐτοκράτορος. καὶ ὁ Βρυέννιος σιωπᾶν αὐτῷ καὶ ποιεῖν τὸ ἐπιτασσόμενον ἐγκελεύετο ἐπιταμώτερον. ὡς δ' ὑπὸ τοῦ Ὀψαρᾶ οὐκ ἐπείθετο, ἀλλὰ καὶ θρασύτερον ἐκείνῳ ἀντέλεγεν, ὁ Βρυέννιος θυμῷ ληφθεὶς, αὐτίκα περικαθίσας, καὶ τῶν τῆς κεφαλῆς τριχῶν τῶν τε ὑπηνῶν λαβόμενος τοῦ ἀνδρὸς, προσαράσσει τῇ γῇ, καὶ περιβάλλει δεσμοῖς. ἐγγὺς δὲ ὢν στρατοπεδεύων ὁ τῶν Πισιδῶν καὶ τῶν Λυκαόνων στρατάρχης, ὃς τὰ περὶ τοῦ Ὀψαρᾶ μαθὼν, καὶ τυραννίδος ταῦτα κρίνας ἀρχήν, ἀθρόον ἔπεισι μετὰ τῶν ὑπ' αὐτὸν ταγμάτων τῇ τοῦ Βρυεννίου σκηνῇ. καὶ δεσμεῖ μὲν ἐκεῖνον, λύει δὲ τὸν Ὀψαρᾶν τῶν δεσμῶν, καὶ αὐτῷ τὸν Βρυέννιον παραδίδωσιν, ὁ δὲ αὐτίκα τοὺς ὀφθαλμοὺς ἐκκόπτει ἐκείνου, καὶ οὕτω τὸν ἄνδρα πρὸς βασιλέα ἐξαποστέλλει, ἐπιστείλας αὐτῷ καὶ ὅσα τετόλμηκε. καὶ ταῦτα μὲν συνεκύρησεν οὕτως, ὁ δέ γε Κομνηνὸς καὶ οἱ ἐκείνῳ συνομοσάμενοι συνελθόντες, ἔργου ἥπτοντο, τῶν στρατιωτικῶν καταλόγων ἄλλοθεν ἄλλων προσρυησομένων αὐτοῖς. ἦν μὲν γὰρ τῷ στρατιωτικῷ παντὶ ἔφεσις, στρατιώτην τὴν βασίλειον ἀρχὴν περιζώσασθαι. ἤχθετο γὰρ ὑπὸ τοῦ πολιτικοῦ μέρους ἀρχόμενον, ἀλλ' οὐκ ἐθάρρει τὸν πόθον εἰς προὖπτον ἐξαγαγεῖν, ἔκρυπτε δὲ τὸν ἔρωτα, καὶ ἐδίδου τὸν πρὸς τοῦτο σκοπόν. ἐπεὶ δὲ τὸν Κομνηνὸν τυραννίδι ἐγχειρήσαντα μεμαθήκασι, καὶ αὐτὸν μὲν κορυφαῖον εἶναι τοῦ δράματος, τὰ δὲ κράτιστα τῶν γενῶν τοὺς ἐγχειρήσαντας αὐτῷ συλλαμβάνεσθαι, τοῦτ' εἶναι τὸ ὑπ' αὐτῶν μελετώμενον δόξαντες, ἁρπάζουσι τὸν καιρὸν, καὶ ἕκαστος τὸν πέλας προφθάσαι ἠπείγετο. συνέδραμε τῷ Κομνηνῷ βαρεῖα συνάσπισις δυνάμεως, φόρους οὖν κατὰ ξύμπασαν τὴν ἑῴαν, τοὺς φόρους εἰσεπράττετο, ἐπιστήσας τούτων τάξεις καὶ τῶν προσηγμένων ἀπογραφεῖς. εἶτα ἄρας ἀπῄει πρὸς Νίκαιαν, ἤδη βασιλεὺς πρὸς πάντων τῶν σὺν αὐτῷ στρατιω-

ὅπως ὁ Βρυέννιος ἐτυφλώθη.

ἀνταρσία τοῦ Κομνηνοῦ στρατιωτικὴν ἀρχήν.

ὁ Κομνηνὸς εἰς Νίκαιαν.

ἐστρατοπεδευμένον εὐαγγελισθεὶς, ταύτης ἐγκρατὴς γενέσθαι βουλόμενος, ἵν' ἔχῃ τὴν πόλιν ὁρμητήριον καὶ καταφύγιον, ὁπότε δέοι, ἂν ξείνῃ τὰ τῆς τύχης αὐτῷ, καὶ τὴν μὲν λαμβάνει, αὐτὸς δὲ φρουρὰν ἀρκοῦσαν ἐγκαταστήσας αὐτῇ, πρὸ δώδεκα σταδίων ταύτης στρατοπεδεύεται. καὶ ὁ βασιλεὺς δὲ Μιχαὴλ τὰς δυτικὰς ἀγείρας δυνάμεις, καὶ εἴ τινες τῶν ἑῴων περιελείφθησαν, μὴ συναπαχθέντες τῷ Κομνηνῷ, ἐφίστησι τούτοις στρατηγὸν αὐτοκράτορα τὸν δομέστικον τῆς ἀνατολῆς τὸν ἐκτομίαν Θεόδωρον, τὸν τῆς βασιλίσσης Θεοδώρας θεράποντα. συζεύξας αὐτῷ συνάρχοντα καὶ τὸν μάγιστρον Ἀαρὼν σύγγονον ὄντα τῆς συνοικούσης τῷ Κομνηνῷ. οἱ τοῖς ἐναντίοις ἀντιστρατοπεδευσάμενοι, συμβάλλουσι καὶ πόλεμον κατά τινα τόπον, ὃ δὴ Ἅδης ἐγχωρίοις καλεῖσθαι, καὶ τὸ μὲν εὐώνυμον κέρας τῶν βασιλικῶν ἔκλινε τὸ δεξιὸν κέρας τῶν περὶ τὸν Κομνηνὸν, καὶ ὁ ἐφεστὼς τούτῳ Ῥωμανὸς ὁ Σκληρὸς συνελήφθη ζῶν. τὸ δέ γε τῶν ἐναντίων εὐώνυμον, οὗ κατῆρχεν ὁ Κεκαυμένος, τὸ δεξιὸν ἐτρέψατο τῶν βασιλικῶν, καὶ εἰς αὐτὸ τὸ στρατόπεδον εἰσήλασεν αὐτῶν, καὶ τὰς σκηνὰς διέρρηξε, καὶ ἔρριψεν ἐπὶ γῆς. τοῦτο τοῖς περὶ τὸν Κομνηνὸν θάρσος ὡς μάλιστα ἐνεποίησε, τοῖς δ' ἀντιπολεμοῦσι κατέβαλε τὰ φρονήματα, καὶ φεύγειν ἅπασι. γίνεται τοίνυν τῶν βασιλικῶν φόνος πολὺς, οὐ κοινῶν μόνον στρατιωτῶν, ἀλλὰ καὶ στρατηγῶν, καὶ πλείους δ' ἐζωγρήθησαν, καὶ ἡ νίκη λαμπρὰ φανερῶς τῷ Κομνηνῷ ἐπεσημάνθη. τοῦτο μαθὼν ὁ βασιλεὺς Μιχαὴλ ἀπεγνώκει τὰ τοῦ πολέμου, καὶ τὴν ἀρχὴν ἀποθέσθαι ἐβούλετο, ἀλλὰ τοῖς περὶ ἐκεῖνον τοῦτο ἀβούλητον ἦν, ὅθεν οὐδ' εἰς ἔργον ἀγαγεῖν συνεχωρήθη τὸ βούλημα. στέλλονται τοίνυν πρὸς τὸν Κομνηνὸν πρεσβεύσοντες, ἄνδρες τῶν ἐκκρίτων τῆς συγκλήτου βουλῆς. οἱ δ' ἦσαν ὁ πρόεδρος Κωνσταντῖνος ὁ Λειχούδης, ὁ πρόεδρος Λέων, ὁ Ἀλωπὸς, καὶ Μιχαὴλ ὁ σοφώτατος Ψελλὸς, τῶν φιλοσόφων ὢν ὕπατος. τὰ δὲ παρὰ τούτων κατεγγελλόμενα, υἱοθεσία ἦν τοῦ Κομνηνοῦ ἀποσυνθησομένου τῷ βασιλεῖ, καὶ ἀναγωγὴ πρὸς τὴν τιμὴν τὴν τοῦ καίσαρος, καὶ τοῖς τὴν τυραννίδα συμμελετήσασιν ἄφεσίς τε καὶ ἀμνηστία τοῦ πλημμελήματος. οἱ μὲν οὖν ταῦτα τῷ Κομνηνῷ ἀπηγγέλκεσαν ἐπ' ἐπηκόῳ τοῦ πλήθους, τὸ δὲ ἐθορυβεῖτο, μὴ βούλεσθαι λέγον ἐν ἄλλῳ σχήματι τὸν αὐτῶν προεστηκότα θεάσασθαι, μηδ' ἐκδύσασθαι ἀναγκάζεσθαι αὐτὸν τὴν στολὴν τὴν βασίλειον, ἣν ἤδη ἐνεδέδυτο. ἔλεγον δὲ ταῦτα οἱ πλείους οὐχ οὕτω φρονοῦντες, ἀλλὰ τὸν τυραννοῦντα θωπεύοντες. ἐπεὶ δὲ διελύθη ὁ σύλλογος, ἰδίᾳ τοὺς πρέσβεις ὁ Κομνηνὸς παραλαβόμενος, εἰ ποιεῖ μοι, φησὶν, ἀπορρήτως διαπορθμεῦσαι πληροφορήσετε πρὸς τὸν αὐτοκράτορα, δηλῶ ὑμῖν ὅσα μοι ἐπὶ τὴν καρδίαν ἐγκέκρυπται. τῶν δὲ καταπιστωθέντων ἐχέμυθον τηρῆσαι ἅπερ ἀπόρρητον, ἔφη ἀρκεῖσθαι νῦν ἐπὶ σχήματι ἐπὶ τοῦ καίσαρος, καὶ μὴ ζητεῖν τὸ βασίλειον, αἰτεῖν δὲ πληροφορίαν ἐκ τοῦ κρατοῦντος, ὡς οὐχ ἑτέρῳ δώσει τὴν ἀρχὴν ποτὲ, καὶ ὡς συντηρήσει ἑκάστῳ τῶν σὺν ἐμοὶ, ἅπερ τούτοις πεφιλοτίμηται παρ' ἐμοῦ, καὶ ὡς καί τινα μεταδώσει μοι νῦν ἐξουσίας βασιλικῆς, ἵν' ἔχω τινὰς τιμᾶν τοῖς τῶν ἀξιωμάτων ἐλάττοσι καὶ εἰς ἀρχὰς ἐνίους στρατηγικὰς προχειρίζεσθαι, καὶ εἰ μοι ταῦτα ἐκπληρῶσοιτο, ἀπαίρω καὶ ἀφίξομαι. ἐπεὶ δὲ τοῖς πλήθεσι ταῦτα τοῖς σὺν ἐμοὶ ἀπαρέσκουσι, δισσὰς πρὸς τὸν κρατοῦντα ἐγχειρίζω ἐπιστολὰς, καὶ τῇ μὲν καταδημαγωγήσω τὸ στρατιωτικὸν, τῇ δ' ἐγγράφομαι τὰ ἀπόρρητα. ἔδει τούτοις καὶ τὸν τὰ κοινὰ μεταχειριζόμενον ἔξω μεταστῆναι τῆς διοικήσεως, ὡς δυσνοῦν αὐτῷ καὶ

ὅτι συμβαλόντες οἱ περὶ τὸν Κομνηνὸν οἱ βασιλικοὶ ἡττήθησαν.

ἀποστολὴ πρέσβεων πρὸς τὸν Κομνηνὸν περὶ εἰρήνης.

ὅτι τὴν βασιλείαν διὰ τῶν πρέσβεων ὁ Κομνηνὸς ἐδέξατο.

appellatus, ea potiri cupiens, ut haberet urbem unde progredi, quo'que confugere tutò uelut in asylum quoddam quouis euentu posset, ea'que occupata, & iusto præsidio imposito, duodecim inde stadijs castrametatur. Michael uerò Imperator Occidentalibus legionibus conuocatis, & si quæ ex Orientalibus à fide non discesserant: dictatorem præfecit Orientis Domesticum Theodorum spadonem, Imperatricis Theodoræ ministrum, adiuncto collega Magistro Aarone fratre coniugis Comneni. Qui castris contra hostes positis, prælium commisere in loco qui ab incolis Orcus appellatur. ubi à sinistro cornu Imperatoriorum, dextrum Comneniorum profligatum est, & qui in eo curabat, Romanus Sclerus uiuus captus Sed hostiũ sinistrum cui Ambustus præerat, dextro Imperatoriorum cornu in fugam uerso, in castra usq; penetrauit, & tentoria discerpta humi abiecit. Id factum ut Comneniorum animos uehementer auxit, sic Imperatoriorum adeò deicit, ut se fugæ mandarent, in qua multi cęsi sunt non gregarij duntaxat milites, sed duces etiam, pluribus captis, Comneno uictoria minimè dubia potito. Eo cognito Michael desperato bello, imperium deponere uoluit: sed id consilium familiaribus improbantibus, exequi non potuit. Legãtur igitur ad Comnenum selecti uiri ex patribus conscriptis, Constantinus Lichudes præses, Leo præses, Alopus, & Michael Psellus princeps Philosophorũ: cuius legationis ea summa fuit: Comnenum ab Imperatore adoptatum iri & Cæsarem designandum esse, concessa uenia & obliuione iniuriarum ijs, qui tyrannidis adiutores fuerunt. Quę cum audiente exercitu Comneno nunciarentur, milites tumultuabantur: negantes se passuros suum præfectum in alio habitu conspici, aut exui uestem Imperatoriam, quæ iam inductus esset. Quæ uerba à pluribus per assentationem, quàm ex animo iactabantur. Soluto conuentu Comnenus legatis seductis ait, Si arcana quædam Imperatori se renunciaturos promisissent, se expositurum ea, quæ animo celaret. Qui cum taciturnitatis fidem dedissent, Se nunc ait habitu Cæsaris contentum esse, nec requirere Imperatorium: sed id postulare, ut imperator nulli alij unquam traditurum imperium, & ijs quos donasset, præmia non erepturum confirmet, & aliquid imperatoriæ potestatis impertiatur, ut minoribus dignitatibus nonnullos ornare liceat, & ad militares magistrat[9] euehere. Quæ si impetrasset, se pace facta in urbem uenturũ, & quia illa suis displicerent, binas scripturum literas, quarum alteris fucum militibus faceret, alteris arcana mandaret. Præterea rerum communium administrationem ei adimendam esse, qui nunc sibi & suis infensus,

Comnenus uicto Michaelis exercitu in successionem Imperij adoptatur.

ea fungeretur. His dictis literisque traditis hortatur abire legatos. Senex Michael cũ literis acceptis, tum arcanis mandatis auditis, delectatus, ad omnia illius postulata annuit, atque adiecit, quemadmodum Comnenus sibi per illos occulta quædã significasset, ita se illi per eosdem occultiora nunciaturũ, ut iureiurando confirmarent uidelicet, non multum temporis intercessurũ, quin illum collegam imperij ascituras esset: nunc uerò se id certis de caussis differre. Hęc per legatos nunciata Comnenus cupido admisit, nec alij inuiti acceperunt, præsertim quòd rerum cõmunium procuratori potestas adimẽda esset, iamque omnibus decretum erat, positis armis tyrãnide abstinere. At senex Imperator, priusquam cum Comneno transigeret, togatorum erga se beneuolentiæ, ut putabat, confirmandæ ergò, scriptum quoddam cõfecerat, quo singulos iureiurando & diris obstringebat, ut Comnenum neque Imperatorem nominarent, neque Imperatorium honorẽ ei deferrent, atque senatorum alios pecunia, alios dignitatũ largitionibus, alios alijs illecebris impulerat, ut subscriptione sua earum literarũ sententiã confirmarent. Verũ audito Comneni aduentu, qui postridie urbem ingressurus esset, quidã ex patribus cõscriptis factiosi homines mane se in templũ Diuini uerbi sapientiæ cõtulerunt, quibus se etiam sodalitatum principes aggregarunt, & Patriarchæ præsentiam uociferationibus efflagitarunt. At ille foribus undique occlusis, fratris filios percontatum misit, quid uellent: quos illi, cõcursu multitudinis aucta, comprehensos malè tractaturos esse, cõminati sunt, nisi Patriarcha statim egrederetur. Feruntur autem illa ficta fuisse & simulata, ut Patriarcha inuitus ad seditiosos prodire uideretur. Cum igitur ex superiori ædium parte descendisset, pontificia stola indutus, eos qui aderant incusans, utã quibus uis sibi fieret scilicet: audaciores ex seditiosis ac potius seditionis autores, corona circa eum facta petiuerunt, ut legatus ad Imperatorẽ iret, ac scriptũ sibi restitui postularet, cui subscribere coacti essent. Sed id quoque cõmentitium erat. Nam paulò pòst Comnenum apertè Imperatorem salutarunt, etiã Patriarcha suffragante & adiutante, qui illi nunciarat, ne cunctaretur, & præmium suffragij postularat, & Imperatori insolentius denunciarat, ut Regia decederet. Quo nũcio à primarijs sacerdotibus accepto senex Michael percontatus est, quod sibi pręmiũ pro Imperio daturi essent, illisque respondentibus, Regnum cœleste: statim insignibus abiectis Regia decessit. Comnenus autem, Ambustum, quem Curopalatem fecerat, cum copijs ad Regiam occupandam misit, populo ad noui Imperatoris occursum effuso, ac illustrissimum reddente eius urbem ingressum.

Michael dũ se Comneno fucum facere putat, Imperio excidit.

τοῖς μετ' αὐτοῦ. ὁ μὲν οὖν ταῦτα εἰπὼν, καὶ τὰς ἐπιστολὰς αὐτοῖς ἐγχειρίσας, ἀπελθεῖν προσετετάχει. οἱ δ' ἐπανελθόντες πρὸς τὸν γηραιὸν αὐτοκράτορα, τὰς ἐπιστολάς τε φέροντες, καὶ ὅσα ὁ Κομνηνὸς αὐτοῖς ἐν ἀπορρήτοις ἔφη διὰ ζώσης φωνῆς ἀπαγγέλλοντες. εὐθὺς οὖν ἐπὶ τούτοις ὁ βασιλεὺς, πάντα πληρῶσαι ὅσα ἐκεῖνος ᾐτήσατο ἐπηγγείλατο, καὶ προσαπήγγελλον ὅτι ὥσπερ ἐκεῖνος ἐκφθέγξατο μοι γνώμας ἐδήλωσε δι' ὑμῶν, οὕτως αὖθις κἀγὼ δι' ὑμῶν μυστικώτερά τινα ἐκείνῳ διὰ τῶν αὐτῶν ἀνατίθεμαι ὑμῶν. δηλώσατε τοίνυν τῷ ἀνδρί, ὅτι ὁ μακρὸν ἂν εἰς τὸ μέσον διάστημα, καὶ συμμέτοχον αὐτὸν τοῦ κράτους ποιήσομαι, ὃ δὲ ἀναβάλλομαι τέως διά τινα αἰτίαν. ἐπὶ τούτοις ἐπανῆλθον αὖθις οἱ πρεσβεύοντες, καὶ ὁ Κομνηνὸς ἄσμενος τὰς ἀγγελίας ἐδέξατο, καὶ τοῖς ἄλλοις οὐκ ἀρεστὰ τὰ μηνύματα ἔδοξαν. καὶ μᾶλλον, ὅτι μετακληθῆναι τὴν διοίκησιν τὴν ἐγχειρισθεῖσαν αὐτοῖς μεμαθήκασι, καὶ ἤδη καταθεῖναι τὰ ὅπλα ἔδοξεν ἅπασιν, ὡς καὶ τῆς τυραννίδος ἀφεξόμενοι. ὁ πρεσβύτης δὲ βασιλεὺς, πρὸ τοῦ τὰς συμβάσεις αὐτῷ πρὸς τὸν Κομνηνὸν γενέσθαι, τὰς πολιτικὰς μοίρας εὔνους ποιούμενος ἑαυτῷ, ὥσπερ ᾤετο, ἔγγραφόν τι συγγράψας, ὅρκοις κατέλαβε μὲν καὶ ἀραῖς ἕκαστον, ὥστε μήτε βασιλέα καλέσαι τὸν Κομνηνόν, μήτε τιμὴν αὐτῷ προσοίσειν βασίλειον, τοὺς μὲν τῶν συγκλητικῶν χρήμασι, τοὺς δὲ ἀξιωμάτων διανομαῖς, καὶ ἄλλους ἄλλοις θελκτηρίοις, ἀναπεῖθει τῷ ἐγγράφῳ ὑποσημαίνεσθαι, καὶ τὰ ἐν αὐτῷ βεβαιοῦν. ἐπεὶ δ' ἤκουσαν τὸν Κομνηνὸν ἐκκινήσαντα, ὡς τῇ ὑστεραίᾳ εἰσελευσόμενον, στασιώδεις τινὲς τῶν τῆς συγκλήτου βουλῆς, ἕωθεν τῷ τεμένει τῆς τοῦ θείου λόγου σοφίας προσκαλινδήθησαν, οἷς καὶ οἱ τῶν ἑταιρειῶν συνῆλθον ἄρχοντες, καὶ κραυγαῖς προσεκαλοῦντο τὸν πατριάρχην εἰς θέαν σφίσιν ἐλθεῖν. ὁ δὲ τὰς θύρας αὐτοῖς ἁπανταχόθεν ἀποκλείσας, τοὺς ἀδελφιδοῦς αὐτοῖς ἐκπέμπει πευσομένους, ὅτι φασίν. οἱ δὲ θορυβοῦντες εἰς πλῆθος ἤδη συνελθόντων, πολλῶν συρρεόντων ἐκεῖ, συνεῖχον τοὺς τοῦ πατριάρχου ἀδελφιδοῦς, καὶ εἰ μὴ αὐτίκα πρὸς αὐτοὺς διελεύσεται ὁ ἀρχιερεὺς, διαφθερεῖν ἐκείνους ἠπείλουν κακῶς. λέγεται δὲ ταῦτα σκηνὴν εἶναι καὶ προβεβουλευμένα, ἵν' ἄκων δῆθεν συνέλθῃ ὁ πατριάρχης τοῖς στασιάζουσι. κατῆλθεν οὖν ἐκ τῶν ὑπερῴων, τὴν ἱερατικὴν ἐνδεδυμένος στολήν, ἐπεγκαλῶν δῆθεν τοῖς ἥκουσιν ὡς βιαζομένοις. οἱ δὲ τῶν στασιαζόντων θρασύτεροι, ἢ μᾶλλον δι' ὧν ἡ στάσις συνίστατο, μικρὸν ἐπιλαβόμενοι αὐτὸν, πρεσβευτὴν ἀξίουν γενέσθαι πρὸς τὸν βασιλέα, ἵν' αὐτοῖς ἐκδοθείη τὸ ἔγγραφον, ὃ βιασθέντες ὑπογεγράφασιν, ἐπεὶ τῷ Κομνηνῷ ἐκεῖνοι ἰσάσιν. ὁ δὲ πληρώσειν αὐτοῖς τὸ αἴτημα κατετίθει, ἀλλ' ὥσπερ προσποίησις ἅπαντα. βραχείας γὰρ παρελθούσης ὥρας, βασιλέα καὶ αὐτοκράτορα φανερῶς ἀνεῖπον τὸν Κομνηνόν, αὐτοῦ τοῦ πατριάρχου συνευδοκοῦντός τε καὶ συμπράττοντος, καὶ τῷ μὲν Κομνηνῷ μὴ μέλλειν διαπλεύσαντος, ἀλλὰ σπεύδειν καὶ ἀμοιβὰς αἰτοῦντος τῆς ἀναρρήσεως. τῷ δ' ἴσως τότε βασιλεύοντι κατηγορίας τῶν ἀνακτόρων ἐπιμελέστερον ἀπαιτοῦντος. ἀρχιερέων δὲ τῷ γέροντι μετὰ χεῖρα τὰ τοῦ πατριάρχου κομισάντων μηνύματα, ἐκεῖνος ἔφη, τί δέ μοι ἀντὶ τῆς βασιλείας παρέξετε. οἱ δὲ τὴν οὐράνιον βασιλείαν ἀντεπηγγείλαντο. αὐτίκα τοίνυν ἐκδύσας τὰ τῆς βασιλείας παράσημα, ἀπῆλθε τῶν βασιλείων. ὁ δέ γε Κομνηνὸς κουροπαλάτην τιμήσας τὸν Κεκαυμένον, στέλλει τὸν ἄνδρα μετά τινος δυνάμεως παραληψόμενον τὰ ἀνάκτορα. τὸ δὲ λοιπὸν πλῆθος τῆς πόλεως εἰς ὑπαντὴν τοῦ νέου βασιλέως ἐξεχύθη, λαμπρότερα οἱ ποιοῦντες τὰ εἰς τὴν βασιλεύουσαν εἰσιτήρια.

ἵνα δὲ γένηται ὁ Κομνηνὸς πληρώσει ὁ βασιλεὺς ἐπηγγείλατο, καὶ πάλιν οἱ πρέσβεις πρὸς αὐτὸν ἀπεστάλησαν.

διὰ ἐγγράφου τῆς συγκλήτου ἀπαιτεῖ ὁ βασιλεὺς Μιχαήλ.

οἱ στασιάσαντες εἰς τὴν μεγάλην ἐκκλησίαν συνῆλθον, καὶ βασιλέα τὸν Κομνηνὸν ἀνηγόρευσαν, καὶ τοῦ πατριάρχου συναινοῦντος.

ἐκπίπτει τῆς βασιλείας Μιχαὴλ ὁ γέρων.

ΒΑΣΙ-

ΒΑΣΙΛΕΙΑ ΚΟΜΝΗΝΟΥ ἰσαακίου.

Ἐνα μὲν οὖν ὁ γηραιὸς μιχαὴλ αὐταρχήσας ἐνιαυτὸν, τῆς βασιλείας ἐκπέπτωκε, καὶ οὐ πολὺ ἐν ἰδιωτικῷ σχήματι βιώσας, ἐξέτισε τὸ χρεών. ὁ δὲ κομνηνὸς τῇ βασιλείᾳ ἐγκαρτερήσας, ἑαυτῷ τὴν ταύτης ἐπιτυχίαν, καὶ οὐ τῷ θεῷ ἐπεγράψατο. καὶ τοῦτο δῆλον, ὅτι τῷ νομίσματι ξιφήρη ἑαυτὸν ἐνεχάραξε, μόνον οὐχὶ βοῶν, ὅτι τοῦτό μοι τὴν βασιλείαν, καὶ οὐχ ἕτερόν τι προὐξένησε. τοὺς δὲ συναραμένους αὐτῷ φιλοτιμότατα ἀντημείψατο, καὶ ἰσοδόσεων, ἑκάστῳ τὰς ἀμοιβὰς ἐκδοὺς, πάντας οἴκαδε παρεσκεύασεν ἀναχωρεῖν, ἵνα μή τι θορυβήσωσιν, ἢ τὸν δῆμον κατεξαναστῶσιν ἐνσυπολοῦντες. τὸν δὲ πατριάρχην διὰ αἰδοῦς ἦγεν ὅτι πολλῆς, καὶ τοὺς αὐτοῦ ἀδελφιδοῦς διὰ ἐκεῖνον τιμαῖς ἐτίμησε μείζοσι, καὶ ἀρχαῖς ὑπερηφανίαις ἐπέστησε. χαριζόμενος δ' ἐπὶ τῷ πατριάρχῃ, καὶ τὴν τῶν ἐκκλησιαστικῶν πραγμάτων οἰκονομίαν τῇ ἐκκλησίᾳ ἀπένειμε. μέχρι τότε τοῦ μεγάλου οἰκονόμου προχειριζομένου παρὰ τοῦ βασιλεύοντος, ἀλλὰ μὴν καὶ τοῦ σκευοφύλακος, ἐκεῖνος δὲ καὶ ἄμφω ὑπὸ τὴν τοῦ πατριάρχου ἦγεν ἐξουσίαν, ἐκξενώσας ἀμφοῖν τὸ δημόσιον. εἶτα τὴν μὲν τοῦ βίου αὐτῷ κοινωνὸν αὐγοῦσταν ἀνηγόρευσε, τὸν δ' ἀδελφὸν ἰωάννην κουροπαλάτῃ τετίμηκε, καὶ ὀνόματι μεγάλου δομεστίκου. τῶν δὲ πρὸ αὐτοῦ βασιλέων ὅσοι μετὰ τὸν πορφυρογέννητον ἐκεῖνον βασίλειον τῆς βασιλείας ἐπέβησαν, οὐ καλῶς χρησαμένων τοῖς βασιλείοις καὶ κοινοῖς πράγμασιν, ἀλλὰ τὰ μὲν εἰς οἰκείας ἀπολαύσεις, καὶ εἰς ἀσκητηρίων καταναλωσάντων οἰκοδομὰς, τὰ δὲ διαρρυμένων οἷς ἔτυχεν, ἢ τισιν οἷς ἂν ἐβούλοντο. οἱ βασιλικοὶ θησαυροὶ ἐκεκένωντο, καὶ τὰ δημόσια πρυτανεῖα χρημάτων ἐκαινίζοντο. τὸ τοίνυν ὁ κομνηνὸς προθέμενος διορθώσασθαι, οὐκ ἠρέμα οὐδὲ κατὰ βραχὺ τῇ διορθώσει ἐπεχείρησεν, ἀλλ' ὡς τῷ στατῆρι ἑαυτὸν ἐγκολάψας, ἀνατεταμένον τῇ χειρὶ, φέροντα τὸ ξίφος γυμνὸν, οὕτω καὶ τοῖς πράγμασιν ἐπεισήγαγεν ἑαυτὸν, καὶ τέμνειν αὐτίκα παρεσκεύαζε τὰ οἰδήματα, ἀλλ' οὐ μαλάσσειν οὐδ' ἐμπλάττειν τὰ ὕπουλα. ἄρχεν δ' ὅθεν ἀπὸ τῶν ἱεράτων ἐπειδὴ, καὶ εἰς γνήσιον ἀρχὴν τὴν πρὶν αὐτοῦ τυραννίδα μετήνεγκεν, ἀνατροπὰς τῶν τοῦ πρὸ αὐτοῦ πράξεων, αὐτίκα καὶ εἴ τι ἐκεῖνος τισὶν ἐδωρήσατο, ἀφῄρει τε καὶ ἀπεστέρει τοὺς εἰληφότας, ἀλλὰ καὶ τῶν πρὸ ἐκείνου πολλὰ καθῄρηκε, καὶ ἠθέτησε καὶ οὐ μόνον ταῦτα πρὸς τὸ δημῶδες ἐποίει, ἀλλ' οὐδὲ τῶν τῆς γερουσίας ἐφείδετο. εἶτα προβαίνων καὶ ἐπὶ τὰ θεῖα ἐχώρησε, καὶ πολλὰ τῶν τοῖς ἐκεῖ ἀφιερωμένων φροντιστηρίοις ἀφαιρούμενος ἐκεῖνα περιέκοψεν, ἢ μᾶλλον ἐκλογισμοῖς ὑποβάλλων, τοὺς ἐν αὐτοῖς ἀσκουμένους, καὶ τὴν ἀρκοῦσαν αὐτοῖς δαπάνην ἀπονέμων, τὰ λοιπὰ τῷ δημοσίῳ ταμιείῳ ἀφοσίου καὶ ἀνελάμβανε. καὶ ἄλλο ἐπ' ἄλλῳ καθ' ἑκάστην καινίζων τοῖς οὕτω, γέγονεν ἅπασιν ἦν μισητὸς τῷ τε δημοτικῷ πλήθει, τῇ τε συγκλήτῳ βουλῇ, ἀλλὰ μέντοι καὶ τῷ στρατιωτικῷ, οὐδὲ γὰρ οὐδ' ἐκείνου ἀπείχετο, ἀλλὰ καὶ ἐκείνοις ἀπεμείου τὰς εὐπορίας, καὶ τὸν ἄλλων μᾶλλον τοῖς ἐν τοῖς σεμνείοις τὴν ζωὴν διανύουσι. τὸν δὲ οὐδὲν ἀπῆγε τῶν ἐγχειρήσεων, οὐ λόγος, οὐ δέος, οὐ μῖσος, οὐ ψόγος. οὕτως ἐπῆρε τὸ φρόνημα καὶ οἰδοῦσαν ἐκέκτητο τὴν ψυχήν. ἀλλ' οὐδ' ὁ πατριάρχης ἧττον ἐκείνου πεφρονημάτιστο. ἐθέλγον οὖν ὑπείκειν αὐτῷ, καὶ εἴποτε πρός τι αἰτούμενος ἀπετύγχανεν, ὁ δὲ ἐδυσχέραινε, καὶ ἠπείλει καὶ ἐπετίμα, εἶτα καὶ ὡς αὐτὸς αὐτῷ τὴν βασιλείαν

ὅτι περὶ τῶν οἰκονόμων καὶ σκευοφυλάκων δὲ μεγάλου ἐκκλησίας παρὰ τὸ βασιλέως προβαλλομένων, οἱ κομνηνοὶ ἀμφότερα τῇ ἐκκλησίᾳ ἀπένειμεν.

ὅτι ἀπὸ τῶν κοινῶν πραγμάτων διορθώσει ἐπεχείρησε, καὶ γέγονεν ἅπασι μισητός.

ὅτι οὐδ' αὐτῶν τῶν τῷ θεῷ ἀνατεθειμένων ἐφείσατο.

ὅτι ὁ πατριάρχης ἐξορισθεὶς ὑπὸ τοῦ βασιλέως, καὶ ἐκεῖσε ἀπέθανεν.

IMPERIVM ISAACII Comneni.

SEnex igitur Michael cum unũ imperasset annum regno excidit, neque diu pòst superstes fuit. At Cõnenum, firmato Imperio, adeptionem eius non Deo, sed sibi ascripsisse ex eo apparet, quod in nummis suam imaginem stricto ense insculpendam curauit, tantum non clamitans, eum sibi. nec quicquam aliud regnum peperisse. Eos à quibus adiutus fuerat, liberalissimè est remuneratus, relata que festinanter omnibus gratia, operam dedit, ut domos suas quiꝗ redirent, ne in urbe oberrantes uel tumultum excitarent, uel contra populum insurgerent. Patriarcham magnopere ueneratus est, & fratris eius filios magnis honoribus affectos, superbis magistratibus præfecit. Præterea in Patriarchæ gratiã, etiam Ecclesiasticarũ rerum procurationem Ecclesiæ attribuit. Nam cum ad id usꝗ tempus & magnus Oeconomus, & uasorum custos ab Imperatore designari soleret: utrunꝗ id munus Patriarchæ potestati subiecit, amota publica autoritate. Deinde uitæ sociã Augustam appellauit, fratrem autem Ioannem Curopalatem & magnum Domesticum nominauit. Porrò cum omnes eius post Basiliũ Porphyrogenitum decessores, fisci & ærarij pecuniam parum rectè collocassent, partim in suas uoluptates, & monasteriorum ædificationes insumptam, partim sine delectu ac pro libidine sua condonatam: tam imperatorij thesauri exhausti fuerũt, ꝗ ærarium pecunia uacuũ. Id uitiũ correcturus, emendationẽ non pedetentim est aggressus, sed ut in statere se incidi iussit, erecta manu strictum ensem sustinentẽ. ita etiã in negocia se ingessit, statim ad secandos tumores paratus, nõ adhibitis medicamentis, quæ exulceratas partes mollirẽt ac fouerent. Itaꝗ ex quo tyrannidẽ cum legitimo imperio cõmutauit, decessoris sui acta sine discrimine abrogauit: si quid ille cuiquam largitus fuerat, id eripiebat: sed & superiorũ Imperatorũ multa acta euertit, & abrogauit, neꝗ id in uulgi duntaxat fraudẽ, sed ne senatui quidẽ pepercit. Deniꝗ progressu temporis numẽ etiã uiolare ausus, multa monasterijs consecrata truncauit: ac potius eos, qui ibi exercebãtur, coactorib⁹ subiecit, sumptibus necessarijs duntaxat illis relictis, cæteris uerò fisco attributis. Dũ igitur indies hoc modo aliud ex alio nouat: omnium in se odia suscepit, tam patrũ conscriptorũ quàm plebis atꝗ etiã militũ, quib⁹ nec ipsis pepercit, quo minus opes eorũ imminueret. præ cæteris autẽ omnib⁹ eorũ q in locis sacris ætatẽ exigũt. Verũ nihil illũ ab instituto deduxit, non oratio, nõ metus, nõ odiũ, nõ reprehẽsio: adeò sustulerat animos atꝗ intumuerat. Neꝗ uerò Patriarcha superbia illi cedebat, sed imperare

Michaelis obitus.

Comneni arrogãtia, gratitudo, rapacitas.

Patriarchæ relegatio.

illi uolebat, ac si quando non impetrasset ea quae petierat, aegrè ferebat, increpabat: denique minabatur, quemadmodum imperiū illi contulisset, ita se idem illi erepturum. Quae cum talis Imperator ferre aequo animo haud utiq; posset, prouidit, ut malum daret potius quàm ferret. Cum igitur Patriarcha in suum monasterium, ad festiuitatem coelestium copiarum, quae ibi colebantur, splendidius celebrandam iturus esset: missa illuc cohorte militum (nec enim eum ex Ecclesia urbi diuini sapientiae auellere uoluit, ne uel cleri uel populi motus oriretur) & ipsum & nepotes eius relegat. Deinde de abrogando illi patriarchatu cogitans, opera quorundam primariorum sacerdotum utitur, & pselli uariarum & absurdarum criminationū coaceruatoris, quas in oratione contra illum scripta cōgessit, & per quosdā uiro significat, ut simulet, se ultrò pōtificatu cedere, quē alioqui inuit' cū publica infamia sit amissurus. Vt autē ille refragabatur, Imperatoris de eius exauctoratione sollicitudinē mors sustulit. Neq; enim multò pòst summi pastoris obitus à quodā est ei nūciat'. Qui cū se laetū illi afferre nunciū & curas adēpturū putaret: ille statim mutata sentētia eiulauit, eiusq; cadauer cū honorifico comitatu ab exilio reuocatū in monasterio ab illo cōdito reposuit, nepotib' ei' pristina dignitate restituta. In Ecclesia uerò Cōstantinū Lichudē Praesidem & protouestiarium constituit, uirum longo tēpore in administrationibus rerum communium cum laude uersatū, spectataeq; fidei, cui Monomachus etiā Manganorū oeconomia cōmissa, tabulas de illorū immunitate cōmiserat: quas cū sibi uendicare Comnenus conaretur: cōmentū improbitatis plenum excogitat, ac planè partū quendā diabolicae mentis edit. Nam cū Lichudes per suffragia designatus ac sacerdos iam creatus esset, arcanò eum monet, dici quaedā de eo, quibus operari sacris prohibeatur: quae nisi pro cōcilio dicātur & refutētur, nō posse eū pōtificatus unctionē adipisci. Verū si Manganorū sibi iura traderet, se cōniuere uelle ad criminationes illas, neq; impedimento fore quò minus ungatur. Lichudes, qui uideret, nō licere sibi ad pristinā cōditionē redire, sic uerò manere, turpe esse propere allatis ijs quae petebātur, nemine obstāte, pontificio ritu initiatur. Posthaec Cōnenus expeditione cōtra Hūgaros & Scythas, q Pazinacae dicūtur, suscepta. Hūgaris petētib' pacē cōcessit, Scythas uerò aggressuro, caeteri quidē cessere, pacē & ipsi amplexi (neq; eñ eidē omnes duci parebāt) unus uerò eorū Selces, caeteris audacior, cū parte quadā Romanorū copiarū cōgressus, uincitur, & multis suorū amissis, aufugit. Imperator autem castris inde motis, sub finem mēsis Septembris, Lobizū cōcessit: ubi uehemēti imbri & niue intēpestiua & maxima, plerique equi

Constantinus Lichudes Patriarcha.

Expeditio Hungarica & Scythica.

ἀπηγορευμένως, αὐτὸς καὶ ἀφελέσθαι ταύτην αὖθις ἠπείλει. ταῦτα οὐκ ἦν οἴσειν τὸν βασιλέα ἐκεῖνον ἀδεῶς. διὸ καὶ δρᾶσαι πρὶν τι παθεῖν προεβουλεύσατο. τοῦ γοῦν πατριάρχου εἰς τὴν ἐκείνου ἀπελθόντος μονὴν, ὡς τῆς πανηγύρεως ἐφεστώσης τῶν ἐν αὐτῇ τιμωμένων οὐρανίων δυνάμεων, ἵν᾽ ἑορτάσῃ λαμπρότερον. πέμψας ἐκεῖ χεῖρα στρατιωτικὴν ὁ κρατῶν (οὐ γὰρ ἤθελεν ἐκ τῆς τοῦ θεοῦ λόγου σοφίας τὸν ἄνδρα καταγαγεῖν, ἵνα μὴ παρὰ τοῦ κλήρου, ἢ καὶ τοῦ δήμου θόρυβος γένηται) ἐκεῖνόν τε καὶ τοὺς ἀνεψιοὺς συνόντας αὐτῷ ὑπερορίους ποιεῖ. εἶτα καὶ καθαιρέσει ὑποβαλεῖν αὐτὸν διὰ φροντίδος ἐτίθετο, καί τισι τῶν ἀρχιερέων συμφρονεῖ πρὸς τοῦτο ἐγχειρῶν, καὶ τῷ ψελλῷ αἰτιαμάτων πολλῶν καὶ ἀλλοκότων συναγωγεῖ, ἃ ἐν τῷ κατ᾽ ἐκείνου λόγῳ συνήθροισέ τε καὶ συνεγράψατο, δηλοῖ τε διά τινων τῷ ἀνδρὶ, ἀπαιτεῖσθαι τὴν ποιμαντικὴν, ἵν᾽ ἑκὼν αὐτὴν δοκῇ παραιτεῖσθαι, ὡς εἰ μὴ τοῦτο, καὶ ἄκων αὐτὴν ἀφαιρεθήσεται, εἰς μέσον κατ᾽ αὐτοῦ προτιθεμένων αἰτιαμάτων. ὡς δ᾽ ἐκεῖνος οὐκ ἦν ὑπείκων τῷ τοῦ βασιλέως θελήματι, φροντὶς ἦν τῷ κρατοῦντι περὶ τῆς αὐτοῦ καθαιρέσεως. ἀλλ᾽ ἔφθη λύσας τὴν φροντίδα τοῦ πατριάρχου ὁ θάνατος. μετ᾽ ὀλίγον γὰρ μεθίσταται τῶν ἐνθένδε ὁ πατριάρχης, καί τις τῷ κομνηνῷ τὴν ἐκείνου εὐηγγελίσατο τελευτὴν, ὡς φροντίδων αὐτὸν ἀπαλλάξουσαν. ὁ δ᾽ εὐθὺς μετεγνώκει καὶ ἀνωλόλυξε, καὶ τὸν ἐκείνου νεκρὸν μετ᾽ ἐντίμου τῆς προπομπῆς ἐκ τῆς ὑπερορίας ἀναγαγὼν, εἰς τὴν αὐτοῦ μονὴν ἐνεθέτο, καὶ τοὺς ἐκείνου ἀδελφιδοῦς αὖθις ἀποκατέστησεν εἰς τὰς προτέρας τιμάς. τῇ δ᾽ ἐκκλησίᾳ τὸν πρόεδρον καὶ πρωτοβεστιάριον κωνσταντῖνον, τὸν λειχούδην ἀντικατέστησεν, ἄνδρα ταῖς τῶν κοινῶν πραγμάτων ἐπὶ μακρὸν ἐμπρέψαντα διοικήσεσι, καὶ ἀνέγκλητον διαμείναντα, ᾧπερ ὁ μονομάχος καὶ τὴν τῶν μαγγάνων ἀνέθετο πρόνοιαν, καὶ τὰ περὶ τῆς ἐλευθερίας αὐτῶν ἐνεπίστευσεν ἔγγραφα. ἅπερ ὑφ᾽ ἑαυτὸν ὁ κομνηνὸς ἐθέλων ποιήσασθαι, σκέμμα τι μηχανᾶται πονηρίας ἀνάμεστον, καὶ τόκον νοὸς κακοδαίμονος. ἐπεὶ γὰρ ὁ λειχούδης ἐψήφιστό τε καὶ προκεχείριστο, καὶ ἱερεὺς ἤδη κεχειροτόνητο, δι᾽ ἀπορρήτων αὐτῷ μηνύει, λέγεσθαί τινα κατ᾽ αὐτοῦ, ἀπείργοντα τοῦ ἱερᾶσθαι αὐτόν. καὶ εἰ μὴ ταῦτα λαληθεῖεν καὶ λυθεῖεν συνοδικῶς, μὴ οἷόν τε εἶναι τοῦ χρίσματος αὐτὸν τῆς ἀρχιερωσύνης τυχεῖν. εἰ δὲ δοίης μοι, ἔφη, τῶν μαγγάνων τὰ δικαιώματα, παραβλέψομαι τὰ λεγόμενα, καὶ παραχωρήσω χειροτονηθῆναί σε. συνιδὼν οὖν ὁ λειχούδης, ὡς οὐκέτι αὐτῷ εἰς τὴν προτέραν ἐπανελθεῖν κατάστασιν ἔξεστιν, οὕτω δὲ μένειν δι᾽ αἰσχύνης ποιούμενος, φέρων δίδωσι τὰ αἰτούμενα, καὶ οὕτω παραχωρεῖται τελεσθῆναι τὴν ἀρχιερατικὴν τελετήν. ὁ δὲ κομνηνὸς κατὰ τῶν οὔγγρων καὶ τῶν σκυθῶν, οἳ πατζινάκαι λέγονται, ἐκστρατεύσας, τοῖς μὲν οὔγγροις εἰρήνην αἰτησαμένοις ἐσπείσατο. κατὰ δὲ τῶν σκυθῶν ὁρμήσαντι, οἱ μὲν ἄλλοι ὑπεῖξαν καὶ εἰρήνευσαν (οὐ γὰρ ὑφ᾽ ἕνα πάντες ἡγεμόνα ἐτέλουν) εἷς δ᾽ αὐτῶν ὁ σελτὴ θρασυνθεὶς, καὶ μοίρᾳ τινὶ τῶν ῥωμαϊκῶν δυνάμεων συμβαλὼν, ἥττητο, καὶ τὸ πολὺ τῶν οἰκείων ἀποβαλὼν, μετὰ τῶν περιλειφθέντων ἀπέδρα. ἀναζεύξας δ᾽ ἐκεῖθεν ὁ βασιλεὺς, ηὐλίσατο ἐν τῷ λοβιτζῷ, ἤδη τοῦ τέλους ὄντος ἐγγὺς τοῦ σεπτεμβρίου μηνός. ὄμβρου δὲ ῥαγδαίου καταρραγέντος, καὶ χιόνος πεσούσης πρὸ ὥρας πολλῆς, τῶν ἵπ-

Ἐξορία τοῦ πατριάρχου μιχαήλ.

Θάνατος τοῦ πατριάρχου ἐν τῇ ἐξορίᾳ.

Περὶ τοῦ λαβεῖν τὰ δικαιώματα τῆς ἐλευθερίας τῶν μαγγάνων ἐθέλειν ὁ κομνηνὸς ἐκ τοῦ λειχούδη.

Ἡ στρατεία κατὰ τῶν οὔγγρων καὶ σκυθῶν.

τῶν ἵππων τὸ πλεῖον διέφθαρτο, καὶ στρατιῶται πολλοὶ τῷ ψύχει ἐκινδυνεύκασι. καὶ ποταμοὶ δ' ὑπερχειλεῖς γεγονότες καὶ πελαγίσαντες τὰ ἐπιτήδεια σφῶν ἀθρόον περίσχον, ὡς καὶ τῷ στρατιωτικῷ καὶ τοῖς ὑποζυγίοις αὐτοῦ τὰ ἀναγκαῖα ἐπιλιπεῖν. ἐπεὶ τοῦ ὕοντός τε, καὶ τοῦ νιφετοῦ ἐπὶ μικρὸν παυθέντος, τῆς βασιλείου σκηνῆς προῆλθεν ὁ βασιλεὺς, καὶ ὑπὸ δρυῒ ἔστη παμμεγέθει, ἐκεῖ που ἑστώσῃ, καί τινες τῶν ἐν ὑπεροχαῖς αὐτῷ παρεῖσαν. βοῆς δ' ἐν τῷ τόπῳ συμβάσης, μετέστησαν τῆς δρυὸς ὁ βασιλεύς τε καὶ οἱ περὶ αὐτὸν, ἡ δ' αὐτίκα ῥιζόθεν ἐκσπασθεῖσα κατέπεσεν. ὁ δ' αὐτοκράτωρ ἐπανελθὼν ἐς τὴν μεγάλην πόλιν, καὶ ἀποτιννὺς ὑπὲρ τῆς σωτηρίας ταύτης τῷ θεῷ χαριστήρια, νεὼν ἐντὸς τῶν βασιλείων ἐγείρει τῇ πρωτομάρτυρι ἁγίᾳ Θέκλᾳ. κατὰ τὴν ἡμέραν γὰρ, ἐν ᾗ τελεῖται ἡ μνήμη ταύτης, τὸν ἐκ τῆς δρυὸς διέφυγε κίνδυνον, ναὸν δὲ πολλὴν κατηγοροῦντα τῆς ἐκείνου περιφανείας μικροπρέπειαν, ὃν ὁ ἐκείνου ἀνεψιὸς ὁ αὐτοκράτωρ Ἰωάννης ὁ τοῦ Ἀλεξίου υἱὸς, σφόδρα μεγαλοπρεπῶς ἀνῳκοδόμησεν ἐς ὄνομα τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἀλλ' ἀφηγητέον καὶ ὅπως τὴν βασιλείαν ἀπέθετο ὁ Ἰσαάκιος, εἰ καὶ μὴ συμφωνοῦσιν οἱ συγγραφεῖς περὶ τούτου. ὁ μὲν γὰρ πολὺς τὴν γλῶτταν ὁ σοφώτατος Ψελλὸς, ἐν θήραις ἐκεῖνον λέγει τὸν βασιλέα σχολάζοντα, καὶ συχνάκις τὴν δεξιὰν λογχοφόρον ἐπ' ἄρκτους καὶ σύας ἐπανατείνοντα, βλαβῆναι πνεύματι ψυχρῷ τὴν πλευρὰν, κἀντεῦθεν φρίκην ἐπισυμβῆναι αὐτῷ, καὶ πυρετὸν ἐκ τοῦ βάθους ἀναφλεγῆναι. εἰς δὲ τὴν ὑστεραίαν ὀδυνᾶσθαι τὴν πλευρὰν, καὶ τὸ ἆσθμα μὴ ἐρρῶσθαι αὐτῷ, κἀντεῦθεν ἀμφισβητήσιμον γενόμενον εἰ βιώσεται, ἢ καὶ ἀπεγνωκότα τέλεον τὴν ζωὴν, καὶ τὸν Δούκαν Κωνσταντῖνον τῇ βασιλείᾳ ἐγκαταστήσαντα, πρὸς τὴν κρείττω μεταταξάσθαι βιοτήν. ὁ δέ γε Θρᾳκήσιος, θηρεύοντα λέγει τὸν βασιλέα τοῦτον ἰσόγυνον περὶ τὴν Νεάπολιν, σῦν δ' ἐπιφανῆναι ποθὲν, τὴν θέαν φρικτὸν, καὶ τὸν βασιλέα ἐνδεδωκότα τῷ ἵππῳ τὸν χαλινὸν, διώκειν τὸν σῦν, τὸν δὲ εἰσδῦναι τὴν θάλασσαν, γενέσθαι τε ἀφανῆ, ὃν οὐ σῦν οἱ πολλοὶ, φάντασμα δέ τι δαιμόνιον ὑπειλήφασιν. ἐν τοσούτῳ δὲ ὡς δὴ ἀστραπῆς ἐνσκῆψαι λαμπηδόνα τῷ βασιλεῖ, καὶ τῇ ταύτης βολῇ διαταραχθέντα τὸν αὐτοκράτορα, τοῦ ἵππου τε ἐκπεσεῖν, καὶ κεῖσθαι παρὰ τῇ γῇ ἀφρὸν τοῦ στόματος ἐκπτύοντα, καὶ μηδὲν τῶν κατ' αὐτὸν αἰσθανόμενον, ἁκατίῳ δ' ἐκεῖθεν ἐμβιβασθέντα, κομισθῆναι ἐς τὰ βασίλεια, καὶ νοσήσαντα τι βραχὺ, εἶτα δὴ καὶ ἀπογνωσθέντα, κείρασθαί τε τὴν τρίχα, καὶ ἀντὶ τῆς πορφύρας τραχὺ τριβώνιον ἀμφιέσασθαι, τὸν Δούκαν Κωνσταντῖνον βασιλέα προχειρισάμενον, καὶ οὕτω τῇ τοῦ Στουδίου προσορμίσαι μονῇ, κἀκεῖ τὸ λοιπὸν καταβιῶναι τῆς βιοτῆς ἀναρρωσθέντα ἐκ τοῦ νοσήματος. ἐβασίλευσε δὲ δύο ἐνιαυτοὺς καὶ μῆνας τρεῖς, δραστήριος ὢν, καὶ τὸ ἦθος σοβαρὸν ἐνδεικνύμενος, πρὸς πράξεις ὀξύτατος, στρατηγικώτατος τὰ πολέμια. λόγοις μὲν οὐχ ὡμιληκὼς, προσέχων δ' αὐτοῖς, καὶ τοὺς τούτων προτιμῶν ἀποδεχόμενος, σώφρων τε τὰ πρὸς ἡδονήν. λέγεταί γάρ ποτε νοσῆσαι τῆς οἰκίας ἀποδημῶν, καὶ παρὰ τῶν ἰατρῶν γυναικὶ μιγῆναι πρὸς θεραπείαν τῆς νόσου προτρέπεσθαι. τὸν δὲ μὴ ἀνασχέσθαι ἑτέρᾳ πλησιάσαι παρὰ τὴν σύνοικον. αἰτιώμενος δὲ, ὅτι τυραννίδι ἐπικεχείρηκεν, ἔλεγε, τῷ συνδούλῳ δουλεύειν, καὶ τῶν ἀξίων μὴ τυγχάνειν.

Ἴσως τὴν ἐκ τῆς δρυὸς αἰφνιδίως ἐξέφυγεν ὁ βασιλεὺς πεσούσης περὶ αὐτόν.

Ἴσως τὴν βασιλείαν ἀπέθετο ὁ Κομνηνὸς καὶ ἐμόνασεν ὑπὸ ἀρχιερέως βασιλέως.

Οἷον ἦν τὸ ἦθος ὁ Κομνηνός.

equi perierunt, multique milites ex frigore sunt periclitati, cumque flumina exundãtia & stagnantia commeatum subitò intercepissent, & homines & iumenta rerum necessariarũ penuria laborarunt. Caeterum pluuia & niue paulisper sedata, Imperator tabernaculo egressus sub magnam quandam quercum in proximo concessit, circumstantibus proceerum quibusdam. Orto autem in eo loco fragore, & ipse & sui inde discesserunt, atque arbor statim radicitus euulsa concidit. Reuersus igitur in magnam urbem, ad grates ob salutem acceptam Deo persoluendas, intra Regiam D. Theclę Protomartyris ędem ille quidem condidit, quòd eo die, quo illius memoria celebratur, quercus illud periculum effugerat, sed talem, quae magnam eius animi pusillitatem arguat: quam eius sobrinus Imperator Ioannes, Alexij filius, magnificentissimè instaurauit, nomine seruatoris nostri Iesu Christi. Nunc illud dicendum est, quemadmodum Isaacius hic imperiũ deposuerit, etsi scriptores in eo non consentiunt. Nam eruditissimus Psellus, homo uerbosus, narrat, cum uenationibus deditum, cum hasta saepe & ursos & apros feriret: * frigido uento ictum esse latus, atque inde febrim ex imo coortã efferbuisse. Postridie cum lateris doloribus urgeretur, & spiritum aegrè traheret, dubia spe uitae, ac potius planè desperata uita, Constantino Ducae imperio tradito, uitae melioris institutum amplexum esse. Thracesius autem refert, circa Neapolim uenanti uisum esse aprum horrendum aspectu, quem dum laxatis equo habenis persequeretur, in mare demersum euanuisse, & a plerisque non aprum, sed spectrum quoddam diabolicum esse iudicatum: atque interim in fulgore quodam instar fulguris perstrictum Imperatorem, equo prę terrore excussum, & spumam ore reijcientẽ, humi attonitum iacuisse, atque inde naui piscatoria in Regiam reuectum, cum paulisper aegrotasset, iam deploratum, raso capillo & purpurae loco aspera lacerna sumpta, atque Constantino Duca Imperatore designato, in Studiense monasterium se contulisse, ubi recuperata etiam ualetudine, uitae reliquum exegerit. Regnauit biennium & tres menses, homo strenuus, ingenio arroganti, in rebus gerendis celerrimus, rei bellicae peritissimus. In literis non quidem uersatus, sed literarum studiosus & doctorum amans: in coniugio adeò castus, ut cum peregrè in morbum incidisset, & a medicis moneretur, ut cõsuetudine mulieris morbum leuaret, cum ulla praeter uxorem suam, rem habere recusarit. Cum ei regni affectatio obijceretur, respondit, Se pati non potuisse conserui Imperium, à quo iusta sibi praemia negarentur.

Quercus ruina.

Isaacius Comnenus quibus de causis imperiũ deposuerit.

Elogia Constantini.

Imperium

IMPERIVM CONSTANTINI Ducæ.

Ducæ liberalitas.

CONSTANTINUS Duca præses, Imperio citra laborem, ut dictum est, potitus, multos senatorij ordinis & plebeiæ conditionis ad altiores dignitatis gradus euexit: atque illos etiam, quos Comnenus honoribus spoliarat, qui multi fuerunt, in integrum restituit. Sed parum abfuit, quin per insidias submergeretur. Nam cum in Manganico palatio ageret, coniurati ratione inita, si ei tumultus in foro urbis nunciaretur, statim mari in magnam Regiam transiturum: curarant, ut Imperatoria triremis, illiusque gubernatores, qui Protocarabi uulgò appellantur, & in coniurationis societatem asciti erant, abessent. Imperator audito tumultu, rectà in Regiam abeundum esse censuit. Sed cum Imperatoria triremis ibi non inueniretur, proximum lembum conscendit. Inter nauigandum uerò, etiam nauis Imperatoria apparuit, quæ frequenti remigio & uehementi impetu fluctus secans, à gubernatoribus rectà ad lembum dirigebatur, eo cõsilio, ut illo suppresso Imperator demergeretur. Iis uerò qui cum eo uehebatur, exclamantibus, & confidentius uociferantibus, ut inhibitis remis gubernacula conuerterent: gubernatores uelut attoniti, Deo ita uolente, paruerunt. Sic periculo euitato, quo pacto & à quibus paratæ essent insidiæ cognouit, ac sontes bonis duntaxat ademptis, ultus est.

Submersionis periculũ per insidias instructum.

Ducæ genus.

Etsi autem ex ueterum Ducarum Andronici Pantherij & Constantini familia se ortum esse gloriabatur, tamen eam familiam cum Constantinus (ut suprà dictum est) regnũ affectasset, Constantino Porphyrogenito Imperatoris Leonis Philosophi filio regnante, & ob immaturam ætatem adhuc sub tutoribus agente, funditus euersam esse constat, nullo mare relicto. Huius igitur maiores, ut fertur, à fœmina quadam originem duxerunt. Vnde non germanus Duca censebatur, sed promiscuus, cognatione illa uelut adulterata. Itaque à plerisque non Duca, sed Duciza per diminutionem uocabatur.

Ducæ elogia.

Cæterũ uir pius fuit erga Deum, moribus commodis, iustitiæ amans, sed ingenio tardo & hebeti: & ut ijs delectabatur, quorum spectata erat integritas, sic pecuniam supra modum amabat, & rationes excogitabat, quibus multos thesauros coaceruaret. Quamobrẽ duabus rebus magnum impendit studium, quarum una erat, ut publica uectigalia augeret, eaque de causa curias, rationibus quæstorijs destinatas, quibusuis uendebat, & uectigalium collectionem publicanis cum pacto auctarij credebat: altera, ut controuersias audiret, & decreta scriberet. Verùm in iure dicendo non semper præscripta Legum obseruabat, sed alicubi etiam ei erat, ut ille ait, pro ratione uoluntas,

ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΔΟΥΚΑ.

Προβέβλητο δὲ Κωνσταντῖνος ὁ Δούκας τῆς βασιλείας τυχὼν ἀπραγμόνως, ὡς εἴρηται, πολλοὺς τῶν τε τῆς συγκλήτου βουλῆς καὶ τοῦ δημώδους πλήθους εἰς μείζονας ἀξιωμάτων βαθμοὺς προεβίβασε. καὶ ὅσους δ' ὁ Κομνηνὸς ἀφῄρητο τῆς οἰκείας τιμῆς (πολλοὶ δ' ἦσαν καὶ οὗτοι) εἰς ταύτας αὖθις αὐτὸς ἐκείνους ἀποκατέστησεν. ἐπιβουλῆς δὲ κατ' αὐτοῦ συσκευασθείσης, μικροῦ δεῖν ἐγένετο ἂν ὑποβρύχιος. ἦν μὲν γὰρ ἐν τοῖς βασιλείοις τῶν Μαγγάνων, ἐσκέψαντο δὲ οἱ συνομωμοσμένοι, ὡς εἰ θόρυβος ἐν τῇ τῆς πόλεως γεγονὼς ἀγγελθείη αὐτῷ ἀγορᾷ, αὐτίκα διὰ τῆς θαλάσσης ἐκεῖνος ἀπελεύσεται πρὸς τὸ μέγα ἀνάκτορον. προῳκονόμητο δ' αὐτοῖς, μὴ εἶναι τὴν βασιλικὴν τριήρη ἐκεῖ, καὶ τοὺς ἐκείνης οἰακοστρόφους, οὓς πρωτοκαράβους ἡ δημώδης λέγει φωνή, τῆς συνωμοσίας μετέχειν συνεδεδάσαντο. ὁ μὲν οὖν βασιλεὺς ὡς τὸν θόρυβον ἠκηκόει, ἀπιέναι δεῖν ἔκρινε τῶν ἀνακτόρων εὐθύ. ἐπεὶ δ' οὐχ εὕρητο ἡ βασιλικὴ τριήρης ἐκεῖ, ὡς τὸ τυχὸν ἐμβεβήκει ἀκάτιον, ἀπιόντος δὲ, ἀνεφάνη καὶ ἡ ναῦς ἡ βασίλειος, καὶ εἰρεσίᾳ πολλῇ σὺν ῥύμῃ σφοδρᾷ τὸ ῥόθιον τέμνουσα, πρὸς τὸ πλοιάριον, ὅπερ ὁ βασιλεὺς ἐμβεβήκει, πρὸς τῶν οἰακούχων ἰθύνετο. ἦν δ' αὐτοῖς τὸ βουλόμενον, ἐπιβιβάσαι τὴν τριήρη τῷ πλοιαρίῳ, ἵν' αὐτὸ καταδύσῃ καὶ σὺν τῷ βασιλεῖ ποιήσηται ὑποβρύχιον. ὡς δ' εἶδον τὴν τῆς τριήρους ἐπιφορὰν οἱ τῷ κρατοῦντι συμπλέοντες, ἀνέκραξάν τε καὶ ἐπὶ χεῖρ θρασύτερον ἐξεβόησαν, καὶ μεταστρέψαι τοὺς οἴακας. ταῖς οὖν ἐκείνων βοαῖς ὥσπερ ἐμβροντηθέντες οἱ ἐπὶ τῶν οἰάκων (θείας δ' ἦν τὸ ξύμπαν προμηθείας) ἀπεδειλίασαν. καὶ οὕτω τὸν κίνδυνον ὁ βασιλεὺς ἐκφυγὼν, ὅπως τε καὶ παρ' ὧν ἡ ἐπιβουλὴ συνεσκευάσατο, ἔγνω, καὶ τοὺς αἰτίους ἠμύνατο στερήσει μόνῃ τῶν ὄντων. οὗτος ὁ βασιλεὺς ηὔχει μὲν, ὡς ἐπὶ προγόνοις τοῖς πάλαι τῇ τῶν Δουκῶν κεκλημένοις ἐπωνυμίᾳ τῷ Ἀνδρονίκῳ δηλαδὴ καὶ τῷ Πανθηρίῳ, καὶ ἐπὶ τούτοις τῷ Κωνσταντίνῳ. ἀλλὰ τοῦ γένους ἐκείνων πάλαι πανοικὶ ἐξολοθρευθέντος, ὅτι ὁ Κωνσταντῖνος τυραννίδι ἐπικεχείρηκεν (ὡς ἔμπροσθεν εἴρηται) τοῦ πορφυρογεννήτου Κωνσταντίνου τοῦ παιδὸς τοῦ ἄνακτος Λέοντος τοῦ φιλοσόφου φημὶ βασιλεύοντος, καὶ ὑπὸ ἐπιτρόποις τελοῦντος ἔτι διὰ τὴν νεότητα, καὶ μηδενὸς ἄρρενος περιλειφθέντος. ἐκ θηλείας τινὸς, ὡς λόγος, οἱ τούτου κατήγοντο πρόγονοι, ὅθεν οὐδὲ Δούκας λελόγιστο καθαρὸς, ἀλλ' ἐπίμικτος, καὶ κιβδηλευομένην ἔχων τὴν πρὸς τοὺς Δούκας συγγένειαν. διὸ καὶ τοῖς πλείοσιν οὐ Δούκας, Δουκίτζης δ' ὑποκοριζόμενος ἐπωνόμαστο. ἦν δὲ οὗτος τὰ πρὸς Θεὸν εὐσεβὴς, τὸ ἦθος ἐπιεικὴς, δικαιοσύνης ἐραστὴς, τὴν γνώμην δὲ νωθρὸς καὶ ἀμβλὺς, χαίρων τοῖς ἐπὶ βίου μαρτυρουμένοις σεμνότητι, ἐκτόπως δ' ἐρῶν χρημάτων καὶ πόρους ἐπινοῶν, ὅπως αὐτῷ γένοιντο πολλοὶ θησαυροί. ὅθεν καὶ πρὸ πάντων εἰς δύο ταῦτα κατέτεινε τὴν σπουδὴν, ἐς τε τὴν τῶν δημοσίων φόρων ἐπαύξησιν, διὸ καὶ τὰ ἀρχεῖα, τὰ τοὺς φορολόγους λογοπραγοῦντα, ὤνια παρεῖχε τοῖς βουλομένοις, καὶ τελώναις τὴν συλλογὴν τῶν φόρων ἐπὶ συνθήκαις προσθηκῶν ἐνεπίστευε. πρῶτον μὲν οὖν τοῦτ' ἐκείνῳ ἦν σπούδασμα. δεύτερον δὲ δικῶν ἀκρόασις καὶ ψηφίσματα. οὐ πάνυ δὲ τῇ ἀκριβείᾳ προσεῖχε δικάζων, ἀλλ' φιλονεικοῦ καὶ φιλονεικοῦντα, καὶ τὰς ψήφους ἐξήλλαττε, πρὸς

ἐπιβουλὴ κατὰ τοῦ βασιλέως, καὶ ἐκ ταύτης διαφυγή.

οἷος ἦν ὁ Δούκας τὸν τρόπον.

πρὸς τὰ πρόσωπα τὰς ἐκφωνήσεις τιθέμενος. γλίσχρος δὲ τυγχάνων καὶ φειδωλὸς, ἔθετο παρ' ἑαυτῷ, μὴ μάχαις πρὸς τὰ ἔθνη συῤῥήγνυσθαι, ἀλλὰ δώροις καὶ φιλοφροσύναις ἄλλαις αὐτὰ εἰκοῦσθαι, καὶ καταλλάττειν τῇ ῥωμαίων ἀρχῇ. δύο ἐντεῦθεν ποιοῦντα μνώμενος ἑαυτῷ, τό τε μὴ πλείω δαπανᾶν ἐν ἐκστρατείαις, καὶ τὸ αὐτὸς ἠρεμεῖν, καὶ σχολάζειν ὡς ἐπίπαν τῶν χρημάτων τῇ συλλογῇ, διὸ καὶ τῶν στρατιωτικῶν καταλόγων ἠμέλησεν, ἢ μᾶλλον πολλοὺς καὶ τοὺς γενναιοτέρους τῶν ἐκ γραφῶν ἐπύλεσε διὰ τὸ βαρύμισθον. ὥστε συμβαίνειν θρασύνεσθαι μὲν τὸ βαρβαρικὸν, συστέλλεσθαι δὲ καὶ κατασπουδάζεσθαι τὰ τῶν ῥωμαίων στρατεύματα, καὶ μειοῦσθαι τὴν ἡγεμονίαν τὴν ῥωμαϊκήν. πολλαὶ γὰρ τότε τῶν ἑῴων χωρῶν αἱ μὲν ἐληΐζοντο καὶ εἰς ἀφανισμὸν προὐχώρουν, αἱ δὲ καὶ ὑπὸ τοὺς πολεμίους ἐγίνοντο. καὶ τὰ μὲν πρὸς ἀνίσχοντα ἥλιον οὕτως εἶχεν κακῶς, τὰ δ' ἑσπέρια καὶ τοῦτα κακῶς ἐπεπράχει, δι' ἐν στρατιωτῶν καὶ σπάνιν καὶ ἀχρειότητα. τὸ γὰρ τῶν οὔζων ἔθνους (σκύθαι καὶ τοῦτο εἰσὶ τῶν πατζινάκων, καὶ κατὰ γένους ὑπεροχὴν καὶ κατὰ πλῆθος ὑπερβαλὴν παρὰ τοῖς σκυθικοῖς προτιμώμενον ἔθνεσι) τὸν ἴστρον πανοικὶ διαβαίνοντος, ἐπεράθησαν μὲν οἱ τῶν παριστρίων πόλεων ἄρχοντες (ἦσαν δ' οὗτοι ὁ μάγιστρος νικηφόρος ὁ βοτανειάτης, καὶ ὁ μάγιστρος βασίλειος ὁ ἀποκάπης) ἀπεῖρξαι αὐτοῖς τὴν διάβασιν, οὐ μόνοι γε ἀπωσθείησαν, ἀλλὰ συμμίξαι τοῖς τὸ βάρβαρον, τὴν τε σωθεῖσαν αὐτοῖς κατηγωνίσαντο στρατιὰν, καὶ τοὺς ἄρχοντας αὐτοὺς καὶ ἄμφω δορυαλώτους ἀπήγαγον, καὶ διαβάντες τὸν δάνουβιν, τὴν περὶ αὐτὸν χώραν ἐπλήρωσαν ἅπασαν. ἦσαν γὰρ, ὡς ὁ λόγος, ὑπὲρ ἑξήκοντα χιλιάδες, οἱ αἴρειν ὅπλα δυνάμενοι. ὅθεν ὁρμώμενοι τήν τε μακεδονίαν ἐληΐζοντο, καὶ μέχρις ἑλλάδος προῄεσαν. ταῦτα ἀθυμίαν ἐνεποίει τῷ βασιλεῖ, συλλέξαι δὲ δυνάμεις ὤκνει καὶ ἀνεβάλλετο, ἵνα μὴ προήσηται ὀβολόν. ἐκεῖνος δ' ἔλεγεν, ὅτι ἀκαταγώνιστον τὸ ἔθνος εἶη. πρέσβεις δὲ πρὸς τοὺς αὐτῶν ἡγεμονεύοντας μετὰ δώρων ἐκπέμψας, ἐπειρᾶτο τούτοις πεῖσαι τὸν βάρβαρον ἀναχωρεῖν. πάντων δὲ ἀναφανδὸν λοιδορουμένων τὸν βασιλεῖ, ὡς διὰ φειδωλίαν μὴ ἐπὶ τῶν βαρβάρων ἐπεξιόντι, τῆς μὲν πόλεως ἐξελήλυθε, περὶ δὲ χοιροβάκχους ἐσκήνωσεν, οὐ πλείους, ὡς λέγεται, στρατιώτας τῶν ἑκατὸν πεντήκοντα μεθ' ἑαυτοῦ ἐπαγόμενος. φροντίζων δὲ περὶ στρατεύματος συλλογῆς, ἐν τούτοις δ' ἠγγέλη αὐτῷ ἡ τοῦ ἔθνους καταστροφή. ἐνσκήψαντος γὰρ ἐκείνοις λοιμοῦ καὶ κακωθέντι σφοδρῶς ἐξ αὐτοῦ, οἵ τε πατζινάκαι καὶ οἱ προσοικοῦντες βούλγαροι ἐπιθέμενοι ἐπέθεντο, καὶ ἄρδην αὐτὸ διεφθάρκασι, μόλις τῶν ἡγεμόνων μετ' ὀλίγων δυνηθέντων διαβῆναι τὸν ἴστρον. ἦν δὲ τὸ σύμπαν τοῦ στρατηγήματος τῆς θείας δυνάμεως. ἀπεγνωκὼς γὰρ ὁ βασιλεὺς παντοχόθεν, πρὸς τὸ θεῖον κατέφυγε δακρύων, καὶ συντριβῇ καρδίας τοῦτο δεόμενος, καὶ τὴν ἐκεῖθεν ἐκκαλούμενος ἀρωγήν. ταῦτα δ' ἐν τῷ ἕκτῳ ἔτει τῆς βασιλείας ἐπράχθη τούτου τοῦ αὐτοκράτορος. πρὸ δὲ τούτου σεισμὸς ἐγένετο μέγας κατὰ τὴν εἰκοστὴν τρίτην τοῦ σεπτεμβρίου μηνός, ὑφ' οὗ καὶ ναοὶ καὶ οἰκίαι πολλαχοῦ κατέπεσαν. ὅτε καὶ τὸ κατὰ κύζικον ἑλληνικὸν κατέπεσε τέμενος, ἔργον κάλλιστόν τε καὶ θαύματος ἄξιον, καὶ ὁ ἐν νικαίᾳ τῶν ἁγίων πατέρων μέγιστός τε καὶ περιώνυμος κατασείσθη ναός. κατὰ δὲ τὸν μάιον μῆνα τῆς τετάρτης ἰνδικτιῶνος, κομήτης ὤφθη ἀστὴρ κατὰ τὸ περὶ τὸν ἥλιον πρὸς δύσιν ἰόντα. ἦν δὲ πρότερον κατὰ σελήνην πλήρη τὸ μέγεθος, εἶτα κόμην ἀναφύσας, ἐμείου, καὶ καθ' ὅσον τὰ τῆς κόμης ηὔξανε, ἠλαττοῦτο τὸ μέγεθος. πρὸς δὲ

ut commutatis calculis in pronunciando personarum rationem haberet. Iam ut erat tenax & parcus, cum animo suo constituit, nolle se bellis cōflictari, sed gentes muneribus & alijs obsequijs deuincire, & Romano imperio reconciliare: qua re duo commoda uenabatur, alterum, ne plura in expeditionibus consumeret: alterum, ut per summum ocium cumulandis thesauris inuigilaret. Ita fiebat, ut militares catalogos negligeret, ac potius fortissimos quosque ob stipendij magnitudinem deleret. Vnde Barbari ferociores euadebāt: Romanæ uerò legiones timidiores & humiliores, atque imperium minuebatur. Nam multæ tum orientales prouinciæ partim diripiebantur & uastabantur, partim ab hostibus occupabantur. Neque etiam in Occidente omnia se rectissimè habebant, ob militum & paucitatem & ignauiam. Vzos enim (est autem hæc quoque Scythica gens, quæ Pazinacis & generis præstantia & multitudine illis in locis antefertur) Istrum cum uxoribus & liberis trajcientes, præsides finitimarum urbium magister Nicephorus Botaniates, & magister Basilius Apocapes, transitu prohibere frustrà conati, uictis legionibus, ambo capti sunt & abducti à Barbaris, qui Danubio superato, omnem eius tractum compleuerunt. Nam pleriq; consentiunt, eorum qui arma ferre possent, ultra sexaginta millia fuisse. Inde progressi ex Macedonia, prædas agebant, & in Græciam usque penetrabant. Quę etsi Imperatori molesta erant, tamen cōscribere copias negligebat, ne obolum impenderet: sed præ se ferebat, gentem illam esse insuperabilem. Itaq; per legatos missis muneribus, pacem à ducibus illorum redimere parabat. Sed quum palàm ob omnibus conuicijs laceraretur, quòd ex tenacitate contra Barbaros non iret, urbem egressus est, & ad Chærobachos castrametatus, quum, ut fertur, nō plures centum quinquaginta militibus secum haberet. Enimuerò de cōscribendis copijs solicito, gentis illius subitū nunciatur excidium. Nam cum sęuissima pestilentia grauiter afflicta esset, Pazinacæ & Bulgari finitimi debilitatam aggressi, funditùs deleuerunt, ducibus cum paucis ægrè ultra Istrum elapsis. Fuit autem tota res diuinæ potentię opus. Nam Imperator omni humana ope desperata, ad numen confugerat, cum lachrymis & animi submissione illius auxiliū efflagitans. Hæc sexto eius imperij anno acta sunt, quē magnus terrę motus die XXIII. mēsis Septemb. antecessit, quo & templa & ædes multis in locis conciderunt. Tum Cyzici gentile fanū opus pulcherrimū & admirandū corruit, & Nicęę sanctorū patrum maximū et celebre templū delectū est. Mense uerò Maio, quarta indictione, stella crinita apparuit, solem occiduū sequēs: quæ principiò magnitudine lunæ plenę par. Deinde ueluti coma enata minuebat, ac tantū decresce-

ἐνεῖ ἐν γαλανίαι δώροις ἔθνη φειδῶν τῇ ῥωμαίων ἀρχῇ.

περὶ τῶν ἔθνους τῶν οὔζων.

περὶ σεισμοῦ.

περὶ ἀστέρος κομήτου.

Ob neglectam rem militarem imperium imminutum.

Vzorū Scytharū grassationes & interitus.

Terræmotus.

Cometa maximus.

bat, quantum illa augebatur. Conspectus est per dies quadraginta, radijs uersus orientem conuersis. Quum autem Patriarcha Constantinus Lichudes, Ecclesia per annos quatuor & sex menses gubernata, in aliam migrasset uitam: Ioannes Xiphilinus in pōtificiam Constantinopoleos sedem euehitur, Trapezunte quidem oriundus, sed omni doctrinæ genere eruditus, & in principum senatorum numerum relatus. Qui omnibus sua sponte relictis, coma rasa, Olympica monasteria frequentauit, solitariam uitam amplexus, ubi cùm longo tempore permansisset, Patriarchica sede dignus est habitus. At Imperator graui & diuturno morbo oppressus, quum iam nullum mortis effugium esse cerneret, imperium tribus filijs reliquit, quorum duos Michaelem & Andronicum Eudocia priuato adhuc, Constantinum uerò Imperatori pepererat, quum & ipsa Augusta appellata esset. Vnde is solus Porphyrogenitus fuit, ab eoque statim præ cæteris imperij insignibus adornatus. Pòst etiam reliquos designauit. Ac hos quidem imperio præfecit: ipsis uerò matrem Imperatricem & nutricem, & ut paucis complectar, dominā reliquit, mandata imperij administratione, quòd ei modesta uideretur, nec minus ad tractationem rerum apta, quàm ad liberos educandos ingeniosa. Sed prius scriptum iusiurandum ab ea exegit, quo promitteret, se à secundis nuptijs temperaturam. Ea syngrapha ab illa firmata, Patriarchæ custodienda est tradita. Sed & senatores omnes iureiurando adacti, scripto promiserunt, se non alium Imperatorem nisi liberos ipsius creaturos. His peractis obijt. Regnauit annos septem cum semestri. Vixit sexaginta & amplius. Cæterùm fratrem suum uiuens Cæsarem appellarat, & consiliarium habuerat & arcanorum conscium. Quamuis autem indoctus esset, tamen doctrinam amabat, & eruditos colebat, dicere solitus, malle se ex doctrina quàm imperio nobilitari. Insidiatores suos dicebat, se non alia ratione male tractaturum, quàm pro mancipijs utendo, quòd leges eis libertatem eriperent.

Xiphilinus Lichudi Patriarchæ succedit. *Imperatoris morbus & designatio successoris.* *Imperatoris obitus.*

IMPERATRICIS EVDOCIÆ imperium.

Evdocia igitur cum liberis suis ex testamēto defuncti Imperatoris, & imperio successit, & rerū communium tractationem suscepit, filiorum quasi magistra, atque unà cum eis pro tribunali sedit, medium ipsa occupans, illis utrinque assidentibus: sic in comitijs, sic in ciuilium cōtrouersiarum quæstionibus, sic in audiendis legationibus, sic in solennibus progressionibus se gerebant. Verùm Barbari Orientem diripere soliti, Romanas prouincias incursare & indies uexare non desistebant, militibus, ut iam dixi, tenacitate Imperatoris & imminutis & afflictis. Quod si qui ad-

Eudocia ob Barbaros Oriēte probibendos Diogeni cōtra iusiurandum nubit.

τὴν ἀνατολὴν τὰς ἀκτῖνας ἀπέτεινεν, ἐφ' ἡμέρας φαινόμενος τεσσαράκοντα. τοῦ πατριάρχου δὲ Κωνσταντίνου τοῦ Λειχούδη ἐπ' ἔτη τέσσαρα καὶ μῆνας ἓξ τὴν ἐκκλησίαν ἰθύναντος, καὶ μετατεθειμένου πρὸς ἑτέραν ζωὴν, Ἰωάννης ὁ Ξιφιλῖνος εἰς τὸν ἀρχιερατικὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἀνάγεται, ὃς ἐκ Τραπεζοῦντος μὲν ὥρμητο. πεπαίδευτο δὲ παιδείαν λόγων παντοδαπὴν, καὶ τοῖς ἐξόχοις τῆς συγκλήτου βουλῆς συνηρίθμητο. πάντα δὲ ἑκουσίως λιπὼν, τοῖς κατὰ τὸν Ὄλυμπον προσφοιτήσας σεμνείοις, κείρεταί τε τὴν κόμην, καὶ τὸν μοναχικὸν ὑπέρχεται βίον, ἔνθα καὶ συχνὸν διανύσας χρόνον, ἄξιος ἐκρίθη τοῦ θρόνου τοῦ πατριαρχικοῦ. ὁ δέ γε βασιλεὺς νόσῳ ληφθεὶς, καὶ ταύτῃ κάμνων ἤδη μακρὸν καὶ ταλαιπωρούμενος, καὶ ἤδη κατεγνωκὼς, καὶ ἀπαραίτητον αὐτῷ γνοὺς ἐπιστᾶσαν τὴν τελευτὴν, τὴν μὲν βασιλείαν αὐτοῦ καταλέλοιπε τρισὶν υἱοῖς, οὓς αὐτῷ ἡ σύνευνος Εὐδοκία ἐγείνατο, τοὺς μὲν δύο τὸν Μιχαὴλ καὶ τὸν Ἀνδρόνικον ἰδιωτεύοντι ἔτι, τὸν δὲ Κωνσταντῖνον βασιλεύσαντι, καὶ αὐτῆς αὐγούστης ἀναρρηθείσης. ὅθεν οὗτος μόνος πορφυρογέννητος ἦν, ὃν αὐτίκα καὶ πρὸ τῶν ἄλλων τοῖς βασιλικοῖς παρασήμοις ἐκόσμησεν. εἶτα καὶ τοὺς λοιποὺς ἀνηγόρευσε. τούτους μὲν οὖν ἐπέστησε τῇ ἀρχῇ, αὐτοῖς δὲ τὴν μητέρα βασιλίδα τε καὶ τροφὸν καὶ κυρίαν, τὸ ξύμπαν εἰπεῖν, καταλέλοιπεν, ἐπ' αὐτῇ τὴν τῆς βασιλείας μεταχείρισιν ποιησάμενος, δοκούσῃ αὐτῷ σώφρονί τε καὶ πρὸς παίδων ἀγωγὴν δεξιᾷ, καὶ πεφυκυίᾳ πρὸς πραγμάτων διοίκησιν, πρότερον ὅρκον δὲ αὐτῆς ἀπαιτήσας ἔγγραφον, ὡς οὐ πρὸς γάμον ἐλεύσεται δεύτερον. τὸ δ' ἔγγραφον παρ' ἐκείνης βεβαιωθὲν, τῷ πατριάρχῃ ἐδόθη φυλαχθησόμενον, ἀλλὰ καὶ οἱ τῆς συγκλήτου βουλῆς ἅπαντες ἐγγράφως κατέθεντο, μὴ ἄν ποτε βασιλέα ἕτερον ἀνειπεῖν, εἰ μὴ τοὺς παῖδας αὐτοῦ. τούτοις ὁ μὲν ἐξέλιπε, βασιλεύσας ἑπτὰ πρὸς τῷ ἡμίσει ἐνιαυτοὺς, ζήσας δ' ἑξήκοντα ἢ καί τι τούτων ἐπέκεινα. τὸν μέντοι ἀδελφὸν αὐτοῦ καίσαρα βασιλεύσας ἐτίμησε, καὶ σύμβουλον εἶχε, καὶ τῶν μυστηρίων συνίστορα. λόγοις δὲ οὐχ ὡμιληκὼς, ἠγάπα τούτους, καὶ τοὺς λογίους ἐσέβετο, καὶ ἔλεγε βούλεσθαι μᾶλλον ἐκ λόγων, ἢ τῆς βασιλείας γνωρίζεσθαι. τοὺς δ' ἐπιβούλους αὐτοῦ, μὴ ἄλλως κακῶς διαθήσειν ἔφασκεν, εἰ μὴ ὡς ὠνητοῖς κεχρῆσθαι αὐτοῖς, ὡς τὸν νόμον αὐτοὺς τὴν ἐλευθερίαν ἀφελομένου.

[illegible] *ὅτι νοσήσας ὁ βασιλεὺς καὶ ἐκκαμὼν τοῖς υἱοῖς βασιλεύειν καταλείπει, μητέρα ἐπίτροπον ὀμόσασαν ἐγγράφως μὴ δευτερογαμῆσαι.* *τελευτὴ Κωνσταντίνου βασιλέως τοῦ Δούκα.*

ΜΟΝΑΡΧΙΑ ΤΗΣ ΒΑΣΙλίδος Εὐδοκίας.

Κατὰ γοῦν τὰς τοῦ τελευτήσαντος βασιλέως διαταγὰς, ἥ, τε βασιλὶς Εὐδοκία καὶ οἱ παῖδες ἐκείνου τῆς βασιλείας ἦσαν διάδοχοι, καὶ ἡ βασίλισσα τὴν τῶν κοινῶν μεταχειρίζεσθαι πρόνοιαν, τῶν υἱῶν κατέχουσα, καὶ ἤδη βήματος σὺν ἐκείνοις προὐκάθητο, μεσεύουσα μὲν αὐτὴ, ἐκείνους δὲ παρακαθίζουσα ἑκατέρωθεν, οὕτω γε ἀρχαιρεσίαις, οὕτω γε ζητήσεσι πολιτικῶν ὑποθέσεων, οὕτως ἐχρημάτιζον πρεσβείαις, οὕτω γε συνήθεσι προόδοις προΐεσαν. οἱ δὲ τὴν ἑῴαν ληιζόμενοι βάρβαροι, οὐκ ἐπαύοντο τὰς ὑπὸ Ῥωμαίους κατατρέχοντες χώρας, καὶ ταύτας ὁσημέραι σινόμενοι. οἱ γὰρ στρατιῶται, ὡς ἤδη μοι εἴρηται, διὰ τὴν τοῦ βασιλέως γλισχρότητα ἠλαττώθησάν τε καὶ ἐκακώθησαν. καὶ εἴ τινες δ'

τες δὲ ὅσοι ἔτι στρατείας ἐχόμενοι, κἀκεῖνοι ἀντιπαρεξιέναι τοῖς πολεμίοις ἦσαν ἀπρόθυμοι, τῶν συνήθων ὀψωνίων στερούμενοι. ὅθεν οἱ βάρβαροι ποτὲ μὲν τῇ μεσοποταμίᾳ ἐφήδρευον, ποτὲ δὲ τὰ περὶ τὴν μελιτηνὴν ἐπόρθουν, ποτὲ δὲ τὴν κιλικίαν ἐσίνοντο, καὶ ἄλλοτε τοῖς καππαδόκαις ἐπέθεντο, καὶ τοῖς κατὰ κοίλην συρίαν ἐνίοτε. ταῦτα τῇ βασιλίσσῃ καταγγελλόμενα θόρυβον ἐνεποίει, καὶ βασιλέως πολλῶν λεγόντων δεῖσθαι τὰ πράγματα, δείσασα ἐκείνη, μὴ τὸ κοινὸν βασιλέα τινὰ προστήσηται ἑαυτοῦ, καὶ οὕτως αὐτὴ καὶ οἱ παῖδες τῆς βασιλείας ἐκπέσωσιν, ἔκρινεν αὐτὴ τινὰ ἐπεισαγαγεῖν τῇ ἀρχῇ, ἵνα καὶ ἑαυτῇ καὶ τοῖς τέκνοις διατηρήσῃ τὸ κράτος, καὶ μόνη αὐτοῖς ἀναφαίρετον. οὐ γὰρ δι' ἀκολασίαν αὐτήν φασιν, οὐδ' ἐπιθυμίαν ἡδονῆς, ἑαυτῇ προσαρμόσαι τὸν διογένην. ἀλλ' ὡς ἄνδρα δραστήριον, καὶ τὰ πολέμια δόκιμον, καὶ τὴν ἰσχὺν ἀπαράμιλλον, ἐπιστῆσαι αὐτὸν τῇ ἀρχῇ. ἵν' ἡ βαρβαρικὴ φορὰ ἀναχαιτισθείη, αὐτοῦ τούτοις ἀντιπαλαίσαντος τοῖς βραχίοσιν. ἦν δ' ὁ ἀνὴρ οὗτος καὶ τῶν ἐκ γένους λαμπρῶν, καὶ τῶν διαβοήτων ἐπὶ τοῖς ἀνδραγαθήμασιν. οὗ ὁ πατὴρ ἐπ' ἀδελφόπαιδι τοῦ βασιλεύσαντος πάλαι τοῦ κατὰ τὸν ἀργυρὸν ῥωμανοῦ κηδεστὴς γεγονὼς, καὶ ἐπὶ τυραννίδι ἁλοὺς, ἑαυτὸν κατεκρήμνισεν. ἵνα μὴ ἐκεῖθεν κρατηθεὶς γνωρίσῃ τοὺς συνίστορας ἐκβιαζόμενος, κἀντεῦθεν καὶ οὗτοι τιμωρηθῶσι. τετίμητο δὲ τῷ τῶν βεστάρχων ἀξιώματι. δοὺξ γὰρ παρὰ τοῦ δουκὸς τῆς σαρδικῆς γεγονὼς, καὶ πατζινακίταις ἐκεῖ που περιτυχὼν, καὶ τούτοις συμβαλὼν, πολλούς τε διώλεσε, καὶ οὐ μείους ἐζώγρησεν, ὧν τοὺς μὲν ἑαλωκότας ζῶντας, τῶν δ' ἀποσφαγέντων τὰς κεφαλὰς στείλας τῷ βασιλεῖ, βεστάρχης τετίμητο, γράψαντος δὲ τοῦ κρατοῦντος αὐτῷ, ὡς οὐ δῶρόν σοι ὦ διογένες τὸ ἀξίωμα, τὸ δ' ἀνδραγαθήματος ἀμοιβή. διατρίβων οὖν ἐκεῖ, τυραννῆσαι περιεσκέψατο, ἐπεὶ ἔγνω τεθνάναι τὸν αὐτοκράτορα. ὡς δ' ἐμηνύθη τῇ βασιλίσσῃ τὸ βούλευμα τοῦ ἀνδρὸς, στείλασα συνέσχεν αὐτὸν, καὶ ἤχθη δεσμώτης εἰς τὸ βυζάντιον, καὶ ἐλεγχθεὶς ὡς ἐπίβουλος, κατεκρίθη, καὶ τισὶν ὁρίοις κατεκλείσθη περιγραπτοῖς. εἶτ' αὖθις ὡς κατάκριτος εἰσῆκτο πρὸς τὸ βῆμα δὴ τὸ βασίλειον, ἵν' ἡ ψῆφος κυρωθείη κατ' αὐτοῦ. ἔλεος οὖν εἰσῄει τοῦ ἀνδρὸς τοὺς παρεστῶτας, καὶ πᾶσιν ἐπεπόνθει ἡ ψυχή. ἦν γὰρ οὐ μόνον τὴν ἰσχὺν ἀπαράμιλλος, ἀλλὰ καὶ ἰδέσθαι καλός. συνέπαθεν οὖν μετὰ τῶν ἄλλων καὶ ἡ βασιλὶς ἐπ' αὐτῷ, καὶ οἶκτον ἔλαβε τοῦ ἀνδρὸς καὶ αὐτήν, εἰ δὲ καὶ ἔρως, οὐκ ἔχω λέγειν, καὶ ἀντὶ τῆς ψήφου τῆς ὁριζούσης ἐκείνῳ τὴν κόλασιν, τὸ καλῶς ἐλευθεροῦν αὐτὸν ἐξενήνοχε ψήφισμα. καὶ ὁ μὲν λυθεὶς τοῦ ἐγκλήματος, ἀπῄει πρὸς τὴν καππαδοκίαν (αὕτη γὰρ ἐκείνῳ πατρίς) ἡ δὲ βασιλὶς μεταπεμψαμένη αὐτὸν, μάγιστρον καὶ στρατηλάτην προεχειρίσατο, ἤδη καὶ βασιλέα τοῦτον ἀνειπεῖν, ὡς ἄνδρα κρίνασα παρ' ἑαυτῇ γενναιότατον. ἀντέπιπτε μέντοι δὲ τὰ ὅρκια, καὶ τὸ ἔγγραφον, ὃ παρὰ τοῦ πατριάρχου τετήρητο. καὶ ἦν αὐτῇ μέλημα, ὅπως τοῦτο ἀφέλοιτο. σκέπτεται τοίνυν περὶ τούτου βουλὴν πονηράν τε καὶ βαθυγνώμονα, καὶ ταύτην ἑνί τινι τῶν περὶ αὐτὴν ἐκτομιῶν κοινοῦται, καὶ οἷον προαγωγῷ τῷ θεράποντι κέχρηται, ὑποθεμένη ὁποῖα αὖ καὶ οἷα τῷ πατριάρχῃ προσομιλήσει. ὁ δὲ τῷ ἀρχιερεῖ προσελθὼν, ἴσθι, φησίν, ὦ δέσποτα, ὡς ἐρῶν τοῦ ἀνεψιοῦ σου ἡ βασιλὶς (τὴν

huc restabant militiæ dediti, ij propter negata solita stipendia minimè erant alacres ad confligendum cum hostibus. Vnde Barbari aliàs Mesopotamiæ imminebant, aliàs Melitenes confinia uastabant, aliàs Ciliciæ nocebant, aliàs Cappadociam inuadebant, nonnunquam etiam Cœlesyriam. Quæ nunciata Imperatricem turbabant: quumque multi dicerent, res Imperatorem requirere, uerita, ne aliquo à Republica creato, ipsa & liberi imperio exciderent: aliquem asciscendum censuit, ut ea ratione & sibi & liberis potestatem inuiolatam tueretur. Negant enim eam Diogeni nupsisse ex lasciuia, aut studio uoluptatis, sed uirum eum ut strenuum & in re bellica probatum, & robore incomparabili præditum summæ rerum præfecisse, ut Barbarorum impetus nonnihil retunderetur, illo armis eorum resistente. Fuit autem & genere illustri ortus, & rebus gestis clarus. Cuius pater quum Romani Argyri neptem ex fratre haberet, regni affectati conuictus, seipsum præcipitauit, ne quæstionibus adhibitus, conscios prodere cogeretur. Hic uerò Diogenes Romanus Bestarchorum dignitate ornatus, & à Duca, Sardicæ dux designatus fuerat, & quum illic alicubi in Pazinacas incidisset, multis occisis, nec paucioribus captis, & uiuentes & cæsorum capita miserat ad Imperatorem: à quo ea de causa Bestarcha designatus fuerat, cum honorificis literis, quibus scribebat, eam dignitatem illi non donari, sed pro egregij facinoris remuneratione dari. Illic igitur quum ageret, se ad occupandum regnum parabat, cognito Imperatoris obitu. Quo eius consilio intellecto, Imperatrix eum comprehendendum curarat. Ita in uinculis Byzantium perductus, facinoris conuincitur, & ut insidiator condemnatus, intra præscriptos limites cohercetur. Deinde rursus ut cõdemnatus ad tribunal Imperatorium adducitur, ut sententia in eum lata confirmetur. Verùm omnibus astantibus misericordia uiri incessit, & animi doluerunt. Nec enim robore duntaxat erat incomparabili, sed forma etiam præstanti. Ac Imperatrice unà cum cæteris illius miserta, an uerò amore quoque capta, dicere non possum, sententia damnatoria in absolutoriam commutata, dum crimine solutus, in Cappadociam patriam abit. Imperatrix uerò eum ex itinere reuocatum, Magistrum & ducem copiarum designat, quumque iam secum constituisset, eum ut uirum fortissimum, Imperatorem creare, tamen iureiurando & syngrapha, quam à Patriarcha, cui asseruanda data erat, recuperatam uolebat, impediebatur. Init igitur improbum & profundum consilium, idque cum eunuchorũ suorum quodam cõmunicat, illo ministro pro lenone usa, monetque quemadmodũ cum Patriarcha agendum esset. Is cum pontifice cõgressus: Scito, inquit, domine, Imperatricẽ nepotis tui amore

Diogenis natales, dignitas, & è squallore carceris ad imperij splẽdorẽ ascensus.

Eudociæ calliditas in recuperanda syngrapha, ut scilicet iureiurando solueretur.

captam esse (habebat enim nepotem Bardam, adolescentem lasciuum & rei Venereæ deditum) & addit, quòd si tu annueris, hoc est, si iurisiurandi chirographum ei reddideris, & persuaseris, nullum ex ea re periculum ipsi imminere: statim eam fratris tui filio nupturam, & potestatem imperatoriam tradituram. Patriarcha his illecebris irretito, ac de statu mentis deiecto, eunuchus postulare pergit, ut senatorũ quoque animos tentet. Is igitur senatoribus singulatim accersitis ait: tempora postulare Imperatorem, qui defensionem Reipublicæ suscipiat. Romanum enim imperium, si à muliercula & pueris solis administret: haud ita multò pòst, non remotas duntaxat prouincias & hostibus finitimas, sed suburbanas etiam perituras. His iurisiurandi & syngraphæ reprehensionem acrem subiungebat, & mortuo Imperatori maledicebat, quasi non Reipublicæ studio, sed ex priuata zelotypia inusitatum iusiurandum & syngraphas legibus contrarias exegisset. Quibus quum plerique assentirentur, ij s etiam qui refragabantur, partim muneribus, partim pollicitationibus in sententiam suam pertractis, Imperatrici iusiurandi chirographum remittit. Quo illa accepto, consilium suum executura, rem cum filio natu maiore & Cæsare, in Regiam accersito communicat: qui cum hymenæo interfuisset, & nuptiales crateres gustasset, nubit illa Diogeni. Sic ille Imperator declaratur, quũ Eudocia eiusque filij menses septem, & dies aliquot regnassent.

IMPERIVM ROMANI Diogenis.

Diogenes muliebre imperium pati non potuit.

Romanus Diogenes Romanorũ imperio potius, Eudociæ tanti fastigij autoris spem elusit. Quæ cũ eum cõdemnatum, & tantũ non carnificem instare uidentem, nõ modò manifesto periculo eripuisset, sed ad tãtum imperium euexisset: putabat se illum in omnibus dicto audientem habiturã, & ipsi Imperatori imperaturam. At ille qui ingenio esset arroganti atque indomito: ad tempus naturæ suæ ui facta Augustæ uoluntati cessit, submissione simulata. Sed quum eam uim ferre non posset, celeriter excusso iugo ad ingenium redijt, atque libera potestate uti uoluit. Cùm autem Orientalia malè se haberent, atque alia desperata essent, alia desperationi propinqua: expeditione denunciata, imperatorium tabernaculum in prouincia Orientis Byzantio obuersa figit, duabus de causis: tum ut Barbarorum incursionibus prohibitis, subditorũ, quantum res sineret, saluti cõsuleret: tum ut gloriæ occasionem captaret, nec Imperatricis mancipiũ, sed ipse Imperator esset. Relicta igitur regia, in Orientẽ traiecit, nec iusto exercitu educto, & eo ipso quem educebat, armorũ, equorũ & re-

Diogenis expeditio orientalis.

γὰρ ἀνεψιὸς αὐτοῦ Βάρδας, νέος τε καὶ σφριγῶν, καὶ ἀφροδισίων ἡττώμενος) καὶ προσεπῆγεν, ὡς εἰ σὺ συννεύσειας, τὸ δ' ἦν τὸ τοῦ ὅρκου τὸ χειρόγραφον ἀποδοῦναι τῇ βασιλίσσῃ, καὶ πείσαις μή τινα κίνδυνον ἐκ τούτου ἐπαρτηθῆναι αὐτῇ, αὐτίκα συνοικίσει μὲν ἑαυτῇ τὸν σὸν ἀδελφόπαιδα, καί οἱ τὸ κράτος ἐν-ψεται τὸ βασίλειον. ὡς δὲ τούτοις ὁ πατριάρχης παραβουκοληθεὶς, ὅλον ἐνέδωκεν ἑαυτὸν, καὶ τῶν τῆς συγκλήτου βουλῆς ὁ ἐκτομίας ἀπήρξατο θέσθαι ἀπόπειραν. ὁ δὲ τούτων ἕκαστον προσκαλούμενος, τὰ πράγματα ζητεῖν, ἔλεγε, βασιλέα τὸν τούτων ἀντιληψόμενον. εἰ γὰρ ὑπὸ γυναικὶ μόνῃ καὶ παιδαρίοις ταῦτα διοικηθήσονται, οἰχήσονται πάντως οὐκ εἰς μακρὰν τῇ ῥωμαίων ἡγεμονίᾳ, οὐ τὰ πόρρω μόνον καὶ τοῖς ἐχθροῖς ἀγχιτέρμονα, ἀλλὰ καὶ αὐτὰ τὰ ἀγχίθυρα. καὶ ἤδη τούτῳ τῶν ὅρκων καὶ τοῦ ἐγγράφου πολλὴν ἐποιεῖτο καταδρομὴν, καὶ τὸν βασιλέα τεθνεῶτα ἐκακηγόρει, ὡς μὴ τοῦ κοινῇ συμφέροντος θέμενον πρόνοιαν, ἀλλ' ἐκ ζηλοτυπίας ἐκθέσμους ὅρκους ἀπαιτηκότα, καὶ παράνομα ἔγγραφα. τούτοις οὖν πλείους συντιθεμένους ἰδὼν ἐκεῖνος, εἰ δέ τινες καὶ ἀντέλεγον, τοὺς μὲν δώροις, τοὺς δ' ὑποσχέσεσι συμψήφους ποιήσας αὐτοῦ γενέσθαι, στέλλει τῇ βασιλίσσῃ τὸ τῶν ὅρκων χειρόγραφον. ἡ δὲ τοῦτο λαβομένη, εἰς ἔργον τὸ βούλευμα ἀπετέλεσε, καὶ ἄγεται μὲν τὸν διογένην, καὶ τούτῳ συζεύγνυται. κοινοῦται δὲ τὴν πρᾶξιν τῷ πρεσβυτέρῳ τε τῶν υἱῶν καὶ τῷ καίσαρι μετακληθέντι πρὸς τὰ βασίλεια, καὶ μετασχόντι τῶν ὑμεναίων, καὶ τῶν ἐπιγαμίων ἀπογευσαμένῳ κρατήρων, καὶ διογένης βασιλεὺς ἀνηγόρευτο, τῆς βασιλίδος εὐδοκίας μετὰ τῶν υἱῶν ἀρξάσης ἤδη μῆνας ἑπτὰ, καὶ ἡμέρας τινάς.

ὅτι συνάφθη τῇ βασιλίδι ὡραίᾳ, ὁ διογένης καὶ ἀνεζεύχθη.

ΒΑΣΙΛΕΙΑ ΡΩΜΑΝΟΥ τοῦ διογένους.

Ρωμανὸς δὲ ὁ διογένης τῆς τῶν ῥωμαίων ἀρχῆς γενόμενος ἐγκρατὴς, οὐ κατὰ τὰς ἐλπίδας τῆς βασιλευούσης αὐτὸν δυναμένης ἀπεβεβήκει. ἡ μὲν γὰρ ἐκ κατακρίτου, καὶ ἤδη σχεδὸν τὸν δήμιον ἐφεστηκότα ὁρῶντος αὐτοῦ, οὐ μόνον κινδύνου προφανοῦς ἐξαρπάσασα, ἀλλὰ καὶ τηλικαύτης ἀρχῆς ἀξιώσασα, ὤετο οἱ πάντα ὑπείκοντα καὶ αὐτὴν κατάρχειν τοῦ βασιλεύοντος. ὁ δὲ καὶ ἄλλως ὢν ἀλαζονικὸς καὶ ἀδούλωτος, ἐπ' ὀλίγον μὲν βιασάμενος τὸ ἦθος, ὑπεῖκε ταῖς τῆς αὐγούστης θελήσεσι, καὶ ὑπεκρίνετο τὴν ὑπόπτωσιν. ἐπεὶ δὲ μὴ εἶχε φέρειν τὴν βίαν, ταχὺ πρὸς τὸν οἰκεῖον τρόπον ἐπανελήλυθε, καὶ τὴν ὑποταγὴν ἐδυσχέρανε, καὶ ἀθλεῖν αὐτὸς τὸ κράτος καθαρῶς ἀνεδέξατο. κακῶς δὲ τῶν ἑῴων διακειμένων, καὶ τῶν μὲν ἤδη ἀπεγνωσμένων, τῶν δὲ πρὸς τοῦτο χωρούντων, ἐκστρατείαν κηρύττει, καὶ πήγνυσι τὴν σκηνὴν τὴν βασίλειον κατὰ τὸ πρὸς ἕω τμῆμα τῇ βυζαντίδι ἀντίπορθμον, δύο ταῦτα πραγματευόμενος, ἀνεῖρξαί τε τοῖς βαρβάροις τὴν ἔφοδον, καὶ τὴν σωτηρίαν, ὡς ἐνὸν, πρυτανεῦσαι τῷ ὑπηκόῳ, καὶ ἑαυτοῦ γνωρίσματα προσποιήσασθαι, καὶ μὴ πάντα ὑπείκειν τῇ βασιλίδι, ἀλλ' αὐτὸς αὐταρχεῖν. ἄρας οὖν ἐκ τῶν βασιλείων πανοπλίτης ἐπεραιώθη πρὸς τὴν ἑῴαν, οὔτ' ἀξιόμαχον ἐπαγόμενος στράτευμα, καὶ ὃ δὲ ἐπήγετο, ἐνδεὲς καὶ ὅπλων καὶ ἵππων καὶ τῶν ἀναγκαίων

ὅτι ἐστράτευσεν ὁ διογένης κατὰ τὴν ἑῴαν ...

ἀναγκαίων αὐτῶν ἐπιτρύχετο. ἐκ μακροῦ γὰρ καταλιγωρηθεῖσαν τὴν στρατιὰν, ὥσπερ εἴρηται, ἀθρόον ἀνακτηθῆναι οὐκ ἦν εὐχερές. ἀθροισθέντων οὖν τῶν οὕτως ἐχόντων στρατιωτῶν, κατὰ τὸ θέμα τῶν ἀνατολικῶν, ὃ τῆς Φρυγίας τις ἐστὶ μοῖρα, οἱ ἐναντίοι μαθόντες τὸν βασιλέα ἐπιδημήσαντα αὐτὸν, καὶ τοιοῦτον ὄντα, ὡς ἑτοίμως προκινδυνεύειν τῶν ὑπηκόων, ἀρειόν τε καὶ τὴν ῥώμην ἀνυπόστατον (τὰ γὰρ τῆς στρατιᾶς ὅπως διέκειτο, οὐκ ἀκριβοῦσιν οἱ βάρβαροι) εὐλαβῶς εἶχον, καὶ ὤκνουν κατὰ συστάδην μαχέσασθαι. γέγονε τοιγαροῦν ὁ μὲν σουλτὰν εἰς τοὐπίσω πεποίητο τὴν ὁρμὴν, δύο δὲ μοίρας τῆς βαρβαρικῆς διελὼν στρατιᾶς, τὴν μὲν εἰς τὴν νοτιωτέραν Ἀσίαν τὴν ἄνω, τὴν δὲ πρὸς τὴν βορειοτέραν ὁρμῆσαι τοῖς προεστῶσιν αὐτῶν ἐνετείλατο. οἱ δ' ἀπελθόντες, τὰ προστυχόντα τε ληιζόμενοι, τὴν Νεοκαισάρειαν αἰφνίδιον ἐπεισπεσόντες αὐτῇ, διεπόρθησαν, καὶ λαφύρων ἐμπλησθέντες, ἐκεῖθεν ἐπανέστησαν. τοῦτο τῷ βασιλεῖ ἀγγελθὲν ἀθυμίαν ἐνέσταξε, καὶ σὺν τοῖς εὐζωνοτέροις ἀναλαβὼν τοῦ στρατεύματος, ἀπὸ δὲ δυσβάτων ὁδῶν καὶ ὀρῶν, φθάσαι τοὺς ἐχθροὺς ἐπειγόμενος. οἷς δὴ αὐτοῖς ἐπελθὼν ἀδόκητος, εἰς φυγὴν ἐνέβαλεν ἅπαντας, καὶ πρὸς δρασμὸν ἀπῆλθον εὐθὺς, αὐτόθι καταλιπόντες καὶ τὴν λείαν καὶ τὴν ἀποσκευήν. φθορὰ μὲν οὖν τῶν βαρβάρων οὐ πάνυ τι γέγονε, τῶν περὶ τὸν βασιλέα κοπιακότων ἐκ τῆς ὁδοιπορίας, καὶ μὴ οἵων τε ὄντων διώκειν ἐπὶ πολύ. οἱ μέντοι ληφθέντες αἰχμάλωτοι καὶ ὅπη ἕτερον ἐπλήρου τὴν λείαν, ξύμπαντα ἠλευθέρωτο. ἐκεῖθεν δὲ πρὸς Συρίαν ὥρμησεν ἀπαγαγὼν, καὶ φάλαγγα μὲν εἰς Μελιτηνὴν διαπέστειλεν, αὐτὸς δὲ εἰς τὸ Χάλεπ ὡρμήσατο, πολλὴν ἀπήγαγε λείαν ἀνθρώπων καὶ ζώων ἄλλων. κἀκεῖθεν εἰς Ἱεράπολιν τῆς Συρίας ἐχώρησε, καὶ πολιορκεῖν ἐγχειρήσας αὐτὴν, ὁμολογίᾳ τὴν πόλιν παρείληφεν. ἐπεὶ δὲ τῶν βαρβάρων περιγενομένων μέρους τῆς ῥωμαϊκῆς στρατιᾶς, καὶ ἡττηθέντων αὐτῶν, οὐδεὶς τῶν ἄλλων εἰς ἐπικουρίαν τῶν ἡττημένων γενέσθαι προεθυμήθη. ὁ δέ γε βασιλεὺς ἐν τῇ ἑαλωκυίᾳ πόλει ὢν, καὶ τὸ συμβὰν ἐγνωκὼς, τάχιστα μετὰ τῶν περὶ αὐτὸν εἰς ἀρωγὴν τῶν ἡττημένων ἐξώρμησε. μαθὼν δὲ ὁ τοῦ Χάλεπ ἡγεμονεύων τὴν τῶν ῥωμαίων ἧτταν, προσέθετο καὶ αὐτὸς τοῖς ἄλλοις βαρβάροις μετὰ τῆς οἰκείας πάσης δυνάμεως, αὐτίκα τὸν βασιλέα προσδοκῶν ἀπαγαγεῖν δορυάλωτον. καὶ τὸ ῥωμαϊκὸν κύκλῳ στρατόπεδον περιέλαβον. ὁ μέντοι βασιλεὺς ἀκήρυκτον αὐτοῖς τὴν μάχην ἐπενεγκὼν (ἐξῆγε γὰρ τοῦ χάρακος καὶ τὸ στράτευμα συνεξῆγε, μήτε σαλπίγγων γινομένης ἠχῆς, μήθ' ἑτέρου διαδήλου συνθήματος) ἐτρέψατο τοὺς ἐναντίους, καὶ εἰς φυγὴν ἀνάστατον ἀπέωσεν. εἰ γοῦν ἐπὶ πολὺ τὸ ῥωμαϊκὸν ἐπεδίωξε στράτευμα, νίκην ἂν ἤρατο μεγίστην καὶ περιβόητον. οἱ γὰρ ἵπποι τοῖς Ἄραψι ταχεῖς μέν εἰσι τὴν πρώτην ὁρμὴν, καὶ τῶν λοιπῶν ποδωκέστεροι, οὐκ ἐπὶ πολὺ δὲ τὸν δρόμον ἐκτείνουσιν, ἀλλ' ἀποκναίονται τάχιστα. ἀνακληθέντες δὲ, καὶ τῆς διώξεως ἀπεχόμενοι, τοὺς ἐναντίους περιέσωσαν, ἑαυτοὺς δὲ μεγάλου κέρδους καὶ εὐκλείας ἐστέρησαν. ὅμως τῷ βασιλεῖ, ὅτι ὅλως οἱ ῥωμαῖοι τοῖς ἐχθροῖς ἀντιπαγῆναι ἐπεθάρρησαν, καὶ τὸ πολὺ τῆς προτέρας δειλίας ἀπέθεντο, ἀρκοῦν ἐδόκει εὐτύχημα. ἐνῳκίσθη δὲ τῇ Ἱεραπόλει ἡ ἀκρόπολις, τοῦ βασιλέως προστάξαντος. καὶ ἑτέροις δὲ πολίσμασιν ἐπελθὼν, καὶ τὰ μὲν διὰ τὸ ἀνάλωτον παρελθὼν, τὰ δὲ κατασχὼν, εἰς πόλιν τῆς Κιλικίας, τὴν Ἀλεξάνδρειαν λεγομένην, κατήντησε. κἀκεῖθεν ἀπιόντι λαφυραγωγηθῆναι τὸ Ἀμόριον ἀπηγγέλθη, καὶ ἀνῃρῆσθαι πολλούς. ἐδυσφόρει μὲν οὖν πρὸς ταῦτα ὁ βασιλεὺς, μὴ δυνάμενος δὲ ἐπαμῦναι τοῖς πεπονθόσι, τὰ περὶ τὴν οἰκείαν στρατιὰν οἰκονομησάμενος, ἵνα τὸν χειμῶνα

Ὅτι καὶ πρὸς συρίαν ὥρμησεν ὁ βασιλεὺς, καὶ τὴν ἱεράπολιν ἔλαβε καὶ τοὺς χαλεπίτας ἐτρέψατο.

Φυγὴ τῶν βαρβάρων.

Ἅλωσις ὑπὸ ῥωμαίων φρουρίων τινῶν βαρβαρικῶν καὶ ἀγγελία τῷ βασιλεῖ λαφυραγωγηθῆναι τὸ ἀμόριον.

rum necessariarum inopia laborante. Nam exercitu longo tempore per socordiam neglectum, subitò in integrum restitui non expeditum erat. Militibus igitur hoc modo affectis, in Orientali prouincia, quæ Phrygiæ pars est, cõgregatis, quum hostes cognouissent, ipsum Imperatorem adesse: eumq́ talem, qui pericula pro suis adire haud reformidaret, uirum bellicosum & robore immenso præditum (neq́ enim, ut exercitus se haberẽt, accuratè perquisierant Barbari) cautè agendum esse rati, acie decernere recusabãt. Vnde Sultanus retrò cessit, & duabus partibus ab exercitu Barbarico segregatis, alterius duces in australem & superiorem Asiam, alterius in Aquilonarem contendere iussit. Ii obuia quæq́ populati, ac Neocęsaria subita incursione uastata, manubijs graues inde recesserunt. Quo nuncio accepto, Imperator dolens, expeditioribus militibus assumptis, per loca inuia & montosa proficiscitur, ut hostes anteuerteret. Quos ex improuiso aggressus, perterrefecit omnes, ut statim arrepta fuga, illic & prædam & impedimẽta relinquerent. Non tamen Barbarorum magna strages est edita, quòd milites itinere fatigati, longius eos persequi haud potuerunt. Captiui tamen, & si quid aliud prædã explebat, in libertatem asserta sunt omnia. Inde Syriæ iter ingressus, phalange una Melitenam missa, Chalepo magnam & hominum & animantiũ prædam abduxit. Inde Hierapolim Syriæ, quum obsidionem pararet, per deditionem capit. Deinde quum Barbari Romanorum copiarum partem superassent, cæterorum nemo illis opem ferre studuit, sed Imperator illo euentu cognito, in capta urbe degens, celerrimè uictis suppetias iuit. Chalepi autem pręfectus, Romanorum clade nunciata, & ipse cum suis copijs ad Barbaros desciuit, sperans se Imperatorem statim captiuum abducturum. Quum autem Romana castra corona circumdedissent, Imperator prælio eis non denunciato, eduxit exercitum, & nullo tubarum sonitu, nullo alio manifesto signo dato, hostes profligatos in fugam coniecit. Quòd si Romanus exercitus longius illos persecutus esset, uictoria poritus esset maxima & illustri. Nam Arabibus equi sunt primo impetu ueloces, atque omnium celerrimi, sed cursum non longè extendunt, celerrimeq́ fatigantur. Verùm reuocari, ut hostes non persequendo conseruarunt, ita semetipsos magno successu & gloria spoliarunt. Imperatori tamen abundè uisum, quòd Romani hostes inuadere ausi essent, pristina timiditate abiecta. Eiusdẽ iussu Hierapolitana arx condita est. In progressu alijs oppidis captis, alijs, quòd inexpugnabilia essent, relictis, in Ciliciæ urbem Alexandriã peruenit. Vnde discedenti nunciatur Amoriũ multis occisis esse direptum. Quòd etsi ęgrè ferebat, tamen cũ nihil opis ferre posset, militibus in hyberna dedu-

Sultanus Neocæsariam capit.

Diogenis bellum Syriacũ cum Sultano.

Chalepum.

Arabici equi.

ctis, ubi nulla commeatus inopia premerentur, ipse in urbem Regiam reuertitur, factus arrogantior, quasi plura confecisset, non erga alios duntaxat, sed erga ipsam etiã Imperatricem. Illa uerò spem suam in contrariũ uertisse cernens, mœsta cor edebat, nec obiurgationes ferre poterat. Sub ueris initium Imperator altera expeditione suscepta, quum Cæsaream uenisset, & magnam Turcorum multitudinem eam prouinciam incursare cognouisset: etiam in illos nunc parte copiarũ immissa, nunc ipse inuectus, profligatis illis, captiuisq; cęsis omnibus, ad Euphratem contendit, Philareto duce designato. Erat is ex genere Brachamiorum, qui ut satis habere peritiæ militaris uidebatur, ita improbæ uitæ erat, & nomini suo, quod uirtutis studiosum notat, planè cõtrariæ. Huic semisse exercitus dato, ipse ad Septentrionẽ declinauit. Hostes autem Philareti militibus terrore illato, ut locis quibus præsidij causa erant, relictis, fugerent, insecuti, omnibus eorum impedimentis potiuntur, quod Imperatori tristitiam attulit: & in Cappadociã progressi, agris uastatis Iconium petunt, urbem & frequentia hominum, & omnibus ijs quæ bona dicuntur felicem. Quo Imperator Sebastiæ cognito, & ipse iter eódem intendit. Verùm nunciata eius urbis uastatione, & Turcorum suum aduentum timentium discessu: Magnæ Antiochiæ duci Chatagurio Romanarum legionum parte missa, mandauit, ut ad Mopsihestiam ueniret, & Turcos illac transituros aggrederetur. Cæterùm hostes quum in Tarsi planiciem uenissent, ab Armenijs omni ferè præda spoliati sunt, auditisq; Romanorũ ad Mopsihestiam insidijs, noctu iter ingressi diffugerunt: quę res Imperatori causa mœroris fuit, ut rebus desperatis Byzantium rediret. Iam enim autumnus instabat, qua tempestate Blachernium quoque magnum templum conflagrauit, anno ab orbe condito sexies millesimo, quingentesimo, septuagesimo octauo. Instante uere Manuelem Protoproedrũ Comnenum, Isaacij imperatoris ex fratre nepotem, Curopalatem designatum, legionibus præfecit, qui quamuis adolescens, cum senili prudentia exercitum regeret, Barbaros uicit. Ob quem successum Diogenes illi inuidens, parte non minima copiarum adempta, in Syriam eum misit. Inde Comneno cum reliquis Sebastiani profecto, Turcorum multitudo se ostendit: qui simulata fuga, illo persequente, ex composito conuersi, Romanos dispersos inuaserunt, & multis cæsis, nec paucioribus captis, ipsoq; duce Manuele, castra diripuerunt. Ea res, nec minus fama de Chonæa Republica & celebri archistrategi fano à Barbaris occupato, Imperatorem perturbauit, ut totus in eo esset, ut quamprimum bello eis illato periclitantes conseruaret. Sed dum quorundã monitu cunctatur, adest Co-

Diogenis altera expeditio ad Euphratem.

Turci uicti.

Philareti clades.

Turci Cappadociã & Iconium uastant.

Manuel Comnenus à Turcis capitur & restituitur.

ἄξαι αὐτόθι ὡς τῶν ἀναγκαίων ἐπιλειπόντων, αὐτὸς εὐθὺ τῆς βασιλίδος τῶν πόλεων ἐπανῆλθεν, ἀλαζονικώτερον διακείμενος, ὡς τάχα κατορθωκὼς πλείω, οὐ μόνον πρὸς τοὺς ἄλλους, ἀλλὰ καὶ πρὸς αὐτὴν τὴν βασίλισσαν. ἡ δὲ πρὸς τοὐναντίον αὐτῇ τὰς ἐλπίδας τραπείσας κατανοοῦσα, ἐδυσχέραινε καὶ τὴν καρδίαν ἄχει διελαίνετο, τὰς ὑπ' αὐτοῦ ἐλέγξεις μὴ στέγουσα. ἄρτι δ' ἀναλάμπειν ἀρχομένου τοῦ ἔαρος, αὖθις ὁ βασιλεὺς ἑτέρας ἐκστρατείας ἐμέμνητο. ἐνδημήσας τοίνυν τῇ Βυζαντίδι, καὶ γενόμενος εἰς Καισάρειαν, ἔμαθε τὸ Τούρκων πλῆθος πολὺ καταστρέχειν τὴν χώραν, καὶ τούτοις τῇ μὲν μέρος τῆς στρατιᾶς ἐπαφιείς, τῇ δὲ καὶ αὐτὸς συμβάλλων, ἐτρέψατο τοὺς ἐχθρούς, καὶ τοὺς ζωγρηθέντας τῷ ξίφει πάντας ὑπαγαγών, πρὸς τὸν Εὐφράτην ἐτίθει τὸ ὅρμημα. τὸν μέντοι Φιλάρετον στρατηγὸν προβαλλόμενος (ἦν δὲ τοῦ Βραχαμίου γένους ὁ ἀνήρ, δοκῶν μὲν πρὸς στρατιωτικὴν ἐμπειρίαν ἱκανῶς ἔχειν, βίου δὲ τυγχάνων οὐκ ἀγαθοῦ, ἀλλ' ἀντίρροπα πάνυ πρὸς τὴν κλῆσιν αὐτοῦ) τούτῳ τὸ ἥμισυ παραδίδωσι τοῦ στρατεύματος, αὐτὸς δ' ἀπένευσε πρὸς τὰ βορειότερα. τοῖς δὲ μετὰ τοῦ Φιλαρέτου ἐπιφανέντες οἱ βάρβαροι πτοίαν ἐνέβαλον, καὶ τοὺς τόπους καταλιπεῖν, οὓς φυλάττειν ὠφείλεσαν, καὶ εἰς φυγὴν τραπῆναι ὑπόντες οἱ πολέμιοι, καὶ ὅλην ἀπήλασαν τὴν ἐκείνων ἀποσκευήν. ὃ καὶ ἐλθὸν εἰς γνῶσιν τῷ βασιλεῖ, σκυθρωπάσαι πεποίηκεν. οἱ δ' ἐναντίοι διὰ τῆς Καππαδοκίας τὸ ὅρμημα θέμενοι, αὐτήν τε ἐπόρθουν, καὶ πρὸς τὸ Ἰκόνιον ἵεντο, ἀνθρώπων τε πολυπλήθειαν ἔχον, καὶ πᾶσι τοῖς δοκοῦσιν ἀγαθοῖς εὐθηνούμενον. ὁ δὲ βασιλεὺς εἰς Σεβάστειαν ἀφικόμενος, καὶ μαθὼν τὴν διὰ τοῦ Ἰκονίου τῶν Τούρκων ἐπέλευσιν, συντείνει καὶ αὐτὸς τὴν πορείαν ὀπίσω αὐτῶν. γνοὺς δὲ ἤδη ἐκπεπορθηκέναι αὐτοὺς τὸ Ἰκόνιον, καὶ τὴν αὐτοῦ εὐλαβουμένους κατάληψιν ἀπᾶραι, διὰ τὸν τῆς μεγάλης Ἀντιοχείας δοῦκα τὸν Χαταγούριον μοῖραν ἐκπέμψας τινὰ τῶν ῥωμαϊκῶν δυνάμεων, ἐντέλλεται εἰς Μόψου ἑστίαν ἀφικέσθαι, καὶ τοῖς Τούρκοις ἐκεῖ διιοῦσι συμμῖξαι. ἀλλ' οἱ πολέμιοι εἰς τὴν τῆς Ταρσοῦ πεδιάδα γενόμενοι, τοῖς Ἀρμενίοις ἐνέπεσον, καὶ πᾶσαν σχεδὸν τὴν λείαν ἀπέβαλον. γνωσθέντος δὲ καὶ τὴν ἐν Μόψου ἑστίᾳ τῶν ῥωμαίων ἐφέδρευσιν, ἄχρι νύκτα διὰ τῆς νυκτὸς καὶ διέφυγον. ὃ τῷ βασιλεῖ λύπης ὑπόθεσις γέγονε, καὶ ἄπρακτος ὥρμησε πρὸς τὸ Βυζάντιον. ἤδη γὰρ ἐπέστη καὶ τὸ μετόπωρον. ὅτε καὶ ὁ μέγας τῶν Βλαχερνῶν ἐπυρπολήθη ναός, ἔτους ἐνισταμένου ἑξακισχιλιοστοῦ, πεντακοσιοστοῦ, ἑβδομηκοστοῦ ὀγδόου. ἐφισταμένου δ' ἤδη τοῦ ἔαρος, Μανουὴλ πρωτοπρόεδρον τὸν Κομνηνόν, τὸν τοῦ βεβασιλευκότος ἤδη Ἰσαακίου ἀδελφιδοῦν, κουροπαλάτην τιμήσας, ἐφίστησι τοῖς στρατεύμασιν. ὁ δὲ νέος μὲν ἐτύγχανεν ὤν, ἦρχε δὲ κατὰ γέροντας, καὶ βαρβάρων συντυχὼν στρατιᾷ, προσμίγνυσι καὶ νικᾷ. ἐντεῦθεν λέγεται τὸν Διογένην φθόνον κινῆσαι, καὶ διὰ τοῦτο τῆς ὑπ' ἐκεῖνον στρατιᾶς μοῖραν οὐκ ἐλαχίστην ἀφελεῖν, καὶ στεῖλαι διὰ Συρίας. ἔπειτα τοῦ Κομνηνοῦ μετὰ τῶν ὑπολελειμμένων γενομένου διὰ Σεβαστείας, Τούρκων ἀνεφάνη πλῆθος, καὶ ἐπὶ τούτοις ἐκεῖνος. οἱ δὲ φυγὴν ὑπεκρίθησαν, καὶ οἱ περὶ τὸν Κομνηνὸν τοὺς φεύγοντας ἐπεδίωκον. ἐκ δέ γε συνθήματος μεταστρέψαντες τὰ νῶτα οἱ βάρβαροι, διεσκεδασμένοις τοῖς ῥωμαίοις ἐπέθεντο, καὶ πολλοὺς μὲν ἀνεῖλον, καὶ ἄλλους οὐ μείους, καὶ αὐτὸν τὸν στρατάρχην τὸν Μανουήλ, καὶ τὸ στρατόπεδον διηρπάκασιν. ἡ δὲ περὶ τούτων ἀγγελία τὸν αὐτοκράτορα διετάραξε, καὶ ἔτι φήμη τις γενομένη, ὡς ἡ τῶν Χωνῶν πολιτεία, καὶ τὸ ἐκεῖ τοῦ ἀρχιστρατήγου περίπυστον τέμενος τοῖς βαρβάροις παρειλήφθαι. ὁ μὲν οὖν βασιλεὺς κατ' αὐτῶν ἐβουλεύσατο αὐτίκα χωρῆσαι διὰ τῶν πολεμίων, καὶ ἐπαμῦναι τοῖς κινδυνεύουσιν. ἀλλά τινες αὐτῷ συμβου-

ἑτέρα ἐκστρατεία τοῦ βασιλέως καὶ ἐν ταύτῃ νενίκηκεν.

περὶ τοῦ ἐμπρησμοῦ τοῦ ναοῦ τῶν Βλαχερνῶν.

περὶ τοῦ Κομνηνοῦ Μανουὴλ καὶ ὅπως ὑπὸ τῶν Τούρκων αἰχμάλωτος, καὶ ὅπως ἐπανῆλθε ... τῷ βασιλεῖ.

συνεβέβλητο ἐπιχειρητέος. ἐν τούτοις δὲ ἧκεν ὁ Κομνηνὸς Μανουὴλ μετὰ καὶ τοῦ ἑλόντος αὐτὸν Τούρκου, προσελθόντος τῷ Βασιλεῖ. ἐκ γάρ τινος αἰτίας δυσμενῶς ὁ σουλτὰν ἐσχηκὼς κατὰ τοῦ ἀνδρὸς, στρατιὰν ἐξαπέστειλε κατ' αὐτοῦ συλληψομένην αὐτόν. ὁ δὲ δείσας, ὑπὸ τὸν Βασιλέα προσφυγεῖν, ὃν αὐτίκα τετίμηκε πρόεδρον. ἦν δὲ τὴν ἡλικίαν βραχύτατος, καὶ τὴν μορφὴν ἀηδέστατος. ἐπεὶ δὲ τὸ ἔαρ ὑπέλαμψεν, ἐμβέβηκε μὲν τῇ τριήρει τῇ αὐτοκρατορικῇ. διαπεραιουμένου δ' ἄρτι, περιστερὰ οὐ πάνυ μὲν μέλαινα τὴν χροιὰν, πρὸς δὲ τὸ μελάντερον ἐγκλίνουσα, τὴν τριήρη αὐτοῦ περιέπτατο, καὶ οὐκ ἀπέστη περιιπταμένη περὶ αὐτὴν, ἕως ἐκεῖνος ταῖς χερσὶν αὐτῆς ἐπελάβετο. ὁ δὲ ταύτην τῇ βασιλίσσῃ ἐξέπεμψεν, ἐδόκει δὲ τὸ τῆς περιστερᾶς οὐκ ἀγαθόν τι τεκμήριον οὔτε τῷ ταύτην ἑλόντι, οὔτε μὴν τῇ πρὸς ἣν ἐστάλη. ἀλλὰ καὶ τοῦ ξύλου, ὃ μέσον ἱστάμενον ἡ βασίλειος σκηνὴ ἐπερείδεται, αὐτομάτως καταγέντος, κατέπεσεν ἡ σκηνὴ, καὶ τοῦτο δὲ σύμβολον ἐνομίσθη ἀπαίσιον. ὅμως οὐδὲν τὸν Βασιλέα τῆς προθυμίας ἀνέκοψεν, ἀλλὰ προῄει ἕως τοῦ θέματος τῶν Ἀνατολικῶν, φειδωλίας ἐχόμενος παρὰ τὸ εἰωθός. αὐλιζομένου δέ που ἐν δωματίοις, πῦρ ποθὲν ἐμπεσὸν, αὐτά τε κατέφλεξε τὰ δωμάτια, καὶ ἵππους ἡμιφλέκτους εἰργάσατο τῶν βασιλικῶν, καὶ χαλινοὺς καὶ ὀχήματα, ὃ καὶ τοῦτο κακὸν οἰώνισμα ἔδοξεν. ἐκεῖθεν δὲ μετελθὼν, καὶ τὸν Ἀλὴν διαπεράσας, καὶ παρελθὼν τὴν Καισάρειαν, εἰς τὴν λεγομένην Κρυανπηγὴν τὸν χάρακα ἔθετο. ἔνθα τισὶ τῶν Νεμίτζων ἀπανθρωπότερον προσενεχθέντος δι' ἀδικήματα, τοῦ δὲ τάγματος τούτων ἀποστατήσαντος, ἱππότης αὐτὸς αὐτίκα ἐπιφανεὶς, καὶ τὸ στρατιωτικὸν ἐπαγόμενος, κατέπληξέ τε τὸ ἀποστατῆσαν, καὶ αὖθις συμμαχικὸν αὐτὸ ἐποιήσατο. εἶτα ἀπῄει εἰς Θεοδοσιούπολιν, κἀκεῖ δύο μηνῶν ἕκαστον ἐπαγγελθῆναι κελεύσας τροφὴν, ὡς διὰ ἀοικήτου μέλλων πορεύεσθαι, διεῖλε τὸ στράτευμα, καὶ μοῖραν μὲν τῷ Ῥουσελίῳ παρέχει. ἀνὴρ δ' οὗτος Λατῖνος πολεμικώτατος, καὶ κατὰ τοῦ Χλιὰτ αὐτὸν ἐξαπέστειλεν. ἑτέραν δὲ μοῖραν ἑτέρῳ προσνείμας, προσέταξεν αὐτῷ πορθῆσαι τὸ Μαντζικιέρτ, αὐτὸς δὲ ὁ Βασιλεὺς μετὰ τῶν λοιπῶν, οὐκ ἀξιομάχων ὄντων, προσελείπετο. τὸ μὲν οὖν Μαντζικιέρτ δι' ὁμολογίας τῷ Βασιλεῖ παρεδέδοτο, ἐκδεδειλιακότων τῶν Τούρκων, καὶ πίστιν αἰτησαμένων, καὶ τότε ἐξιόντων. στρατιώτας δὲ ὡς συλλογὴν ἐξελθόντας τῶν χρειωδῶν, πολέμιοι ἀθρόον ἐπῆλθοσαν. ὃ γνοὺς ὁ Βασιλεὺς, τὸν μάγιστρον Νικηφόρον τὸν Βρυέννιον ἐπ' αὐτοὺς ἐξαπέστειλε μετά τινος συντάγματος, ὃς τοῖς Τούρκοις προσβαλὼν, καὶ κάμνουσαν βλέπων τὴν μετ' αὐτοῦ δύναμιν, ἐζήτει ἐπικουρίαν. ὁ δὲ Βασιλεὺς ἀγνοῶν τῶν ἐναντίων τὴν δύναμιν, δειλίαν κατέγνω τοῦ Βρυεννίου, καὶ κατὰ τοῦ ἀνδρὸς ἐτραχύνετο. ἔτυχε δὲ τότε ὁ ἱερεὺς ἀναγινώσκων τὸ εὐαγγέλιον, καὶ λέγων. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν. ὅμως ἔστειλε καὶ τὸν μάγιστρον Νικηφόρον τὸν Βασιλάκιον μετὰ μοίρας στρατιωτῶν, ὧν προστεθέντων τῷ Βρυεννίῳ, μέχρι μέν τινος ἰσοπαλὴς ἦν ὁ ἀγών. εἶτα τοῦ Βασιλακίου ὁρμήσαντος ἐν προμάχοις κατὰ τῶν ἐναντίων μετὰ τῶν περὶ αὐτὸν, τὰ νῶτα ἔστρεψαν οἱ πολέμιοι, ὁ δὲ ἐδίωκε, τοῦ Βρυεννίου σὺν τοῖς ἀμφ' αὐτὸν μὴ διώκοντος. ὡς δὲ περὶ τὸν χάρακα τῶν ἐναντίων ἐγένετο, πληγέντος αὐτῷ τοῦ ἵππου ἀπέβη αὐτοῦ, καὶ διὰ τὸ τῶν ὅπλων βάρος οὐκ εὐκινήτως ἔχων, κυκλοῦται παρὰ τῶν πολεμίων, καὶ ζωγρηθεὶς, τῷ σουλτάνῳ προσάγεται, ὅτι δ' ἐκεῖνος δειλιώτερον αὐτῷ

ὁ γυναικεία [illegible] λυπουμένη ἐν αὐτῇ [illegible]

περὶ τῆς τῶν Νεμίτζων ἀποστασίας, καὶ ὅτι διὰ [illegible] στράτευμα, ὃ μετὰ πολλῶν [illegible] συνελάμβανε.

mnenus cum eo Turca, à quo captus fuerat. Nam is, quum Sultanus ob crimen quoddam homini infensus, exercitum ad eum comprehendendum misisset, mœtu pœnæ ad Imperatorem confugit, & statim præses est designatus. Erat autem parua statura, & fœdissimo aspectu. Apperente uere, quum uix è portu soluisset: columba non prorsus nigra, sed ad nigredinem inclinans, triremem eius circumuolauit, nec circa illam alas agitare destitit, donec manibus comprehensam Imperatrici misit, quod inauspicatum omen uisum est, tam ei qui cepisset, quàm ei quæ accepisset. Sed & imperatorium tabernaculum ligno quo in medio fulcitur, sponte confracto concidit, idquoque ominosum est habitum. Verùm neutrum horum Imperatoris alacritatem inhibuit, quominus usque ad Orientales prouincias perueniret, parsimoniæ præter morem suum intentum. Quum in domunculis quibusdam diuersaretur, ignis nescio unde illapsus, eas consumpsit, equos imperatorios, frenos & uehicula adussit, quod & ipsi malum augurium uisum. Inde digressus, Aly superato, relictaq; Cesarea, ad locum qui Cryapega dicitur, uallum muniuit. Vbi quum ob Nemitzorum quosdam propter facinora seuerius multatos, legio defecisset, ipse statim in equo aduolans, adducto exercitu desertores perterritos in belli societatem recepit. Deinde Theodosopolin profectus, singulos duorum mensium commeatum secum ferre iussit, quòd per loca deserta iter facturus esset, diuisoq; exercitu, Ruselium Latinum, uirum bellicosissimum, una parte attributa contra Chliatum misit: alium quendam altera parte attributa, Mantziciertum uastare iussit, reliquos ipse retinuit, bello gerendo non pares. Ac Mantziciertum quidem, Turcis perterritis, fide accepta, & urbe relicta, deditionem fecit. Milites autem pabulatum egressi, ab hostibus sunt subitò oppressi. quo Imperator cognito, magistrum Nicephorum, Bryennium cum aliquot cohortibus aduersus eos misit, qui cum Turcis congressus, quum suas copias fatigatas uideret, subsidium petijt. Imperator uerò uires hostium ignorans, Bryennium ignauiæ accusauit, uiroq; succensuit. (Accidit autem ut sacerdos eo tempore Euangelium illud recitaret: Si me persequuti sunt, & uos persequentur) & tamen magistrum Nicephorum Basilacium cum parte copiarum misit, quibus Bryennio coniunctis, aliquantisper utrinque par certamen fuit. Deinde Basilacius cum suis Bryennio non consecuto, inter primos inuectus, hostes in fugam coniecit, quos dum ad uallum usque persequitur, equo uulnerato in pedes desilit: & quia ob armorum pondus parum se mouere poterat, ab hostibus circumuentus capitur. Dum uerò ad Sultanum adducitur, nec ipse aliter quàm ingenuum decet,

Omina inauspicata expeditionis in Orientem.

Nemitzi.

Ruselius.

Basilacius capitur à Turcis.

se gerit, nec Sultanus eum pro captiuo tractat, sed sæpius accersitum de Imperatore interrogat, copijs suis ostentatis. quas ille etsi laudabat, tamẽ ẽre eius esse negabat, ut cum illo decerneret. Imperator uerò cum reliquijs exercitus uallo egressus, ut specularetur quid fieret: in collibus usq; ad uesperam stetit. Quum in castra rediisset, Turci ea circũdederunt, & obequitantes tela cõiecerunt, clamoribus inconditis & ululatibus exercitum circumsonantes, & hoc modo nocte illa exacta. Mane Vzorũ quædam cohors ad Turcos transfugit, atque eos etiam Vzos qui manserant, suspectos fecit. Imperator igitur celerrimè Chliatum misit, ad reuocandos exercitus, qui cùm non uenirent (nam Tarchoniates unus ex illis ducibus, cognito Sultani aduentu, persuaserat Ruselio, ut cum suis copijs in Romanorum fines cõfugeret) decreuit Diogenes postridie cum suis, Martis aleam experiri. Interea legati à Sultano ueniunt de pace acturi, quos Imperator parum humaniter suscepit, tamen & dicendi copiam fecit: et hortatus est, ut suo domino renunciarent, si de conditionibus loqui uellet, ut relicto loco in quo iam castra haberet, tabernacula procul trãsferret, ut ipse uallũ ibi communiret, ubi tum Barbarorum tentoria essent. Hæc arrogantius locutus, legatos statim abire iussit. Qui cùm Sultano Imperatoris uerba renunciassent, illo cum suis de pacis conditionibus deliberante, Imperator superbia elatus, fidem quibusdam habuit familiarium suorum, qui Sultanum timere dicebant, & quòd iustas copias non haberet, propterea de pace agere, ut per inducias alium exercitum adduceret: non expectato Legatorum reditu, nec ulla re alia considerata, signa canere iussit. Barbaros etsi res improuisa commouit, tamen aciem instruxerunt, nec quamuis à Romanis inuaderentur, contraibant, sed sensim recedebant: neque fugientes, neque pugnantes. Quum autem serum diei esset, Imperator ut qui castrorum custodiam iusto minorem esse sciret, ueritus ne ab hostibus diriperentur, statuit omissa pugna redire ad uallum. Quum igitur imperatorio uexillo conuerso, exercitui denunciasset, ut idem faceret: ij qui circa ipsum erant, citra tumultum iussa sunt executi: sed quorum ordines longius distabant, recessum Imperatoris, fugam interpretati sunt, eo sermone ab Andronico Cæsaris filio apud phalanges sparso. Nam Cæsar eiusq; filij subinde Imperatori obtrectabant, & clanculum insidiabantur. Is igitur Andronicus, cùm nõ minimæ parti exercitus imperaret, statim cum suis equo concitato, in uallum rediit, quæ res cæteros etiam in fugam conuertit. Quos quum ita perturbatè reuerti uideret Imperator, substitit, & abeuntes etiam ut subsisterent, hortatus est. sed obsurduerãt omnes, nec fugam remittebant.

Ruselij fuga.

Diogenes superbè repudiatis Sultani legatis, sibiipsi accersit malũ.

Diogenes Andronici perfidia capitur à Turcis.

προσοίη, ὅτι μὴν ὁ σουλτὰν ὡς αἰχμαλώτῳ αὐτῷ προσενήνεκτο. συχνάκις δὲ τὸν ἄνδρα μετακαλούμενος, περὶ τοῦ βασιλέως διεπυνθάνετο, καὶ τὰς οἰκείας δυνάμεις ἐδείκνυεν. ὁ δὲ καὶ ἐπῄνει τὰ τοῦ σουλτὰν καὶ ἐθαύμαζεν, τὸ μέντοι συμφέρειν αὐτῷ ἔλεγεν, ἀντιπαρατάξασθαι τῷ βασιλεῖ. ὁ δέ γε βασιλεὺς μετὰ τῶν περιλοίπων ἐξῆλθε τοῦ χάρακος, κατασκοπήσων τί τὸ γινόμενον, ἑστὼς δ' ἐπὶ γεωλόφων μέχρις ἑσπέρας, ὑπέστρεψε. καὶ εὐθὺς οἱ Τοῦρκοι ἐκύκλωσαν τὸ στρατόπεδον, καὶ τοῦτο περιϊππεύοντες βέλη ἔβαλον, καὶ βοαῖς ἀσήμοις καὶ ὑλακαῖς περιήχουν τὴν στρατιάν. οὕτω μὲν οὖν ἡ νὺξ ἐκείνη παρῆλθεν. ἕωθεν δὲ Οὔζων τι σύνταγμα πρὸς τοὺς πολεμίους ἀπηυτομόλησε. καὶ τοῦτο ὕποπτον καὶ τὸ μεῖναν ἐκ πλήθους τῶν Οὔζων ἐποίησεν. ὁ δὲ βασιλεὺς ὀξύτατα πέμψας εἰς τὸ Χλιὰτ, μετεκαλεῖτο τὰ ἐκεῖσε στρατεύματα. ὡς δ' οὐκ ἀφίκοντο (ὁ γὰρ Ταρχανειώτης, ὅστις γὰρ ἦν ὁ εἷς τῶν ἐκεῖ στρατηγῶν, μαθὼν τοῦ σουλτὰν τὴν ἄφιξιν, πέπεικε καὶ τὸν Ῥουσέλιον, καὶ μετὰ τῶν ὑπ' αὐτοὺς δυνάμεων ἄραντες, φυγῇ πρὸς τὰ ῥωμαίων ἐχώρησαν ὅρια) ἔγνω ὁ Διογένης μετὰ τῶν συνόντων αὐτῷ διαγωνίσασθαι εἰς τὴν αὔριον, καὶ ἅμα πρωῒ πρὸς τὸν πόλεμον ἐξηρτύετο. ἐν τούτῳ δὲ πρέσβεις ἧκον ἐκ τοῦ σουλτὰν περὶ εἰρήνης διαλεξόμενοι. ὁ δὲ βασιλεὺς οὐ πάνυ φιλανθρώπως τοὺς πρέσβεις ἐδέξατο, ὅμως μέντοι καὶ λόγον σφίσι μετέδωκε, καὶ ἀπελθεῖν πρὸς τὸν κύριον αὐτῶν προετρέψατο καὶ ἀπαγγεῖλαι, ὡς εἰ βούλοιτο περὶ συμβάσεων διαλέξασθαι, καταλιπέτω τὸν τόπον ἐν ᾧ νῦν ἐστρατοπέδευται, καὶ πόρρωθί που κατασκηνωσάτω, ὥστε μὴ μέχρι τοῦ ῥωμαϊκοῦ στρατοῦ τὸν χάρακα πήξασθαι, ὅπου νῦν εἰσὶν αἱ τῶν βαρβάρων παρεμβολαί. ταῦτα τοῖς πρέσβεσι διαλεχθεὶς ἀλαζονικώτερον, συντόμως ἐπανελθεῖν ἐνετείλατο. οἱ μὲν οὖν πρὸς σουλτὰν τοὺς τοῦ βασιλέως λόγους ἀπήγγελον, κἀκεῖνος μετὰ τῶν περὶ αὐτὸν περὶ τῶν τῆς εἰρήνης συνθηκῶν ἐβουλεύετο. ὁ δέ γε βασιλεὺς ὑπερφρονήσας, καὶ τισι πεπεισμένος τῶν οἰκειουμένων αὐτῷ, δεδιέναι κρίναι λέγουσι τὸν σουλτὰν, ὡς μὴ ἀξιόμαχον ἐπαγόμενον δύναμιν, καὶ διὰ τοῦτο τὴν εἰρήνην ζητεῖν, ἵνα τὰς μάχας ὑπερθέμενος, καὶ ἄλλην δύναμιν προσαγάγηται, μήτε τὴν τῶν πρέσβεων ἀναμείνας ὑποστροφὴν, μήθ' ἕτερόν τι σκοπήσας, ταῖς σάλπιγξιν ἐκέλευσεν ἠχῆσαι τὸ ἐνυάλιον. τοὺς δὲ βαρβάρους τὸ αἰφνίδιον διεθρόησεν, ἀλλὰ καὶ οὕτως εἰς ἀντιπαράταξιν ἔστησαν, καὶ ἐπιόντων αὐτοῖς τῶν ῥωμαίων οὐκ ἀντέστησαν, ἀλλ' ἀνεχάζοντο, μήτε τὰ νῶτα τρέποντες, μήτε μέντοι μαχόμενοι. ὡς δὲ περὶ δείλην ὀψίαν ἡ ἡμέρα ἐγεγόνει, εἰδὼς ὁ βασιλεὺς ὅτι φυλακὴ τις εἰς τὸ στρατόπεδον οὐκ ἦν ἀξιόλογος, καὶ δείσας μὴ ἐπελθόντων τῶν ἐναντίων αὐτῷ διαρπαγῇ, ἔγνω τὴν μάχην λῦσαι καὶ ἐπαναζεῦξαι πρὸς τὸν χάρακα. ὑποστρέψας οὖν τὴν βασιλικὴν σημαίαν, αὐτός τ' ἐπανῄει καὶ τὴν στρατιὰν ταὐτὸ ποιεῖν διεσήμαινεν. οἱ μὲν οὖν περὶ αὐτὸν ὄντες, ἀθορύβως ἐποιοῦντο τὸ κελευσθέν. ὅσοι δὲ πόρρω ποι τῆς παρατάξεως ἐτύγχανον, φυγὴν τοῦ βασιλέως τὴν ὑποστροφὴν ὑπετόπασαν, Ἀνδρονίκου τοῦ υἱοῦ τοῦ καίσαρος τὸν λόγον ὑποβαλόντος ταῖς φάλαγξιν. ὅ τε γὰρ ὁ καῖσαρ καὶ οἱ τούτου υἱεῖς ἐφθόνουν τῷ βασιλεῖ, καὶ ἀφανῶς ἐπεβούλευον. ἄρας οὖν αὐτίκα μετὰ τῶν περὶ αὐτὸν ὁ Ἀνδρόνικος (ἐξῆρχε γὰρ οὐκ ἐλαχίστης μοίρας στρατιωτῶν) ἀπὸ ῥυτῆρος ἐπανελήλυθεν εἰς τὸν χάρακα. τοῦτο καὶ τοὺς λοιποὺς ἐτρέψατο εἰς φυγὴν, οὓς οὕτως ἀκόσμως ἐπανιόντας ὁ βασιλεὺς θεασάμενος, ἔστη, στῆναί τε καὶ τοῖς ἀπιοῦσιν ἐγκελεύετο. ἀλλ' ἐξεκεκώφωσαν ἅπαντες, καὶ τῆς φυγῆς οὐ μεθίεντο.

ὡς δὲ τὸ

ὅτι ἔξω πρὸς τοὺς τούρκους ηὐτομόλησαν, καὶ ὅτι μετεκαλέσατο τὰ στρατεύματα, ὁ διογένης ὁ βασιλεὺς, οἱ δὲ οὐκ ἀφίκοντο, καὶ ὅτι τοῦ βασιλέως ἑτοιμαζομένου πρὸς πόλεμον, ἐκ τοῦ σουλτὰν πρέσβεις ἦλθον περὶ εἰρήνης.

ὅτι ὑποστρεψάντων τῶν πρέσβεων ὁ βασιλεὺς πρὸς μάχην ὥρμησε, καὶ ἡττηθεὶς ἔφυγεν.

ὡς δὲ τὸ παράλογον τῆς φυγῆς δυστύχημα τῶν ῥωμαίων, καὶ μήνιμα θεῖον ἔγνωσαν οἱ πολέμιοι, εὐθὺς ἐπῆλθον τῷ βασιλεῖ· ὁ δὲ μετὰ τῶν περὶ αὐτὸν τὴν μάχην ἐδέξατο, καὶ μέχρι μέν τινος ἐρρωμένως ἀντεῖχεν, εἶτα τῶν μὲν πεσόντων, ἑαλωκότων δ' ἑτέρων, περιεστοιχίσθη παρὰ τῶν βαρβάρων ὁ βασιλεύς. ἀλλ' οὐδὲ οὕτως ἐνεδίδου. πολλοὺς δὲ πλήξας καὶ ἀνελὼν, ἐπλήγη καὶ αὐτὸς τὴν χεῖρα, καὶ οὕτως ἐκκαμὼν, καὶ μηκέτι ἀμύνεσθαι τοὺς ἐπιόντας δυνάμενος, μήτε μὴν τοι φυγεῖν, ἅτε τοῦ ἵππου αὐτοῦ πεπτωκότος ἐκ τῶν βελῶν, ἑάλω καὶ ἀπήχθη τοῖς βαρβάροις ὁ βασιλεὺς ῥωμαίων αἰχμάλωτος. ἀγγελθεῖσα δὲ ἡ τοῦ βασιλέως ἅλωσις τῷ σουλτὰν, χαρὰν μὲν, ὡς εἰκὸς, ἐνεποίησεν, οὐ μέντοι ἐπῆρεν αὐτὸν, ὥστε καὶ ὑψηλοφρονῆσαι, ἀξίαν ἐκεῖνος ὠνόμαστο. οὗ πολλὰ ἤδη δικαιοσύνης καὶ μετριοφροσύνης ᾄδονται διηγήματα. ὅθεν ἠπίστει καὶ τῇ τοῦ βασιλέως ἁλώσει, διὰ τὸ τοῦ δυστυχήματος ἄκρατον. καὶ ἰδὼν αὐτὸν, οὐ πρότερον πιστὸν τὸ πρᾶγμα ἐδέξατο, ἕως καὶ οἱ παρ' αὐτοῦ σταλέντες πρέσβεις αὐτὸν ἀνεγνώρισαν, καὶ ὁ βασιλάκιος ἐκεῖ κατεχόμενος, ἀχθεὶς καὶ ἰδὼν αὐτὸν, εἰς τοὺς πόδας αὐτοῦ θρηνῶν κατέβαλεν ἑαυτόν. τότε δὲ τοῦ θρόνου τε ἀναπηδήσας φασὶν ὥσπερ καὶ πεσόντα κατὰ γῆς, ὡς ἔθος, πατήσας αὐτὸν, ἀνέστησέ τε καὶ περιεπτύξατο, καὶ μὴ λυποῦ βασιλεῦ, ἔφη, τοιαῦτα γὰρ τὰ ἀνθρώπινα· ἐγὼ δέ σοι οὐχ ὡς αἰχμαλώτῳ, ἀλλ' ὡς βασιλεῖ προσενεχθήσομαι. καὶ αὐτίκα σκηνὴν αὐτῷ κατεσκεύασε, καὶ θεραπείαν βασίλειον, κοινωνεῖ τε τραπέζης, ὁμόθρονον ἑαυτοῦ ποιησάμενος, λύει τε τῶν αἰχμαλώτων αὐτῷ ὁπόσους ᾔτησε, καὶ οὕτως ἐφ' ἡμέρας τινὰς συνομιλήσας καὶ συνδιαιτηθεὶς τῷ ἀνδρὶ, καὶ τιμήσας ὑπερβαλλόντως, εἶτα καὶ συνθήκας θέμενος ἤδη εἰρήνης διηνεκοῦς, καὶ κήδους ὑπόσχεσιν ἤδη παισὶ ποιησάμενος, ἀφῆκε τὸν διογένην ἀπελθεῖν μεθ' ὅσης οὐκ ἄν τις ἤλπισε δορυφορίας τε καὶ τιμῆς. ὁ δὲ εἰς θεοδοσιούπολιν ἀπελθὼν, ἐσταλμένος βαρβαρικῶς (ὁ γὰρ σουλτὰν εἰκὼς αὐτῷ περιέθηκε στολὰς) τέως τὴν χεῖρα ἐκεῖ προσμείνας ἐθεράπευσε, καὶ τὴν ἀμφίεσιν πρὸς τὸ ῥωμαϊκώτερον μεθηρμόσατο. ἐκεῖθεν δὲ προῄει ἐπανιὼν, ἄγων μεθ' ἑαυτοῦ καὶ πρέσβεις τοῦ σουλτάν. ἀλλ' ὁ μὲν οὕτως ἐπανῄει. τῆς δ' ἁλώσεως αὐτοῦ ἀγγελθείσης εἰς τὰ βασίλεια, ἐν διχονοίᾳ οἱ περὶ ταῦτα γεγόνασιν. οἱ μὲν γὰρ τῇ βασιλίσσῃ καὶ αὖθις τὴν ἐξουσίαν ἐδίδοσαν, οἱ δὲ τῷ πρεσβυτέρῳ τῶν ταύτης υἱῶν τὸ ξύμπαν ἐπεψηφίζοντο, οἱ δὲ κοινοπραγίαν τῇ τε μητρὶ καὶ τῷ υἱῷ ἀπένεμον. ἐν τούτοις δὲ λύσις τῆς αἰχμαλωσίας ὁ διογένης ἀγγέλλεται, κομίζεται δὲ καὶ ἰδιόγραφος ἐκείνου ἐπιστολὴ, τὰ αὐτῷ συμβεβηκότα διδάσκουσα. τότε μείζονα θόρυβον ἦγε, καὶ ἀπορία πάντας εἴληφε, τί δέοι δρᾶν; ὁ γοῦν καῖσαρ ἰωάννης καὶ οἱ ἐκείνου υἱοὶ ἀεὶ ὡς εἴρηται, ἐγκοτοῦντες τῷ διογένει, ἁρπάζουσι τὸν καιρὸν, καὶ προσλαβόμενοι τῶν τῆς συγκλήτου ἐνίους, ὅσοι ὁμοφρονοῦσιν αὐτοῖς, ὧν ἐξῆρχεν ὁ ὑπέρτιμος ὁ ψελλὸς, δυσμενοῦς καὶ αὐτὸς τῷ διογένει τυγχάνων, τὴν βασίλισσαν εὐδοκίαν εἰς τὴν παρ' αὐτῆς δομηθεῖσαν μονὴν κατὰ τὸν ἐν τῇ προποντίδι πορθμὸν περιορίζουσι, τὸν δὲ μιχαὴλ ἀνακηρύττουσιν αὐτοκράτορα. εἶτα πανταχοῦ διαπέμπονται βασίλεια γράμματα, μήθ' ὑποδέχεσθαι, μήτε τιμῆς βασιλικῆς ἀξιοῦν ἐπανιόντα τὸν διογένην, κελεύοντα. τούτου δὲ τοῦ

ἴσως ὁ σουλτὰν ἐγένετο τῷ βασιλεῖ ἀπαχθέντι πρὸς αὐτ.

Quum autem hostes inopinatam Romanorum fugam numinis coortam intelligerent, statim Imperatorem inuaserunt. Is uerò cum suis pugnam non detrectata, ad tempus fortiter restitit. Deinde alijs cæsis, alijs captis, circumuentus à Barbaris, ne sic quidem cessit. Enimuero cùm multos uulnerasset, multos occidisset, tandem & ipse fatigatus, cum manu uulnerata, nec uim amplius propulsare, nec, equo cæso, extra telorum iactum fugere posset: captiuus est abductus ad Barbaros Romanorum Imperator. Quo nuncio accepto, Sultanus nomine Axan, gauisus est, ut natura fert, neque tamen superbia elatus. De cuius moderatione & iustitia multa memorantur. Vnde captiuitatem Imperatoris haud credebat, ob immoderatum successum: eoq; uiso non prius acquieuit, quàm legati quos dudū miserat, eum agnouerunt: & Basilacius, qui ibi tenebatur, adductus, ad pedes eius flēs se prostrauit. Tum quasi numine afflatus è solio exilijt, & de more humi iacentem calcauit. Deinde erexit atque amplexus est, cum huiusmodi uerbis: Noli mœrere Imperator. Ita enim sunt res humanæ. Ego uerò te non ut captiuum, sed ut Imperatorem tractabo. Et statim ei tabernaculum designat, & ministeria imperatoria, mensæ que adhibitum iuxta se collocat, captiuis quotquot peteret, redditis. Ad hunc modum per dies aliquot cum eo uersatus & collocutus, & insigni honore prosecutus, pace perpetua sancita, promissaq; affinitate inter liberos ipsorum contrahenda, Diogenem dimisit, cum maiore comitatu & honore, quàm sperari potuisset. Imperator igitur Barbarica ueste ornatus (Sultanus enim gentiliciam illi stolam dederat) Theodosopolim profectus, ibi expectauit, dum uulnus manus curaretur, & uestem pro Romana consuetudine immutauit. Inde cum Sultani legatis urbem uersus contendit. Cæterùm eius captiuitate in Regia nunciata, inter proceres controuersia fuit, alijs Imperatrici potestatem restituendam censentibus, alijs natu maximo ex eius filijs imperium decernentibus, alijs communem & matri & filijs autoritatem tribuentibus. Interea Diogenis liberatione nunciata, allataq; ab eo epistola, ipsius manu scripta, qua edocebat, ut secum esset actum: maior ortus est tumultus, magisq; dubitatum, quid agendum esset. Ioannes igitur Cæsar eiusq; filij, Diogeni semper (ut dictum est) infesti, arrepta occasione, quibusdam ex senatu suæ facinoris, quorum Pselus uir honoratissimus, princeps erat, & ipse Diogenis inimicus, adhibitis, Imperatrice Eudocia in monasteriū, quod ipsa circa fretū Propontidis struxerat, relegata, Michaelē Imperatorem appellat. Deinde quouis Imperatorias literas mittit, quibus prouinciales Diogenem redeuntem neq; suscipere, neque imperatorio honore

Axanis Sultani benignitas erga Diogenē captiuum.

Ioannis Cæsaris autoritate imperium Diogeni abrogatur.

honore dignari iubebantur: cuius consilij autor fuit Psellus, ut ipse in ea historia commemorat. Quo Diogenes cognito, quum ad Dociam castellū castra posuisset: Cæsar Constantinum filium præsidem contra eum mittit, inde Diogenes in Cappadociā profectus, cùm Crispinus Francus cum suis popularibus Constantino se sociasset: Theodorum Halyattem contra illos misit, cui uicto & capto, oculi sunt effossi. Id molestissimè ferenti Diogeni, & in Tyropæo castello munitissimo castra habenti, Antiochiæ dux Chataturius Armenius se cōiungit, multos adducēs milites, assumptoq; Diogene, & in Ciliciam perducto, à Sultano expectat auxilium, & ipse copias colligit. Quare denuò contra eos mittitur natu maximus, Cæsaris filius Andronicus. Commisso autem prælio, & Chataturio interfecto: milites eius ad Diogenem Adanam cōfugiunt. Quam urbem Andronico obsidente, Diogenes deditionem facit ijs conditionibus, ut imperio deposito, rasaq; coma, priuatam uitam ageret. Nam primarij sacerdotes ab Imperatore missi, iureiurando confirmarant, nihil eum molesti passurum esse. Quibus fretus, pulla ueste indutus, Andronici fidei se permittit. Is eo accepto, ubi Cotyaium peruenit, expectauit dum mandaretur quid sibi faciendum esset, ægrotante Diogene ex ueneno per insidias, ut putabatur, propinato. Ibi igitur imperatorio edicto, insonti statim sunt effossi oculi, primarijs quoq; sacerdotibus præsentibus, & hominis calamitatem grauiter ferentibus. Verùm nemo eos curabat. Ita luminib⁹ crudelissimè orbato, iusta curatione nō adhibita, caput intumuit, et è uulneribus uermes scaturierunt, adeò ut ex putrefactione illa aër circa ipsum teterrimo fœtore cōpleretur. In tāta calamitate in Protam insulam perducitur, in cuius editiore loco monasteriū ædificarat. Ubi non diu superstes, corpus terræ reddidit, ab Imperatrice Eudocia funere eius splendidissimè curato, quum triennium & menses octo imperasset. Ea uerò quæ hic uir perpessus est, iussu Cæsaris acta esse omnia feruntur, Michaele Imperatore ignaro, qui quidem molli esset ac socordi ingenio, atque adeò ad imperium ineptus, ut ne leuissima quidem negocia administrare posset. Itaq; patruus Cæsar, eius simplicitate abutens, ex priuato odio illa omnia in Diogenem perpetrauit.

Chataturius pro Diogene occubuit.

Diogeni cōtra fidē datam, oculi eruuntur.

Michael imperio ineptus.

βδελύγματος ἀπηγητὴς ὁ Ψελλὸς γέγονεν, ὡς καὶ αὐτὸς ἐν τῇ περὶ τούτου φησὶ συγγραφῇ. ὅπερ ὁ Διογένης μαθὼν, τὴν Δοκίαν κατασχὼν (φρούριον δ' αὕτη) περὶ αὐτὴν ἐστρατοπεδεύσατο. καὶ ὁ καῖσαρ τὸν σφέτερον υἱὸν τὸν νεώτερον τὸν πρόεδρον Κωνσταντῖνον εἰλήφει(?) τοῦ Διογένους μετὰ δυνάμεως. ὁ δὲ Διογένης εἰς Καππαδοκίαν ἀφίκετο. προσχωρήσαντος δὲ τοῦ Κρισπίνου (Φράγγος δ' οὗτος) σὺν ὁμοφύλοις ὑπὲρ Κωνσταντίνου, ὁ Διογένης Θεόδωρον τὸν Ἀλυάτην κατ' αὐτῶν ἐξαπέστειλεν. ὁ δὲ συμμίξας αὐτοῖς ἡττήθη, καὶ ἁλοὺς ἐξωρύχθη τὰ ὄμματα. τοῦτο τὸν Διογένην λίαν ἠνίασεν. ὄντι δ' ἐν τῷ Τυροποιῷ (τοῦτο δ' ἐστὶ φρούριον ἐρυμνότατον) πρόσεισιν αὐτῷ τῆς Ἀντιοχείας ὁ δοὺξ (οὗτος δ' ἦν ὁ ἐξ Ἀρμενίων ὁ Χατατούριος) στρατιώτας συχνοὺς ἐπαγόμενος. παραλαβὼν οὖν τὸν Διογένην οὗτος, καὶ εἰς Κιλικίαν ἀπαγαγὼν, ἐκ τοῦ σουλτὰν ἐκαραδόκει βοήθειαν, καὶ αὐτὸς δὲ συνήθροιζε στράτευμα. στέλλεται γοῦν αὖθις κατ' αὐτῶν ὁ πρεσβύτερος τῶν παίδων τοῦ καίσαρος ὁ πρόεδρος Ἀνδρόνικος, καὶ εἰς Κιλικίαν γενόμενος, ὑπὲρ Χατατουρίου(?) προσμίγνυται, καὶ ἀναιρεῖται μὲν ὁ Χατατούριος. οἱ δὲ περὶ ἐκεῖνον εἰς Ἄδαναν συμπεφεύγασιν, ἔνθα ὁ Διογένης διέτριβε. περικαθίσας δὲ τὴν πόλιν ὁ Ἀνδρόνικος ἐπολιόρκει αὐτήν. ἔπειτα ἐπὶ συνθήκαις ἑαυτὸν ὁ Διογένης παρέδωκεν, αἱ δὲ συνθῆκαι, ἐκβῆναι μὲν τὴν βασιλείαν αὐτὸν, καὶ ἰδιωτεύειν, τὴν τρίχα κειράμενον. ὑπὲρ ταύτης γὰρ καὶ ἀρχιερεῖς ἐστάλησαν παρὰ τοῦ βασιλεύοντος, πληροφορίαν ἐνόρκως διδόντες αὐτῷ, ὡς οὐδέν τι πείσεται ἄχαρι. θαρρήσας οὖν τούτοις ὁ Διογένης, ἔξεισι μελανειμονῶν. καὶ ἑαυτὸν ἐγχειρίζει τῷ Ἀνδρονίκῳ. ὁ δὲ τοῦτον λαβὼν ἐπανῄει, καὶ εἰς τὸ Κοτυάειον ἀφικόμενος, προσέμενεν ἐν αὐτῷ, ἕως ἂν αὐτῷ κελευσθείη τὸ ποιητέον, τοῦ Διογένους νοσηλευομένου ἐκ πόσεως, ὡς ὑπόληψις, φαρμάκου δηλητηρίου ἐπιβούλως κερασθέντος αὐτῷ. ἐκεῖ τοίνυν ἐπέμφθη ψῆφος βασίλειος, τοῦ φωτὸς στερῆσαι τὸν μηδὲν ἠδικηκότα κελεύουσα. καὶ αὐτίκα τοὺς ὀφθαλμοὺς ἐξορύττεται, παρόντων καὶ τῶν ἀρχιερέων. καὶ ἐν δεινῷ ποιουμένων τὴν τοῦ ἀνθρώπου συμφορὰν, μὴ δὲ μιᾶς μέντοι ἀξιουμένων ἐπιστροφῆς. ὠμότατα δὲ τὰ ὄμματα ἐκκοπεὶς, καὶ μηδ' ἐπιμελείας τῆς δεούσης τυχὼν, διῴδησε τὴν κεφαλὴν, καὶ αἱ πληγαὶ οἱ ἐξέζεσαν σκώληκας, καὶ ὁ ἀὴρ ὁ περὶ ἐκεῖνον δυσωδίας μεμέστωτο ἐκ τῆς σήψεως. οὕτως οὖν κακῶς διακείμενος εἰς τὴν καλουμένην Πρώτην νῆσον ἀπάγεται. ἐν ᾗ σεμνεῖον ἐκεῖνος ἀνήγειρε περὶ τὸ τῆς νήσου μετεωρότερον. βραχὺ τοίνυν ἐπιβιώσας, ἐκεῖ τῇ χοῒ δίδοται ἐν αὐτῷ, παρὰ τῆς βασιλίδος Εὐδοκίας λαμπρότατα κηδευθεὶς, βασιλεύσας ἔτη τρία καὶ μῆνας ὀκτώ. λέγεται δὲ τὰ εἰς τὸν ἄνδρα τοῦτον γενόμενα πάντα, τοῦ καίσαρος εἶναι δράματα, μηδὲν εἰδότος τοῦ αὐτοκράτορος Μιχαήλ. ἦν γὰρ χαῦνος ἄγαν τὸ ἦθος ὁ βασιλεὺς καὶ ἀνδρόγυνος(?), καὶ πρὸς μεταχείρισιν πραγμάτων καὶ τῶν τυχόντων ἀδέξιος, πολλῷ γε δὴ πρὸς βασιλείας διοίκησιν. καὶ τὸ εὔηθες τῆς διανοίας ἐκείνου κατατρυφῶν ὁ θεῖος αὐτοῦ καῖσαρ, πάντα τὰ εἰς τὸν Διογένην ἐτύρευσεν, ἐγκοτῶν ἐπὶ ἀνδρί.

ὅτι πρὸς τὸν ... μετὰ ... φθονῶν ... τοῦ μὲν ... γόνου ... στάσις, ... τῷ καίσαρι ... φοιτώντων ... καὶ αὐτ.

ὅτι ... ἀνάστατος ὁ ... γένος. καὶ ὅτι ... συνθήκας ... παρέδωκεν ἑαυτόν.

ὅτι ἐν τῇ ... νήσῳ ... ὁ ... γένει.

ΒΑΣΙΛΕΙΑ ΜΙΧΑΗΛ τοῦ Δούκα υἱοῦ.

ὅτι τῷ σίδης ἐκτομίᾳ τοῖς πράγμασι πρότερον, εἶτα τὸν νικηφορίτζην.

Ἀποπεφυκὼς δ' ὁ βασιλεὺς μιχαὴλ πρὸς τὴν τῆς βασιλείας διοίκησιν, τὸν μητροπολίτην σίδης ἰωάννην, ἐκτομίαν ὄντα, δραστήριον δὲ τοῖς πράγμασιν ἐπιστᾷ. εἶθ' ἕτερον ἐκτομίαν τὸν νικηφόρον, ὃς νέος προσληφθεὶς παρὰ τοῦ μονομάχου εἰς τὰ βασίλεια, ὑποκοριζόμενος διὰ τὴν νεότητα νικηφορίτζης ὠνόμαστο, ἐκ τῆς ἐπωνυμίας ἐχρημάτιζεν, ἐλλάδος καὶ πελοποννήσου τὰς κρίσεις ἄρτι διέποντα μετεπέμψατο. ἔφθασε γὰρ ὁ ἀνὴρ οὗτος, καὶ τῷ πατρὶ τοῦ βασιλέως τῷ βασιλεῖ κωνσταντίνῳ τῷ δούκᾳ ὑπηρετήσασθαι. ἦν δὲ πρὸς πραγμάτων μεταχείρισιν δεξιὸς, καὶ λόγοις ὡμιληκὼς, τὸ δὲ ἦθος ἔχων ὑποκαθήμενον, καὶ γέμων δεινότητος. τούτῳ γοῦν ἐγχειρίζει τὰς ἡνίας τῆς βασιλείας, λογοθέτην ὀνομάσας αὐτόν. ἐντεῦθεν ὁ σίδης παραγκωνίζεται, καὶ ὁ καῖσαρ καθίσταται ὕποπτος, καὶ πᾶσα ἡ τῆς βασιλείας διοίκησις ὑπὸ τὸν λογοθέτην ἐγένετο, καὶ ὁ βασιλεὺς ὑπ' αὐτοῦ ὡς ἀνδράποδον ἤγετο. καὶ οὐκ ἦν, ὃ μὴ διὰ τοῦ λογοθέτου ἐγίνετο, καὶ πολλοὶ τῶν προσόντων ἐστερήθησαν, ἄλλοις ἄλλων ἐπηρεασμένων λαβόντων. καὶ ἦν τῶν ἀνθρώπων συντριμμὸς καὶ ταλαιπωρία, καὶ ὁ τούτων ἀντιστρεφόμενος οὐδαμοῦ.

ὅτι ἀμελῶν τῶν τῆς βασιλείας πραγμάτων, λόγοις ἐσχόλαζεν ὁ μιχαήλ.

ὁ γὰρ βασιλεὺς παιδαριώδεσιν ἐσχόλαζε πράξεσι, τοῦ ὑπάτου τῶν φιλοσόφων καὶ ὑπερτίμου μιχαὴλ τοῦ ψελλοῦ λόγοις τισὶ δοκῶν αὐτὸν ἐμβιβάζοντος, καὶ διδάσκοντος, νῦν μὲν τὴν γραμματικὴν τέχνην, καὶ μέτρα καὶ διαλέκτους, νῦν δ' ἵνα κατὰ ῥήτορας διαλέγοιτο, νῦν δ' ἱστορίαις αὐτὸν προσεθίζοντος. ἄλλοτε δὲ φιλοσόφων θεωρημάτων ἀκροᾶσθαι παρασκευάζοντος. ὁ δὲ πρὸς οὐδὲν ἐπεφύκει. τούτοις οὖν ὁ ῥωμαίων αὐτοκράτωρ προστετηκὼς, ὑφ' ἑτέρῳ, καὶ τούτῳ ἑνὶ, τὴν τῶν κοινῶν κυβέρνησιν ἐποιήσατο, καὶ νόμος ἦν τὸ τῷ λογοθέτῃ δοκοῦν. τὰ μὲν οὖν τῆς πολιτείας οὕτως εἶχε κακῶς.

ὅτι ὁ σουλτὰν τὰ κατὰ τὸν διογένην μαθὼν, τὴν ἑῴαν κατέτρεχε.

τὰ δὲ τῆς ἑῴας, χεῖρον ἔσχεν ἢ πρότερον. ὁ γὰρ σουλτὰν τὰ κατὰ τὸν διογένην μαθὼν, καὶ ὅτι ὃν ἐκεῖνος λαβὼν δορυάλωτον ἐτίμησε, καὶ ἀφῆκεν εἰς τὴν οἰκείαν ἀπελευσόμενον βασιλείαν, τοῦτον οἱ συμφυλέται ἀπηνῶς οἰκτίστῳ θανάτῳ παρέδωκαν, καὶ αἱ πρὸς ἐκεῖνον περὶ σπονδῶν συνθῆκαι ἄπρακτοι μεμενήκασιν, ὑπεραλγήσας, καὶ τὰς οἰκείας δυνάμεις κατὰ τῶν ῥωμαϊκῶν χωρῶν ἐξηρέθισεν. οὐκέτι τοίνυν ὡς ληϊζόμενοι τὰς χώρας ἐπῄεσαν, ἀλλ' ὡς ταύτας καθέξοντές τε καὶ κυριεύσοντες, τοῦ σφᾶς ἀνείργοντος μὴ παρόντος.

ὅτι ὁ κομνηνὸς ἰσαάκιος ἡττᾶται, καὶ ὁ ῥουσέλιος ἀποστατεῖ.

καὶ οἱ μὲν ταῦτα ἐποίουν, ὁ δὲ βασιλεὺς δύναμιν ἀγείρας, στρατάρχην ταύτης τὸν κομνηνὸν προβάλλεται ἰσαάκιον, συζεύξας αὐτῷ καὶ τὸν λατῖνον ῥουσέλιον, ὁμογενῶν ἄρχοντα τετρακοσίων ἀνδρῶν. ἐπεὶ δὲ πρὸς τὸ ἰκόνιον ἐγεγόνει τὸ στράτευμα, ἐξ αἰτίας τινὸς ἀποστατεῖ ὁ ῥουσέλιος, καὶ τοὺς ὁμοφύλους παραλαβὼν, καθ' ἑαυτὸν ἦν, καὶ νῦν μὲν τοῖς τούρκοις προσέμισγε, νῦν δὲ τὰς χώρας τὰς ῥωμαϊκὰς ἐληΐζετο, ὁ δὲ κομνηνὸς ἰσαάκιος μετὰ τοῦ περιλοίπου στρατεύματος τοῖς τούρκοις προσβαλὼν, ἡττήθη, καὶ ἔπεσον μὲν πολλοὶ, καὶ ἐζωγρήθησαν ἕτεροι, καὶ αὐτὸς ὁ στρατάρχης, καὶ διήρπασεν ἡ παρεμβολή. ὁ μὲν οὖν κομνηνὸς πολλῶν χρημάτων τὴν ἐλευθερίαν ὠνήσατο, ὁ δὲ βασιλεὺς τὸν θεῖον τὸν καίσαρα τοῦ πολέμου στρατάρχην ἐφίστησι. ὅπερ μαθὼν ὁ ῥουσέλιος, πρὸ τοῦ τὸν σαγγάριον τὸν καίσαρα διαβῆναι καταλαβὼν, ἀντεστρατοπεδεύσατο αὐτῷ, καὶ ὁ καῖσαρ ἀμνηστίαν αὐτῷ τοῦ πταίσματος ἐπηγγέλλετο, εἰ προσχω-

ὅτι ὁ καῖσαρ σταλεὶς κατὰ τοῦ ῥουσελίου ἑάλω.

IMPERIVM MICHAELIS Ducæ filij.

Nicephorus spado summæ rerum præest.

Michael imperio minimè idoneus, Ioannem Sidæ Metropolitã, spadonem illum quidem, sed uirum strenuum, rebus gerendis præfecit. Deinde alium spadonem Nicephorum, qui adolescẽs à Monomacho in aulam ascitus, ob ætatem per diminutionem Nicephorizes cognominabatur, à prætura Græciæ & Peloponesi reuocauit, qui patri etiã Constantino Ducæ inseruierat, uir solerti ingenio & erudit⁹, sed animo deiecto & calliditatis pleno. Is Logotheta designatus, imperij habenis acceptis, Sidensem loco mouet, & Cæsarem suspectum reddit, ipse omnia Imperatoris munia obiens, eundemq; instar mancipij ducens. Neq; quicquam erat, quòd à Logotheta non gereretur. Itaq; quum multi bona sua, alij per alias causas, amitterent, hominesq; atterentur, & ærumnis premerẽtur: nemo erat, cui illa curæ essent. Nam Imperator puerilibus rebus occupatus, à principe philosophorũ & honoratissimo Michaele Psello ad literarum studia deduci uidebatur, ac modò in arte grammatica uersibus & linguarum differentijs erudiebatur, modò declamationibus Rhetoricis, modò historijs assuefiebat, modò ad audienda Philosophica præcepta parabatur, quamuis ad hæc omnia ineptus. Huiusmodi igitur studijs Romanorum Imperator affixus, rerum administrationem alteri, eiq; uni commisit, ut legis autoritatem haberet, quòd Logothetæ uisum esset. Proinde Respublica malè habebat, Orientales uerò prouinciæ grauius quàm prius uexabantur. Nam Sultanus cùm didicisset, quemadmodum cum Diogene actum esset, eumq; à suis crudelissimè interfectum, quem ipse captiuum honorificè ad suum imperium remisisset, & pacis conditiones cum illo initæ manere irritas: magno dolore affectus, suas copias contra Romanorum prouincias concitauit, quas non iam prædabundi inuadebant, sed ut subacturi & possessuri, quum nemo esset, qui obsisteret. Quæ quum illi facerent, Imperator coacto exercitu, Isaacium Comnenum ducem creat, Ruselio Latino collega addito, cui CCCC. populares eius parebant. Verùm is exercitu ad Iconium perducto, cum suis certa de causa deficit, ac per se aliàs cũ Turcis pugnat, aliàs Romanas prouincias uastat. Isaacius uerò Comnenus cum reliquo exercitu à Turcis uincitur, ac multis cæsis, multis captis, castrisq; direptis, ipse quoque in hostium potestatem uenit, à quibus magna pecunia se redemit. Imperator uerò Cæsarem patruum bello præficit, quo Ruselius cognito, Sangario antequàm ille trajceret, occupato, castra contra eum locat, & quamuis illo ueniam delicti promittente, si armis positis

Turci orientem subigunt.

Ruselianа defectio.

Isaacij Comneni & Basilij Melosa captiuitas.

positis ad Imperatorem rediret, Barbarica insolentia de deditione minimè cogitans, prælio commisso, Cæsarem uincit, & cum pluribus alijs captum & uinctum, unaq; Basilium Malesam, paulò antè ex captiuitate cum Diogene liberatum, Byzantium uersus ducit, Botaniata Cæsaris collega cum paucis elapso, ac Chrysopolim se recipit, ubi statim domibus ignem iniecit: neq; homo Barbarus, cùm Imperator, si arma deponeret, Curopalatæ honorē ei offerret, uxorēq; cum liberis misisset, ulla re est mitigatus. Itaq; Turcis mercede contra se euocatis, cùm illis se non esse parem intelligeret, Cæsarem uinculis solutum, Imperatorem salutat, multos se cum eo coniuncturos esse ratus. Cùm autem Turcos Barbarica ferocia inconsideratè aggressus esset, Franci multos strauerunt, cæteros in fugam coniectos continenter sunt persecuti: plures tamen substiterūt, equis ita fatigatis, ut longiorem insectationem ferre non possent. Sed Ruselius & Cæsar paucis comitantibus instantes, & longius à suis prouecti, in aliam Turcarum multitudinem quæ multa millia complebat, inciderunt: cum quibus uel inuiti pugnare coacti, & à multitudine circumuenti, amissis equis ambo capiuntur. Ac Ruselium uxor maturè redemit, Cæsarem uerò Imperator, ad quem dum perducitur, quum ad Propontidem uenisset, capillo raso, mutataq; ueste, Monasticam lacernam sumit, metuens ne ob imperij titulum à nepote supplicio afficeretur. At Ruselius à captiuitate redemptus, ut dictum est, cum uxore & reliquis Francis in prouinciam Armeniacorum se contulit, ubi prius etiam uitam egerat. Imperator igitur Alexium Comnenum præsidem, adolescentē illum quidem, sed prudentem & strenuum contra eum mittit. Qui quum Amasiam peruenisset, Turcis occultè significat, si Ruselium sibi traderent, se illis grandem pecuniæ summam daturum. Itaque illi amicitia simulata, uirum comprehensum magna pecunia commutarunt, qui statim ab Alexio Byzantium perductus, & post atrocia tormenta in turri quadam est inclusus.

Ruselius à Turcis capitur.

Cæsar Ioannes fit monachus.

Alexius Comnenus Turcorum ope Ruselium capit.

Quia uerò sub hoc Imperatore annonæ caritate laboratum est, ut ut non integer medimnus numismate uenderetur, sed pinacio minus, qui est medimni quadrans: publica calamitas cognomen illi fecit, ut etiam hodie sic uocetur, neque aliter agnoscatur, nisi Parapinacium dixeris. Tertio porrò anno imperij illius gens Crabatorum, quos nonnulli Seruios uocant, Bulgariam occupare aggressa est; ac quædam loca cepit, sed multis prælijs factis, multis utrinque cæsis, tum ijs excidit, quæ tenuerat, tum deuicta, & Romana ditione expulsa, in suas redire sedes coacta est. Seruus porrò quidam paterni Imperatoris; Nestor nomine, dignitate Bestarches, ripæ Istri Dux designatus,

Crabati siue Seruij, Bulgariam frustrà tentant.

Nestoris defectio.

ρύσει τοῦ βασιλέως. ἀλλ' ἐκεῖνος βαρβαρικῶς φρυαττόμενος, οὐδὲν ἐφρόνει γόνιμον, συρρήγνυται τοίνυν πόλεμος, καὶ ἡττήθησαν οἱ περὶ τὸν καίσαρα, καὶ αὐτὸς ἑάλω σὺν πλείοσιν ἄλλοις, τοῦ Βοτανειάτου, ὃς συνεστράτευε τῷ καίσαρι, μετ' ὀλίγων φυγόντος. ὁ μέντοι Ῥουσέλιος πρὸς τὸ Βυζάντιον ᾔει ἄγων τὸν καίσαρα δέσμιον, καὶ τὸν Μαλέσην Βασίλειον, ἄρτι τῆς μετὰ τοῦ Διογένους λελυμένον αἰχμαλωσίας, καὶ ἐν Χρυσοπόλει ἄχρι τὸν ἐκεῖσε ἔστη, καὶ αὐτίκα πῦρ ταῖς ἐκεῖσε οἰκίαις ἐνῆκεν. ὁ δὲ βασιλεὺς ἀξίωμά τι κουροπαλάτου αὐτῷ ἐπηγγέλλετο, εἰ τὰ ὅπλα καταθοῖτο, καὶ τὴν γυναῖκα αὐτοῦ μετὰ τῶν τέκνων ἐξέπεμψεν, ἀλλ' ὁ βάρβαρος ἀπειθὴς ἦν. μεταπέμπεται τοίνυν ὁ βασιλεὺς κατὰ τοῦ Ῥουσελίου τούρκους ἐπὶ μισθῷ, ὁ δὲ μὴ ἀξιόμαχος ὢν πρὸς τὸν πόλεμον, λύει τὸν καίσαρα τῶν δεσμῶν, καὶ εὐφημίαις ἀναγορεύει βασιλικαῖς, οἰόμενος προσθήσεσθαί οἱ πολλούς. αἴφνης δὲ τούρκων ἀναφανέντων, ὁ Ῥουσέλιος κατ' αὐτῶν βαρβαρικῇ θρασύτητι ἀπερισκέπτως ἐχώρησε, καὶ πολλοὺς μὲν οἱ φράγγοι τῶν τούρκων κατέβαλον, τοὺς δ' ἄλλους ἐτρέψαντο εἰς φυγήν, καὶ ἀκρατῶς ἐδίωκον. οἱ μὲν οὖν πλείους ὀπίσω που ἀπελείφθησαν, τῶν ἵππων σφίσι μὴ δυναμένων πρὸς τὸ πολὺ τῆς διώξεως. ὁ Ῥουσέλιος δὲ μετὰ τοῦ καίσαρος σὺν ὀλίγοις ἐπήλαυνον. ἄλλο δὲ τῶν οἰκείων ἐκμακρυνθεῖσι πολύ, ἕτερα πληθὺς ἀνεφάνη τούρκων, εἰς πολλὰς πάνυ χιλιάδας ἀριθμουμένη, ὡς δ' ἐπῆλθον αὐτοῖς οἱ φανέντες, καὶ ἄκοντες αὐτοῖς συνερράγησαν, περικυκλωθέντες δ' ὑπὸ τοῦ πλήθους, καὶ τοὺς ἵππους ἀποβαλόντες, ἑαλώκασιν ὅ, τε καῖσαρ καὶ ὁ Ῥουσέλιος. ἀλλὰ τὸν μὲν Ῥουσέλιον ἡ σύνευνος πολλοῦ ἐπρίατο, τὸν δὲ καίσαρα ὁ βασιλεὺς ἐλυτρώσατο. ὁ δὲ ἀπαγόμενος πρὸς τὸν βασιλέα, καὶ ἐν τῇ Προποντίδι γενόμενος, κείρεται τὴν τρίχα καὶ μεταμφιέννυται τὴν στολήν, ῥάκος μοναχικὸν μεταβαλόμενος. εὐλαβεῖτο γὰρ μή τι πάθοι πρὸς τοῦ ἀνεψιοῦ διὰ τὴν ἀνάρρησιν. ὁ δὲ Ῥουσέλιος λυθείς, ὡς εἴρηται, τῆς αἰχμαλωσίας, τὴν γυναῖκα μετὰ τῶν περιλειφθέντων φράγγων λαβών, εἰς τὸ τῶν Ἀρμενιακῶν θέμα ἐχώρησεν, ἐν ᾧ δὴ καὶ πρότερον. στέλλει τοίνυν ὁ βασιλεὺς κατ' αὐτοῦ τὸν πρόεδρον Ἀλέξιον τὸν Κομνηνόν, νέον μὲν ὄντα, ἄνδρα δὲ γε συνετὸν καὶ δραστήριον. ὃς γενόμενος περὶ τὴν Ἀμάσειαν, δι' ἀπορρήτων δηλοῖ τοῖς τούρκοις, ὡς εἰ καταπράξαιντο τὸν Ῥουσέλιον παραδοῦναι σφίσιν αὐτῷ, πολλῶν αὐτοὺς ἐμπλήσει χρημάτων. φιλίαν οὖν ὑποκριθέντες ἐκεῖνοι πρὸς τὸν Ῥουσέλιον, κατέσχον τὸν ἄνδρα, καὶ πολλῶν αὐτὸν χρημάτων ἠλλάξαντο, ὃς αὐτίκα παρὰ τοῦ Ἀλεξίου δέσμιος ἀπήχθη πρὸς τὸ Βυζάντιον, καὶ σφοδρῶς αἰκισθείς, εἰς πύργον δέσμιος κατακέκλειστο. σιτοδείας δὲ γενομένης ἐν ταῖς ἡμέραις τοῦ βασιλέως τούτου, ὡς τὸ μὴ ὅλον μέδιμνον εἰς νόμισμα ἐκδίδοσθαι, ἀλλὰ παρὰ πινάκιον ὃ δὴ μεδίμνου τὸ τέταρτον, εἰς ἐπώνυμον τῷ βασιλεῖ τὸ κοινὸν δυστύχημα ἐχρημάτισεν, ὡς καὶ μέχρι τοῦ δεῦρο οὕτω τοῦτον καλεῖσθαι τὸν ἄνακτα, οὐ γὰρ ἔστιν ἄλλως γνωρίσαι τοῦτον τοῖς περὶ αὐτοῦ λέγουσιν, εἰ μὴ τὸν Παραπινάκιον εἴπη. τῷ τρίτῳ δ' ἔτει τῆς βασιλείας αὐτοῦ τὸ τῶν Χροβάτων ἔθνος, οὓς δὴ καὶ Σέρβους τινὲς καλοῦσι, ἐκεκίνητο, τὴν τῶν Βουλγάρων χώραν ὑποχειρίους καταχεῖν. ἀλλὰ μὲν καί τινα ταύτης κατέσχον, πολλαῖς δὲ μάχαις καὶ φθορᾷ πολλῶν ἐκκατέπαυσαν, τῶν τε κατασχεθέντων ἐξεπίπτουσι, καὶ καταπολεμηθέντες, τῶν Ῥωμαίων ὁρίων ἐξώσθησαν, καὶ εἰς τὰ σφέτερα ἤθη μένειν ἠναγκάσθησαν. δοῦλος δέ τις τοῦ πατρὸς τότε τοῦ αὐτοκράτορος, Νέστωρ ὄνομα, βεστάρχης δὲ τὸ ἀξίωμα, δοὺξ τῶν παριστρίων τόχα-

ὅτι ὁ βασιλεὺς τούρκους κατὰ Ῥουσελίου μετεπέμψατο, ὁ δὲ λύσας τὸν καίσαρα, βασιλέα ἀνεῖπε, καὶ συμμίξας τοῖς τούρκοις, ᾐχμαλωτίσθη καὶ αὐτὸς καὶ ὁ καῖσαρ φθάσας.

ὅτι ὁ καῖσαρ διὰ τὸ βασιλεῦσαι δείσας ἐκάρη καὶ μοναχὸς γέγονεν.

ὅτι ὁ βασιλεὺς Ἀλέξιον ἔπεμψε κατὰ τοῦ Ῥουσελίου.

ὅπως ἐκλήθη παραπινάκιος οὗτος ὁ βασιλεύς.

περὶ τοῦ τῶν Χροβάτων ἔθνους.

περὶ τῆς ἀποστασίας τοῦ Νέστορος.

προχειρισθείς, ἦρεν ὅπλα κατὰ τοῦ βασιλέως. ὁμαιχμίαν γὰρ θέμενος μετά τινος ἀρχηγοῦ πατζινάκων, ὃς ἐκαλεῖτο Τατοῦς, εἰς τὴν τῶν πόλεων βασιλεύουσαν περιηγήσατο, καὶ παρενέβαλεν πρὸ αὐτῆς. κατατεθεῖσθαι δὲ τὰ ὅπλα τοῦ βασιλέως δηλοῦντος αὐτῷ, ἐκεῖνος ἕτοιμος εἶναι τοῦτο ποιῆσαι ἔλεγεν, εἰ αὐτῷ ὁ λογοθέτης ἐκδοθείη Νικηφόρος, ἢ τέως ἐκ μέσου γένοιτο, ὡς κοινὴ συμφορὰ καὶ κακὸν πανδήμιον. τοῦτο δὲ τοῦ βασιλέως μὴ ποιοῦντος, ἐπανίσταται μὲν τῆς πόλεως, τὰ θρᾳκῶν δὲ καὶ τὰ μακεδόνων λῄζεται, καὶ ἄχρι τόπων τῆς Βουλγαρίας προελάσας, καὶ εἰς τὴν τῶν πατζινάκων μεταχωρεῖ. υἱοῦ δὲ τεχθέντος αὐτῷ ἐκ τῆς ἐξ ἀλανῶν Μαρίας, ἣν καὶ βασίλισσαν ἔστεψε, Κωνσταντῖνον αὐτὸν ὠνόμασεν ἐπὶ τῷ πατρί, καὶ βασιλικοῖς ἐταινίωσε, καὶ σπείσας πρὸς τὸν Λογγιβαρδίας ἡγεμονεύοντα Ῥομπέρτον, τὴν ἐκείνου θυγατέρα τῷ υἱῷ ἐμνηστεύσατο, ἣν καὶ ἀχθεῖσαν Ἑλένην μετωνόμασεν. ἐτέχθη δὲ τότε ἐν τῷ Βυζαντίῳ παιδίον, ἕνα ἔχον ἐπὶ τοῦ μετώπου ὀφθαλμόν, τραγοσκελές. τῶν μέντοι βαρβάρων τὴν ἑῴαν ληϊζομένων, καὶ οἷς ἐντύχοιεν ἔργον τιθεμένων μαχαίρας, φυγόντες οἱ ἀσιανοὶ τῇ Κωνσταντίνου προσῴκισαν. μηδενὸς δὲ φροντίζοντος τῆς κοινῆς συμφορᾶς (ὁ γὰρ βασιλεὺς περὶ λόγους ἠσχολεῖτο, καὶ ἰάμβους συντιθέναι παρὰ τοῦ Ψελλοῦ ἐδιδάσκετο) σιτοδεία τοὺς ἐν τῇ πόλει ἐπίεζεν. ἵνα δὲ ἐμφαντικώτερον τὸ πάθος ἐκτραγῳδήσαιμι, λιμὸς ἦν ἄντικρυς τὸ κακόν, τῷ δὲ παρείπετο καὶ λοιμός, κἀκ τούτου συνέβαινον θάνατοι, καὶ οὗτοι συχνοί τε καὶ ἐπάλληλοι, ὥστε ἀδυνατεῖν τοὺς ζῶντας ταφῇ παραδιδόναι τοὺς θνήσκοντας. τοσοῦτοι γὰρ ἦσαν, ὡς πολλάκις πολλοὺς ἐν μιᾷ κλίνῃ ἐκφέρεσθαι, κἀν ταῖς ἀμφόδοις δὲ ἀτάφους κεῖσθαι πολλούς. ἐν πένθει πάντα καὶ κατηφείας μεστὰ ἦν διά τε ταῦτα, καὶ ὅτι καὶ ἀδίκοις εἰσπράξεσιν ἐπιέζετο τὸ ὑπήκοον. οὕτω δὲ τῶν πραγμάτων ἐχόντων, οἱ τῶν ἑῴων ἀρχόντων προὔχοντες συνελθόντες, ἀποστασίαν ὠδίνησαν, καὶ τὸν κουροπαλάτην Νικηφόρον τὸν Βοτανειάτην ὡς βασιλέα προείλοντο, καὶ αὐτοκράτορα ἀνηγόρευσαν. τοῦτο τὸν βασιλέα θορύβου καὶ δέους ἐπλήρωσεν. ᾔδετο γὰρ ὡς ὑπερτερήσει ποτὲ τοῦ μ. στοιχείου τὸ ν. ἦν δὲ τῶν εὐπατριδῶν ὁ Βοτανειάτης, ἐκ τοῦ Φωκᾶ τὴν τοῦ γένους ἕλκειν σειρὰν νομιζόμενος. διακηρυκευσάμενος τοίνυν πρὸς τοὺς Τούρκους ὁ βασιλεύς, ἁδρὰς αὐτοῖς ἐπαγγελλόμενος δωρεάς, εἰ τοὺς ἀποστατήσαντας συλλαβόντες παραδοῖεν αὐτῷ. ὁ μὲν οὖν Βοτανειάτης ἐξ ἑῴας, ὡς εἴρηται, βασιλείας αὐτῷ περιθέμενος καὶ σχῆμα καὶ ὄνομα, ἐφοίτα πρὸς τὸ Βυζάντιον. ἐξανίσταται δ' αὖθις ἑτέρας ἀποστασίας ἐπικυμανθὲν κλυδώνιον. ὁ γὰρ πρόεδρος Νικηφόρος ὁ Βρυέννιος δοὺξ Δυρραχίου τυγχάνων, ἐπεὶ μεμάθηκεν ἀφαιρεθεὶς τὴν ἀρχήν, ἀφίσταται καὶ αὐτός, καὶ περιβάλλεται τὰ τῆς βασιλείας παράσημα, καὶ τοῖς ἐκεῖ παροῦσι δορυφορούμενος τάγμασιν, εἰς τὴν Ἀδριανούπολιν ἀπῄει, ἀφ' ἧσπερ καὶ ὥρμητο, καὶ τῷ ἀδελφῷ Ἰωάννῃ ἐκεῖ ἑνωθείς, πλῆθός τε στρατιωτῶν ἐκεῖθεν ἐθνικῶν τε καὶ μακεδόνων πολλοὺς συναθροισάμενος, τῆς τυραννίδος ἀπήρξατο. πρὸς δὲ τὴν τοῦ Βρυεννίου ὁ Θεοδωροκάνος συμμίξας, ἡττᾶταί τε καὶ ἁλίσκεται. προσερρυήκεσαν δὲ τῷ Βρυεννίῳ καὶ οἱ Ῥαιδεστηνοί, ἀλλὰ μέντοι καὶ οἱ οἰκοῦντες τὸ Πάνιον. εἴχετο τοίνυν τῆς ἀποστασίας ὁ Βρυέννιος κρατερῶς, τὸν ἀδελφὸν κουροπαλάτην τιμήσας, καὶ στέλλει σὺν δυνάμει πρὸς τὸ Βυζάντιον, ὡς αὐτίκα τοῦτο παραληψόμενον. εἶχε τοι γὰρ ἐλπίσιν, ὡς ὑπῄει, τὸ τοῦ λόγου χωρίον, οἱ τῆς συγκλήτου βουλῆς αὐτὸν ὑποδέξονται

arma contra illũ cepit, & conspiratione cum quodam Pazinacarum duce Tato inita, castra ante urbem imperatricem posuit. Monitus autem ab imperatore, ut ab armis discederet: id se facturum respondit, si Logotheta Nicephorus reipublicæ pestis, & clades populi sibi uel dederetur, uel è medio excederet. Eo ab Imperatore negato, relicta urbe, Thraciam & Macedoniam & his finitima Bulgariæ loca prædatus, ad Pazinacas se confert. Michael filium ex Maria Alana, quam Augustam appellatat, susceptum, Constantinum ob patris memoriam uocauit, & Imperij insignibus adornato Langobardiæ ducis Romperti filiam despondit, cui adductæ nomen Helenæ indidit. Ea tempestate Byzantij puer natus caprinis pedibus, uno oculo in fronte præditus. Barbaris autẽ Orientem uastantibus, & obuios quosque ferro trucidantibus, Asiani Constantinopolim cõfugerunt. Nemine autem bonum publicum curante (nam imperator studijs uacans, iambos scribere à Psello docebatur) urbanos annonæ penuria premere cœpit, quam calamitatem ut euidentius & atrocius declarem, id malum fames fuit, eam pestis comitabatur. Vnde hominum interitus tantus & tam frequens est consecutus, ut uiuentes morientibus sepeliendis essent impares. Tot enim peribant, ut sæpe multi in uno lectulo efferrentur, multi in biuijs insepulti iacerent. Quare cum hac de causa, tum ob iniquas exactiones omnia luctu & mœrore plena erant. Eo rerum statu, Orientaliũ prætorum principes defectionem parturientes, Nicephorũ Botaniatem prælatum cæteris, imperatorem salutant. Id Michaelẽ perturbationis & terroris cõpleuit. Canebatur enim, literam N, fore superiorem litera M. Erat autem Botaniates claro natus genere, atque à Phoca originem ducere putabatur. Imperator igitur per caduceatores ingenti promissa pecunia, à Turcis petit, ut seditiosos sibi tradant. Botaniates autem Imperatorio, ut dictum est, & nomine & habitu usurpato, Byzantium contendit. Sed & ab Occidente alia seditionis tempestas extitit. Nam Nicephorus Bryennius Dyrrachij dux quum sibi abrogatam esse dignitatem cognouisset, & ipse deficit, Imperij insignibus arreptis, & legionum quas ibi habebat custodia munitus, Adrianopolim petit, unde ortus erat: ubi fratre Ioanne adiuncto, & militibus gentilibus & Macedonibus multis ad se pellectis, tyrannidem auspicatur. Theodorocanus autem cum parte copiarũ illius congressus, & uincitur & capitur. Quin & Rædestini & Panij incolę, ad Bryentium confluxerunt. Itaque defectionem nauiter urgens, fratrem Curopalatem designatum cum copijs Byzantium misit, quasi id statim capturus esset. Eam enim spem alebat, se à senatu

Cõstantinus Michaelis Ducæ filius et spõsa Helena.

Monstrum.

Pestilẽtia et fames.

Nicephorus Botaniates regnum affectat.

Nicephori Bryennij seditio.

tam ex Logothetæ Nicephori odio, quàm ob Michaelis simplicitatem, obuijs (quod dicitur) ulnis, susceptum iri. Verum res illi nō ex animi sententia cesserunt. Nam ij quos miserat, Blacherniā mœnia adorti, leuia quidem prælia fecerunt, sed nihil profecerunt. Vnde per pontem in obuersam urbi continentem progressi, ædificia incenderunt, atque inde Athyram redierunt. Imperator in tantis undique malis Ruselio uinculis soluto, & uerbis & pecunia delinito persuadet, ut cū Alexio Comneno præside, qui copijs Byzantinis præerat, Bryennij fratrem Ioannem inuadat. Sed Ioannes ea re maturè cognita, fuga salutem quæsiuit. Multi tamen Macedones, qui ibi relicti erant, partim cæsi, partim capti sunt. Interea Pazinacarum multitudo Adrianopolim aggressa, castris positis agros suburbanos uastat, à quibus Bryennius pecunia data impetrauit, ut ab urbe recederent. Ruselius uerò fratrem eius Ioannem Cyzicum inuadētem, ac gentem illam subigere conātem adeptus, prælio uictum profligauit. Ioanne Xiphilino Patriarcha in æternas mansiones translato, cum Ecclesiam annos XI & menses VII pauisset: Patriarcha designatus est Cosmas Monachus, ineruditus ille quidem, sed omnis generis uirtutibus ornatus, qua de causa etiam ab imperatore in maximo precio habebatur. Cæterum Botaniates legionibus è diuersis gentibus conflatis, Turcas etiam sibi conciliauit, quorum Cutlumus dux erat, Persa illustris, qui cum Sultano, cui genere propinquus erat, de regno contendebat, iamque ad arma res spectabat. Id Chaliphę, cuius apud illos maxima erat autoritas, ut qui à Mahumeto ortum sumere putaretur, magnū dolorē attulit, si inter ipsos bella ciuilia orirentur, & quāuis moris non esset, ut suo loco excederet, ac in publico uersaretur: tamē instituto contēpto, ad eos abit qui de regno litigabant, eisque persuadet, ut omisso bello Sultanus principatū suū integrū teneat, cognatoque omni ope præsto sit, ut Romanis prouincijs subactis imperet. Iis pactionibus firmatis, Cutlumus Romanā ditionem ingressus Botaniatæ operam nauat, qui iustis copijs instructus Nicæam occupare properabat, iam enim præsidiarij milites prodita urbe ultrò se cum ipso coniunxerant, & à magna urbe indies aliqui ad illum confluebant. Ita rebus ex sententia succedentibus, Botaniates in urbe principe, frequentissimo conuentu plebis, primorum ex magistratibus, & selectorum sacerdotum, celebri Euangelismi festiuitate, imperator appellatur, Antiocheno patriarcha Æmiliano, & Metropolitano Iconij autoribus. Igitur Reipublicæ primores tributim diuisi, & phalangis instar conglobati, Regiam Orienti obuersam inuadunt, cam'que præsidio suorum militum imposito firmant.

Ioānes Bryennius à Ruselio profligatur.

Pazinacæ.

Cosmas Xiphilino succedit.

Cutlumus Persarum princeps Botaniatæ coniunctus.

Botaniates Imperator creatur.

διὰ τὴν πρὸς τὸν λογοθέτην Νικηφόρον ἀπέχθειαν, καὶ τὴν τοῦ βασιλέως ἀφέλειαν, ἀλλ' οὐ κατὰ τὸν σκοπὸν αὐτοῦ καὶ τὰ πράγματα ἀπήντησεν. ἐπελθόντες γὰρ οἱ σταλέντες τῷ τείχει τῶν Βλαχερνῶν, ἀκροβολίσαντο μὲν, ἤνυσαν δ' οὐδέν. ὅθεν διὰ τῆς γεφύρας διαβάντες εἰς τὴν ἀντιπέραν τῆς πόλεως ἤπειρον, τὰς ἐκεῖ τυγχανούσας οἰκοδομὰς παρέδοσαν τῷ πυρί, κἀκεῖθεν εἰς τὴν Ἀθύραν ὑπέστρεψαν. ὅτε δὴ ὁ βασιλεὺς περιστατούμενος πάντοθεν, τὸν Ῥουσέλιον λύει τῶν δεσμῶν, καὶ ῥήμασι καὶ χρήμασι τὸν ἄνδρα ἐκμειλιξάμενος ἐπελθεῖν πείθει τῷ τοῦ Βρυεννίου ὁμαίμονι μετὰ τοῦ προέδρου Ἀλεξίου τοῦ Κομνηνοῦ στρατηγοῦντος τῆς τῷ βασιλεῖ περὶ τὸ Βυζάντιον προσούσης δυνάμεως. ὃ μαθὼν ὁ τοῦ Βρυεννίου ἀδελφός, ἔφθη διαδράς. τῶν Μακεδόνων μέντοι καταλειφθέντων πολλοί, οἱ μὲν ἔπεσον, οἱ δ' ἑάλωσαν. ἐν τοσούτῳ δὲ καὶ Πατζινάκων πλῆθος ἐπῆλθε κατὰ Ἀδριανουπόλεως, καὶ περὶ ταύτην στρατοπεδευσάμενοι, τὴν πέριξ αὐτῆς ἐληΐζοντο χώραν, οὓς ὁ Βρυέννιος δεξιωσάμενος χρήμασι, μεταστῆναι τῆς πόλεως ἔπεισε. περὶ δὲ τὴν Κύζικον τῷ ἀδελφῷ αὐτοῦ ἐπελθόντι, καὶ πειρωμένῳ ὑπαγαγέσθαι τοὺς ἐκεῖ, ὁ Ῥουσέλιος ἐντυχών, ἐτρέψατο καὶ κρατεῖ αὐτοῦ. ἄρτι δὲ τοῦ πατριάρχου Ἰωάννου τοῦ Ξιφιλίνου πρὸς τὰς αἰωνίους μετατεθειμένου μονάς, ἔτη δέκα ἐνιαυτοῦ ἐφ' οἷς καὶ μησὶν ἑπτὰ τὴν ἐκκλησίαν ποιμάναντος, προχειρίζεται πατριάρχης Κοσμᾶς μοναχός, λόγοις μὲν οὐχ ὡμιληκώς, ἀρεταῖς δὲ παντοίαις κοσμούμενος, καὶ διὰ τοῦτο καὶ πρὸς τοῦ βασιλέως ἐξόχως τιμώμενος. ὁ μέντοι Βοτανειάτης ἐκ διαφόρων γενῶν ἑαυτῷ περιποιησάμενος τάγματα, καὶ Τούρκους προσεταιρίσατο, ὧν ἐξῆρχεν ὁ Κουτλουμούς, τῶν παρὰ Πέρσαις τυγχάνων περιφανῶν, ὃς τῷ σουλτὰν ὑπὲρ γένους προσήκων περὶ τῆς ἀρχῆς αὐτῷ διεφέρετο, καὶ πρὸς πόλεμον ἤδη χωρεῖν ἡτοιμάζοντο. ὃ τῷ χαλιφᾷ ἀπαγγελθὲν (οὗτος δὲ παρ' αὐτοῖς ὑπερβαλλόντως τετίμηται, ὡς ἐκ τοῦ γένους τοῦ Μαχουμὲτ κατάγεσθαι νομιζόμενος) εἰς ἀγωνίαν ἐνέβαλεν, ἵνα μὴ παρ' αὐτοῖς ἐμφύλιος γένηται πόλεμος. αὐτίκα τοίνυν ὃ καὶ τῆς οἰκείας διατριβῆς μὴ ἐξιέναι τῷ χαλιφᾷ, μηδὲ δημοσιεύειν νενόμισται, ἐκεῖνος τὸ ἔθος καταφρονήσας, ἔξεισι καὶ ἄπεισι πρὸς τοὺς περὶ τῆς ἀρχῆς ἀντερίζοντας, καὶ πείθει τούτους, τῆς μὲν μάχης ἀφέξεσθαι, τὸν δὲ σουλτὰν ἔχειν μὲν τὴν οἰκείαν ἀρχὴν ἀνεπηρέαστον, συνάρασθαι δὲ τῷ συγγενεῖ παντοίως, ἐν κατασχέσει γενέσθαι χώρας Ῥωμαϊκῆς, καὶ ταύτης ἄρχειν. οὕτω τοίνυν γενομένων ἐκείνοις συμβάσεων, ὁ Κουτλουμοὺς εἰς τὴν ὑπὸ Ῥωμαίους ἐγένετο, καὶ τότε τῷ Βοτανειάτῃ συνεστρατεύετο. ἔχων οὖν στρατιὰν ἀξιόλογον ὁ Βοτανειάτης μεθ' ἑαυτοῦ, ἔσπευδε τὴν Νίκαιαν καταλήψεσθαι. ἤδη γὰρ προδέδοτο ἡ πόλις αὐτὴ παρὰ τῶν τεταγμένων αὐτῇ εἰς φυλακήν, κἀκεῖνοι ἐθελονταὶ αὐτῷ προσεχώρησαν, ἐκ τῆς μεγάλης πόλεως δὲ πολλοὶ καθ' ἑκάστην προσεφοίτων αὐτῷ. οὕτω μὲν οὖν τῷ Βοτανειάτῃ κατὰ ῥοῦν ἐχώρει τὰ πράγματα, ἐν δὲ τῇ τῶν πόλεων ὑπερφερομένῃ παμπληθεὶ συνελθόντος τοῦ, τε δημοτικοῦ ταύτης, καὶ τοῦ ὑπερέχειν ἐν ἄρχουσιν, οὐ μὴν ἀλλὰ καὶ τῶν ἐν τῇ ἐκκλησίᾳ κεκληρωμένων τὸ ἔκκριτον, κατὰ τὴν ἡμέραν τῆς τοῦ Εὐαγγελισμοῦ πανηγύρεως, αὐτοκράτορα τὸν Βοτανειάτην ἀναγορεύουσι, προεξάρχοντος τοῦ τοιούτου συλλόγου τοῦ πατριάρχου Ἀντιοχείας, τοῦ καλουμένου Αἰμιλιανοῦ, καὶ τοῦ μητροπολίτου Ἰκονίου. διαιρεθέντες οὖν κατὰ φατρίας τῶν πολιτῶν οἱ ἔξοχοι, καὶ κατὰ φάλαγγας συνασπίσαντες, ἐπίασι τῶν ἀνακτόρων τοῖς πρὸς τὸν ἀνίσχοντα ἥλιον, καὶ τούτων κρατήσαντες, στρατιώτας οἰκείους ἐπεισάγουσιν εἰς αὐτῶν φυλακήν.

τὸν δὲ

[illegible]

περὶ Κοσμᾶ.

[illegible]

[illegible]

[illegible]

τὸν δὲ βασιλέα σὺν τῇ βασιλευούσῃ Μαρίᾳ καὶ τῷ υἱῷ εἰς τὰ ἐν Βλαχέρναις καταπεφευγότα ἀνάκτορα, καθαιροῦσι τῆς βασιλείας, καὶ ῥάκεσιν ἀμφιεννύουσι μοναχοῦ, καὶ πρὸς τὴν μονὴν τοῦ Στουδίου ἀπάγουσιν, ἐξεληλακότα τῆς βασιλείας ἐν ἔτεσιν ἓξ καὶ μησὶ τέσσαρσι. τοῦτο δὲ τὸ σάββατον γέγονεν, ἐν ᾧ τὴν ἐκ νεκρῶν ἔγερσιν τοῦ Λαζάρου θαυματοποιίαν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν πανηγυρίζειν ἡ ἐκκλησία παρέλαβε. τοῦ γοῦν Μιχαὴλ οὕτω τῆς βασιλείας ἐκπεπτωκότος, ἀπραγμάτευτον εὗρε τὴν αὐταρχίαν ὁ Βοτανειάτης, καὶ ᾔει πρὸς τὴν βασιλίδα τῶν πόλεων. ὁ μέντοι Νικηφόρος ὁ λογοθέτης πρὸς Ῥουσέλιον ἐν Ἡρακλείᾳ σκηνούμενον, τῆς πόλεως ὑπεξελθὼν προσεχώρησεν. οἱ δ' ἐν τῇ πόλει τὸν Μιχαὴλ καταπαύσαντες, ἐπὶ τρισὶν ἡμέραις βασιλέως χηρεύοντα συντηρήσαντες τὰ βασίλεια, τῷ Βοτανειάτῃ ἐπέστειλαν καὶ ἐλθεῖν ἐπέσπευσαν. ὁ δὲ ἕνα τῶν οἰκείων δούλων προπέμψας, τὸν Βορίλαν φημί, καὶ δι' αὐτοῦ κατασχὼν τὰ ἀνάκτορα, ἐπικατέλαβεν ἐκεῖνος μετ' οὐ πολύ.

Ἴσως ὁ Βοτανειάτης [illegible] φαλο.

ΒΑΣΙΛΕΙΑ ΝΙΚΗΦΟΡΟΥ τοῦ Βοτανειάτου.

Ἐπεὶ δ' ἐν τοῖς βασιλείοις ὁ Βοτανειάτης ἐγένετο, ἀναδεῖται μὲν τῇ μεγάλῃ τρίτῃ παρὰ τοῦ πατριάρχου ταινίᾳ βασιλικῇ, καὶ πρῶτον ἅπασι παρέσχε τὸ φιλοτίμημα, τὰς εἰς τὸ δημόσιον ἁπάντων κοινῶς ὀφειλὰς ἐκτεμὼν ἀπεριορίστως, καὶ χρεοκοπίαν τοῦτο θεσπίσματι μεγαλοπρεπῶς ἐφημισάμενος. ἐπεὶ δὲ τῷ Βρυεννίῳ μὲν τὴν ἑσπέραν ἐχομένῳ τῆς τυραννίδος, εἰς αὐτὸν ἀπαγγέλλοντας τὴν τοῦ καίσαρος ἀξίαν αὐτῷ δώσειν, εἰ τῆς τυραννίδος ἀπόσχοιτο, καὶ τοῖς αὐτῷ συνηρμένοις τὰς τιμὰς ἐπιβεβαιῶσαι, αἷς αὐτοὺς ἐκεῖνος ἐτίμησεν. ὁ δὲ σφόδρα τῆς βασιλείας ἐφίετο καὶ αὐθάδης ἦν. πάλιν οὖν ἑτέρα πρεσβεία καὶ αὖθις ἄλλη τρίτη. ὁ δ' ὑπερηφανεύετο, καὶ οὐδὲ κατὰ τὰ τῶν πρέσβεων νόμιμα τοὺς πρέσβεις ἐδέχετο, ἀλλ' ἀτίμως αὐτοὺς ἀπεπέμπετο. ὡς οὖν ὅλον ἀνηκέστως αὐτὸν ἔγνω ὁ βασιλεὺς, καὶ ἄκων πρὸς μάχην ἀπεγνώκει, καὶ τὸν Κομνηνὸν Ἀλέξιον τετιμηκὼς νωβελίσσιμον, καὶ προχειρισάμενος μέγαν δομέστικον, καὶ τῶν ῥωμαϊκῶν αὐτὸν δυνάμεων προστησάμενος, κατὰ τοῦ Βρυεννίου ἐξέπεμψεν. ὃς τούτῳ συμβαλὼν, κατά τι χωρίον Καλαβρύην λεγόμενον, διὰ τὸ καταρρύτον εἶναι τὸν τόπον βρύουσιν ὑδάτων πολλῶν τε καὶ ἀγαθῶν, ῥᾳδίως τῆς ἐκείνου περιεγένετο στρατιᾶς, καὶ τῶν μὲν πεσόντων, τῶν δὲ φυγόντων, ἧλε μονωθέντα τὸν τυραννήσαντα, καὶ τοῦ φωτὸς τὸν δείλαιον ἀπεστέρησε, καὶ εἰσήγαγε τυφλὸν εἰς τὴν βασιλεύουσαν. καὶ ἡ μὲν τοῦ Βρυεννίου εἰς τοῦτο τέλους κατέστησεν ἐπανάστασις. ἐπανέστησαν δὲ καὶ οἱ Βάραγγοι κατὰ τοῦ βασιλέως, ἀνελεῖν αὐτὸν μελετήσαντες. ἀντιταξαμένης δ' αὐτοῖς χειρὸς ἑτέρας ῥωμαϊκῆς, εἰς ἱκεσίαν ἐτράποντο, καὶ συγγνώμης ἐπέτυχον. τῆς δὲ βασιλέως τούτου τῆς ὁμοζύγου τελευτησάσης, πολλαὶ μὲν ἐμνηστεύοντο παρθένοι, καὶ πρὸ τῶν ἄλλων ἡ τοῦ βασιλέως τοῦ Δούκα θυγάτηρ Ζωή. ὁ δὲ, ἢ τὴν βασιλίδα Εὐδοκίαν ἤθελεν ἀγαγέσθαι, ἢ τὴν ἐξ Ἀλανῶν Μαρίαν, τὴν τῷ πρὸ αὐτοῦ συνοικήσασαν. στέλλει γοῦν τῇ Εὐδοκίᾳ μετακαλούμενος. ἡ δ', ὡς λόγος, οὐκ ἀπηνήνατο· ἐκωλύθη δὲ πρὸς τοῦτο ὁ βασιλεὺς παρά τινων μοναχῶν. καὶ ἄγεται τὴν βασιλίδα Μαρίαν, τὴν τῷ πρὸ αὐτοῦ συνοικήσασαν, οὐδὲν ἧττον παρανομήσας,

Ἴσως ὁ Βρυέννιος τυραννῶν ἑάλω καὶ ἐτυφλώθη.

Ἐπανάστασις τῶν Βαράγγων.

Ἄγει τὴν πρὸ αὐτοῦ βασιλέως γυναῖκα ἔγημεν ὁ Βοτανειάτης.

Michaelem uerò qui cum uxore Maria & filio in Blacherniam Regiam confugerat, erepto Imperio lacerna'que monastica induꝭcta, in Studij monasterium abducunt, cum Imperium annos sex & menses totidem tenuisset. Id eo sabbatho actum, quo Ecclesia, more à maioribus accepto, domini & seruatoris nostri mirabilem ex mortuis resurrectionem celebrare solet. Michaele ad hunc modum pulso, Botaniates imperio citra negocium potitus, ad urbem proficiscitur. Verùm Nicephorus Logotheta clàm egressus ad Ruselium Heracleæ statiua habentem, se contulit. Vrbani uerò qui Michaelem pepulerant, asseruata Regia per triduum principe destituta, Botaniatem per literas monent, ut properè ueniat. Is igitur Borila ministro misso, qui illam occuparet, ipse haud multò pòst est consecutus.

Michael ex Imperatore fit Monachus.

IMPERIVM NICEPHORI Botaniatæ.

Botaniates cum in regiam peruenisset, à Patriarcha, magno tertio die coronatur, ac primùm illud liberalitatis specimen edidit, ut quicquid fisco deberetur, id uniuersum citra exceptionem aboleret, ac nouas tabulas illustri edicto institueret. Bryennio uerò, qui adhuc in Occidente tyrannidem tenebat, per legatos Cæsaris honorem pollicetur, si tyrannide abstineat, & adiutoribus eius, honorum quos iam ab illo accepissent, cōfirmationem. Sed cum ille imperij cupiditate æstuans, non cederet, atque alteram & tertiam legationem superbè repudiasset, legatis aliter quàm moris est, exceptis, & cū ignominia dimissis: desperatis quietis cōditionibus, inuitus bellū suscepit, & Cōnenū Alexiū Nobilissimi titulo ornatū, & magnū Domesticū designatū, præfectumq; Romanis legionibus, contra illum misit. Is cum eo congressus, in loco qui à frequentibus bonæ aquæ scaturiginibus Calabrya dicitur, illius exercitu facilè superato, tyrannum alijs cæsis, alijs fugatis destitutum, cœpit, ac miserum hominem cæcatum in Vrbem perduxit. Hunc Bryennij motus exitum habuit. Sed & Barangi Imperatorem per seditionem interficere conati, ab alia Romana manu oppressi, conuersi' que ad preces, ueniam impetrarunt. Cum autem Botaniatæ uxor obijsset, multæ uirgines, quamuis effœto Imperatori offerebantur, ac præ cæteris Constantini Ducæ filia Zoe. Verùm illi placebat, aut Imperatricem Eudociam ducere, aut Mariam decessoris sui coniugem. Misit igitur ad Eudociam, quæ cum (ut fertur) coniugium non recusaret, monachis quibusdam uetantibus, Mariam imperatricem ducit, in quo nihilo rectius fecit,

Nouæ tabulæ.

Bryennius dum imperium cupit, oculos amittit.

Alexius Comnenus dignitatibus ornatus rè bene gerit.

Barangorū motus.

Botaniates Mariam uxorem ducit, uiuente marito.

ὡς ὄψιν ἐλεύσεται τοῦ βασιλέως, προσληφθήσεται καὶ πάντας διαγκωνίσεται. ὑποπίπτουσι τῷ βοτανειάτῃ, ἀμυθήτων εὐπορεῖν χρημάτων τὸν λογοθέτην, καὶ ταῦτα τῷ βασιλικῷ χρῆναι προσαχθῆναι ταμείῳ. στέλλεται τοίνυν ὁ στραβορωμανὸς, μέγας ἑταιρειάρχης τότε γενόμενος, ἐρευνήσων τὸν ἄνθρωπον, ὅπῃ αὐτῷ τὰ χρήματα ἐναποκέκρυπται. οἱ δὲ περὶ τὸν βασιλέα, ὡς καὶ διαφθαρέντα τοῦ λογοθέτου παρουσίαν ὁ λόγος περιηγεῖτο, πείθουσι τὸν στραβορωμανὸν, ἀνελεῖν τὸν ἄνθρωπον ἐκ τρόπου παντός. ὃς καὶ γενόμενος κατὰ τὴν νῆσον ἐν ᾗ περιώριστο, ἐτάζει τὸν ἄνδρα οὕτω σφοδρῶς, ὡς ἐν αὐταῖς ταῖς βασάνοις ἀποψύξαι, καὶ ταῦτα ὑπισχνούμενον, ὡς πάντα δοίη ἐν ἐγγράφοις, εἴπερ ἐπισχεῖν μὲν διαφεύξοιτο. ὁ μὲν οὖν οὕτως ἀπώλετο. οἱ δὲ κομνηνοὶ ὁ ἰσαάκιος καὶ ὁ ἀλέξιος ὑπερβαλλόντως παρὰ τοῦ βασιλέως καὶ τετίμηντο, καὶ ἐστέργοντο, καὶ διάδοχοι αὐτοῦ τῆς βασιλείας ὠνόμαζον. διὸ καὶ παρὰ τῶν περὶ βοτανειάτην σφοδρῶς ἐβασκαίνοντο, καὶ μᾶλλον παρὰ τῶν εἰρημένων δύο δούλων αὐτοῦ, οἳ καὶ πρὸς ἐκεῖνον τοὺς ἄνδρας διέβαλλον, ὡς τυραννίδα μελετῶντας, καὶ τῆς εἰς αὐτοὺς τοῦ βασιλέως διαθέσεως ὑποκρυπτόν τι καὶ παρεσάλευον. ὃ γνόντες ἐκεῖνοι, καὶ μέντοι καὶ πείθουσι πτοηθέντες, ὡς δὲ λόγος, καὶ πάλαι περὶ ἑαυτοὺς τὸν τῆς βασιλείας τρέφοντες ἔρωτα, καὶ ἄλλοις οἷς ἐθάρρουν, τὸ βούλευμα κοινωσάμενοι, ὑπεξῆλθον τῆς πόλεως, καὶ τὴν πόλιν ἀδριανοῦ καταληφθέντες, εἰς ἑαυτοὺς τὸ στρατιωτικὸν ξύμπαν σχεδὸν ἐπισπάσαντο, καὶ ἀναγορεύεται βασιλεὺς ὁ ἀλέξιος, τοῦ μείζονος προτιμηθεὶς ἀδελφοῦ, ὅτι τε προσέκειντο τούτῳ μᾶλλον ὡς στρατηγικωτέρῳ οἱ στρατιῶται, καὶ ὅτι συνδέσμοις καὶ ὑποσχέσεσι παρὰ τοῦ ἀδελφοῦ αὐτοῦ μεθειλκύσθησαν. οὕτως οὖν ἀναρρηθεὶς ὁ ἀλέξιος, καὶ τοῦ ἰσαακίου μὴ πάνυ τι πρὸς τὴν ἀνάρρησιν δυσχεράναντος, τὴν βασιλίδα καταλαμβάνει, καὶ πρὸς πολιορκίαν ἡτοίμαστο. ὁ δὲ βοτανειάτης τοῖς τείχεσιν ἐπέστησε φυλακάς. ἦσαν δὲ παρά τινα πύργον πρὸς τῇ πύλῃ τῆς πόλεως ἣ χαρσίου καλεῖται φυλάσσοντες νέμιτζοι (ἔθνος δὲ οἱ νέμιτζοι κελτικόν) οὗτοι λάθρα τοῖς περὶ τοὺς κομνηνοὺς ἐκοινολογήσαντο περὶ προδοσίας τῆς πόλεως. ἕωθεν οὖν κατὰ τὴν μεγάλην πέμπτην τῆς ἑβδομάδος τοῦ σωτηρίου πάθους τοῦ σωτῆρος ἡμῶν, οἱ μὲν περὶ τοὺς κομνηνοὺς τῷ κατ' ἄντικρυ τοῦ παρὰ τῶν νεμίτζων κατεχομένου πύργου ἐξωτέρῳ τείχει προσέβαλον, κατὰ συνθήκας δὲ ἐφιστῶντες αὐτῷ τοὺς προσβάλλοντας ἔβαλλον, καὶ ἀπεῖργον τοῦ προσεγγίσαι ἐγγοῦ. ὡς δὲ ὑπὸ τῶν νεμίτζων ἐκ τοῦ πύργου οἱ ἐν τῷ τείχει ἐβάλλοντο, μὴ οἷοί τε ὄντες καὶ πρὸς τοὺς ἐκτὸς ἀνθίστασθαι, καὶ πρὸς τοὺς ἐντὸς ἀπομάχεσθαι, ἐξ ὑπερδεξίων εἰς αὐτοὺς ἀκοντίζοντας, ἐνέδωκαν τῆς ὁρμῆς. οἱ δὲ τειχομαχοῦντες, κλίμαξιν αὐτίκα πρὸς τὸ τεῖχος ἀνῄεσαν, καὶ τὰ κλεῖθρα τῶν πυλῶν διατεμόντες πελέκεσιν, ἄνετον τοῖς συνεπομένοις παρεῖχον τὴν εἴσοδον. ὅπερ ἰδόντες οἱ τὸν ἐντὸς τηροῦντες περίβολον, σύγκλυδες ἄνθρωποι, καὶ πολέμων οἱ πλείονες ἀδαεῖς, ἢ μᾶλλον ἐξ ἀγοραίων ἀθροισθέντες καὶ πλήθους δημοτικοῦ, οἱ μὲν κατιόντες ᾤχοντο, οἱ δὲ καὶ ἑαυτοὺς ἀσφαλῶς κατακρημνίζοντες, ἔφυγον. ὅθεν κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν, καὶ τὸν ἐντὸς περίβολον οἱ περὶ τοὺς κομνηνοὺς περιλαμβάνουσι, καὶ τὰς τούτου πύλας ὁμοίως ἀναπετάσαντες, βατὴν τὴν πόλιν πανταχόθεν παρέσχοντο, καὶ αὐτίκα πρὸς διαρπαγὴν χρημάτων οἱ εἰσελθόντες ὡρμήκασι, σύμμικτον πλῆθος ἔκ θρᾳκῶν τε καὶ μακεδόνων, καὶ ῥωμαίων ἄλλων καὶ

Περὶ τῶν κομνηνῶν καὶ πῶς ἀποστατήσαντες, ὅπως τὴν πόλιν ἐκράτησαν, καὶ τῆς βασιλείας ἐπέβησαν.

ris conspectum ueniret, assumeretur, atque omnes loco moueret: imperatori dicunt, hominem immensam habere pecuniam, eamque in fiscum esse referendam. Igitur Strabo-romanus, tum magnus sodalitatis princeps, mittitur, qui hominem rogaret, ubi ea occultaretur: cui ijdem persuadent, ut eum omnibus modis tollat. Is igitur in insulam peruectus, miserum ita torsit, ut in quaestionibus ex pirarit: quamuis promitteret, se scripto expositurum omnia, si quaestionibus liberaretur. Ac ille quidem ita perijt. Comneni uerò Isaacius & Alexius ab Imperatore supra modum & honorabantur, & diligebantur, & imperij successores nominabantur. Qua de causa aulicorum & in primis duorum seruorum, quos diximus, obtrectationibus fuere obnoxij: qui eos apud illum criminati sunt quasi regnum cogitarent, & Imperatoris erga illos affectum clàm uellicarunt & exulcerarunt. Quo illi cognito, ueriti, ne quid in se grauius consuleretur, &, ut fama est, regni cupiditate iam olim aestuantes, communicato cum ijs quibus fidebant, consilio, urbe excedunt, & Adrianopoli occupata, uniuersas penè legiones ad se attrahunt. Alexius autem salutatur imperator, natu maiori fratri praelatus, cùm quòd ob rei militaris peritiam exerci tibus charior erat, tum quòd familiarium studijs & pollicitationibus commendatus. Is igitur sic declaratus, Isaacio non admodum aegrè ferente, urbem imperatricem, ad obsidionem paratus, inuadit. Botaniates uerò custodes in moenibus collocat. Erant autem in turri quadam ad urbis portam Charsiam custodes Nemitzi, gens Gallica, ij clàm cùm Comnenis de proditione egerunt. Mane igitur in magna quinta septimanae salutaris passionis seruatoris nostri, Comneni in murum exteriorem è regione turris illius, quam Nemitzi tenebant, ex composito fecerunt impetum, quos subeuntes telis arcebant defensores. Vt autem à Nemitzis, ij qui in muris erant, ex turri petebantur, nec simul & externis & internis hostibus è superiore loco iaculantibus resistere poterant, impetum remiserunt. Qui uerò moenia oppugnabant, scalis statim muro conscenso, portarum'que claustris bipennibus perfractis, liberum conjuratis ingressum patefecerunt. Quo ij uiso, qui interiora moenia tuebantur, confusanea turba, & belli plerique rudes, ac potius ex circumforaneis collecti plebeia'que multitudine: alij descendere, alij se cum periculo praecipitare, ac fugam capessere. Itaque Comneni etiam interiora moenia defensoribus planè uacua occupant, eorum'que portis itidem patefactis, cuius in Vrbem aditum aperiunt, statim ad direptiones se conuertentes, quippe turba permixta ex Thracibus, Macedonibus, Romanis, atque alijs

Comneni uel ex ambitione uel calumnia metu regnum affectant.

Alexius imperator salutatur.

Byzantium proditione Nemitzorũ occupatum & direptum.

Barbaris constans, nihilo melius quàm hostes, erga populares affecti. Nam ad effusionem sanguinis malum processit, & uirgines Deo consecratæ impiè pollutæ sunt, & matronæ uiolatæ, & templa ornatu spoliata, nec à sacrosanctis crateribus temperatum, sed homines audacissimi, hos etiam & phialas incruentæ & terribilis uictimæ plenas diripuerunt, sanctis humi effusis. Senatores quoque obuios mulis detraxerunt, nonnullos detractis uestibus seminudos & pedites in uicis reliquerunt. Hæc per totum diem acta sunt, ac malum usque ad Bourn publicè ac sine discrimine uagatum est, iam'que nonnulli ad Philadelphium & ultrà procurrerant, Comneni'que omnibus ad manubias discurrentibus, soli cum exiguo numero relicti: cum ad Taurum peruenissent, non sunt ausi ulterius progredi, ita iustis nudati copijs, ut si qui eos aggressi essent, facilè capti ac uincti Botaniatæ traditi essent. Sed diuinum decretum euertiam non poterat. Quamobrem Botaniates Comnenorum ingressu cognito, palatio statim relicto, temere'que abiectis purpureis calceis, Peribleptæ monasterium ingressus, cuius post Romanum Argyrum imperatorem, secundus conditor uocabatur, coma rasa, mutata'que ueste, lacernam monasticam induit. Vbi cum aliquandiu uixisset, puluere puluerí restituto sepelitur. Comneni autem obsistente nemine Regiam ingressi sunt citra laborem, plana & expedita uia. Tale fuit eorum initium, talis in urbem imperatricem ingressus, talia Imperij auspicia.

Botaniates fit monachus.

βαρβάρων συνήθως, οὐδὲν ἄμεινον πολεμίων πρὸς τοὺς ὁμοφύλους διατεθειμένοι. καὶ μέχρι γὰρ ἐκχύσεως αἵματος προεχώρησε τὸ κακὸν, καὶ παρθένοι δὲ τῷ θεῷ καθιερωμέναι ἀσεβῶς ἐμιάνθησαν, καὶ γυναῖκες ἀνδράσι συνεζευγμέναι πρὸς βίαν ὑβρίσθησαν, καὶ θεῖοι ναοὶ τὸν κόσμον αὐτῶν ἐσυλήθησαν, καὶ οὐδὲ τῶν ἁγίων κρατήρων ἀπείχοντο. ἀλλὰ καὶ τούτους οἱ πάντολμοι καὶ τὰς ἱερὰς φιάλας τῆς ἀναιμάκτου καὶ φρικώδους θυσίας πλήρεις διήρπαζον, ἐκχέοντες τὰ ἅγια ἐπὶ γῆς. καὶ ὅσοις δὲ τῆς γερουσίας συνέτυχον, κατασπῶντες τῶν ἡμιόνων αὐτοὺς, ἐνίους δὲ καὶ ἐκδύοντες, ἐν μέσαις ταῖς ἀγυιαῖς εἴων ἡμιγύμνους τε καὶ πεζούς. καὶ ταῦτα καθ' ὅλην τὴν ἡμέραν ἐπράττετο, καὶ τὸ δεινὸν ἄχρι τοῦ Βοὸς ἐπεφθάκει γινόμενον, κοινόν τε καὶ πάνδημον, ἤδη δέ τινες καὶ μέχρι τοῦ Φιλαδελφίου καὶ προσωτέρω ἐπιδεδράμηκον. οἱ δὲ Κομνηνοὶ, εἰς τὴν προνομὴν σκεδασθέντων πάντων, μόνοι σὺν εὐαριθμήτοις σφόδρα τοῖς περὶ αὐτοὺς καταλειφθέντες, ἐν ἴσῳ τοῦ Ταύρου γενόμενοι, προσωτέρω ἀπιέναι οὐκ ἀπεθάρρουν. τοσοῦτον γὰρ ἐψίλωντο ἀξιομάχου δυνάμεως, ὡς εἰ τότε τούτοις ἐπῆλθόν τινες, ῥᾷον ἂν εἷλον αὐτοὺς, καὶ δεσμίους τῷ Βοτανειάτῃ προσήγαγον. ἀλλὰ τὸ δόξαν ἄνωθεν μεταστραφῆναι οὐκ ἦν. ἐνθένδε ὁ μὲν Βοτανειάτης μαθὼν τὴν τῶν Κομνηνῶν εἰσέλευσιν, ἀπανέστη αὐτίκα τῶν βασιλείων, αὐτόθι ῥίψας ἃ ὑπεδέδετο φοινικόχροα πέδιλα, καὶ εἰς τὴν τῆς Περιβλέπτου μονὴν ἀπελθὼν, ἧς ἐκεῖνος μετὰ τὸν τῶν Ἀργυρῶν Ῥωμανὸν ἐκεῖνον τὸν αὐτοκράτορα κτήτωρ δεύτερος ἐχρημάτισε, κείρεται τὴν τρίχα, καὶ μεταμφιέννυται τὴν στολὴν, τριβώνιον κατὰ τοὺς μονάζοντας ἐνδυσάμενος. ἐνταῦθα καὶ χρόνον ἐπιβιοὺς τινα, τὴν χοῦν ἀπέδοτο τῇ χοΐ, ταφεὶς παρ' αὐτῇ. οἱ δὲ Κομνηνοὶ μηδενὸς αὐτοῖς ἀντιβαίνοντος τοῖς ἀνακτόροις προσεφοίτησαν, ἀταλαιπώρως τούτοις ἐπιβάντες καὶ ὁμαλῶς καὶ μετὰ πολλῆς τῆς λειότητος. τοιαῦτα σφίσι τὰ προεισόδια γέγονε, τοιαῦτα τὰ εἰς τὴν βασιλίδα τῶν πόλεων εἰσιτήρια, τοιαῦτα τὰ τῆς βασιλείας ἐπιβατήρια.

ὅτι ὁ Βοτανειάτης ἀπεκάρη ἐν τῇ τῶν Περιβλέπτων μονῇ ἐκείνων.

IMPERIVM ALEXII Comneni.

Comneni, rebus suis iam in tuto collocatis, matrem & coniuges ex Canicleo monasterio in regiam accersiuerũt. Nam cum ipsi defecissent, mulieres statim in magnum Diuini uerbi Sapientiæ templum confugerunt. Vnde à Boraniata in illud monasterium sunt translatæ, ne ad seditiosos missitare nuncios possent, nulla alia ab eo molestia affectæ. Enimuerò ferè priusquàm pedem in imperio firmassent, statim multa Botaniatæ acta abrogarunt, non ab eo auspicati tempore, quo tyrannidem inuaserant, sed illud supergressi, breui scripto complura illius decreta tyrannicè aboleuerunt. Deinde Alexio Augusti corona ornato, secundæ dignitatis partes Isaacio sunt tributæ, nouo indito Sebastocratoris, quasi Augusti imperatorem dicas, nomine, quod Cæsariano esset excellentius. Eorum uerò mater ob monasticum habitum, imperij insignium, celebrationis, & proclamationis expers, solius nominis imperatorij fuit particeps. Nihilo tamen secius omnium rerum admini-

Botaniatæ acta rescinduntur.

Comnenia familia dignitatibus ornatur.

ΒΑΣΙΛΕΙΑ ἈΛΕΞΙΟΥ τοῦ Κομνηνοῦ.

Ὡς δ' ἐν ἀσφαλεῖ γεγόνασιν οἱ Κομνηνοὶ, καὶ τὴν μητέρα σφῶν καὶ τὰς ὁμευνέτιδας ἐκ τῆς μονῆς τῆς Κανικλείου πρὸς τὰ βασίλεια μετεστείλαντο. ἐκείνων γὰρ ἐγχειρησάντων τῇ ἐπαναστάσει, εὐθὺς αἱ γυναῖκες εἰς τὸ μέγα τέμενος τῆς τοῦ θεοῦ λόγου σοφίας προσπεφοιτήκεσαν. ἔνθεν παρὰ τοῦ Βοτανειάτου εἰς τὴν ῥηθεῖσαν μονὴν μετῳκίσθησαν, ἵνα μὴ ἔχοιεν πρὸς τοὺς ἐπαναστάντας διαπέμπεσθαι, οὐδὲν δ' ἕτερον ἀνιαρὸν ἐκείνας ἐκλύπησε. μήπω δὲ σχεδὸν τοὺς πόδας τῇ βασιλείᾳ ἐρείσαντες, αὐτίκα πολλῶν τῶν Βοτανειάτου πράξεων ἄκυρον κατεψηφίσαντο, οὐδ' ἀπὸ τοῦ χρόνου ὅτεπερ ἐπικεχειρήκει τῇ τυραννίδι τὴν ἀρχὴν τῆς ἀκυρώσεως τῶν παρ' ἐκείνου πραχθέντων ἐκλύσαντες, ἀλλὰ καὶ τοῦτον ὑπερβάλλοντες τὸν καιρὸν, καὶ πολλὰ τῶν ὑπ' ἐκείνου πεπραγμένων βασιλικῶς, ἀνῃρήκασιν ὕστερον, γράμματι βραχυσυλλάβῳ τυραννικῶς. εἶτα ὁ μὲν Ἀλέξιος βασιλικὸν ἀναδεῖται διάδημα, τῷ δ' Ἰσαακίῳ τὰ δευτερεῖα νενέμηνται τῶν τιμῶν, καινοῦ αὐτῷ ἐπιφημισθέντος ὀνόματος (σεβαστοκράτωρ γὰρ ἐπεκλήθη) καὶ ὑπερέχοντος τοῦ καίσαρος. ἡ δὲ μήτηρ τούτων παράσημον μὴ μετέχουσα βασιλικῶν διὰ τὸ ἔνδυμα τὸ μοναχικὸν, μήτε μὴν εὐφημίας καὶ ἀναρρήσεως. μόνου μετεῖχε τοῦ τῆς βασιλείας ὀνόματος, αὐτὴ δὲ τὴν τῶν πραγμάτων

περὶ τῆς ἀλεξίου τοῦ βασιλέως καὶ τῆς μητρὸς τῶν κομνηνῶν.

ἐκέκτη

πᾶσαν διοίκησιν ἀνεζώσατο. οὕτω μὲν οὖν τὰ τῆς βασιλείας παρὰ τῇ μητρὶ νενέμηντο καὶ ἀμφοῖν τοῖς ὁμαίμοσιν, ἤδη δ' αὐτοῖς, καὶ ἑτέρω δύω ἀδελφὼ νεωτέρω τὴν ἡλικίαν, ὧν τὸν μὲν πρωτοσέβαστον ἐτίμησαν καὶ μέγαν δομέστικον τὸν Ἀδριανόν, τὸν Νικηφόρον δὲ σέβαστον καὶ τοῦ στόλου δρουγγάριον. εἶχον δὲ καὶ ἐπ' ἀδελφαῖς κηδεστάς, τὸν Μελισσηνὸν Νικηφόρον, καὶ Μιχαὴλ τὸν Ταρωνίτην. τὸν μὲν οὖν Ταρωνίτην τῇ πρώτῃ συνεζευγμένον τῶν ἀδελφῶν, πάνυ στεργομένῃ πρὸς τῆς μητρός, καὶ πρὸς αὐτῶν τιμωμένῃ, πανυπερσέβαστον ὠνόμασαν, καὶ τοῦτο καινίσαντες τὸ ἀξίωμα. τὸν δέ γε Μελισσηνὸν καισαρείας ἐκεῖνον ὑπὸ τοῦ Βοτανειάτου ἐν τῇ ἑῴᾳ φρονήσαντα καὶ ἔτι ταύτης ἐχόμενον, ἠξίωσαν καὶ τετιμήκασι καίσαρα, καὶ τὴν πόλιν αὐτῷ Θεσσαλονίκην εἰς κατοικίαν ἀπένειμαν καὶ χορηγίαν χρημάτων, καὶ τούτῳ καὶ πᾶσι τοῖς αὐτῷ κατὰ γένος προσήκουσι τύχῃ τοιᾷδε καὶ ἀξιωμάτων ὄγκῳ τηλικούτῳ ἀνάλογον προσαφώρισαν. ἐντεῦθεν τῶν βασιλείων προσόδων, μᾶλλον δ' εἰπεῖν τῶν κοινῶν καὶ δημοσίων οὕτω διανεμηθεισῶν, τὸ βασιλικὸν ταμιεῖον ἢ τὸ κοινὸν πρυτανεῖον ἐκενοῦτο. καὶ ὁ κρατῶν ἀπορῶν χρημάτων, τάς τε τοῖς ἀξιώμασιν ἀνηκούσας ἀνέκαθεν ἐτησίας δόσεις ἐξέκοψε, καὶ τὰς τῶν συγκλητικῶν οὐσίας προσαφῃρεῖτο. ἔστεψε δὲ καὶ τὴν κοινωνὸν αὐτοῦ τοῦ βίου Εἰρήνην, καὶ αὐγοῦσταν ὠνόμασεν. ἡ δ' ἦν ἐγγόνη τοῦ καίσαρος Ἰωάννου τοῦ Δούκα. ἡ δὲ πρώην βασίλισσα ἡ ἐξ Ἀλανῶν Μαρία, σὺν τῷ ἰδίῳ υἱῷ Κωνσταντίνῳ τῷ Δούκᾳ, ὃν τῷ Δούκᾳ Μιχαὴλ ἐν τῇ πορφύρᾳ ἐγέγονει, στεφθέντι παρὰ τοῦ οἰκείου πατρὸς ἔτι βρεφυλλίῳ τυγχάνοντι, καὶ πεδίλοις φοινικοῖς ὑποδουμένῳ, τῶν ἀνακτόρων μεθίσταται, καὶ εἰς τὰ ἐν τῇ μονῇ τῶν Μαγγάνων βασίλεια ἄπεισιν. ἤδη γὰρ εἰλήφει ταῦτα καὶ τὴν μονήν. ἀλλὰ μέντοι καὶ τὴν τοῦ Ἑβδόμου διὰ χρυσοσημάντου τοῦ Βοτανειάτου γραφῆς. ἐνταῦθα δὲ ἦγε σὺν τῷ υἱῷ, βασιλικὴν ὑπηρεσίαν ἑαυτῇ καὶ τῷ υἱῷ ἀποταξάσα. ἔτι γὰρ ὁ παῖς αὐτῆς περιέκειτο τὰ τῆς βασιλείας γνωρίσματα, καὶ εὐφημεῖτο μετὰ τὸν αὐτοκράτορα, καὶ τὰς χρυσοβούλλους γραφὰς μετ' ἐκεῖνον ὑπεσημαίνετο. μετὰ δέ τινα χρόνον καὶ ἡ μήτηρ αὐτοῦ μεταμφιάσασθαι, μέλαν ἐνέδυσε χρῶμα κατὰ τοὺς μοναχούς, τὸ μὲν ἑκοῦσα, τὸ δέ τι τυραννουμένη, καὶ ὁ παῖς ἀφῃρέθη τὰ περὶ ἐκ πορφύρας πέδιλα, καὶ μόνῳ τῷ Κομνηνῷ ἡ τῆς αὐταρχίας κλῆσις καὶ ἡ βασιλεία περιελέλειπτο. οὕτω μὲν οὖν ταῦτα. ὁ δὲ τῆς βασιλίδος τῶν πόλεων ἀρχιερατεύων, ὁ θαυμάσιος ἐκεῖνος Κοσμᾶς, τῇ τῶν κοινῶν πραγμάτων μεταχειρίσει ἀπαρεσκόμενος, καὶ ἀπεγνωκὼς τὴν διόρθωσιν, τῷ ὑπηρέτῃ « ἆρον εἰπὼν τὸ ψαλτήριον καὶ συνέπου μοι », τῆς ἐκκλησίας ὑπανεχώρησε, καὶ πολλὰ παρὰ τῶν κρατούντων παρακληθεὶς ὑποστρέψαι, οὐχ ὑπέστρεψεν, ἔτη πέντε καὶ μῆνας ἐννέα τὸν πιστὸν ποιμάνας λαόν. διὸ καὶ ἄλλον τινὰ ἀρχιερέα τῇ ἐκκλησίᾳ ἐπικατέστησαν, ἐκτομίαν τινὰ μοναχόν, Εὐστράτιον κεκλημένον, οὔτε λόγοις ὡμιληκότα, οὔτε πραγμάτων ἐγγεγυμνασμένον μεταχειρίσεσιν, ἀφελῆ δὲ ἄνθρωπον καὶ ἡσυχίᾳ ἢ γωνίᾳ μᾶλλον προσήκοντα. ἤδη δὲ τρεῖς οὕτως ἐνιαυτοὺς τῷ θρόνῳ ἐνσεμνυνόμενος, κατηνέχθη τῶν ἱερῶν ἀνακτόρων παρὰ τῶν κρατούντων. ἡ δ' αἰτία οὐκ ἔγνωσται ἀκριβῶς, καὶ λοιπὸν προεχειρίσθη πατριάρχης ἀνὴρ μοναχός,

περὶ πατριαρχῶν.

strationem suscepit. Sic Imperio inter utrunque apud matrem distributo, alios duos fratres iuniores, Adrianum Protosebastum hoc est, Primaugustum, Nicephorum Augustum, & classis Drungarium declararunt. Habuere quoque affines, sororum maritos, Melissenum Nicephorum & Michaelem Taronitem: quorum hunc primæ sorori iunctum, & matri charissimæ, & ab ipsis honoratæ, Panhypersebastum, hoc est, omnium Augustissimum appellarunt, ea quoque dignitate nouata. Melissenum autem, qui & ipse in oriente à Botania te defecerat, nec dum arma posuerat, Cęsaris honore tributo & Thessalonica ad habitandum assignata, in suas partes attraxerunt, & reditus tam huic quàm cæteris omnibus tali fortunæ tanto'que dignitatum fastigio pares attribuerunt. Vnde uectigalibus imperatorijs ac potius communibus & publicis ita distributis, imperatorius fiscus siue publicum ęrarium exhauriebatur: imperator uerò pecuniæ egens, non annua donatiua tantum uiris dignitate ornatis antiquitus dari solita sustulit, sed & senatoribus opes eripuit. Vxorem Irenem, Ioannis Cęsaris Ducæ neptem coronauit, Augustam'que dixit. Prior uerò imperatrix Maria Alana, cum filio Cōstantino, quem Ducæ Michaeli in purpura pepererat, pater'que infantulum adhuc coronarat, purpureis utente calceis, Regia excedit, & in regiam Manganici Monasterij se confert. Iam enim utriusque loci & monasterij in Hebdomodo possessionem aurea Botaniatæ bulla firmatam tenebat. Ibi cum filio agebat, imperatorijs ministerijs & illi & sibi constitutis. Nam filius eius, insignia regni adhuc gerebat, & post Imperatorem celebrabatur, & aureæ bullæ diplomatibus post illum subscribebat. Cæterum aliquantò pòst, mutato uestitu, nigrum habitum monasticum, partim ultrò, partim à Tyranno coacta sumpsit. Sed & filio eius purpurei calcei sunt ademptí, soli Comneno & nomine & potestate imperij relicta. Atq; hæc hactenus. At imperatricis urbis pontifex, inclytus ille Cosmas, qui communium rerum tractationem improbaret, atque emendationem desperaret, ministro suo psalterium auferre, se'que sequi iusso, Ecclesia excessit, nec in eam redijt, quamuis Imperatoribus id magnopere flagitantibus: cum fidelem populum annos quinque & menses nouem pauisset. Alium itaque pontificem Ecclesiæ præfecerunt, spadonem quendam monachum, nomine Eustratium, neque eruditum, neque in rebus gerendis uersatum, sed hominem simplicem & ocio ac potius angulo aptiorem: qui cum eam dignitatem per annos tres usurpasset, ob causam non satis notam ab Imperatoribus sacra ęde est deductus, atq; in eius locum suffectus Nicolaus monachus

Largitionũ inopia, inopiã rapina sequitur.

Mariæ Alanæ & Constantini eius filij cõditio.

Cosmæ sponte abdicato pontificatu Eustratius et Nicolaus succedunt.

cognomento grãmaticus, qui in studio uirtutis ætate acta, literarum non rudes erat, etsi

Roberti Franci uictoria & clades.

non exquisitè peritus. Comnenus recens potitus rerum, nunciata Roberti Franci, uiri callidi & bellicosissimi contra Epidamnum expeditione: & ipse illuc profectus, commissoque prælio uictus, turpiter fugit, multis non gregarijs militibus duntaxat, sed uiris etiam dignitate præstantibus & regij sanguinis interfectis, totis'que castris captis ab hostibus. Cumq; imperator Byzantium uictus redisset, Barbari uictoria inflati, confidenter omnes inuaserunt, & oppida quædam cœperunt, ut Castoriam & Larissam, imperatricis quoque urbis excidium somniantes. Verùm

Comneni strategema cõtra Robertum.

imperator denuò eductis copijs, & Barbarico præsidio Castoria pulso, contra Robertum abit, eius'que calliditatem arte eludit. Nam fratri Adriano habitu imperatorio accommodato, exercitu'que dato mandat, ut contra Robertum in procinctu stet, eo'que pugnam ciente, tergo dato fugiat, ipse uerò cum reliquo exercitu per ambages & inuia loca uallum Francorum aggressus, tentoria eorum diripit, magnam'que cædem edit. Roberto autem in ficticium imperatorem impetum faciente, ille cum suis laxatis habenis fugit. Qua de causa Barbarus magis etiam gloriabatur & insolescebat, quasi nemo congredi secum auderet. Interim uerò nunciata ualli uastatione & interitu eorum qui illic fuissent, statim & animis & mani-

Insidiæ.

bus dimissis, recessit. Imperator Constantinopolim reuersus, insidijs detectis, præcipuos earum autores comprehendit, è quibus erant & legionum duces, & multi ex popularibus & patribus conscriptis, qui coniurationis esse conscij putabantur, falsò pleriq;, ut ferunt, ea de causa in crimen uocati, ut bonis

Turci insulis expulsi.

priuarentur. Compressis Roberti insultibus, aliunde Romani imperij hostes extitere. Nã Turci Oriente subacto, ne insulis quidem abstinebant. Zachas enim Turcus non illustris ille quidem, sed uir acer, & magnæ improbitatis, cum paucis nauiculis insula Chio ex improuiso capta, & classe ibi ædificata, Lesbum, Samum, Rhodum, & plures alias insulas occupauit: unde tamen à Ro-

Cretæ et Cypri defectio compressa.

mana classe pulsus est. Sed & insula Creta atque etiam Cyprus defecerunt, altera à Carice occupata, Imperatori se opponente, altera à Rhapsommato. Verùm hę quoq; non multò

Comneni auaritia.

pòst Romano imperio sunt recuperatæ. Unde imperator impensarum egens, pecuniæ faciendæ rationes, à ratione humanitatis abhorrentes excogitauit, exactoribus iniqua tributa postulantibus, & ijs bona eripientibus, qui nihil debebant. Itaq; procuratores, quolibet mittebãtur, qui possessiones subditorum, in agris & prædijs describerent, ac nouis nominibus excogitatis, ea

ὁ γραμματικὸς ὀνομαζόμενος νικόλαος, ἐν ἀσκήσει τὸν βίον διανύσας, καὶ αὐτὸς τῶν ἐν λόγοις παιδείας ἀμύητος ὤν, εἰ καὶ μὴ κατὰ τὸ ἀκριβὲς ταύτης μετέσχηκεν. ἄρτι δὲ τῆς βασιλείας ἐπιβεβηκότι τῷ κομνηνῷ ἠγγέλη ὁ φράγγος ῥομπέρτος εἰς τὴν ἐπίδαμνον διαπεραιωθεὶς, ἀνὴρ πανοῦργός τε καὶ πολεμικώτατος. αὐτίκα γοῦν καὶ ὁ βασιλεὺς ἐπεστράτευσε, καὶ γενόμενος περὶ τὸ δυῤῥάχιον, προσέβαλλε τοῖς πολεμίοις, καὶ ἡττηθεὶς, αἰσχρῶς ἔφυγε, πολλῶν ἐκεῖ πεσόντων οὐ τῶν τυχόντων μόνον στρατιωτῶν, ἀλλὰ καὶ τῶν ἐν ὑπεροχαῖς καὶ βασιλείου τυγχανόντων αἵματος, καὶ ἡ παρεμβολὴ ξύμπασα ἑάλω τοῖς πολεμίοις. ὁ μὲν οὖν βασιλεὺς ἡττημένος ἐπανῆλθεν εἰς τὸ βυζάντιον. οἱ δὲ βάρβαροι τῇ νίκῃ πεφυσημένοι, ὁμόσε κατὰ πάντων ἐχώρουν, καὶ εἷλον τῶν πολισμάτων τινὰ, ὧν ἦσαν ἡ καστορία τε καὶ ἡ λάρισσα. ἀνδραποδιεῖν δὲ καὶ αὐτὴν τὴν βασιλίδα τῶν πόλεων κατελπίζοντες. ἀλλ' ὁ βασιλεὺς καὶ πάλιν ἐκστρατεύει, καὶ ἀπελαύνει μὲν τῆς καστορίας τοὺς αὐτὴν φρουροῦντας βαρβάρους, ἔπειτα δὲ κατὰ τοῦ ῥομπέρτου, καὶ στρατηγήματι τὴν ἐκείνου δεινότητα μέτεισι. τῷ μὲν γὰρ ἀδελφῷ ἀδριανῷ τὸ σχῆμα τὸ βασίλειον περιτίθησι, καὶ στράτευμα δοὺς αὐτῷ, ἐναντίον τῷ ῥομπέρτῳ εἶναι διακελεύεται, εἰ δ' ἐκεῖνος ὁρμήσει μαχέσασθαι, στρέψαι τὰ νῶτα καὶ αὐτίκα φυγεῖν. ταῦτα μὲν οὖν τῷ ἐσχηματισμένῳ βασιλεῖ ἐντέταλτο, ἐκεῖνος δὲ μετὰ τῆς λοιπῆς στρατιᾶς δι' ὁδῶν ἀδήλων περιοδεύσας, καὶ τῷ τῶν φράγγων ἐμβαλὼν χάρακι, τάς τε σκηνὰς αὐτῶν καὶ τὰ ἐν αὐταῖς ἐλῄσατο, καὶ φόνον πολὺν ἐποιήσατο. τοῦ ῥομπέρτου δὲ κατὰ τοῦ ἐσχηματισμένου βασιλέως ὁρμήσαντος, κἀκεῖνος καὶ ἡ σὺν αὐτῷ στρατιὰ τὰ χαλινὰ χαλάσαντες ἔφυγον. ὁ δὲ βάρβαρος ἐγαυρία μᾶλλον καὶ ἐπῇρτο, ὡς ἀπρόσμαχος. ἐν τούτῳ δ' ἀγγέλλεται αὐτῷ τοῦ χάρακος ἡ ἐκπόρθησις καὶ ἡ φθορὰ τῶν ἐκεῖ, καὶ εὐθὺς παρεῖτο καὶ τὰς χεῖρας, καὶ τὴν ψυχὴν, καὶ ἀπιὼν ᾤχετο. ὁ δὲ βασιλεὺς ἐπανελθὼν εἰς τὴν κωνσταντίνου, μεμηνυμένης ἐπιβουλῆς αὐτῷ, τούς τε ταύτης πρωτουργοὺς συνέσχεν ἐκ τῶν ταγματικῶν ὄντας ἀρχόντων, καὶ πολλοὺς τῶν ἐγχωρίων καὶ τῆς συγκλήτου βουλῆς, ὡς τάχα συνίστορας τοῦ πλοῦτος, ἀφαιρεῖν, ὡς δὲ πρὸς ἀλήθειαν, ἀλλ' ἵνα σφᾶς γυμνώσῃ τῶν ὑπαρχόντων. ἡ μὲν οὖν τοῦ ῥομπέρτου ἐπίθεσις πέπαυτο, ἕτεροι δ' αὖθις τῇ ῥωμαίων ἡγεμονίᾳ ἐχθροὶ ἐπανίσταντο. οἱ γὰρ τοῦρκοι τὴν ἑῴαν ὑφ' ἑαυτοὺς ποιησάμενοι, οὐδὲ τῶν νήσων ἀπείχοντο. ἀλλ' ὁ τζαχᾶς, τοῦρκος δὲ καὶ οὗτος ὢν τῶν ἀφανῶν, δεινὸς δὲ καὶ τὴν πονηρίαν πολὺς, διὰ πλοιαρίων ὀλίγων αἰφνιδίως τῇ νήσῳ χίῳ προσορμισθεὶς, κατέσχε ταύτην, καὶ στόλον ἐν αὐτῇ ναυπηγεῖ, δι' οὗ τήν τε λέσβον αἱρήσατο, καὶ τὴν σάμον, τήν τε ῥόδον ὑφ' ἑαυτὸν ἐποιήσατο, καὶ πλείους ἄλλας τῶν νήσων. ἐξηλάθη δ' αὖθις αὐτῶν, στόλου ῥωμαϊκοῦ ἐπελθόντος ταῖς ἐκείνου τριήρεσι. καὶ ἡ νῆσος δ' ἡ κρήτη, πρὸς δέ γε καὶ ἡ κύπρος εἰς ἀποστασίαν ἐνόσησαν, τὴν μὲν τοῦ καρύκη κατασχόντος, καὶ ἀνταραμένου χεῖρα τῷ βασιλεῖ, τὴν κύπρον δὲ τοῦ ῥαψομμάτου. ἀλλὰ καὶ αὗται τῇ ῥωμαίων αὖθις οὐκ εἰς μακρὰν ἐπανεσώθησαν ἡγεμονίᾳ. ἐντεῦθεν ὁ βασιλεὺς ἀναλωμάτων δεόμενος, τρόπους ἐκ τρόπων συλλογῆς χρημάτων ἐξεύρισκε, καὶ ἐφ' ἅλας ἀδίκους εἰσῆγον κατὰ τῶν ἀνθρώπων οἱ ἐπ' αὐτῷ τεταγμένοι, καὶ ἀφῃροῦντο τὰς οἰκείας οὐσίας οἱ μηδὲν δικαίως ὀφείλοντες. ἐντεῦθεν ἐκ γραφαῖς πανταχοῦ τῶν ἐν ἀγροῖς καὶ χωρίοις διαφερουσῶν τοῖς ὑπηκόοις ἐπενοοῦντο ἐπέκεινα, καὶ τὰ καινὰ τῶν ὀνομάτων

περὶ τῶν νήσων ἑαλωσῶν.

περὶ τοῦ τζαχᾶ.

περὶ τῆς κρήτης καὶ τῆς κύπρου.

ὑπερπύρων, τὰ ὑπέρτιμα λέγω καὶ τὰ ὑπέρπλεα ἢ ἄλλοι τρόποι ἐπηρειῶν περὶ τῶν ὑπηκόων ἐπενοοῦντο, καὶ ἱερὰ δ᾽ ἀφῃροῦντο ἐκ θείων ναῶν. οὗτος ὁ βασιλεὺς καὶ τὸ νόμισμα κεκιβδηλευμένον παρὰ τῶν πρὸ αὐτοῦ εὑρηκὼς, χάλκεον ἔθετο, ᾧ εἰς τὰ τῆς βασιλείας ἐκέχρητο ἀναλώματα, τοὺς δὲ γε φόρους διὰ χρυσίνων δοκίμων εἰσέπραττε, ποτὲ δέ γε καὶ διὰ ἑτέρων χρυσίνων μὴ ἀκραιφνῶν, ἀλλ᾽ ἡμιχρύσων. ἔστι δ᾽ ὅτε καὶ διὰ τῶν χαλκίων ὀβολῶν ἐφόρει. ὅθεν χαλκοῦ δεόμενος πλείονος, τοὺς ὀβολοὺς εἰς νόμισμα μετετύπωσε, καί τινα τῶν δημοσίων ἔργων τῶν χαλκουργημάτων φασὶ κατασπάσαι, ὡς στατῆρας συγκόψαι, καὶ νέας δεκάτας ἐκαίνισεν. ἐγέννησε δὲ θυγάτριον ἡ αὐγούστα τῷ βασιλεῖ, ὅπερ Ἄνναν ὠνόμασαν διὰ τὴν πατρομήτορα, ἐφ᾽ ᾧ τὸν τῆς βασιλίσσης Μαρίας υἱὸν Κωνσταντῖνον τῆς ἐξ Ἀλανῶν ὁ βασιλεὺς ἐμνηστεύσατο, ἐκείνου δ᾽ ἤδη τῇ μνηστείᾳ τὴν ζωὴν καταλύσαντος, ὡς ὡραία γάμου ἡ θυγάτηρ ἐγεγόνει τῷ ἄνακτι, νυμφίον ἕτερον ἐπ᾽ αὐτῇ ἐσπουδάσατο, τὸν μείζω τῶν υἱῶν Νικηφόρου τοῦ Βρυεννίου, ὃν ὁ λόγος προέφη τῇ τυραννίδι ἐπιχειρήσαντα, καὶ ἁλόντα καὶ πηρωθέντα τοὺς ὀφθαλμούς. τούτῳ τὴν θυγατέρα ταύτην κατηγγυήσατο, τετίμηκε τὸν ἄνδρα πανυπερσέβαστον. γέγονε δὲ τῷ βασιλεῖ καὶ υἱός, ὃν ἐν τῷ θείῳ τεμένει τῆς τοῦ Θεοῦ Λόγου σοφίας, παρὰ τοῦ πατριάρχου καταξιωθέντα τοῦ θείου βαπτίσματος, καὶ Ἰωάννην κληθέντα, αὐτίκα ὁ πατὴρ καὶ διαδήματι ταινιοῖ. γεγόνασι δὲ τῷ βασιλεῖ καὶ ἕτεροι δύο υἱοὶ Ἀνδρόνικός τε καὶ Ἰσαάκιος, καὶ θυγατέρες ἕτεραι τρεῖς Μαρία, Εὐδοκία, καὶ Θεοδώρα. τῇ μὲν οὖν Μαρίᾳ τὸν τοῦ Γαβρᾶ ἐκείνου Θεοδώρου τοῦ σεβαστοῦ καὶ μάρτυρος υἱὸν τὸν Γρηγόριον ἐμνηστεύσατο. εἶτα τὴν μνηστείαν ταύτην λύσας, οὕτω δόξαν αὐτῷ, κἀκεῖνον ἀποπεμψάμενος, ἕτερον μνηστῆρα τῇ θυγατρὶ ταύτῃ τὸν τοῦ Φορβηνοῦ υἱὸν τοῦ Κατακαλὼν τὸν Νικηφόρον ἀνεποιήσατο. τῇ δ᾽ Εὐδοκίᾳ τὸν τοῦ Ἰασίτου Κωνσταντίνου παῖδα συνέζευξεν. ὃς τῇ τε συμβιώσει οὐχ ὡς βασιλέως ἐκέχρητο θυγατρί, ἀλλ᾽ ἐκ τοῦ κρείττονος ὡμίλει ταύτῃ καὶ περιεφρόνει, καὶ τῇ βασιλίσσῃ δὲ πλειστάκις προσεκεκρούκει καὶ τῷ πενθερῷ, ὑπὲρ αὐτοῦ προσεχθίσασα τὴν θυγατέρα νοσήσασαν εὐθὺς ἀπέκειρε, καὶ τὸν ἐκείνης ἀπελαύνει τῶν βασιλείων. τῇ δέ γε λοιπῇ τῶν θυγατέρων συνῴκισεν ὁ πατὴρ νεανίαν, τὸ μὲν ἄλλο ἀγαλματίαν, τὸ δὲ γένος ἐκ τῶν ἀφανῶν. γέγονε δ᾽ ἐπὶ τῆς βασιλείας τούτου κλόνος τῆς γῆς φρικωδέστατος, κατὰ τὴν ἡμέραν τῆς μνήμης τοῦ ἐν θαύμασι περιωνύμου ἀρχιερέως Νικολάου, ὑφ᾽ οὗ πολλαί τε οἰκίαι καὶ ναοὶ κατηρείπωντο, καὶ στοαί, δι᾽ ὧν αἱ τῆς πόλεως ὀρόφωνται ἀτραποί, καὶ πλεῖστοι τοῖς συμπτώμασι συνεχώσθησαν καὶ ἀπέθανον. κατὰ τοὺς αὐτοὺς χρόνους καὶ τὸ τῶν Πατζινάκων τὸ ἔθνος ἀσυγκίνητον ἐκ τῶν σφετέρων ἠθῶν, μεταναστεύσαντες εἰς χώραν Ῥωμαϊκήν, καὶ τὴν Θρᾴκην πᾶσαν καὶ τὴν Μακεδονίαν λυμαινόμενον. κατὰ τούτων ἐκστρατεύσας ὁ βασιλεύς, τῶν στρατιωτῶν ἀλαζονευομένων, αἰσχρῶς ἡττήθη. εἶτ᾽ αὖθις ἐπεὶ κατὰ τῶν βαρβάρων, ταπεινωθέντος τοῦ στρατοῦ, καὶ τὸ πᾶν τῆς θείας ἐξαρτήσαντος ῥοπῆς, καὶ προσέβαλε τοῖς πολεμίοις. οἱ δὲ οὐδὲ τὴν ἔφοδον ὑπομείναντες, τὰ ὅπλα κατὰ γῆς ἔρριπτον, καὶ οἰμωγαῖς τοὺς Ῥωμαίους ἐξιλεοῦντο πρὸς ἔλεον. ἀπώλετο μὲν οὖν πολὺ τῆς Σκυθικῆς, οἱ λοιποὶ δὲ συνελαμβάνοντο, καὶ ἦσαν ὑπὸ δεσμοῖς, καὶ εἰς δουλείαν οἱ αἰχμαλωτισθέντες αὐτοῖς ἀπεδίδοντο. ὁ κρατῶν πλῆθος ἐκλεξάμενος σφριγώντων καὶ ῥωμαλέων Σκυθῶν, εἰς τὸ τῶν Μογλένων θέμα τούτους σὺν γυναιξὶ καὶ τέκνοις κατῴκισε καὶ τάγμα τούτους κατέστησεν ἰδιαίτατον, οἳ καὶ μέχρι τοῦ δεῦρο κατὰ διαδοχὰς διαμένουσιν εἰς ἐπίκλησιν χρώμενοι τὸν τόπον, ἐν ᾧ κατῳκίσθησαν, καὶ Πατζινάκοι Μογλενῖται

ὅπως ἐκαίνισεν ὁ βασιλεὺς τὸ νόμισμα.

περὶ τῶν θυγατέρων τοῦ βασιλέως καὶ τῶν υἱῶν καὶ τῶν ἐπὶ θυγατράσι γαμβρῶν.

περὶ τοῦ μεγάλου σεισμοῦ.

περὶ τῶν Πατζινάκων καὶ πῶς καθιδρύθησαν.

hypertima & hyperplea, quasi supercensa & redundantia dicas, appellabãtur: atq; aliàs alij uexationum modi reperiebãtur, sed & donaria è templis auferebantur. Idem imperator cum monetã à decessoribus suis adulteratam reperisset, æneã fecit, qua in Imperij expensis uteretur: in uectigalib⁹ uerò probos aureos exigebat, aliquãdo etiã nũmos semiaureos, interdũ æreos. Cũ igitur ære egeret, ex obolis nũmos fecit, & opera quędã publica ænea destruxit, ut stateres inde cuderet, nouas quoq; decimas instituit. Puella, quã Augusta pepererat, Anna est appellata ꝓpter auiã, & desponsa Mariæ Alanæ filio Constantino: quo ante nuptias mortuo, eandem iam nubilem Nicephori Bryennij, quem suprà memorauimus ob regni affectationem excæcatũ fuisse, filio natu maiori uxorem dedit, omnium Augustissimi titulum eidem impertitus. Filium inde sibi natum, & à patriarcha sacro baptismate in templo Diuini uerbi sapientiæ baptizatum, Ioannem appellauit, statimq; diademate ornauit. Eidem alij quoq; duo nati sunt filij, Andronicus & Isaacius, & aliæ tres filiæ, Maria, Theodora & Eudocia. Mariã despondit Gabræ illius Theodori Augusti & martyris filio Gregorio. Deinde affinitate pro sua libidine repudiata, illoq; dimisso, alium filiæ sponsum asciuit, Phorbeni Catacalonis filiũ Nicephorum Eudociæ Iasitæ Constantini filium matrimonio iunxit, qui uxorem non ut imperatoris filiam tractauit, sed quasi è superiore loco cum illa egit, & imperatrice ac socru sæpissimè offensa effecit, ut illa filiam ægrotantem statim tonderet, atque ipsum regia eijceret. Postremam filiam collocauit pater adolescenti non sanè illustri orto familia, sed forma prædito præstantissima. Sub hoc imperatore terræmotus horrendus fuit, eo die quo memoria Diui Nicolai ob miracula celebris agitur, multa'que domicilia, multa templa, multæ porticus, quibus uiæ publicæ tegũtur, collapsæ, mortales plurimos oppresserunt. Iisdem temporibus gens Pazinacarũ suis sedibus relictis, in Romanas prouincias immigrauit, totam Thraciam & Macedoniam populata. Quos cum bello peteret Imperator, turpiter uictus est ob arrogantiã militum. Repetita pugna, cum milites modestiores facti, ab auxilio numinis duntaxat penderent, hostes nec prima coitione tolerata, humi arma proiecerũt, & suspirijs misericordiã tandẽ à Romanis impetrarũt. Magna igiť Scythicæ gentis multitudo perijt, cæteri in uinculis habiti sunt, ac ꝓ corona uẽditi. Imperator uerò delectu acto, Scytharũ robustorũ iuuenũ magnũ numerũ in Moglena prouincia cũ uxorib⁹ & liberis collocauit, eximia legione ex eis confecta. qui hodieq; per successiones manent, ex loco in quo consederũt,

Monetæ mutatio.

Comneni liberi.

Terræmotus.

Pazinacæ in Moglenen coloni mittuntur.

cognomentum adepti, ut Pazinacæ Moglenitæ dicantur. Delatis insidijs, autores eorum præcipuos Vmbertopolum Francum genere, & Ariebem Armenium, utrunque illustrem, & ducem exercitus unà cum coniuratis comprehensos, publicatione honorum & ignominioso triumpho mulctatos, relegauit. Manichæorum quoque legionem, quæ ad id tempus uetere lege omnino uetante militarat, exautorauit. Rurfus aliæ insidiæ imperatori comparatæ sunt, quarum princeps fuit Diogenis Imperatoris filius Nicephorus Porphyrogenitus, uir inuicti sanè roboris, sed ingenio atque animo non perinde felici & generoso. Qui cum inchoatum facinus distulisset: non peregit, sed pertulit ea, quæ molitus fuerat. Captus enim & quæstionibus admotus, ut coniuratos indicaret, effossis oculis bonorum publicatione multatus est. Deinde Francorum gens ab Occidente uersus imperatricem urbem est profecta, ut inde in Orientem traijceret: quorum motus portentis est denunciatus. Nam locustarum infinita multitudo ab Occidente orta, & tanta, ut inter uolandum nubibus æquipararetur, & solem obumbraret, urbe maxima & finibus eius peruolans, quieuit. Cum traiecissent Nicæam Bithyniæ, quam Turci tenebant, multis utrinque cæsis, tandem ui expugnatam, magna pecunia imperatori uendiderunt. Deinde progressi ulterius, alij Antiochiam ad Orontem cum labore multoq; sanguine ceperunt, alij Hierosolymitanæ urbis non sine magnis certaminib⁹ potiti sunt. Breuiter igitur hęc a gente Francorum acta sunt. His temporibus secta nefaria Bogomilorum extitit, cuius pręco doctorq; primarius & Apostolorum præsidium fuit quidam Basilius medicus, habitu monachus, sed ipso poti⁹ Satana indut⁹, q cū annis XV erroris illius perniciosa dogmata didicisset, LII docuisset, totū ferè orbē suæ pestis impleuit. Tandē etiā urbē imperatricē ingressus, in manifesto crimine est ueritatis inimicus deprehēsus. Nā imperator ei⁹ impietate cognita, simulauit se fidē habere homini infelici, & magistrū appellauit, ac seruatorē errantiū animorū. His & plurib⁹ alijs ægrè quidē & tardè, sed tamē effecit tādē, ut homo pestilēs euomeret uirus suę improbitatis: & fera casibus irretita, doctrinā eius uulgauit, & dogmata contempsit, cōmuniq; suffragio in equestri theatro impostorē cōburi iussit. Alia porrò seditio cōtra imperatorē orta est, quodā autore qui se Diogenis imperatoris filium professus, Comanorū turba ascita Thraciam populabatur & uastabat, petēs, ut urbib⁹ reciperet, atq; imperator salutaret. Deinde cum oppidulū Thracię quoddā, fraude ciuium imperator salutatus, cū paucis ingressus esset, comprehensus oculis priuatur.

Vmbertopolus & Ariebes insidiatores puniuntur.

Nicephorus insidiator dat pœnas.

Francorum in orientem expeditio. Locustæ.

Niceæ Antiochia Hierosolyma.

Bogomilorū heresiarcha Basilius

Diogenis filij & Comanorum seditio.

τοῦ ἐκαλοῦντο. ἐπιβουλῆς δὲ μηνυθείσης αὐτῷ, πρωτουργοὺς ἐχούσης τὸν Οὐμπερτόπουλον καὶ τὸν Ἀριέβην, ὧν ὁ μὲν ἐκ Φράγγων εἷλκε τὸ γένος, ὁ δ' Ἀριέβης ἐξ Ἀρμενίων· καὶ ἄμφω δὲ τῶν ἐπιφανεστέρων καὶ στρατιαῖς ἐφεστηκότων, ἐκεῖνοί τε συνεσχέθησαν, καὶ ὅσοι συμμετέσχον αὐτοῖς τοῦ βουλεύματος, καὶ τοὺς μάλιστα ἐξάρχοντας δύο ἄνδρας δημεύσας καὶ καταδικάσας καὶ ἀτίμως θριαμβεύσας καὶ ἐπὶ τούτοις ὑπερορίας, ἐν τούτοις προδιωρισμένοις αὐτοῖς τῇ ποινῇ ὑπέβαλε, καὶ τὸ τῶν μανιχαίων τάγμα τῆς στρατείας ἀπήλασεν, ἐθισμὸς μέχρι τότε δ' ὂν στρατευόμενον. στρατεύεσθαι γὰρ τοὺς μανιχαίους ἀρχαῖος νόμος καθάπαξ ἀπηγόρευσεν. αὖθις δ' ἑτέρα κατὰ τοῦ βασιλέως τότε συνέστη ἐπιβουλή. ἧς ἐξῆρχεν ὁ τοῦ βασιλεύσαντος ἐκείνου Διογένους υἱὸς ὁ Νικηφόρος ὁ τῆς πορφύρας βλαστός, ἀνὴρ τὴν μὲν ἰσχὺν ἀπαράμιλλος, τὴν δὲ τῆς γνώμης ἕξιν καὶ τὴν τῆς ψυχῆς γενναιότητα, οὐ κατὰ τὴν σωματικὴν πλεῖστος ἰσχὺν ὤν· ὃς τὸ μὲν δρᾶμα συνθέμενος, τὴν δὲ πρᾶξιν ὑπερθέμενος ἔλαθε παθὼν ἢ δράσας ὡς ἐβουλεύσατο. ἑάλω γάρ, καὶ ἐτασμοῖς ἀνάγκαις παραδοθείς, ἵν' ἐκκαλύψῃ τοὺς συνομότας, τέλος ἐξεκόπη τὰ ὄμματα, καὶ τὴν περιουσίαν ἀφῄρητο. εἶτα τὸ τῶν Φράγγων ἔθνος ἐκ τῶν ἑσπερίων συγκινηθὲν, αἴρει πρὸς τὴν βασιλίδα τῶν πόλεων, ὡς ἐκ ταύτης εἰς τὴν ἑῴαν διαπεραιωθησόμενον. ὧν τὴν συγκίνησιν θεοσημία τις προεμήνυσεν. ἀκρίδων γὰρ ἄπειρόν τι πλῆθος ἐκ τῆς ἑσπέρας τὴν γένεσιν ἐσχηκός, καὶ τοσοῦτον, ὡς νέφεσιν ἐν τῷ ἵπτασθαι ἀπεικάζεσθαι, καὶ συσκιάζειν τὸν ἥλιον, διὰ τῆς μεγίστης τῶν πόλεων καὶ τῶν ταύτης ὁρίων τὴν πτῆσιν ποιούμενον, πρὸς τὴν ἑῴαν ὥρμησε, κἀκεῖ κατέπαυσε. περαιωθέντες οὖν, καὶ τῇ κατὰ Βιθυνίαν προσβαλόντες Νικαίᾳ, παρὰ τῶν Τούρκων κατεχομένῃ, σὺν χρόνῳ μὲν καὶ φθορᾷ πολλῇ ἑκατέρωθεν, τέως μέντοι τὴν πόλιν ᾑρήκασι, καὶ ταύτην μὲν πολλῶν ἀπέδοντο χρημάτων τῷ βασιλεῖ. οἱ δ' εἰς τὸ πρόσω προεχώρουν. καὶ οἱ μὲν τὴν πρὸς τῷ Ὀρόντῃ εἷλον σὺν μόχθῳ καὶ φόνῳ πολλῷ Ἀντιόχειαν, οἱ δὲ τῆς Ἱεροσολύμων μεγάλοις ἀγῶσιν ἐκράτησαν πόλεως. ἀλλ' ὅσα μὲν τὰ τοῦ ἔθνους ἔχει τῶν Φράγγων συντετμημένως εἰπεῖν. αἵρεσις δέ τις κατὰ τοὺς χρόνους τούτους ἀνεπεφάνη μυσαρά, ἡ τῶν Βογομίλων. τῆς δὲ τοιαύτης αἱρέσεως κῆρυξ ἦν καὶ μέγας διδάσκαλος καὶ πρόβολος τῶν παρ' αὐτοῖς ἀποστόλων, Βασίλειός τις λεγόμενος ἰατρός, σχῆμα μὲν περικείμενος μοναχοῦ, αὐτὸν δ' ἐκεῖνον ἐνδεδυμένος τὸν σατανᾶν, ὃς ἐν ἔτεσι μὲν πεντεκαίδεκα τὰ τῆς πλάνης μαθὼν ὀλέθρια δόγματα, ἐν δὲ δυσὶ καὶ πεντήκοντα διδάξας αὐτά, πᾶσαν σχεδὸν τὴν οἰκουμένην τῆς οἰκείας λύμης ἐνέπλησεν. εἶτα καὶ τῇ τῶν πόλεων βασιλίδι ἐπιχωριάσας, ἑάλω ἐπ' αὐτοφώρῳ ὁ τῆς ἀληθείας ἐχθρός. γνοὺς γὰρ τὴν ἐκείνου ἀσέβειαν ὁ κρατῶν, ὑπεκρίθη πίστιν ἔχειν εἰς ἐκεῖνον τὸν κακοδαίμονα, καὶ διδάσκαλον ἐκάλει, καὶ σωτῆρα πλανωμένων ψυχῶν, τούτοις οὖν καὶ πλείοσιν ἄλλοις, μόλις μὲν καὶ σὺν χρόνῳ, ἴσχυσε δ' ὅμως πεῖσαι τὸν ὀλέθριον ἐκεῖνον ἐξεμέσαι τὸν ἰὸν τῆς πονηρίας αὐτοῦ. ἐπεὶ δ' ἦν ἐν τοῖς ἀρκύων τὸ θήραμα, ἐδημοσίευσε μὲν τὴν ἐκείνου διδασκαλίαν, καὶ τὰ δόγματα διεφαύλισε, κοινῇ δὲ ψήφῳ πυρὸς αὐτὸν ἐν τῷ τῆς ἱππηλασίας θεάτρῳ παρανάλωμα ἔθετο. αὖθις δ' ἐπανάστασις ἑτέρα κατὰ τοῦ αὐτοκράτορος γέγονε, καὶ ὁ ταύτην συστησάμενος υἱὸν ἔλεγεν ἑαυτὸν τοῦ βασιλεύσαντος Διογένους, ὃς Κομάνων πλῆθος προσεταιρισάμενος, ὡς τὰ τῆς Θρᾴκης τὰ χωρία γενόμενος, καὶ τὴν χώραν ληϊζόμενος καὶ λυμαινόμενος, ἀπῄτει, ἐν ταῖς πόλεσι δεχθῆναί τε αὐτὸν, καὶ ἀξιωθῆναι βασιλικῆς εὐφημίας. εἶτα εἴς τι πολίχνιον τῆς Θρᾴκης εἰσελθών τε μετ' ὀλίγων τινῶν, συνελήφθη, καὶ ἐξεκόπη τοὺς ὀφθαλμούς.

περὶ ἐπιβουλῆς κατὰ τοῦ βασιλέως μελετηθείσης.

ἐστρατεύοντο

περὶ δὲ τῶν Φράγγων συγκινήσεως καὶ πρὸς τὴν ἑῴαν αὐτῶν διαπεραιώσεως.

περὶ δὲ τῶν Βογομίλων αἱρέσεως καὶ ἐκείνης ἐξάρχου.

ἐκαύθη ὁ ψευδο[illegible]

καὶ οὕτως ἡ ἐπιχειρηθεῖσα παρ' αὐτοῦ τυραννὶς διαλέλυτο, τῶν Κομάνων, ὅσοι μὴ διεφθάρησαν, εἰς τὰ ἤθη παλινοστησάντων τὰ σφέτερα. οὗτος ὁ βασιλεὺς, τὸ ὀρφανοτροφεῖον σχολάζοντα, ἀλλὰ μὴν καὶ ἄλλων γηροκομείων πολλῶν. τὰς τούτων κτήσεις τῷ ὀρφανοτροφείῳ προσνείμας, καὶ αὐτὸς ἑτέρας προσπορίσας, ἀνεκαίνισέ τε αὐτὸ, καὶ ἀνήγειρε πολλοῖς ἀναλώμασι, καὶ πλῆθος γηροκομουμένων αὐτῷ ἐγκατέστησεν. ἀλλὰ μὴν καὶ μοναζόντων καὶ μοναζουσῶν ἐν αὐτῷ ἐδείματο καταγώγια. πρὸς δὲ τοῖς διδασκαλεῖον γραμματικῶν, ἐν ᾧ ἐν αὐτῷ διδάσκοιντο παῖδες ὀρφανοὶ καὶ γονέων ἀπόρων, διδασκάλους ἐντάξας αὐτῷ καὶ παιδαγωγοὺς, καὶ σιτήσεις ἐκτάξας τοῖς διδάσκουσί τε καὶ τοῖς μανθάνουσι. καὶ ταῦτα μὲν οὕτως ἔχει καὶ μέχρι τοῦ δεῦρο διατετήρηται. ἄλλη δ' αὖθις κατὰ τοῦ αὐτοκράτορος συνισταμένη τοῖς ἐξεκαλύφθη, ἧς κορυφαῖος μὲν ἦν ὁ Ἀνεμᾶς Μιχαήλ, συνίστορες δὲ πολλοὶ τῶν τὰ πρῶτα φερομένων ἐν τῇ μοίρᾳ τῇ στρατιωτικῇ. ἀλλὰ μήπω τῷ ἔργῳ ἐπιχειρήσαντες, ἐγνώσθησάν τε καὶ συνελήφθησαν. καὶ τοῖς μὲν συνομόταις ψίλωσις ἐπήχθη τῶν τριχῶν καὶ τοῦ πώγωνος, οὐ ξυρῷ ἀλλὰ δρώπακι. τῷ δ' Ἀνεμᾷ ἄψαυστος μὲν ἡ κεφαλὴ καὶ ὁ πώγων τετήρητο, πήρωσις δὲ τῶν ὀφθαλμῶν αὐτοῦ κατεψήφιστο. ἐπεὶ δὲ θριαμβευομένων αὐτῶν ἐπικαταλαμβάνει βασιλικὸν θέσπισμα, τὸ ποινῆς τὸν αὐτὸν ἐξαιρούμενον, καὶ οὐ συγχωροῦν τὸ ὄμμα τῇ ἐκκοπῇ. ἀφαιρεθέντες δὲ τὰς οὐσίας ὑπερορίαν ἄλλος ἀλλαχόθι κατεδικάσθησαν. ἡ μήτηρ δὲ τοῦ αὐτοκράτορος τότε τῶν τῆς βασιλείας πραγμάτων ἀνειλημμένη, ὡς εἴρηται, τὴν διοίκησιν, μέχρι πολλοῦ ταύτην μετεχειρίζετο. ὅθεν καὶ τὰ πρὸς κάκωσιν τῶν ὑπηκόων τότε γινόμενα ἐκείνῃ οἱ πλείονες ἐπεγράφοντο. ἤχθετο μὲν οὖν ὁ βασιλεὺς ὡς ἐν μόνῳ χεῖλος τῆς βασιλείας ἐπαπολαύων ὀνόματι, αἰδοῖ δὲ τῇ μητρῴᾳ, καὶ ἀκούσης ἐκείνης, ἀφελέσθαι τὴν ἐξουσίαν οὐκ ἤθελεν. ἐπεὶ δ' ἐκείνη συνῆκεν ἀχθόμενον τὸν υἱὸν, ἐσπούδασε, μὴ βιασθεῖσα καὶ ἀθέλητον δόξαι ποιήσασθαι τὴν μετάστασιν. παραχωρήσασα πάντων ἐφ' υἱῷ τε καὶ ἐφ' αὐτοκράτορι, καὶ τῶν βασιλείων ὑπαναχωρήσασα, τὴν τοῦ Παντεπόπτου μονὴν ἣν ἐκείνη ἐδείματο, κατοικίαν ποιησαμένη. ἐν ᾗ ἐπὶ ἔτη τινὰς ἐνιαυτοὺς βιώσασα ἐντίμως τε καὶ βασιλικῶς, εἰς γῆρας τε βαθὺ κατηντήκασα, μετήλλαξε τὴν ζωήν. ἕνα δ' ἐνιαυτὸν καὶ μικρόν τι πρὸς, ὁ αὐτοκράτωρ ἐπιβιοὺς τῇ μητρὶ, κάμνων ἀπέτισε τὸ χρεὼν, κειράμενος καὶ τρίχας, καὶ μεταμφιασάμενος τὸ μοναχικὸν, ὡς ἔγνω ἀπολιπεῖν αὐτὸν τὸ βιώσιμον. ἀπεβίω δὲ ἀφεὶς παῖδας πολλούς. οὓς ἐπεὶ καὶ ἡ μήτηρ αὐτῶν, οὐδ' ὅλον ἐνιαυτὸν ἐπιζήσασα τῷ ἀνδρὶ, μετέστη τῶν γηΐνων, ὁ βασιλεὺς προσελάβετο, καὶ τοὺς μὲν ἄρρενας συνῴκισε γυναιξὶ, τὰς δέ γε θηλείας ἀνδράσιν ἐξέδοτο, καὶ ἔστεργε καὶ εὐηργέτει τοὺς ἀδελφόπαιδας. πρὸς δὲ τὴν κοινωνὸν τοῦ βίου ὁ βασιλεὺς οὗτος οὔτ' ἀποστρόφως εἶχε τὸ πρότερον, οὔτε λίαν ἐκείνῃ προσέκειτο, ἀφροδισίων δ' ἡττώμενος οὐ πάνυ τὰ εἰς εὐνὴν ἐτύγχανε δίκαιος. ὅθεν καὶ βέλεσιν ἡ αὐγοῦστα ζηλοτυπίας ἐβέβλητο. ἐπεὶ δ' ὁ χρόνος προϊὼν τοῦ αὐτοκράτορος τὰ πυρφόρα βέλη τοῦ ἔρωτος ἤμβλυνε, τότε πρὸς τὴν αὐγοῦσταν τρέψας τὸν ἔρωτα, ὅλος ἦν τῆς πρὸς ἐκείνην στοργῆς, καὶ ἐθέλειν ἐν χειλὸν αὐτοῦ ἀδιάσπαστος. τοίνυν μὲν ἐν τῇ βασιλίσσῃ ἰσχυρὸν ἡ διάθεσις, καὶ μεγάλα τότε ἐδύνατο, καὶ ἔσχεν οὕτω μάλιστα αὖ ἐξ οὗ τὸ σῶμα τοῦ βασιλέως. ἐπεὶ δ' ἐκεῖνος τοὺς πόδας ἤλγει, καὶ τὰς βάσεις ἐβέβλαπτο, καὶ πρὸς τὰ ἄρθρα τότε μοχθηρᾶς ὕλης συνερρυηκυίας ῥεύματα, καὶ ἦν ἐν τῇ κλίνῃ κλινοπετής. κατῆρχεν ἡ βασιλὶς, καὶ τῷ ταύτης ἦν, ὡς ἐπίπαν τιθεμένου τοῦ αὐτοκράτορος θελήματι, καὶ πᾶσα ἡ ἐξουσία καὶ ἡ τῆς βασιλείας διοίκησις,

τὸ ὀρφανοτροφεῖον.

μάλιστα κατὰ τὸ βασιλέως ὁ Ἀνεμᾶς ... δρώπαξ τὸ χρίσμα ...

ἀναχωρηθεῖσα τοῦ βασιλείου ἡ μήτηρ τοῦ βασιλέως ...

ἐπιβιοὺς τῇ μητρὶ ...

ὅπως ἐφύλαξε πρὸς τὴν κοινωνὸν τοῦ βίου ὁ βασιλεὺς ...

ὅτι ἡ τῆς βασιλίσσης ἐξουσία ...

Sic eius tyrannis finita est. Comanis qui uiui euaserant, in suas sedes reuersis. Hic imperator, cum Orphanotropheum & alia plura gerocomia uacarent: omnium possessionibus orphanotropheo attributis, ac alijs de suo adiectis, id renouauit statim & magnis impēsis instaurauit, multis quorum senectus sibi fouerētur, in eo collocatis. Ibidem'que monachorum & monacharum diuersona construxit. Præterea scholam grammaticorum, in qua pupilli docerentur & pauperum liberi, magistris & pædagogis constitutis, uictu'que tam docentib' quàm discentibus ordinato. Quæ huc usque obseruantur. Alia rursus inita est contra Imperatorem conspiratio, cuius dux & autor fuit Michael Anemas, conscij multi ex primis militiæ dignitatibus. Sed antequam facinus aggrederentur, cognitis & comprehensis, capilli & barbæ adempte sunt non nouacula sed dropace. Anemas uerò ad oculorum effossionem condemnatus: dum triumphus de ijs agitur, interposito imperatorio edicto pœna excæcationis liberatur. Itaq; publicatione bonorum mulctati, alius aliò relegantur. Matri imperatoris, administratione rerum, ut dictum est, diu functæ, mala quibus subditi uexabantur, plerique asscribebant. Quam rem filius, ut qui nomine tenus forè duntaxat regnaret, etsi molestè ferebat, tamen illam inuitam pro reuerentia sua, potestate priuare noluit. Quo mulier animaduerso, uerita ne uel inuita excedere cogeretur, relicta regia, omni autoritate illi cedit, & in Pantepopti monasterium à se ædificatum migrat, ubi cum aliquot annos bononificè & regaliter uixisset, prouecta ætate obijt. Sed & Augustimperator paulò amplius uno post matrem anno debitum naturę persoluit, raso capillo & habitu monastico sumpto, cum uitæ finem instare sibi uideret, multis liberis relictis: quibus, cum mater etiam non integrum annum marito superstes, terrena reliquisset, Imperator susceptis, adolescentibus uxores, puellis maritos dedit, fratris liberos & beneuolentia & beneficentia prosecutus. Verùm coniugem suam principiò nec aduersabatur, nec immodicè amabat, sed libidini deditus iura matrimonij parum sanctè obseruare ferebatur. Vnde Augusta telis æmulationis sauciabatur. Vt autem ætas grandior ignitas illas Cupidinis sagittas nonnihil heberarat, tum in Augustam conuerso amore, totus in eius charitate acquiescebat, nec facilè abilla diuelli poterat. Ex eo deinceps affectu magna imperatricis potentia fuit, etiam ualente imperatore, quum autem is ex pedibus laborare cœpisset, nec ambulare posset, & corruptis humoribus ad articulos confluentibus, in lecto decumberet: ipsa imperabat, illo comprobante omnia, & iam id animo agitabat, ut post

Orphanotrophy instauratio.

Michaelis Anemæ seditio.

Mater Imperatoris aula excedit.

Alexij in fratris liberos pietas.

Alexij affectus erga uxorem.

Imperatricis et filij dissensio.

ut post mariti decessum tota potestate & imperij gubernatione in se translata, filium imperatorem dicto audiëtem haberet, cui iam adulto ac pridem marito, ducta Hungarorum principis filia, procreatis'que liberis, id ferendum non erat. Nam ne imperio excideret, aut uita etiam priuaretur timebat, cum quanto amore mater filiam natu maximam & generum Bryennium prosequeretur, cerneret. Itaque cognatos conueniebat, atque adeò populum, statu'ꝙ rerum suarum apud singulos clàm deplorando, iurisiurandi uiros commonefaciebat: quo plerique obstricti promiserant, se non nisi ipsi delaturos esse imperium. Ii uerò eum confirmabant, auxilia pollicentes, & quæ pollicebantur iureiurando sancientes. Quæ cum imperatricem non laterent, irata edixit, ne quisquam eum conueniret, passim speculatoribus & obseruatoribus collocatis. Nihilo tamen ille secius ferè omnes ad se allicere non desistebat, alios per semetipsum, alios per sui studiosos. habebat autem studia iunioris quoque fratris, altero Andronico, fratri eidem'que imperatori aduersante. Nam hi quoque iam adulti uxores duxerant, Andronicus Augustimperator, Isaacius & Bryennius Cæsares appellati, alterius uerò filiæ maritus Phorbenus omnium Augustissimus. Atque hæc ita se habebant, etsi temporum ordine immutato, posteriora prius exposuimus. Vnus porrò ex Latinis ab Occidente in orientem profectus Rumperti, cuius suprà meminit historia, filius, nomine Baimundus, seruitium suum imperatori obtulit, & pactis iureiurando firmatis, acceptaque pecunia ferè innumerabili, capta Syriaca Antiochia, non modò pacta & conuentauiolauit, sed & de bello Romanis inferendo cogitauit. Enimuerò reditu in Occidentem destinato, metuens, ne in transitu Romanarum prouinciarum, à prætore aliquo prehensus, ad Imperatorem in uinculis, ut homo fœdifragus perduceretur: quid facit? Rumorem de suo obitu spargendum curat, & cistæ impositus, famulis mandat, ut cadauer suum domum ferri dicant. Hoc astu in suum regnum reuersus, & multum de Imperatore conquestus, multos popularium ad sumenda contra Romanos arma concitauit, eorum'que Dux creatus, superato mari Epidamnum, magno studio capere contendit. Quum autem obsidio traheretur, ciuibus magnis detrimentis illatis, nec paucioribus acceptis, expugnatione desperata, ad alia loca æquè irrito conatu progressus, denique pacem per Legatos ab imperatore petit, Thessalonicæ tum agente: qui inde digressus, iuxta Coloniam Europæam uallum muniuit, ibi'que eum Barbaro de pacis conditionibus transegit. Ac Bai-

Baimundus in Orientē profectus ab imperatore deficit ac tandem pacem facit.

ἐναποτεθῆναι αὐτῇ μετὰ τὴν ἀποβίωσιν τοῦ ἀνδρὸς μεμελέτητο, ὡς καὶ τὸν υἱὸν καὶ βασιλέα ὑποταγῆναι αὐτῇ, τῷ δὲ τὸ σκέμμα οὐκ ἀρεστὸν ἦν, ἄνδρας ἤδη τελοῦντι, καὶ γυναικὶ πρὸ πολλοῦ συναφθέντι, τῇ ἐκ τοῦ ἔθνους τῶν Οὔγγρων ἀρχηγοῦ θυγατρί, καὶ παίδων γεγονότι πατρί. ἐδεδίει γοῦν περὶ τῇ ἀρχῇ, ἢ καὶ περὶ αὐτῇ τῇ ζωῇ, ὁρῶν τὴν μητέρα πολλὴν περὶ τὴν πρεσβυτέραν τῶν θυγατέρων φιλοστοργίαν ἔχουσαν, καὶ περὶ τὸν ἐπ᾽ αὐτῇ κηδεστὴν τὸν Βρυέννιον. ὅθεν μετῄει τοὺς συγγενεῖς, ἀλλὰ μέντοι καὶ ξύμπαντας, καὶ τὰ καθ᾽ ἑαυτὸν πρὸς ἕκαστον λαθραίως ἐκκλαιόμενος, ἀνεμίμνησκε τῶν ὅρκων τοὺς ἄνδρας, οὓς οἱ πλείονες αὐτῶν ἦσαν ὀμωμοκότες, ὡς οὐχ ἕτερον ἢ παρὰ τοῦτον μετὰ τὸν πατέρα δέξαιντο αὐτοκράτορα. οἱ δὲ αὐτὸν ἐπεθάρρυνον, καὶ ἐπαρήξαι οἱ καιροῦ καλοῦντος προθυμότατα ἐπηγγέλλοντο, ὅρκοις ἐμπεδοῦντες τὰς ὑποσχέσεις. ταῦτα δὲ τὴν βασιλίδα οὐκ ἐλελήθεσαν. διὸ καὶ προσώχθισε τῷ υἱῷ. ἐντεῦθεν πανταχοῦ καθάπαξ πρόσοδοι οἱ ἀπείρητο, καὶ πανταχόθεν σκοποί τε καὶ κατάσκοποι ἦσαν αὐτῷ. ὁ δὲ καὶ οὕτως οὐκ ἐπαύετο πρὸς ἑαυτὸν σχεδὸν τοὺς σύμπαντας ἐφελκόμενος, τοὺς μὲν δι᾽ ἑαυτοῦ, τοὺς δὲ διὰ τῶν προσκειμένων αὐτῷ. προσέκειτο δ᾽ αὐτῷ καὶ τῶν ἀδελφῶν ὁ νεώτερος, θατέρου δ᾽ ἤγουν, δηλαδὴ ὁ Ἀνδρόνικος, τῇ συγγόνῳ καὶ βασιλίδι ἠναντιοῦτο. ἤδη γὰρ καὶ οὗτοι ἀνδρωθέντες, γυναιξὶ συνεζύχθησαν. καὶ ὁ μὲν Ἀνδρόνικος σεβαστοκράτωρ τετίμητο, ὁ δ᾽ Ἰσαάκιος καὶ ὁ Βρυέννιος καίσαρες, ὁ δὲ ἐπὶ τῇ δευτέρᾳ τῶν θυγατέρων τοῦ βασιλέως γαμβρὸς ὁ Φορβηνὸς πανυπερσέβαστος. εἶχον μὲν οὖν οὕτω ταῦτα, εἰ καὶ προέδραμεν ὁ λόγος, τὰ ὕστερον διηγούμενος. εἷς δὲ τῶν εἰς τὴν ἑῴαν διαβάντων Λατίνων καὶ ὁ τοῦ Ῥομπέρτου ἐκείνου, οὗπερ ἤδη ἡ ἱστορία ἐμνήσθη, ὑπάρχων υἱός, Βαϊμοῦντος ὀνομαζόμενος, ὃς ἐκ τῶν ἑσπερίων μετὰ τῶν ὑπ᾽ αὐτὸν αἰρῶν, δουλείαν τε τῷ βασιλεῖ ἐπηγγείλατο, καὶ συνθήκας θέμενος πρὸς αὐτόν, ὅρκοις αὐτὰς ἐμπεδώσας, καὶ χρήματα λαβὼν χιλιάδων ὑπὲρ ἀριθμόν, τὴν κατὰ Κοίλην Συρίαν Ἀντιόχειαν ὑποδεδόμενος καὶ ταύτην πολιορκίᾳ ἑλών, οὐ μόνον τῶν ὡμολογημένων παραβάτης ἐγένετο, ἀλλὰ καὶ πόλεμον κατὰ Ῥωμαίων ἀράδην μεμελέτηκεν. ἐπανιέναι δὲ φροντίζων ἐκ τῶν ἑῴων εἰς τὰ ἑσπέρια, ἐδεδίει μὴ ἐν τῇ ἐπανόδῳ χώρας Ῥωμαϊκὰς διιών, κατασχεθείη παρά του τῶν χωρῶν ἐκείνων τὰς ἀρχὰς ἐμπεπιστευμένων, καὶ ἀπαχθείη δεσμώτης, ὡς παραβάτης ὢν ἔθετο συνθηκῶν. τί γοῦν μηχανᾶται; ἑαυτοῦ καταψεύδεται θάνατον, καὶ λάρνακι ἐμβέβηκεν, ἐντειλάμενος τοῖς θεράπουσι, λέγειν ὡς ἐτεθνήκει, καὶ ὁ νεκρὸς ἐκείνου κομίζεται οἴκαδε. οὕτω λαθὼν εἰς τὴν χώραν αὐτοῦ διασώζεται. ἐνθένδε πολλὰ καταιτιῶν τοῦ βασιλέως, πολλοὺς τῶν ὁμοφύλων ἄρασθαι κατὰ Ῥωμαίων ὅπλα ἠρέθισεν, ὧν στρατάρχης ἐκεῖνος διαπεραιωθεὶς πρὸς τὴν Ἐπίδαμνον, καὶ πολλὴν ἔθετο σπουδὴν ἐκπορθῆσαι τὸ ἄστυ αὐτῆς. χρόνον δὲ διατρίψας ἐν τῇ πολιορκίᾳ μακρόν, καὶ κακώσας μὲν τοὺς ἐν τῇ πόλει, οὐ μείω δὲ καὶ αὐτὸς κακωθείς, ἀπέγνω μὲν τὴν τοῦ Δυρραχίου ἅλωσιν, προῄει δὲ εἰς ἕτερα, ἀλλὰ κἀκείνων διήμαρτεν, ὅθεν διαπρεσβεύεται πρὸς τὸν αὐτοκράτορα, συμβάσεις ζητῶν. ὁ δὲ τῇ Θεσσαλονίκῃ ἦν ἐνδημῶν, καὶ ἀπάρας ἐκεῖθεν, κατὰ τὴν Εὐρωπαίαν κολώνειαν τὸν χάρακα ἔθετο, ἐνθάδε καὶ προσωμίλησε τῷ βαρβάρῳ, καὶ τὰς συνθήκας τῶν σπονδῶν ἐποιήσατο. ὁ μὲν οὖν τοῦ Βαϊ-

μοῦνδο

μένοις μᾶλλον ὁ τύπος διαλέλυται. ὁ δὲ πατριάρχης Νικόλαος ἔτεσι πρὸς ἑπτὰ εἰκοσιν τῆς ἐκκλησίας ἰθύνας, καὶ ἐν γήρει ἐλάσας βαθεῖ, νοσήσας ἀπεβίω. ὃν τῆς ἐκφορᾶς μεγαλοπρεπῶς ὁ αὐτοκράτωρ ἐτίμησεν, εἶτα ἕτερον εἰς τὸν θρόνον τὸν πατριαρχικὸν ἐγκαθίδρυσεν, ἕνα μὲν τοῦ κλήρου τῆς ἐκκλησίας, τοῦ τῶν διακόνων δὲ γε βαθμοῦ, * καὶ τοῖς πατριαρχικοῖς συντασσόμενον ἄρχουσιν, ἀδελφιδοῦν δὲ τοῦ τῆς ἐν Χαλκηδόνι τότε προεδρεύοντος ἐκκλησίας, λόγοις ἐντεθραμμένον τοῖς τε θύραθεν καὶ τοῖς καθ' ἡμᾶς, αὐτὸς ὁ βασιλεὺς τῇ ἐκκλησίᾳ ἀναδεδειχὼς, καὶ αὐτὸν ἐν ταύτῃ προχειρισάμενος. μετὰ δέ τινα χρόνον νοσεῖ ὁ κρατῶν, καὶ οὕτως ἡ νόσος ἐκεῖνον κατέσχεν, ὡς ἐκλελοιπέναι δοκεῖν. ἐν τούτῳ δὲ τοῦ σωτηρίου τοῦ σωτῆρος ἡμῶν ἐκτυπώματος, ὃ ἐν τῇ Χαλκῇ ἀνεστήλωται, τὸ θεῖον πέπλον, ὃ πρὸ τῆς εἰκόνος κρέμαται, κομισθὲν, ἐφηπλώθη τῇ κλίνῃ ἐφ' ἧς ὁ κάμνων κατέκειτο, καὶ αὐτοῦ τὸ σῶμα περιεκάλυψε, καὶ ἡ τῆς νόσου σφοδρότης ὑπενδίδου εὐθύς. ὁ δὲ ἐκινεῖτό τε καὶ ἀνεκάθισε καὶ ἐφώνησε, καὶ ᾔτησεν ὕδωρ ἐπὶ χειρός, καὶ τροφῆς ἀπεγεύσατο, καὶ ὁ μὲν ἀνερρώννυτο, ἡ δὲ νόσος ὑπέληγε. τοῖς δὲ πολλοῖς ἄπιστος ἦν ἡ ἀνάρρωσις. ἵνα γοῦν πληροφορηθῶσι περὶ ταύτης οἱ ἀμφιβάλλοντες, ἔφιππος μετ' ὀλίγον διῆλθε τῆς ἀγορᾶς. ἀλλ' οὕτω μὲν τῆς νόσου ὁ αὐτοκράτωρ ἀπήλλακτο, ὕθλος δὲ τὸν ἀστυπολοῦντα λαὸν δεινὸς ὑπεσόβει ἀναίτιον. φήμη γὰρ περιῄει ἁπανταχοῦ, τεθνάναι μέλλειν περὶ τὸ μέγα σάββατον τοῦ ἐνιαυτοῦ ἐκείνου τὸν αὐτοκράτορα, καὶ οὐ τῶν δημωδῶν μόνον πλῆθος ἡ φήμη κατεκράτησεν αὐτῶν, ἀλλὰ καὶ τῶν ἐν τέλει καὶ τῶν περὶ τὸν κρατοῦντα, καὶ αὐτοῦ δὲ τοῦ βασιλέως διῆσσε τῆς ψυχῆς, καίτοι μηδὲ νοσοῦντος μηδέ τι τῶν ἐνοχλούντων ἔχοντος. παρελθούσης δὲ τῆς λεγομένης ἡμέρας, ἠλέγχθη τὸ φημιζόμενον μάταιον, καὶ τῆς πονηρᾶς προσδοκίας ἀπηλλάγησαν ξύμπαντες. ὁ πολὺς δὲ τότε παρῆλθε καιρός, καὶ τῆς Βυζαντίδος ὁ αὐτοκράτωρ ἐκδημεῖ, καὶ τῇ γυναικωνίτιδι συναπαγόμενος, καὶ ταῦτα καθ' ὥραν χειμέριον, καὶ σκηνοῖ ἐπὶ τῇ Θρᾳκίων Χερρονήσῳ, τοῦ δὲ χειμῶνος παρελθόντος, καὶ τοῦ ἔαρος ἀναλάμψαντος, ἤδη καὶ τὸ θέρος ἐφίστατο, κἀκεῖθεν ὁ κρατῶν ἐμάνθανεν, ὡς νόσος τῇ βασιλίσσῃ ἐνέσκηψε. τότε δὲ προεπέμφθη ἡ αὐγοῦστα τριήρει βασιλικῇ. ὁ βασιλεὺς δ' ἔτι ἡμέρας διάγων ἐκεῖ, καὶ τοὺς στρατιωτικοὺς καταλόγους ἐπισκεπτόμενος, μέχρις ἀνεμεμάθηκεν ὡς ἡ βασιλὶς κατήντησε πρὸς τὰ βασίλεια. εἶτ' ἐκεῖθεν ἀπάρας, δι' ἡμέρας μιᾶς καταλαμβάνει τὴν μεγαλόπολιν, καὶ ἡ μὲν ἀνερρώννυτο, ὁ δὲ τῶν διοικήσεων ἥπτετο, ὡς τὰ πολλὰ κατὰ τὸ Φιλοπάτιον ποιούμενος τὰς διατριβάς. καὶ οἱ τρόπον τινὰ τετάχατο, τεταγμένας ἡμέρας ὁρίσαντος, καθ' ἃς ἐκάθητο δημοσίᾳ προκαθήμενος, ἐφορῶν πρὸς πεδιάδα πλατεῖαν. τῷ βουλομένῳ δὲ ἡ εἰς ἐκεῖνον πάροδος συγκεχώρητο, καὶ ἕκαστος τῶν δεομένων ἐπαναττεινε δεήσεις διὰ χαρτίων(?) ὅτου δέοιτο. καὶ ταῦτα ἐν ὑπομνήμασι παρὰ τοῖς ὑπογραμματεῦσιν ἀποτίθεσθαι, καὶ γνωρίζειν αὐτῷ τὰς ἑκάστου αἰτήσεις, καὶ αὐτίκα τὴν ἐφ' ἑκάστῳ ἀπόκρισιν προστάττειν γράφεσθαι, καὶ βεβαιουμένην τοῖς δεομένοις παρέχεσθαι. καὶ τοῦτ' ἐπὶ χρόνον ἱκανὸν ἐτηρεῖτο τῷ αὐτοκράτορι. εἶτ' αὖθις ἐκδημεῖ τῆς Βυζαντίδος, φθίνοντος ἤδη τοῦ μετοπώρου. συνῆν δὲ ἐκείνῳ καὶ ἡ βασίλισσα, καὶ ἡ γυναικωνῖτις συνείπετο, καὶ περὶ τοὺς πρόποδας τοῦ ὄρους τοῦ Παπυκίου κατεσκήνωσεν. ἔνθα τὴν τοῦ ἔαρος χειμέριον διαγαγὼν πᾶσαν, ἄρτι ἀρχομένου τοῦ ἔαρος ἐκεῖθεν ἀπάρας, τὴν Φιλιππούπολιν κατέλαβε. περὶ ταύτην οὖν τὰ ὅρια ὁ βασιλεὺς Ἀλέξιος σκηνωσάμενος, ἐκεῖ τόν τε ἐαρινὸν καιρὸν καὶ τὸ θέρος, ἤδη δὲ καὶ πολὺ τοῦ μετοπώρου διέτριψε, ἐν ᾧ ἐγένοντο αὐτῷ τῆς ἐκεῖσε διατριβῆς ἡ μετὰ τῶν Μανιχαίων διάλεξις. οὓς Παυλικιανοὺς ἡ δημώδης ὀνομάζει φωνή (πολὺ γὰρ τὸ τοιοῦτον γένος ἐν τῇ χώρᾳ ταύτῃ κατῴκιστο, τοῦ βασιλέως Ἰωάννου τοῦ Τζιμισκῆ μετανάστας γενέσθαι ἐκ

περὶ τελευτῆς Νικολάου.

περὶ τῆς νόσου τοῦ βασιλέως καὶ ὅπως ἀνερρώσθη.

περὶ τῆς φήμης γενομένης κατὰ τὸ μέγα σάββατον.

περὶ τῆς εἰς Χερρόνησον ἐκδημίας τοῦ βασιλέως.

mundicum bellum hoc ferè modo compositum est. Patriarcha uerò Nicolaus Ecclesia per annos uigenti septem gubernata, senex admodum decessit: cuius funus imperator magnificis honoribus prosecutus, alium in patriarchico solio collocauit, è cleri ecclesiæ numero illum quidem, sed ordinis diaconorum, * qui primaribus patriarchicis cooptatur, ex fratre nepotem eius qui tum Chalcedonensi præerat Ecclesiæ, in literis tum profanis tum sacris ab ineunte uersatum ætate, quem ipse imperator in Ecclesia declarauit. Aliquantò pòst tanto morbo oppressus, ut expirasse uideretur, sacrosancto peplo quod ante imaginem seruatoris nostri in Chalce erectā pendet, in lecto ægrotantis expanso, & eius corpori applicato, nonnihil mitigata morbi uehementia, se commouit, assedit, locutus est, malluuium petijt, cibumq; cepit, & morbo paulatim decedente conualuit. Quod cū uulgò incredibile uideretur, ut de sua ualetudine constaret, paulò pòst equo per forum transijt. Eo morbo propulsato, nihilominus urbanæ multitudini motus inanis incessit ex rumore passim uulgato, Imperatorem eo anno in magno sabbatho esse moriturum. Is rumor non in plebe tantum, sed & in Curia & Regia uersabatur, atq; ipsius etiam Imperatoris animum commouerat, etsi nec ægrotantem, nec ulla molestia conflictantem, donec eo die elapso uanitate sermonis illius refutata, malorū metus omnib⁹ est adēptus. Paruo deinde tēpore elapso, imperator cū gynęceo, quāuis hyberno tēpore, Byzantio in Chersonesum transijt: nec inde discessit, interim militares catalogos perlustrans, donec sub æstatis initium Imperatrice ægrota imperatoria triremi præmissa, cognouit, eam in regiā peruenisse. Tum & ipse uno die in magnam urbem peruenit, eaq; conualescente, rerum administrationi intentus fuit, plerunque in Philopatio degens, ea que ratione inita, ut certis diebus in amplam planiciem prospectās, ibi publicè pro tribunali sederet, liceretq; omnibus ei porrigere libellos supplices: quos ante se depositos à notarijs legi & cuiusq; petitionem indicari, statimq; responsa scribi, ea'que confirmata supplicātibus restitui iussit. Ea ratione satis longo tempore obseruata, rursus cum imperatrice & gynæceo egressus, circa radices montis Papycij per totam hyemem, cum omni familia habitauit. Sub ueris initium iuxta Philippopolim, uernum æstiuumq; tempus, & magnam autumni partem exegit, ea re ibi occupatus, ut cum Manichæis qui Pauliciani uulgò dicuntur, disputaret. (Nam magna eius gentis multitudo ibi uersabatur, à Ioanne Zimisce ex

Nicolai Patriarchæ obitus & successor.

Alexius sacro peplo recreatur.

Rumor inanis sparsus de Imperatoris periculo.

Alexij migrationes.

Alexij humanitas.

Alexij disputationes cum Manichæis siue Paulicianis.

Oriente in ea loca translata) eorumq; multos ad orthodoxam fidem traduxit. Autumno iam medio ferè exacto, in Regiam est reuersus. Quia uerò imperatrix multum poterat, etiam generi eius Bryennij magna erat potentia, aciam uulgò celebre, illius nutu in regia geri omnia. Quare omnes ad eum se conferebant, iuris dicundi, & pro imperij autoritate sententias ferendi potestate præditū. Erat autem & ipse studijs doctrinarum deditus, & uxor eius in ijsdem operam nihilo minorem, ac potius maiorem ponebat, exquisitè Atticissans, ingenioq; prædita acutissimo ad abstrusissimas quasque contemplationes: eam facultatem partim naturæ bonitate, partim industria consecuta. Affixa etiam erat libris, & eruditorum consuetudine haud obiter utebatur. Hoc rerum suarum statu Cæsar omnibus linguis celebratur. Quæ quum imperatoris filium eundem'que imperatorem angerent & cruciarent, tamen tolerabat. Sed hæc in progressu orationis exponentur. Nunc uerò ea referantur, quæ præteriuimus. Temporibus imperatoris huius multa extitere incendia, diuersis urbis locis igne desolatis. Sed & aliquando uerno tempore uehementis uenti procella cùm alia multa corruerunt, tùm statua in rotunda illa maxima columna porphyretica, in foro Placoto deiecta, multos qui fortè ibi erant, contriuit. Id simulacrum & mole ingens, & pulchritudine mirabile, casu illo in multa fragmenta est comminutum. Alio tempore imber maximus eo die quo principum Christi Apostolorum Petri & Pauli memoria celebratur, erupit, uesperiq; auspicatus ad idem usq; tempus postridie sine intermissione durauit. Tum impetu aquarum multa ædificia sunt deiecta, & ualles aquis redundantes à mari nihil discreparunt, & homines nō pauci, ac multæ animantes perierunt. Atque hæc ita se habuerunt. Cùm autem aliquando imperatori nunciaretur, Turcicum exercitum colligi, Romanas prouincias populaturum, atque ipse pedibus æger, fluxionibus uberius decurrentibus cum doloribus ac cruciatibus acerrimis, Barbaris occurrere non posset: Camyze Eustathio duce, phalangem contra eos mittit, uiro inter Duces primario, qui quum non minima hostium parte congressus, uictus est & captus, militibus partim cęsis, partim fuga elapsis. Quo imperator nunciato teneri non potuit, quin ipse egrederetur, ac Turcos quidem nusquam adeptus est, quod audito eius aduentu, laxatis habenis continenter fugerant. Sed Camyzem, qui suis custodibus, magnorum præmiorum spe proposita, persuaserat, ut secum ad imperatorem transfugerent, libenter uidit, & liberatoribus eius pecunia

Bryennij potentia, et eius uxoris que eruditio.

Vētus et statuæ Theodosij ruina.

Imber.

Expeditio Turcica.

Camyzes.

τὶ ἑώας αὐτῷ κἀν ταύτῃ ἐγκατῳκίσαντο) εἰς διαλεγόμενος, πολλοὺς πρὸς τὴν ὀρθόδοξον πίστιν μετήνεγκεν. ἤδη δὲ μεσοῦντος τοῦ μετοπώρου, ἐπανῆλθεν εἰς τὰ βασίλεια. τῆς δὲ βασιλίσσης μέγα δυναμένης, καὶ τῷ κηδεστῇ τῷ Βρυεννίῳ τῷ καίσαρι πολλή τις ἦν ἰσχὺς, καὶ δι' ἐκείνου πάντα ἐν τοῖς ἀνακτόροις οἰκονομεῖσθαι ἐπεφήμιστο. διὸ καὶ πάντες ἐκείνῳ προσήρχοντο, καὶ δικάζειν αὐτῷ ἐπέτραπτο καὶ βασιλικὰς ἐκφέρειν ψήφους. ἦν γὰρ καὶ λόγοις προσκείμενος ὁ ἀνὴρ, καὶ ἡ σύνοικος δὲ οὐ τὸ ἔλαττον εἰ μὴ καὶ μᾶλλον ἐκείνου τὴν ἐν λόγοις σπουδάσας αὐτάρκειν, καὶ τὴν γλῶτταν εἶχεν ἀκριβῶς ἀττικίζουσαν, καὶ τὸν νοῦν πρὸς ὕψος θεωρημάτων ὀξύτατον. ταῦτα δ' αὐτῇ προσεγένετο φύσεως ὀξύτητι καὶ σπουδῇ. προσανετέτηκε γὰρ ταῖς βίβλοις, καὶ λογίοις ἀνδράσι, καὶ οὐ παρέργως ὡμίλει αὐτοῖς. οὕτω δὲ ὡς εἴρηται τῷ καίσαρι τῶν πραγμάτων συνδραμόντων, διὰ στόματος ἦν γλώττης ᾀδόμενος ὁ ἀνήρ. ταῦτα δὲ τὸν βασιλέως υἱόν τε καὶ βασιλέα πολλὴν τὴν ἀθυμίαν ἐνέσταζον καὶ εἰς ἀγωνίαν ἐνέβαλον. ὁ δὲ καὶ οὕτως ἔχων ἐκαρτέρει. ἀλλὰ τὰ μὲν περὶ τούτων προϊὼν ὁ λόγος ἐκθήσεται, ἄρτι δὲ διηγητέον ἃ παραλέλοιπε. πολλοὶ ἐπὶ τοῖς τῆς αὐταρχίας χρόνοις τοῦ βασιλέως τούτου γεγόνασιν ἐμπρησμοὶ ἐν διαφόροις τῆς πόλεως μέρεσι, καὶ πολλὰ ταύτης κατηρημώθη τὸ πῦρ καὶ ἠφάνισεν. ἐπιβάντος δέ ποτε τοῦ ἔαρος, πνεύματος καὶ ἀνέμου σφοδροῦ τε καὶ βιαιοτάτου ὥρας οὔσης ἐαρινῆς, ὑφ' οὗ πολλά τε ἄλλα συνέβη συμπτώματα, καὶ ὁ ἐν τῷ κυκλοτερεῖ καὶ μεγίστῳ πορφυρῷ κίονι τῷ ἐπὶ τὸ λεγόμενον πλακωτὸν ἑστῶτι ἱδρυμένος στήλη κατηνέχθη, καὶ πολλοὺς ἀνεῖλε τῶν παρατυχόντων ἐκεῖ. ἦν δὲ τὸ ἄγαλμα μεγέθει μὲν παμμέγα, κάλλει δέ γε θαυμάσιον, ὃ καὶ πεσὸν συνετέθραυστό τε καὶ εἰς πολλὰ διετέτμητο. καὶ ὑετὸς δ' ἐν ἄλλῳ χρόνῳ κατερράγη σφοδρότατος, κατ' αὐτὴν τὴν ἡμέραν τῆς μνήμης τῶν κορυφαίων τοῦ Χριστοῦ μαθητῶν Πέτρου καὶ Παύλου, ὃς περὶ δείλην ὀψίαν ἀρξάμενος, διήρκεσεν ἄχρι τῆς αὐτῆς ὥρας τῆς ἐπιούσης ἡμέρας ἀνένδοτος γεγονώς. ὅτι πολλαί τε τῇ φορᾷ τῶν ὑδάτων οἰκίαι κατέπεσον, καὶ αἱ κοιλάδες ὑδάτων πλησθεῖσαι οὐδὲν διέφερον θαλασσῶν, καὶ ἀνθρώπων οὐκ ὀλίγων καὶ ζῴων πολλῶν συμβέβηκεν ἀπώλεια. ταῦτα μὲν οὕτω συνηνέχθη. ἀπηγγέλθη δέ ποτε τῷ βασιλεῖ Τούρκων ἀθροίζεσθαι στρατιὰν, βουλομένην ἐπελθεῖν ταῖς ὑπὸ Ῥωμαίους χώραις, καὶ ταύτας λῃίσασθαι. ἔτυχε δὲ τότε τοὺς πόδας ἀλγῶν, τοῦ ῥεύματος σφοδρότερον ἐπερρυηκότος, καὶ περιωδυνίαις αὐτὸν καὶ ἀλγηδόσιν ὀξυτάταις πιέζοντος, ἐπεὶ γοῦν οὐκ εἶχε δι' ἑαυτοῦ ἐπὶ τῶν βαρβάρων στρατεύσασθαι. φάλαγγα κατ' αὐτῶν ἐκπέμπει στρατιωτῶν, φαλαγγάρχην ἐπιστήσας αὐτοῖς τὸν Καμμύτζην Εὐστάθιον, ἄνδρα τοῖς πρώτοις τεταγμένον τῶν στρατηγῶν, ὁ δ' οὐκ ἐλαχίστῃ τῶν πολεμίων μοίρᾳ περιτυχὼν, προσβάλλει τούτοις, ἡττήθη δὲ προσβαλὼν, καὶ αὐτὸς μὲν ἑάλω, οἱ δ' ὑπ' αὐτὸν οἱ μὲν ἔπεσον, οἱ δὲ φυγόντες ἐσώθησαν. ὡς δὲ ταῦτα τῷ βασιλεῖ κατηγγέλθησαν, οὐκέτι καθεκτὸς ἦν ἐκεῖνος, ἀλλ' ἔξεισι, καὶ Τούρκοις μὲν ἐντετύχηκεν οὐδαμοῦ (μαθόντες γὰρ τὴν κατ' αὐτῶν τοῦ βασιλέως ὁρμὴν, τοῖς ἵπποις ἐνδόντες τοὺς χαλινοὺς, ἔφυγον ἀμεταστρεπτί), ἔγνω δὲ καὶ ὁ Καμμύτζης τὰς χεῖρας αὐτῶν ἐκφυγεῖν, τοὺς αὐτὸν φρουροῦντας μεγάλαις ὑποσχέσεσι πείσας συναποδρᾶναι αὐτῷ, καὶ προσεληλυθότα τῷ βασιλεῖ. καὶ ὁ μὲν πρὸς τὸν αὐτοκράτορα ἦλθε προσάγων, καὶ τοὺς αὐτοῦ φύλακας αὐτομόλους, ὁ δὲ κρατῶν ἐκεῖνον μὲν ἀσμένως εἶδε, τοὺς δ' ἐκεῖνον λελυκότας ἐδεξιώσατο χρήμασι, καὶ ἐπανῆλ-

περὶ ἐμπρησμοῦ καὶ ἀνέμου.

ὑετὸς λάβρος.

ἐπανῆλθεν εἰς τὸ Βυζάντιον. οὐ πολὺς παρερρύη καιρὸς, καὶ ἔξεισιν αὖθις κατὰ τῶν βαρβάρων τούτων ὁ αὐτοκράτωρ, καὶ ἄπεισιν εἰς τὸ Φιλομήλιον, εὗρε δὲ τὸ ἄστυ τοῦτο κενὸν ὁπλιτῶν (πάντες γὰρ τὴν τοῦ αὐτοκράτορος ἐγνωκότες κατ' αὐτῶν ἔφοδον, τὰ μὲν φίλτατα μετέθεντο, ἐκεῖνοι δὲ ἀνεχώρησαν) τὸ μὲν οὖν ἄστυ ἀπόνως εἵλετο. ἀλλὰ μέντοι καί τινα φρούρια καὶ σπήλαια, ἃ καταφύγια τοῖς ἐγχωρίοις ὠνόμασται, παρὰ τῶν κατεχόντων αὐτὰ τῷ βασιλεῖ παρεδέδοντο, καὶ οἱ ἐν αὐτοῖς μετῳκίσθησαν, τοῦτο συμφέρον τοῦ αὐτοκράτορος κρίναντος. ὃς μεθ' ἑαυτοῦ λαβὼν ἐκείνους, ἐπανῄει ἐπεὶ μὴ πολεμίοις ἐνέτυχε. τῶν δὲ μετοικιζομένων ὅσοι μὲν ἀκμάζοντες, ἦσαν ἢ καὶ νεάζοντες, δι' ἑαυτῶν τὴν πορείαν ἐποιοῦντο. οἷς δὲ τὸ γῆρας βραδέως ἐτίθει τοὺς πόδας εἰς βάδισιν, τούτοις παρεῖχεν ὁ κρατῶν ὑποζύγια. εἰ δέ τινες ἢ νόσοις ἢ πάθεσιν ἄλλοις εἶχον παρειμένα τὰ σώματα, ἢ γήρᾳ μακροχρονίῳ τε καὶ λυγρῷ, τούτους ἀσπίσιν ἐπιτιθεὶς μακραῖς, καὶ τὰς ἀσπίδας νέους φέρειν ἐπέταττε σθεναρούς, δυναμένους ἀχθοφορεῖν, αὐτὸς δὲ παριὼν, εἴ τινα τῶν οὕτω κομιζομένων ἢ δίψῃ κάμνοντα εὕρισκεν, ἢ τροφῆς ὀρεγόμενον, εἰ ἄλλως ταλαιπωρούμενον, ὡς εἶχεν, ἀνεκτᾶτο τὸν κάμνοντα. οὕτω δὲ ὁδοιποροῦντί τε καὶ καταλύοντι καὶ Τοῦρκοι πρὸς ἑσπέραν ἐνεφανίσθησαν, σπονδὰς πρὸς Ῥωμαίους λέγοντες ἐθέλειν θέσθαι τὸν σφέτερον ἀρχηγόν. τοῦτο δὲ οὐδὲ τῷ βασιλεῖ ἀθύμιον ἔδοξεν. ἕωθεν οὖν ἧκεν ὁ τῶν βαρβάρων κρατῶν, ὁ δὲ ἦν οὐ σατράπης, ἀλλ' ἐκ τοῦ γένους τοῦ σουλτανικοῦ καταγόμενος, καὶ σουλτάνος ὑπὸ τῶν οἰκείων ὀνομαζόμενος, ὃς ἐφίππῳ τῷ βασιλεῖ ἐντυχὼν, πόρρωθεν αὐτὸς ἐκβὰς τοῦ ἵππου, καὶ πεζὸς προσεληλυθὼς, καὶ οὕτω τὴν προσκύνησιν αὐτῷ ἀφοσιωσάμενος, συνθήκας τε ἔθετο, καὶ χρήμασι πολλοῖς φιλοτιμηθεὶς, ἐκεῖνός τε καὶ ὅσοι σὺν αὐτῷ ἐληλύθεισαν, ὁ μὲν ἐπανῄει πρὸς τὰ ἤθη τὰ ἑαυτοῦ, ὁ δ' αὐτοκράτωρ ἐπανῆλθεν εἰς τὰ βασίλεια. ἐντεῦθεν ηὔξετο τὸ τῶν ποδῶν ἄλγος αὐτῷ, καὶ ἦν κλινήρης ὡς τὰ πολλὰ, κατεῖχε δ' ἡ βασιλὶς, καὶ ἦν ἐπίδοξος τὴν αὐταρχίαν σφετερίσασθαι. ὁ δὲ ταύτης υἱὸς καὶ βασιλεὺς οὐκ ἠρέμει, παντοίως πρὸς τὴν δοκοῦσαν τῆς μητρὸς ἐγχείρησιν ἀντιπραττόμενος. ὡς δὲ τῇ νόσῳ κατεπονεῖτο ὁ αὐτοκράτωρ, εἰς τὸ μέγα τὸ πρὸς ἀνίσχοντα ἥλιον μετῳκίσθη ἀνάκτορον, καὶ ἦν νοσοκομούμενος. καὶ ὁ τῶν ἀσκληπιαδῶν περὶ ἐκεῖνον καθ' ἑκάστην ἐγίνετο ἀθροισμός. οὐκ ἦν δὲ μία πᾶσι διάγνωσις, μόλις δ' οὖν εἰς μίαν γνώμην ἦλθον ποτέ. ἡ δ' ἦν, σιδήρῳ τὸν στόμαχον καυτηριάσαι τοῦ αὐτοκράτορος. σίδηρον οὖν ὁ βασιλεὺς κατὰ τοῦ στομάχου φλογέντα δέχεται, οὐκ εὔκρατος μὲν ἔδοξε τοῖς ἰατροῖς ὁ τῶν ἀνακτόρων ἀὴρ, οἷα δὴ νοτιώτερος. διὸ καὶ εἰς τὰ τῶν Μαγγάνων ἀνάκτορα μετακεκόμιστο ὁ κρατῶν, εἴ τι τυχαίως τοῦτο συμβὰν, εἴτε τοῦ χρεὼν τὸν θνήσκοντα συνελαύνοντος, ἐκεῖ τὴν ψυχὴν ἐρυγεῖν. τὸ γὰρ ἐν Ἀκεσωδύναις πεσεῖται, περὶ ἐκείνου γεγράφθαι λέγοντες οἱ περὶ ταῦτα ἐπτοημένοι. Ἀκεσωδύνας τὴν τῶν Μαγγάνων κατοικίαν ἐξηγοῦντό τε καὶ ὠνόμαζον, διὰ τὸ ἰατρεῖον τὸ ἐν αὐτοῖς. ὡς ἄκος ταῖς περιωδυνίαις ποιούμενον, καὶ οὐδὲ τὸ καυτηριάσαι τὸν βασιλέα, γενέσθαι μάτην ἐλέγετο τοῖς ταῦτα κομψοῖς, ἀλλὰ κατὰ παλαιγενῆ καὶ τοῦτο πρόρρησίν τε, καὶ πρόγνωσιν. γεγράφθαι γάρ που περὶ αὐτοῦ τοῖς μαντεύσασι τὰ περὶ τῶν βασιλέων αἰνιγματώδως

donatis Byzantium rediit. Neque multum temporis intercessit, cum alia expeditione contra Barbaros suscepta, Philomelium urbem armatis uacuam repertam (omnes enim eius accessu cognito, charissimis quibusque ablatis discesserant) sine labore cepit. Sed & castella quædam & speluncæ, quæ ab incolis Cataphygia, hoc est, confugia nominantur, per deditionem accepit, & illos quod ita expedire uideretur, in colonias secum abduxit, cùm nemo esset, cum quo bellum gereret: ijs qui integra ætate erant, & uiribus uigebant, pedibus iter facientibus: qui uerò senectute tardiores ad ambulandum erant, ijs iumenta præbuit. Si qui uerò uel morbis, uel alijs calamitatibus, uel afflicti senio corporibus lassis erant, eos clypeis impositos, à robustis iuuenibus, qui oneri ferendo pares essent, gestari iussit, ipse'que obequitans, si quem eorum uel siti laborantem, uel cibum desiderantem, uel alioqui malè affectum uideret, eum pro uirili recreabat. Sic proficiscenti & diuertenti Turci Occidentales occurrerunt, qui Principem suum ferire cum Romanis fœdus uelle dicerent. Quod cùm nec imperatori displiceret, mane Barbarorum princeps uenit, non Satrapa, sed ex Sultani genere, qui & ipse à suis Sultanus uocaretur, & eminus de equo descendit, atque imperatorem equo insidentem pedes conuenit, & adoratione sic peracta, fœdere icto, magna'que pecunia cum suis donatus, in sedes suas rediit, imperator in regiam est reuersus. Ab eo tempore auctis pedum doloribus plerunque decubuit, imperatrice rerum potiente. Quæ quum omnem autoritatem sibi uendicatura uideretur, filius eius, idem'que Imperator, omnibus modis conatibus matris obsistere non desistebat. Imperator porrò morbo fatigatus, in magnam Orientalem Regiam est translatus, ubi quotidianis Medicorum conuentibus curabatur, quorum iudicia uariauerunt, donec tandem communi consilio decreuerunt, stomacho Imperatoris ferrum candens imprimere: & quia eis Regiæ aër, ut Australior parum temperatus uidebatur, in Mangana transfertur: siue id fortuitò factum, siue fatis, moribundum hominem, ut ibi animam exhalaret, compellentibus. Nam illud, In Acesodynis cadet: qui talia admirantur, de eo interpretabantur. Esse enim Mangana Acesodynã, ob medicam officinam quę ibi erat, quod dolores ibi propulsarentur. Quin & cauterium non temerè Imperatori adhibitum ij contendebãt, qui deiustiusmodi studio sibi placent, sed id quoque ex uetere præscientia & prædictione factum. Nam alicubi scriptum esse de eo, ab ijs qui Regum fata

Alexij humanitas in captiuos.

Turcica pax.

Alexij morbus.

Oraculs de Alexij obitu.

ambagibus inuoluta descripserunt, eum hamo ustum casurum, quod illi scriptores, ferrum quo stomachus uri solet, ob acumen inflexum, hamo compararint. Verùm neque ustio, neque loci mutatio quicquam ægroto profuit, paulatim ad terminum uitæ progredienti. Negabant tamen medici, uitam eius esse deploratam: ac monachi quidam prædicebant ei, non moriturum prius, quàm Hierosolyma uenisset ad uiuificum sepulchrum Domini & seruatoris nostri adorandum, ubi diadema depositurum eum uaticinabantur. Quorum ille pollicitis credebat. Nam „ orationem quæ nobis cordi est, facilè compro„bare solemus. Ita per imposturam non animaduertit se uitæ finem attigisse, antequàm Hierosolyma perueniret: diademate; quanquam non ultrò, posito: etsi dici queat, ad superna Hierosolyma profectus esse, primogenitorum Metropolim, qui sunt in cœlis inscripti. Igitur Augusti XV. * XI. distributionis, Augustus extremum ducebat spiritum, qui cum crebrum infirmumque trahens anhelitum iaceret, imperatrix mœrore oppressa aderat, filiabus etiam præsentibus. Iam maiore diei parte exacta, cum Sol non supra caput staret, nec (ut ita dicam) ad perpendiculum, sed nonnihil inclinatus ad occasum tenderet, imperatoris filio significatur, patrem agere animam. Ingressus igitur ædes, in quibus moribundus decumbebat, non ut decedentem deploraret, sed ut de eius morte certior redderetur: eo uiso statim exijt, & equo conscenso cum suo comitatu & multis alijs, Manganis excessit. Quo facto statim Abasgi, qui puellæ ex Abasgia adductæ, & natu maximo Cæsaris filio nupturæ adiuncti fuerant, obuiam facti, sublato clamore eum adorarunt. Tum aiunt, Imperatricem filij discessum morienti imperatori dolenter narrasse: eum uerò ad id nihil respondisse, seu non uellet, seu non posset: sed manus sustulisse, haud scio, benè an malè precantem filio. Alij manus eum sustulisse negant, neque enim id facere potuisse monentem, sed imperatrice sæpius uociferante, Abire filium, ei uiuenti erepturum imperium: illum parum obscurè que subrisisse, siue eam orationem deridentem, si putaretur adhuc de imperio solicitus esse expirans, terrena que iam relicturus: siue quid de illo facto sentiret, indicantem. Nam & ab alijs & ab ipso Porphyrogenito imperatore narrabatur, eum non sine patris consilio regiam esse ingressum, sed exitum ab illo ei fuisse concessum: cuius rei tesseram illius anulũ accepisset: eaque facta esse absente imperatrice, & illa ignorante. Cum igitur abiret, fama quid actum esset, celeriter diuulganre, ad hũc imperatorem & cognati, & ex tribunis

γραφὰς ὡς ἀγκίστρῳ καμπτοῦ πεσεῖται. ἀγκίστρῳ λέγοντες τοὺς συγγραφεῖς ἐκείνους τὸ σιδήριον ἀπεικάσαι, δι' οὗ τὸν στόμαχον καυτηριάζεσθαι ἔδει, διὰ τὸ κεκάμφθαι πρὸς τὸ ἄκρον αὐτόν. ἀλλ' οὐδ' ἡ καυτηρία, οὔτε μὴν ἡ τοῦ ἀέρος ἐναλλαγὴ τῷ κάμνοντί τι ἐλυσιτέλησεν, ἠρέμα δὲ πρὸς τὸ τέλος ἐχώρει. οὔτε δὲ οἱ ἰατροὶ ἀπεγνῶσθαι αὐτῷ τὸ βιώσιμον ἔλεγον, καί τινες μοναχοὶ προύλεγον αὐτῷ, μὴ ἄλλως ἐκλιπεῖν εἰ μὴ πρότερον πρὸς Ἱερουσαλὴμ ἀφίκηται εἰς προσκύνησιν τοῦ ζωοφόρου τάφου τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν, ὅπου καὶ τὸ διάδημα αὐτὸν ἀποθέσθαι μέλλειν ἐχρησμολόγουν. καὶ οἱ μὲν ταῦτα αὐτῷ ἐπηγγέλλοντο, ὁ δὲ τοῖς λεγομένοις ἐπίστευεν. ὃ γὰρ ἡμῖν πρὸς βουλῆς, τοῦτο ῥᾷστον εἰς πίστιν καταγγελλόμενον. οὕτω δὲ κλεπτόμενος ἔλαθε τῷ τέλει προσεγγίσας τῆς βιοτῆς, καὶ πρὸ τῆς εἰς Ἱερουσαλὴμ ἀφίξεως, ἐκδυόμενος ἀλλ' οὐχ ἑκὼν τὸ διάδημα. ἔστι δ' εἰπεῖν πρὸς τὴν ἄνω Ἱερουσαλὴμ ἐκδημήσας, τὴν τῶν πρωτοτόκων μητρόπολιν, τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς. πεντεκαιδεκάτην μὲν ὁ αὔγουστος ἦγε τῆς ἑνδεκάτης ἐπινεμήσεως, καὶ τὰ τελευταῖα ἔπνει ὁ αὔγουστος. καὶ ὁ μὲν ἔκειτο ἀναφέρων τὸ ἆσθμα πυκνόν τι καὶ ἀσθενές. ἡ δέ γε βασίλισσα ὅλη τοῦ πάθους ἦν, καὶ συνῆπτο παρὰ αὐτὴν τὰ θυγάτρια. ἤδη μὲν οὖν τῆς ἡμέρας παρεληλύθει τὸ πλέον, καὶ ὁ ἥλιος οὐχ ὑπὲρ κεφαλῆς ἦν ἑστὼς, οὐδ', οἷον εἰπεῖν, κατὰ κάθετον, ἀλλ' ἐκλίνετο βραχύ τι κατιὼν πρὸς δυσμὰς, καὶ δηλοῦται τῷ τοῦ βασιλέως υἱῷ καὶ βασιλεῖ ἐκλιπεῖν ἀρτίως τὸν πατέρα. ὁ δ' εἴσεισι τὸν οἶκον ἐν ᾧ ἔκειτο ὁ θνήσκων κατέκειτο, οὐχὶ τὸν ἀπιόντα θρηνήσων, τὸ δὲ πιστὸν τοῦ θνήσκειν ἐκεῖνον τῇ ὄψει ληψόμενος. καὶ ἰδὼν αὐτίκα ἐξῆλθε, καὶ ἀναβὰς τὸν ἵππον, ἐκ τῶν Μαγγάνων σὺν τοῖς περὶ αὐτὸν, ἐξιόντι δὲ πολλοὶ συνεπήχθησαν. ἄρτι δ' ἐξελθόντι τὸν τῶν Μαγγάνων περίβολον, προϋπαντῶσιν οἱ Ἀβασγοί, οὗτοι δ' ἦσαν, οἳ τῇ ἐξ Ἀβασγίας κομισθείσῃ παιδὶ, καὶ νυμφευομένῃ τῷ μείζονι τῶν υἱῶν τοῦ καίσαρος ἐκεῖθεν συναπεστάλησαν, καὶ ὑπαντήσαντες, ἐπηλάλαξάν τε καὶ προσεκύνησαν. τότε φασὶ τὴν βασιλίδα τῷ θνήσκοντι βασιλεῖ περιπαθῶς ἀπαγγεῖλαι τὴν τοῦ υἱοῦ ἀπέλευσιν, τὸν δὲ φθέγξασθαι μὲν πρὸς τοῦτο μηδὲν, ἢ μὴ βουλόμενον, ἢ μὴ δυνάμενον. διᾶραι δὲ τὰς χεῖρας ὑψοῦ, οὐκ οἶδ' εἴθ' ὑπερευχόμενον τοῦ υἱοῦ, εἴτε μὴν κατευχόμενον. ἕτεροι δέ φασι μὴ τὰς χεῖρας διᾶραι τὸν θνήσκοντα, μηδὲ γὰρ οἷόν τ' εἶναι, ἤδη ἐκλιπόντα. τῆς δὲ βασιλίδος πολλάκις ἀνακραγούσης, ὡς ἄπεισιν ὁ υἱός σου ἔτι ζῶντος σε τὴν βασιλείαν ἀφαιρησόμενος, ἐκεῖνον ὑπομειδιᾶσαι βραχύ τι καὶ ἀμυδρὸν, ἢ τῶν λεγομένων καταγελῶντα, εἰ νομίζοιτο περὶ τῆς βασιλείας φροντίζειν ἐκπνέων ἤδη καὶ τῶν γηΐνων μεθιστάμενος, ἢ τὴν τῆς ψυχῆς οἱ ἐπὶ τῷ πραχθησομένῳ διάθεσιν ἐμφαίνοντα. ἐλέγετο γάρ τοι καὶ παρ' ἄλλων καὶ παρ' ἐκείνου τοῦ πορφυρογεννήτου αὐτοκράτορος μὴ γνώμης ἄτερ πατρικῆς δέξασθαι τὴν εἰς τὰ βασίλεια πάροδον, ἀλλὰ παρ' ἐκείνου ἐπιτραπῆναί οἱ τὴν ἔξοδον, καὶ σύνθημα ταύτης ἐκ τοῦ πατρὸς λαβεῖν, τὸν ἐκείνου δακτύλιον. ταῦτα δὲ μὴ παρούσης γενέσθαι τῆς βασιλίδος, καὶ ἀγνοούσης ὅτι γεγένηνται. ὁ μὲν οὖν ἀπῄει. τῆς φήμης δὲ κηρυξάσης ταχὺ τὸ πραχθὲν, τῷ βασιλεῖ τότε καὶ τὸ συγγενὲς προσῄει, καὶ τῶν στρατευομένων

ἀρχόντων

ἀρχόντων πολλοὶ καὶ τῶν τῆς συγκλήτου βουλῆς. τῷ δ' ἦν ἡ ὁρμὴ πρὸς τὸ μέγα ἀνάκτορον. ἀπιόντι δὲ ἀγγέλλεται, ὡς οἱ Βάραγγοι τὴν ἐν τοῖς ἐξκουβίτοις διειληφότες ὁδόν, ἔνθα περὶ τούτοις καὶ ἡ κατοίκησις, ἀπελθεῖν δ' ἐκεῖσε οὐ παραχωροῦσι τινί, οὐδὲ μὴν πλησιάσαι τοῖς βασιλείοις. ὅπερ εἰς ἀγωνίαν τὸν βασιλέα ἐνέβαλε. καὶ στέλλει πρὸς ἐκείνους τινὰ ἐρωτῶντα, τί τὸ σφίσι βουλόμενον· στέλλει δὲ καὶ πρὸς τὴν ἐκκλησίαν, τεθνάναι λέγων τὸν αὐτοκράτορα, καὶ ζητῶν αὐτὸς εὐφημηθῆναι ὡς αὐτοκράτωρ. καὶ ὅπερ μὲν ἐκέλευσε, καὶ αὐτοκράτορα αὐτὸν ὁ κλῆρος τῆς ἐκκλησίας γνώμῃ, καὶ τοῦ ἀρχιποιμένος ἀνηγόρευσεν. ὁ δὲ πρὸς τοὺς Βαράγγους ἐσταλμένος, ἠρώτα ἐκείνους, ὅτου χάριν κωλύουσι τῷ βασιλεῖ τὴν εἰς τὰ βασίλεια πάροδον· οἱ δέ, μή ποτε παραχωρῆσαι τὴν βασιλείων εἴσοδον, ζῶντος τοῦ αὐτοκράτορος, ἔφασαν. ἐκεῖνος δὲ τεθνηκέναι διεβεβαιοῦτο τὸν αὐτοκράτορα. καὶ οἱ Βάραγγοι ὅρκῳ τοῦτον πληροφορῆσαι αὐτοὺς ἀπῄτησαν. καὶ ὃς ὤμοσεν, ἦ μὴν τεθνάναι τὸν βασιλέα, κἀκεῖνοι ἐνέδωσαν, καὶ τὴν πάροδον τῷ βασιλεῖ παρεχώρησαν. ὁ δ' ἀπῄει πρὸς τὰ βασίλεια, καὶ τούτων ἐντὸς γεγονώς, πῶς ἂν χρήσαιτο τῇ μητρὶ καὶ τοῖς ὁμογνίοις, καὶ τῷ τῶν καισάρων ἑνὶ τῷ Βρυεννίῳ, μετὰ τῶν περὶ αὐτὸν ἐβουλεύετο. ἔτι γὰρ ἐδεδοίκει τούτους, καὶ οἱ ἦσαν ἐν ὑποψίαις, ἐλπίζοντι νεωτερίσειν ἴσως αὐτούς. ὁ δὲ τούτου πατὴρ παρ' ὅλην μὲν τὴν ἡμέραν ἔμπνοος ἦν, καὶ δυσθανάτει, περὶ δὲ τὴν ἑσπέραν ἐξέλιπε· ζήσας μὲν ἔτη ἑβδομήκοντά που τὰ πάντα ἢ ὅτι ἐγγυτάτω, βασιλεύσας δ' ἐκ τούτων ἐνιαυτοὺς ἑπτὰ καὶ τριάκοντα, ἐπὶ μησὶ τέσσαρσι καὶ ἡμέραις τισίν. ἔθανε δὲ περὶ τὸ ἑξακισχιλιοστὸν ἑξακοσιοστὸν εἰκοστὸν ἕκτον ἔτος. τὴν μὲν βασιλείαν διῳκηκὼς εὐτυχῶς, τὸ δέ γε τέλος οὐχ ὅμοιον ἐσχηκώς. καταλέλειπτο γὰρ πρὸς τῶν θεραπόντων σχεδὸν ἁπάντων, ὡς μηδ' εἶναι τάχα τινάς, τὸν τὸν ἐκείνου νεκρὸν τοῖς λοισθίοις λουτροῖς ἀπορρύψαντες, καὶ οὔτε κόσμος βασίλειος προσῆν τοῖς περὶ αὐτόν, ἵν' αὐτοῦ τὸ σῶμα κοσμηθείη βασιλικῶς, οὔτε μὴν ἐκφορᾶς ἔτυχε βασιλεῖ καταλλήλου. καὶ ταῦτα οὐκ ἀλλοτρίου, ἀλλ' υἱοῦ διαδεξαμένου τὴν βασιλείαν αὐτοῦ, καὶ υἱοῦ ὃν ἐκεῖνος τῆς βασιλείας ἠξίωσεν. οὕτως οὐδὲν τῶν ἀνθρωπίνων μόνιμον, οὐδὲ πάγιον, οὐδὲ πιστόν τι καὶ βέβαιον, ἀλλ' ἄπιστα πάντα, καὶ κύβου μᾶλλον ῥᾷον μεταπιπτόμενα καὶ μεταρριπτούμενα. ἦν δὲ ὁ ἀνὴρ (ἵνα καὶ τὸν τρόπον ἐκείνου δῆλον θείημεν τοῖς μετέπειτα, καὶ τὸ ἦθος τοῖς ὀψιγόνοις χαρακτηρίσωμεν) οὐδ' ὑπερόπτης τι καὶ ἀλαζών, οὔτε μὴν ὀξὺς εἰς θυμόν, ἀλλ' οὐδὲ χρημάτων ἥττων, οὐδ' ἄγαν ἐρασιχρήματος, ὥστε βούλεσθαι καταχωννύειν αὐτὰ καὶ ταμιεύειν, ἵν' ἦσαν αὐτῷ θησαυροὶ κεκρυμμένοι καὶ ὑπόγεια χρήματα, ὅθεν οὐδὲ θανόντος πλεῖστα παρὰ τοῖς ταμείοις εὑρέθησαν· πρὸς ἔλεον ἐπικατάφορος, πρὸς κόλασιν οὐκ ὀξύρροπος, μέτριος τὸ ἦθος, εὐπρόσιτος, περὶ τὴν δίαιταν οὐκ ἀκόλαστος, οὐκ οἴνου ἡττώμενος, τοῖς ἐναρέτως βιοῦσι προσέχων καὶ ἀπονέμων τιμήν. λόγους οὐχ ὡς ἔδει τιμῶν, τέως δέ γε τιμῶν, ἀστεικός τε καὶ τοῖς περὶ αὐτὸν οὐ βαρέως προσφερόμενος, ἀλλ' ὡς τοῖς ἴσοις σχεδὸν ὁμιλῶν τε καὶ χαριεντιζόμενος. ὅθεν κἀκεῖνοι θαρροῦντες ἦσαν, καὶ οὐ μετὰ δέους αὐτῷ παρεστήκεισαν, καὶ μᾶλλον ὅτ' ἀπῆν ἡ βασίλισσα. ὑπεστέλλοντο γὰρ ἐκείνης παρούσης ἀρχικόν τι καὶ ἐμβριθὲς ἐνδεικνυμένης ἰδίωμα, καὶ τοῖς ἀτακτοῦσιν ἐπιτιμώσης σφοδρότερον. ὁ μὲν οὖν τοιοῦτος ἦν, ταῦτα δὲ καλὰ μέν, καὶ πῶς γὰρ οὔ; ἰδιώτῃ δ' ἀρκοῦντα πρὸς ἔπαινον,

εἰς ἔλεον ῥέπων καὶ τὸ ἦθος ὁ βασιλεὺς ἀνεξίκακος.

militum, & ex senatu multi se contulerunt. Ceterùm ad magnam regiam properanti nunciatur, Barangos uia excubitorum, ubi ijdem habitabant, occupata, neminem illàc transire pati, aut accedere ad regiam. Quo nuncio perturbatus, quendam ad illos mittit percontatum, quid sibi uelint: mittit & ad Ecclesiam qui diceret, Imperatorem esse mortuum, seq; celebrari uelle ut Imperatorē. Ac id quidem à clero & summo pastore factum. Sed Barangi responderunt ei qui rogabat, cur regiæ aditu Imperatorem excluderent, se Imperatore uiuente neminem passuros ingredi. Illo uerò affirmante, iam esse mortuum: Barangi iureiurando sancita eius rei fide, Imperatori regiam ingredi concesserunt. Quò cum peruenisset, cum suis deliberabat, quomodo tractanda esset mater, fratres, sororesq;, & Cæsar Bryennius. illos enim adhuc metuebat, suspectosq; habebat, ne res nouas molirentur. At pater per totum adhuc diem spirabat, difficulterq; moriebatur, sub uesperam demùm extinctus. Vixit annos septuaginta, aut circiter: regnauit septem & triginta, menses quatuor, & dies aliquot. Obijt anno mundi sexies millesimo, sexcentesimo, uicesimo sexto, imperio feliciter administrato, uitę exitum non æquè prosperum sortitus. A ministris enim ferè omnibus est desertus, ut propè nulli essent, qui cadauer eius postremis lauacris purgarent: neque ornatus Imperatorius præstò eis esset, quo cadauer eius pro dignitate ornaretur, neque funus ei factum est Imperatori conueniens. Id que non alieno, sed filio Imperij successore: & eo filio, quem ipse imperio ornarat. Sic rerum humanarum nihil stabile & firmum est, sed infida omnia, & tessera mutabiliora. Fuit autem ille uir, ut “ & mores eius expressos ad posteritatis me- “ moriam propagemus, neque ferox & arrogans, neque iracundus, neque auarus, & pecuniæ nimium cupidus, ut eam conflaret, & in thesauros occultos & subterraneas opes reconderet. Vnde neque post obitum eius in ærario magna pecunia est reperta: ad misericordiam propensus, ad sumēdas pœnas tardus, moribus moderatis, accessu facilis, in uictu non intemperans, non uino deditus: uirtute præditis auscultare, & honorem habere solitus. Eruditionem non ut conueniebat, sed utcunque colebat: commodus, non insolens erga eos quibus cum uiuebat, comis & iucundus, quasi cum æqualibus uiueret. Vnde illi securis erant animis, neque metu attoniti illi astabant, præsertim absente Imperatrice. quæ imperiosum aliquid, & seuerū præ se ferebat, & modestiæ oblitos acrius increpabat. Ac pulchra quidē ista sunt: quis enim neget? quęq; priuati hominis laudes absoluant.

Ioannes Comnenus imperator salutatur.

Alexij obitus, & elogia.

Aliæ Imperatoris, aliæ hominis priuati uirtutes.

non tamen eiusmodi, quæ Imperatorem omnino bonum demonstrent. Nam homini priuato satis est moderatio, æquitas, placabilitas, & in omni cultu & uictu modus. Imperatori uerò præter hæc & iustitia est colenda, & ratio ciuiũ habenda, & uetera instituta sunt tuenda. Ille uerò magis in eo elaborauit, summo adhibito studio, ut ueteres mores immutaret & abrogaret. & res non ut communes & publicas tractauit: neq; se illarum administratorem, sed dominum esse censuit, ac regiam suas ædes & putauit & appellauit. Patres conscriptos nec iusto prosecutus est honore: neq; eam illorum habuit rationẽ, quam recta ratio postulabat: sed potius deprimere illos studuit. Neq; iustitiæ regulam in omnib. obseruauit: cuius proprium est, id cuiq; tribuere, quod meretur. Ille uerò cognatis & ministris quibusdã tota plaustra publicæ pecuniæ præbuit, & annuos sumptus largissimos suppeditauit, ut & magnis opibus abundarent: & comitatũ alerent, non priuatis hominibus, sed Imperatoribus cõuenientem: atq; ædes compararent, ut magnitudine urbibus pares, ita magnificẽtia regijs palatijs non impares. Erga reliquam uero nobilitatem, nõ perinde benignum se præbuit: ne quid aliud de uiro dicam, cuius honori consultum uolo. Quæ res Comnenum imperatorem perfectum iudicari non sinunt, neque etiam malũ eundem quisquam dixerit. Nam

Nullus Imperator sine omni crimine.

qui seuerius in Imperatores inquisierit, equidem non arbitror ullum Romanorum principatu antiquitùs potitum, inuenturum esse, in quo nihil ad consummatam laudem desideretur. Quo fit, ut cuiusquã gubernatio, ex mo rum et actionum eius maiori parte iudicetur. Sine crimine certè quidem, & deteriorum affectionum prorsus expers nemo reperietur. id enim diuinæ felicitatis proprium fuerit, nec unquam in hominis naturam cadet.

Conclusio Operis.

Hic scribendi finem faciam, & historiæ cursum inhibebo, longè progressum. Nam ea mandare literis quæ restant adhuc, nec utile, nec tempestiuum iudicaui. Quòd si Opus hoc alicui uidebitur utile, gratia sit Deo, cuius auxilio bona omnia conficiuntur. Sin superuacaneum, mea culpa illa fuerit, & ad me autorem redeat fœtus, cuius memoriam excitare queat.

Finis, & Deo gloria.

τὸ μέν γε καὶ βασιλέα διακινοῦντα τὰ πάντα χρηστόν. οὐ γὰρ αἱ αὐταὶ καὶ βασιλέως καὶ ἰδιώτου γένοιντ' ἂν ἀρεταί. ἰδιώτῃ μὲν γὰρ ἀπόχρη καὶ μέτριον εἶναι, καὶ ἐπιείκεια, καὶ τὸ πρὸς θυμὸν οὐκ εὐκίνητον, καὶ τὸ σῶφρον τὸ πρὸς τὴν δίαιταν. βασιλεῖ δὲ πρὸς τούτοις, καὶ ἡ τῆς δικαιοσύνης φροντὶς, καὶ ἡ τῶν ὑπηκόων προμήθεια, καὶ ἡ τῶν παλαιῶν ἐθῶν τοῦ πολιτεύματος τήρησις. τῷ δὲ μέλημα μᾶλλον, ἡ τῶν ἀρχαίων ἐθῶν γέγονε τῆς πολιτείας ἀλλοίωσις, καὶ τὸ μεταπέμψαι ταῦτα ἔργον ἦν αὐτῷ σπουδαιότατον, καὶ τοῖς πράγμασιν οὐχ ὡς κοινοῖς, οὐδ' ὡς δημοσίοις ἐκέχρητο, καὶ ἑαυτὸν οὐκ οἰκονόμον μᾶλλον ἡγεῖτο τούτων, ἀλλὰ δεσπότην, καὶ οἶκον οἰκεῖον φρονεῖν καὶ ὠνόμαζε τὰ βασίλεια. καὶ οὔτε τῆς συγκλήτου βουλῆς τὴν τιμὴν, ὡς ἐχρῆν, ἀξίαν, οὔτε πρόνοιαν αὐτῶν ἐποιεῖτο τὴν ἀνάλογον. μᾶλλον μέν τοι καὶ ἐσπούδασε ταπεινῶσαι τούτους· ἀλλ' οὐδ' ἐν ἅπασι τὴν τῆς δικαιοσύνης ὢν τηρῶν ἀρετήν. ταύτης γὰρ ἴδιον, τὸ τοῦ κατ' ἀξίαν ἑκάστῳ διανεμητικόν. ὁ δὲ τοῖς μὲν συγγενέσι καὶ τῶν θεραπόντων τισὶν ἁμάξαις ὅλαις παρεῖχε τὰ δημόσια χρήματα, καὶ χορηγίας ἐκείνοις ἀθρόας ἐτησίας ἀπένεμεν, ὡς καὶ πλοῦτον περιβεβλῆσθαι βαθὺν, καὶ δορυφορίαν ἑαυτοῖς ἐπιτρέψαι, οὐκ ἰδιώταις, ἀλλὰ βασιλεῦσι κατάλληλον, καὶ οἴκους προσεκτῆσθαι, μεγέθει μὲν πόλεσιν ἐοικότας, πολυτελείᾳ δὲ βασιλείων ἀπεοικότας οὐδέν· τοῖς δὲ λοιποῖς τῶν εὖ γεγονότων, οὐχ ὁμοίαν ἐνεδείκνυτο τὴν προαίρεσιν, ἵνα μή τι ἕτερον φαῦλον εἴπω, φειδόμενος τοῦ αὐθέντου. βασιλέα μὲν οὖν οἷον τὸ ἀκριβὲς ἀπαιτεῖ, οὐκ ἔστι τὰ εἰρημένα ἐκεῖνον νομίζεσθαι· ἀλλ' οὐδὲ μέν τοι φαῦλον ἄν τις τὸν Κομνηνὸν αὐτοκράτορα. εἰ δὲ τὴν ἄγαν ἀκρίβειαν ζητοίη τις ἐν τοῖς αὐτοκράτορσιν, οὐκ οἶμαι τινὰ τῶν ἀνέκαθεν τῆς ῥωμαίων ἐπιβεβηκότων ἡγεμονίας ἐν πᾶσιν εὐδοκιμηκότα εὑρεθήσεσθαι, ἀλλ' ἐκ τοῦ πλεονάζοντος ἐν τοῖς ἤθεσι σφῶν καὶ ταῖς πράξεσιν ἑκάστου ἡ πολιτεία χαρακτηρίζεται. ἀνέγκλητος γὰρ οὐδεὶς ἄν ποτε δόξει, οὐδ' ἀμιγὴς τοῦ χείρονος ἐξίως. θειοτέρας γὰρ τοῦτο μοίρας, ἀλλ' οὐκ ἀνθρωπίνης εἴη ἄν ποτε φύσεως. ἐνταῦθά μοι τὸ πέρας ἔστω τῆς συγγραφῆς, καὶ ὁ δρόμος ἐνταῦθα τῆς ἱστορίας, ὅς μοι πρὸς μακρὸν ἐκμεμήκυνται. δοκεῖ γὰρ γράφειν νυνὶ καὶ τὰ λείποντα, οὔ μοι λυσιτελὲς, οὐδ' εὔκαιρον ἔκρινα. εἰ μὲν οὖν ὀνήσιμόν τισι δόξει τὸ πόνημα, τῷ θεῷ χάρις, δι' οὗ πᾶν ἅπαν κατορθοῦται καλόν· εἰ δ' ἀσυντελὲς, ἔστω ἂν ἡμέτερον τὸ αἰτίαμα, καὶ ἐπανίτω πρός με τὸν τεκόντα τὸ ἐκκύημα, ἐσόμενόν μοι μνήμης ἐμπύρευμα.

Τέλος, καὶ τῷ θεῷ δόξα.

CASTIGATIONES ET VARIAE LECTIONES EX V. CODICIBVS, TERTII TOMI ANNALium Ioannis Zonaræ.

EX VITA CONSTANTINI MAGNI.

Viennensis codex habet inscriptionem hanc: Βασιλεία τοῦ πρώτου ἐν χριστιανοῖς ἁγιωτάτου κυρίου κωνσταντίνου τοῦ μεγάλου. Hoc est: Imperium primi ex Christianis sanctissimi domini Constantini Magni.

Pag.3.uers.10. ὁ μὲν γὰρ τοῦ κωνσταντίου.) κώνσταντος. Sæpius in eodem codice pater Constantium, aliàs Constantius, aliàs Constans scribitur.

Ibid. 48. τῇ καλουμένῃ Βαλβίᾳ.) Sic habent tres codices, sed μιλβίᾳ legendum reor. nam à Latinis scriptorib. Pons Miluius nominatur.

4.3. καὶ λικίνιος.) Græci scriptores negligentiores sunt in Romanis nominibus, una ferè appellatione contenti. Voluit autem hic se appellari M. Iulium Licinium Licinianum. Scribitur aliquādo λικίννιος, per duplex ν: haud rectè, ut arbitror.

Ibid. 19. ὑποφιλάσσειν.) ὑποφυλάσσειν.

Ibid. 40. σαῤῥῶν.) σοῤῥῶν. Tales mutationes, additiones & detractiones literarum, aut etiam syllabarū, crebræ sunt in his codicibus. ut suprà pro τῶν πλείστων, legitur πλείους; pro ἐκεῖσε, ἐκεῖ: pro ἐκδοθῆναι, ἐνδοθῆναι in Viennensi codice.

Ibid. 44. ταῖς πρὸς μαξέντιον.) Alius codex uitiosè habet περὶ. Et hoc loco semel monitum lectorem uolo, præpositiones πρὸς, περὶ, παρὰ, ἐπὶ, μετὰ, πρὸ, ὑπὸ, & similes particulas, sæpissimè uel ex imperitia, uel ταχυγραφίας καὶ καλλιγραφίας affectatione permutari: quæ affectatio compendij & elegantiæ in scribendo penè omnis corruptelæ codicū causa est, dum eas notas, posteriores librarij perperàm imitantur.

Ibid. 24. ἀλλ' ὑπὸ συνθήκαις αὖθις ταύτης αὐτῶν ἀποχώρησιν.) Verti, Certis conditionibus. quod si cui displicet, reponat, Icto fœdere: uel, Transacta controuersia.

Ibid. 54. καὶ οὗτος πως ἐχρημάτιζε, φλάβιος κωνσταντῖνος.) Et Flauius Constantinus appellabatur. Hanc clausulam, ut superuacaneam, de industria omisi. Videtur autem Flauij nomen asciuisse, de patris cognomento, qui χλωρὸς, hoc est flauus, seu pallidus dicebatur.

5.22. ὑγιάς.) Ratio grammatica docet, ὑγιᾶ rectè scribi. Nam in huiusmodi adiectiuis in ης primæ declinationis contractorum, ultima syllaba in αα conuertitur: ut ἀληθὴς ἀληθέα, sic ὑγιὴς ὑγιέα. Nō igitur ueritati obstare debet librariorum inscitia & temeritas.

6.2. ὁ λέγων τούτῳ τὸ ζῶον.) τοῦτο, scilicet τὸ ὄνομα τοῦ θεοῦ, haud dubiè nominandi casu legendum: quamuis omnes codices τούτῳ dandi casu scriptum habeāt. Sed Syluester argutatur contra Iudæos. Alia enim uerborum uis est, etiam extra magiam, in dicente, alia in audiente: ut, tyranni irati uerba terrorem incutiunt audientibus, ipso terroris experte. Neque Christus ipse exaruit, cum ficū execraretur: etsi ipse uerba sua audiebat, arbor non audiebat. In assertore ueritatis sophistica non laudatur: quo nomine etiam Lactantio, Iustino martyri, & alijs nonnunquam subirascor.

Ibid. 34. ὃς καὶ πρὸ τοῦ πρὸς λικίνιον πολέμου.) Sic duo codices habent, Constantinopolitanus et Viennensis. Sed alter Constantinopolitanus, ὃς καὶ τοῦ πρὸ τοῦ πρὸς λικίνιον πολέμου. Ego malim, ὃς καὶ τοῦ πρὸς λικίνιον πολέμου.

7.39. ὅ, τι γὰρ θώραξ αὐτῶν.) Pectus, intelligo partem anteriorem.

Ibid. 47. αἵ τε χηλαί.) Brachia dicuntur à Latinis: ut apud Suetonium cernitur.

Ibid. 49. μονήρη.) Singularia nauigia, à remorum serie: ut διήρη, τριήρη, τετρήρη.

Ibid. 50. δίκροτα.) biremes. nam Suidas διήρη interpretatur, hoc ipso loco citato.

8.11. μικροῦ πλαττόμενα καὶ ἔμπνοα.) Quæ antiqua manus, parum abest quin animata opera effinxerit, quæ propemodum animata esse uiderentur, ac spirare.

Ibidem 7. πλακωτόν.) Non refertur ad ἀγορὰν, sed absolutè ponitur, ut λιθόστρωτον: quanquam paulo pòst, ἐν τῷ πλακωτῷ.

Ibid. 5. κίων ὁ πορφυροῦς.) purpurea columna. Hanc Latini Porphyreticam appellant, à porphyrite lapide Aegyptiaco, de quo Plinius lib 36. cap. 7.

Ibid. 24. καὶ πρότερον ὑποσκοπεῖν ἐν τῷ Βυζαντίῳ τῷ θρακικῷ ἡρακλείας, ὡς ὑπὸ σεβήρου τοῖς πολιορκίαις ὑποπεσόν.) Consule uitam Seueri, qui Pertinaci successit, Tomo 2.

10.10. ἑτεροθαλῶν.) Haud scio quomodo propriè uno uerbo cōuerti possit. ἑτεροθαλὴς ἀδελφὸς, est frater eodem uel patre uel matre duntaxat natus. Fratres autem Constantini Magni, fuerunt eodem patre nati, sed ex diuersa matre Theodora, Herculij Maximiani filia: Constantinus, Anaballianus, siue Hanibalianus, & Constantius.

Ibid. 55. σὺν τῇ ἀρχῇ.) ἦλθε.

Ibid. 60. διασπαρέντων ὑπὸ τοῦ ἀνεψιοῦ.) Addidi, Ab Hispanis, ut res ipsa habet, propter commoditatem orationis.

11.28. ὅτι ἀδίκων ἦρξε.) Puto deesse χειρῶν. Neque mirum, unum uerbum omissum esse, cum horum quinq; codicum Zonaræ, quibus usus sum, nullus sit, in quo non aliquoties integri uersus omissi fuerint.

12.4. ἵππων ἴλας πολλὰς.) pro πολλῶν ἰλῶν.

Ibid. 21. ἐν τοῖς προτίκτορσι.) Latinum uocabulum pro Græco usurpatum, Protectores.

Ibidem 27. αὐγουσταλίου.) Alij αὐγουστάλου, alij αὐγουστούλου.

Ibid. 51. τοῖς ὅλοις διέτριβεν.) Puto legendum, uel ἐν τοῖς ὅλοις, uel ἐνδιέτριβεν.

13.15. μετακαλουμένους.) μετακαλουμένου.

14.5. καὶ τοὺς πολίτας ταύτης ἀνακτήσατο.) uel, Ciuium animis sibi reconciliatis: uel, Ciuibus recreatis: uel, Alijs in cæsorum locum substitutis.

Ibid. 1. χιλιάδας ἐνδιαιτῶσαι λέγεται.) ἐνδιαιτᾶσθαι pro οἰκεῖν hic ponitur, ut & alibi sæpe.

Ibid. 14. κατάλυσιν κατήπειγεν.) ἐπέσπευδεν.

Ibid. 32. Βρεττανίων.) Βρεττανῶν.

Ibid. 18. τὴν πρώτην ἔχειν τιμήν.) Ambiguum, utrum principem, an pristinum honorem.

19.44. τὸν αὐτὸν ἐκλέξοντας βασιλέα.) τὸ αὐτὸν ἐκλέξοντας βασιλεύοντα.

22.13. τὴν πήρωσιν τῶν ὀμμάτων.) Potest intelligi de cæcitate. Sed quia sequitur ὑποχύσεως, lippitudinem intelligo. πήρωσις enim non necessario semper interitum membri significat, sed aliquando etiā læsionem. Vtut sit, pro cæco fiat, qui uidere tum nō potuit. Qui igitur cæcitate delectatur, pro lippitudine reponat. Nam ex suffusione uel decursu humorū, usum amiserat.

25.27. αὐθι δὲ καί.) αὖθις δ' ἐκεῖνον ἄνθρωπος. utcunque legatur, fateor me, quid ea uerba sibi uelint, non satis intelligere, Vtinam uerò quamuis homo: uel, Vrito uerò, quamuis sis homo: uel, Vrebat uerò illum homo.

Ibid.45. ἅτε τριβουνᾶτον ἀριθμοῦ.) Quis iste numeri tribunatus sit, cognoscere cupio è doctioribus.

26.6. ὑπὲρ πλευρᾶς αὐτοῦ.) αὐτοῦ malim.

27.7. ἱστάμενος ἐφ' ἵππου αὐτοῦ.) Alij ἐφίππιον uno uerbo. Ambiguum, utrum Imperator, an Isaacus. Alij scribūt, Isaacum frenos equi Valentis prehendisse.

28.48. ἡ δ' ἰσπανία τῶν ὑπερωταίας ἰβηρίας ἐστὶ πόλις.) Hispaniam regionem esse, notum est: ex Italica uerò Hispaniæ ciuitate esse ortū constat Theodosium. Itaq; pro ἰσπανίας legendum ἰταλικῆ, contra consensum codicum: nisi Zonaram manifesti erroris condemnare malimus.

30.37. καὶ τῇ ἐκγαστόνῳ.) ἐγγαστένῳ.

32.33. οἱ δὲ ἴσχνον στασιάζοντες.) ἐστασίαζον.

Ibid.15. ὁ θεὸς συγχωρήσοι.) συγχωρήσαι. hoc affirmantis, illud optantis: quod magis probo.

33.15. δικίτης.) δικαίτης.

Ibid.20. θερματίαν.) θερμαντίαν.

32.46. πολίχνιον δὲ ὄντα.) Strabo libro 11. Comana urbem Cappadociæ amplissimam in Antitauro recenset: & Comana Pontica lib.12.

34.8. λέοντος.) λεοντίε.

35.40. ὑπ' ἀνέμων καταπνεομένην σφοδρῶν.) uentorum procellis infestam. φλεγοποιῶν rectius legi uidetur.

Ibid.58. τὸ χερσαῖον τεῖχος.) mœnia quæ terram continentem spectant: ut τὸ θαλάσσιον, maritima.

36.39. ἀρχειοσπάθαριον.) Puto à responsis fuisse.

37.15. μῆλον ὑπερφυές.) μῆλα pro ouibus accipi, non nego, interdum. sed μῆλον pomum interpretor. ut & in Busiride Isocratis, μῆλα ἑσπερίδων, mala Hesperidum: & μῆλον ἔριδος, pomū contentionis in nuptijs Pelei. Sed qui ouillam pomis anteponit, per me sua uoluptate fruatur.

38.30. ὅτι τεθνήξεται τῆς ἀρχῆς.) ὅτι τεθνήξεται unus codex habet. quare uerteram: Ac meminisse iubent, fore enim ut imperaret. Sed cæteris codicibus dissentientibus, hanc lectionem improbo.

Ibid.31. διακοσίους χρυσίνους.) τριακοσίας, CCC.

Ibid.47. περὶ πάντας χρηστός.) Alij παρὰ πάντας, bonitate omnes superans.

40.26. γιζέριχος.) Hunc Genserichum uocant alij.

Ibid.59. τῶν σιλυβρίας τελῶν ἄρχοντα.) τὰ τέλη, uectigalia sunt: οἱ δὲ τέλοι, magistratus, primores. Vtro modo interpreteris, parum placet. Suspicor pro τελῶν aliquid aliud legendum esse. Cuspinianus tribunum militum uocat. Fortassis igitur pro τελῶν, legendum ταγμάτων, aut στρατιωτῶν. Sed ego temerè nihil mutare uolui. Fortassis enim tribunus pro quæstore uel publicano ibi dictus fuit, ut uariæ diuersis in locis sunt magistratuum & aliarum rerum appellationes.

41.55. ἡ, τε γερουσία καὶ οἱ λογάδες.) ἐπίλεκτοι ἢ ἐκλελεγμένοι.

42.18. πρύμναν κρουσάμενον.) Puppim ferire, authore Suida, est dissimulare fugam: naue non conuersa, remos ad puppim transferre, atq; ita fugere, ne terga hostium telis pateant. Sed hic ait, στρέψαι τὴν ναυαρχίδα τριήρη καὶ πρύμναν κρουσάμενον.

43.46. σὺν τοῖς φιλτάτοις.) id est, μετὰ γυναικὸς καὶ παίδων: ut in Præfatione.

44.13. Νεῖλον τὸν μάγιστρον.) ἴλλον rectius legitur.

Ibid.27. λάρνακι τῶν βασιλικῶν.) Apparet hic αὐτὶ τέφρων poni λάρνακα.

Ibid.53. ἀκάκιον κάκιστον τοῖς ὀρθοδόξοις.) Allusio ad nomen κατ' ἀντίφρασιν, per contrarium. ἄκακος enim significat malitiæ immunem. sicut suprà, cum ait, τὸν εὐτυχῆ δυστυχῶς ἀπολέσθαι, Eutychem, hoc est, felicem infeliciter perijsse.

46.26. ἐν τῷ ἄμβωνι ὡς ἐπ' ὀκρίβαντος.) In ambone, tanquam pro suggesto. ἄμβων, παρὰ τὸ ἀναβαίνειν factū uidetur, contignatio templi superior.

Ibid.29. ξυλοκερίου.) ξηροκερίου.

49.44. ἀνάζαρβος.) ἀνάζαρβος, alij ἀνάβαρζα.

51.10. τῶν καλουμένων αἰλούρων.) αἴλουροι sunt feles, seu cati. Puto scribendum ἐρούλων. Herulorum nomen notum est: at Aeluri nescio qui sint, nisi Cattos uocarit αἰλούρους.

53.14. Gondigisclus.) Germanica uocabula mirum in modum corrumpuntur à Græcis, æquè ac Latinis. Godigisclus fortasse pro Gotscalcus, seu **Gottselig**, θεοσεβής. quanquam sunt qui **schalck** ueteri Germanorū lingua seruū significasse censeant. Gondaris, **Gothart**/ θεοσθενής. Gizericus, **Gänßreich**/ à copia anserū: uel **Gantzreich**/ abundans opibus. Honorichus, **Hüner**/ seu **Hundreich**/ à copia pullorum, seu canum. Gundamundus, **Gütmund**/ affabilis. Trasamundus, fortasse τ pro γ scriptum, **Großmund**/ ab oris magnitudine, magniloquus. Hilderichus, **Huldreich**/ εὔχαρις, seu Gratianus. Gelimer, **Gelemair**/ pecuniosus uillicus. Casimirus, **Kasmair**. Baldimerus, **Waldmair**. Sed nugarum plus satis.

Ibid.48. ταῖς δυνάμεσιν ἀπιστίας ὑποψίας αὐτήν.) ἀπιστίας αὐτοῦ ταῖς δυνάμεσιν ὑποψίας.

55.43. ἑκατὸν ἐξήκοντα πρός.) ἑκατὸν πεντήκοντα.

56.35. πρόῦλον.) Hesychius πρόῦροι, δρόμοι, στάδιοι. πρόῦλον nusquam reperio.

58.26. περὶ κατ' αὐτοῦ λέγοντι συνδεῖξας αὐτόν.) ὑπολεύσας ἀπολογεῖσθαι, ut opinor.

63.24. τὸ ἐφ' ἑκάστῳ διδόναι νόμισμα.) Nummū uerti: quanquam κατ' ἐξοχὴν χρυσίνος, id est aureus, intelligi uidetur.

64.50. μάθε καταστάσιν.) Puto τὴν καταστάσιν: nisi fortè κατάστασις ἀντὶ σωφροσύνης ponatur, Disce modestiam.

65.15. τῶν ἐκάβης ἔταλιν.) Transpositus est hic uersus, ut opinor, heroico præcedente, sequente pentametro, aut aliquid deest.

Ibid.15. ἄβαροι.) ἄβαρις.

67.36. πάλιν ἐν ἑτέρᾳ πρεσβείᾳ.) Verbum εἴληπται aut simile desideratur.

68.21. ὅς γαμβρὸν οὐκ ἐποίησας.) Fateor me non intelligere, quid hæc uerba sibi uelint, nisi fortasse ὅσα legendum sit: Quæ socero non præstitisti, ea nec amico præstabis. Crispus autem gener fuit Phocæ, in cuius necem conspirauit.

Ibid.37. ἐκ τῶν θεμάτων.) θέματα interpretor prouincias: uocabulum hic aliter usurpatum, quàm apud ueteres. sic νομοὶ apud Aegyptios.

71.17. μεταβαίνει δ' ἡ αὐταρχία.) Alij codices habent eodem sensu, ἡ δὲ βασιλεία καὶ τὰ τῆς αὐταρχίας εἰς τὸν ἐκείνου υἱὸν τὸν κωνσταντῖνον μεταβεβήκασι, τὴν τῶν ῥωμαίων ἡγεμονίαν πατρόθεν διαδεξάμενον. sicut & paulo suprà pro τριάκοντα ἐφ' ἑνὶ, τὸ ἓν τὸν τριακοστὸν πρῶτον χρόνον τῆς βασιλείας αὐτοῦ. Et paulo pòst, pro τῆς βασιλείας πατρόθεν, &c. legitur in alijs τῆς ἀρχῆς, ἀλλ' οὐχὶ καὶ τῆς κληροδοξίας τοῦ πατρὸς κληρονόμος γενόμενος.

Ibid.36. αὐξάνοντα καὶ ὁ πνίξας.) Annorum numerus deest. Sed alius codex αὐξάνοντα non habet.

73.3. ὑπ' αὐτοῦ καταχεῖσθαι τὸ ζέον ὕδωρ.) Feruenti aqua me perfundi nolim. Videtur ζέον ἀντὶ τοῦ θερμοῦ posuisse.

Ibid. 15. πωγωνάτος.) Græcum nomen ad Latinā formam inflexum: sicut ἀρχιεξουσιάτος.

Ibid. 42. κυκλοβίν.) κυκλοβίου.

Ibid. 53. ὑγρὸν πῦρ.) Humidus seu liquidus ignis, qui in aqua ardet. Hic, quoniā apud Græcos inuentus est, ignis Græcus appellari solet.

ἐν πόλει ῥώμης.) In Viennensi codice hæc uerba rectè deleta esse uidentur, ante κύριν ἀλέξαν. cum Agathonem Romanum episcopū paulo antè recensuerit.

76.34. χρησμοδοτοῦντι.) χρησμῳδοῦντι.

82.34. ἀλανοὺς, οὓς ἀλβανοὺς ὁ προκόπιος γράφει.) quos Albanos appellat Procopius. Hæc clausula in uno tantū codice reperitur.

90.49. ἑκατὸν βουνεύροις.) Centum uerberibus affici. βούνευρον, flagellum ex neruis, aut loris bubulis. puto instrumentum pro effectu, hoc est, pro plagis poni: quarum certus numerus infligi solebat. ut etiam ex D. Paulo apparet, qui se quadragenis plagis affectum esse scribit.

91.34. καὶ οἱ βούλγαροι δὲ σπονδὰς θέσθαι πρὸς εἰρήνην διεπρεσβεύσαντο.) Alius codex, οἱ βούλγαροι δὲ δείσαντες, πέμψαντες πρὸς αὐτὸν σπονδὰς θέσθαι πρὸς εἰρήνην ἐζήτησαν.

94.16. τῶν παρ' ἐκείνοις ἀναγκαίων.) ἀναγκαίων pro ἐπισήμων posuisse uidetur: Nō acceptis illustribus ex ea gente obsidibus, quorum periculo adducti in fide manerent. Hoc rectius esse puto, quàm ut principiò uerteram, quanquam sensu ferè eodem: Non acceptis prius, ut opus erat, obsidibus.

100.17. καπνικοῦ.) A' fumo nomen habet: fortasse quòd de singulis domibus aut familijs pendendum esset id tributū.

Ibid. 31. πράτη κηρίων.) cereorum uel fauorum uenditori.

Ibid. 50. ἀθίγγανοι.) A' non attingendo nomen habere uidentur. sic enim in magno Etymologico legitur: ἀθίγγανος, ὁ μὴ θέλων τινὶ προσεγγίσαι, ἀπὸ τοῦ θιγεῖν. οἱ γὰρ τὴν αἵρεσιν ταύτην ἔχοντες, οὐδὲ παρ' ἄλλου λαμβάνουσιν.

110.16. τῆς ἐκείνου κακίας, ἢ καὶ ἀνοίας.) Fortasse κακονοίας pro κακίας legendum. uidetur enim affectare παρονομασίαν.

115.55. μέχρις ἐσχάτου ζωστῆρος διαβεβηκυῖαν.) Hesychius, ζωστὴρ, ὁ ἐπάνω τοῦ θώρακος χρῶτα ζώνη. Quomodo in naui propriè dicatur, fateor me ignorare.

116.18. ζωσὶ καὶ πατρικία τετίμητο.) ζωσὴ fit παρὰ τὸ ζώννυσθαι, à cingendo. Fuit fortaßis honos quispiam, in certo fasciarum aut cinctus genere.

123.12. βασιλεύοντος ἐν ἑαυτοῦ συνοικέσιον.) Suprà meminit, eum iam Imperatorem duxisse uxorem, & filiam Mariam Alexio Mosoli despondisse. quod an cum tam paucis annis consentiat, haud scio.

126.25. λογοθέτην τοῦ δρόμου.) Libellus de Officijs palatij, ὁ λογοθέτης τοῦ δρόμου, inquit, ἄχρι ὑπουργίαν ἡμῖν ἀνεπίγνωστον. Liceat igitur nobis quoq; huiusmodi cum uenia ignorare.

135.1. πάτροκλον τοῦτο προσφέρειν παραβαλλόμενος.) πάτροκλον quid ad sensum faciat, non uideo.

139.48. ἐκ πνευματικῆς διαθέσεως.) Ex affectione spirituali. Intelligo de adoptione, cuius causa fuerat monachus ille spiritu fatidico præditus. etsi suspecta est lectio.

142.12. τοῦ ῥηγὸς φραγγίας τυγχάνων γαμβρός.) γαμβρὸς, ἀδελφιδὸς, θεῖος, ἀνεψιὸς, & alia id genus uocabula πολύσημα, certò declarari non possunt, nisi ab ipsa historia declarentur. Quare sicubi in his lapsus fuero, peto ueniā ut & hic. Nec enim mihi constat, utrum Hagio hic gener, socer an affinis sit regis Francorum.

Ibid. 29. οἱ καὶ οὖγγροι καλοῦνται.) Non abhorret ab Hungarorum appellatione.

145.57. τὴν μητροπολίτην συνέδρον.) Fortasse συνέδρων, ut sit non proprium uiri, sed loci nomen.

Ibid. 61. εἰ δὲ ἦν τοῦ ἡλίου.) Alius codex habet ἰουλίου. Sin ἡλίου legeris, uidetur addendum σωιοδος, aut aliquid simile. Sequitur certè, ἰδὲ ὁ καινὸς καιρὸς μετὰ τοὺς δεκατρεῖς μῆνας. Lectori iudicium relinquo, utrum tredecim menses, an diem Iulij decimumtertium intelligere malit.

146.16. περὶ νηστείας.) Fortasse, πρὸ νηστείας, ante ieiunium.

149.18. πατζινάκας.) πατζινάκους. Crebra fit mutatio in hoc Opere ος in ας, & ας in ος. Cum autem utraque terminatio usitata sit Græcis, nō admodum refert, utram admittamus. Aliquando etiam πατζινάκαι scribitur.

150.7. περὶ συναιρέτων.) Legendū περὶ συναιρετῶν. Creberrimè περὶ pro πρὸς, & cōtrà scribuntur. in quo sententiæ magis, quàm deprauationi codicum est credendum.

Ibid. 25. ὑπὲρ τῶν ἡμερῶν τοῦ εὐαγγελισμοῦ.) Quum εὐαγγελίζεσθαι sit lætum afferre nuncium, εὐαγγελισμὸν uerti annunciationem. In quo, & similibus nominibus, aut nouis aut nouatis, ueniam dari mihi peto à lectoribus, in recentioribus Græcorum scriptis minimè uersato.

Ibid. 60. νανίαν γὰρ ἦν.) Rectius in alio codice legitur, νανίας.

152.19. χρεβατίῳ.) χραβάτῳ.

Ibid. 24. εἰς τὸν συμιὸν ἐστοιχειῶσθαι.) Suprà in uita Alexandri, fratris Leonis, Magi dicunt, τὸ στοιχεῖον εἶναι τοῦ ἀλεξάνδρου. Magica sunt hæc potius, quàm fabulosa: multaq; huiusmodi paßim & leguntur & audiuntur, quæ omnia uana esse non existimantur.

153.25. ἄνωθεν τῆς ὑπογραφῆς.) Fortaßis ὑπερ γραφῆς legendum: aut ὑπογραφὴ ἀντὶ τῆς ὑπερ γραφῆς ponitur: nisi fortè hoc uelit, subscriptioni unæ chartæ, supernè attextam esse syngrapham.

156.27. τῆς μεγάλης πέμπτης.) Cuiusmodi id festū fuerit, me latet. nisi q; suspicor diem Iouis sic appellari, qui diem passionis antecedit: quum sequatur, καὶ τὴν τῶν ἁγίων παθῶν τοῦ σωτῆρος χριστοῦ ἐπιτελέσαι τελετήν.

157.6. ἐξ ἀγγείων.) Hæc παρενθήκη uidetur superuacua.

158.32. σὺ μὲν τῆς ἀρχῆς οὐχ ὡς δέον ἐπειλημμένος.) perperàm administras. Potest etiam referri ad illud, quòd patrem ueneno tollere studuit: Tu regnum per nefas occupasti.

161.6. δεξιζίδην.) δεξιῶν.

Ibid. 44. ὃ ἐν κεράμῳ εὗρε.) Intelligo effigiem in olla esse repertam. Si quis autem existimat effigiem testaceā esse, ei ego assentirer, si ἐκ κεράμου scriberetur.

162.41. παντὸς νομίσματος ἑξαγίῳ σταθμὸν ἔλκοντος, ἐκεῖνος τὸ τεταρτηρὸν ἐπενόησε.) Georgius Agricola ἑξάγιον, sextulā, id est, sextam unciæ partem, interpretatur. τεταρτηρὸν uerò quid sit, quærant doctores. Mihi uidetur minus esse exagio, q; imminutū monetæ pondus quæritur.

165.12. εἰς νόμισμα χρυσοῦν.) Hinc apparet, cum νόμισμα absolutè ponitur, intelligendum eße nummum aureum.

173.30. ἀπεγνωκότας ἤδη τὰς σωζούσας ἐλπίδας περὶ τοὺς βασιλεῖς.) opibus & salute Imperatorum iam desperatis. malim enim legere πρὸς, uel ὑπὸ. Iustinus: Quò fortuna, eòdem & fauor hominum inclinat. Si quis hoc non pro-

bat, sic interpretetur licet: Ex desperatione ueniæ ab Imperatoribus impetrandæ.

175.50. ἐτραχηλιάζετο.) Malim ἐθρασύνετο, Ferocius responderet.

176.54. τῇ ἀδελφῇ αὐτοῦ.) Ambiguum est, utrum Basilius Bladimeri, an Bladimerus Basilij sororem duxerit.

178.1. ἀορασίᾳ πληγῆναι.) ἀορασία temporaria cæcitas est, cum uel extasi, uel ira nimnius, uel magicis præstigijs oculi impediti, munere suo non funguntur: ut in Genesi de Sodomitis, in lib. Regum de Syris legitur.

Ibid. 7. ἢ γὰρ λάθετ' ἢ οὐκ ἐνόησεν.) Homericum hemistichium.

Ibid. 49. ὁ ποταμὸς γὰρ τότε ἄπλωτος ἦν.) Non uideo quid pluuiæ aut incrementa fluuij nauigationem impediant. Quare pro ἄπλωτος, fortasse legendum ἔπλωτος: quia pluuijs auctus fluuius late ultra ripas effusus erat. ut paulo post, πολλοῦ τοῦ ποταμοῦ ῥέοντος. Hanc ego lectionem in uertendo secutus sum, quæ si displicet, reponito: Quia uerò flumen ob crebras pluuias nauigari non poterat.

181.53. ἐπ' ἴσην ὀκλάν.) Alius codex, τέσσαρσι.

185.24. ἐκφαυλίσει.) ἐκφανίσει omnino legendum.

186.9. καὶ πλέον διὰ ὁμιλίαν ἀνδρός.) Et magis ob uiri congressum. Potest referri ad Michaelem Paphlagonem: sed rectius uidetur accipi de cupiditate coitus.

188.34. τοῖς πατζινάκαις λεία γέγονε τῶν μυσῶν.) Videtur aliquid deesse, ut τὰ ῥωμαίων. Patzinacæ ex Romanorum prouincijs passim prædas egerunt. Notum prouerbium est, μυσῶν λεία, ut & Porsenæ bona. Quod si cui hæc diuinatio displicet, reponat, E Mysia prædas egerũt. Nã illud minimè placet, ut sic construas, τὰ μύρια τοῖς πατζινάκαις λεία γέγονε, τῶν μυσῶν. Non multo pòst: καὶ ὁ μὲν ὥσπερ λείαν μυσῶν, τὸ τοῦ λόγου, τὰ ῥωμαίων ἐτίθετο.

191.4. καὶ οἱ πληρουῦντες δὲ τὴν τάξιν τὴν βασίλειον.) Puto eum Palatinos proceres intelligere.

192.42. τὸ σκυθικὸν πολίσματα.) Fortasse Βουλγαρικόν: nisi ad primam gentis originem respiciat, aut per contemptum Bulgaros Scythas appellet.

195.21. ἤδη ποτε χαμαλωθεῖσαν.) Malim μετοχαμαλωθεῖσαν.

198.28. ἡ αὔγουστα πολυοῦσα.) Malim, ἡ βασιλίς. nam Scleræna & Augusta & δέσποινα fuit.

Ibid. 38. πολεμησείων.) Malim πολεμήσων.

Ibid. 57. πρὸς τὴν ἀντικρὺ ταύτης ἤπειρον.) Ambiguum, utrum de Epiro, an alia terra continente loquatur.

200.26. καὶ αὐσουδί.) Legendum, καὶ ἡ αὐσουδί.

204.47. σύγκελλος.) Alij scribunt σύγγελος, & πρωτοσύγγελος.

209.18. ὁ κεκαυμένος καταπεσών.) κεκαυμένος, ustus, seu crematus, puto cognomentũ esse, siue à clade aliqua per incendium accepta, siue à nigro colore. Ambustum uerti. quod si cui displicet, κεκαυμένος reponat: ut pro Duro σκληρόν.

210.45. ἔργου ἥπτοντο.) ἤρχοντο.

214.41. καὶ εἰ μὴ τοιοῦτα λαλήσειν καί.) Hæc duo uerba redundare existimo.

220.8. καὶ τῆς δὲ συγκλήτου βουλῆς ἀπέπιπτο.) scilicet ὁ πατριάρχης περὶ τοῦ ἐκτομίου. Sed Viennensis codex habet, ὁ ἐκτομίας ἀπέπιπτο. quod falsum esse, declarant ea quæ sequuntur, nisi ἀπέπιπτο pro ἀπέπιπτεν ponatur.

221.54. γέγονε δὲ τῆς ἱεραπόλεως ἢ ἀρχέπολις.) Ambiguum, utrum illius iussu condita, an habitari cœpta sit.

222.43. μοῖραν οὐκ ἐλαχίστην ἀφελεῖν, ἢ στεῖλαι τῆς συμμαχίας.) στεῖλαι, quem? Utrum Comnenum, an copias illi ademptas? Ambigua constructio.

223.25. ὃ καὶ τοῦτο κακὸν οἰώνισμα.) Legendum opinor, καὶ τοῦτο, scilicet τὸ δυσοιώνιον.

Ibid. 28. νεμιτζῶν.) Non abludit à Nemetũ appellatione.

224.57. ἀπὸ ῥυτῆρος ἐπανελάσας εἰς τὸ χάρακα.) A flagello, id est concitato equo.

227.48 καὶ τὸ λατίνων φουσσᾶτον, ὧν ἐγχωρίων ἄρχοντα τετρακοσίων.) Si Franci populares sub Ruselio militarũt, ipse dux non Latinus, sed Francus fuit: sed fortaßis in Latio consederat. Deinde, quadringentorum numerus exiguus uidetur, ad tantas res gerendas, nisi horum eximia uirtus, aduersariorum insignis ignauia fuerit.

εἰς τὰ ὅπλα κατέλθοιτο.) εἰ δὲ ἀπονοίας ἀπόσχοιτο, Si à desperatione discesserit.

228.33. μοναχικὸν μετεδέξατο.) μετεδέξατο.

Ibid. 54. χροβάτην.) χερβάτην.

229.19. ῥουμπρέρτω.) Fortè ῥουπέρτου, aut ῥομπέρτω.

231.50. ἐπανίστησαν δὲ καὶ οἱ βάραγγοι κατὰ τοῦ βασιλέως.) Pòst fol. 245. ἀγγέλλεται ὡς οἱ βάραγγοι τὴν γῆν τοῖς ἐξκουβίτοις ὅλην διαλαφόντες. Libellus qui de Officijs palatij inscribitur, recenset satellites, Allogos, Murtatos, Cortinarios, Bardariotas, Barangos, quorum hi postremi fores palatij custodierunt.

234.27. κλίτωρ διὰ τοῦ ὄ.) Malim κλίτωρ, uel κλιτώς.

Ibidem 43. εἰς τὸ μέγα τέμενος τῆς τοῦ θεοῦ λόγου σοφίας.) Sanctæ Sophiæ templũ uulgò dicitur. Verùm Sophia hic non est mulieris nomen, sed Christi quoddam attributum.

FINIS ANNOTATIONVM TERTII TOMI.

INDEX

Ioannis Zonaræ.

B

C

Cedoctum

Constan-

D

Diogenis

Gelimeri

Leontius

Nicepho-

Samuel

T

V